# ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

## ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

## 33

## ΟΜΙΛΙΕΣ

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ
Ἀπὸ τὸν
ΣΠΥΡΟ ΜΟΥΣΤΑΚΑ
Θεολόγο – Φιλόλογο


78 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 78

**Ἐπόπται**

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητὴς Πανεπιστημίου

**Ἐπιμελητὴς ἐκδόσεως**


ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



**Ε Π Ε**

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1985

# ΙΩΑΝΝΗΣ
# Ο
# ΧΡΥΣΟΣΤΟΜΟΣ



# ΕΙΣΑΓΩΓΗ

Στὸν παρόντα τόμο δημοσιεύονται δεκαοκτὼ ἐπίκαιρες ὁμιλίες τοῦ ἱεροῦ Χρυσοστόμου, ποὺ ἐκφωνήθηκαν σὲ διαφόρους ναοὺς καὶ μὲ ἀφορμὴ κάποια ἐπίκαιρα περιστατικά, καθὼς καὶ ἡ πραγματεία του *Πρὸς τοὺς σκανδαλισθέντας*. Τὸ κείμενο τῶν περισσότερων ὁμιλιῶν λαμβάνεται ἀπὸ τὴν ἔκδοση Montfaucon.

## Περὶ Ἐλεαζάρου καὶ τῶν ἑπτὰ παίδων

Ἡ ὁμιλία *Περὶ Ἐλεαζάρου καὶ ἑπτὰ παίδων* ἐκφωνήθηκε στὴν Ἀντιόχεια τὴν παραμονὴ τῆς ἑορτῆς τῶν Μακκαβαίων καὶ ἔχει ἀπολογητικὸ καὶ συγχρόνως ἐγκωμιαστικὸ χαρακτῆρα. Στὴν ἀρχὴ τῆς ὁμιλίας του ὁ Χρυσόστομος μιλάει μὲ θαυμασμὸ γιὰ κάποιον γέροντα ποὺ μίλησε πρὶν ἀπ' αὐτόν. Ἔπειτα διορθώνει ἐκείνους ποὺ δὲ δέχονται τοὺς Μακκαβαίους ὡς ἁγίους καὶ δὲν τοὺς συγκαταλέγουν στὸ χορὸ τῶν μαρτύρων λέγοντας, πὼς δὲ μαρτύρησαν γιὰ τὸ Χριστό, ἀλλὰ γιὰ τὸ νόμο. Ἀνατρέποντας τὴν ἄποψη αὐτὴ ὁ Χρυσόστομος λέγει πὼς ὁ Ἐλεάζαρος καὶ οἱ ἑπτὰ νέοι εἶναι λαμπροὶ μάρτυρες, γιατὶ ἀκολούθησαν τὸ δρόμο τῆς ἀρετῆς καὶ ἀγωνίσθηκαν ἐναντίον τοῦ θανάτου πρὶν ἀπὸ τὴν ἔλευση τοῦ Χριστοῦ καὶ θυσιάσθηκαν γιὰ χάρη τοῦ Χριστοῦ, ἀφοῦ αὐτὸς ἔδωσε τὸ νόμο. Στὴ συνέχεια συγκρίνει Παλαιὰ καὶ Καινὴ Διαθήκη καὶ τονίζει τὴν ὑπεροχὴ τῆς δεύτερης, στρέφεται ἐναντίον τῆς εἰδωλολατρικῆς καὶ τῆς ἰουδαϊκῆς σοφίας τονίζοντας τὴ δύναμη τοῦ σταυροῦ, καὶ παρατηρεῖ πὼς τὸ γράμμα τοῦ νόμου θανατώνει ἐνῶ ἡ χάρη του

Πνεύματος δίνει ζωή. Τελειώνει προτρέποντας τοὺς πιστοὺς νὰ μεταβοῦν στὸ ναὸ τῶν ἁγίων καὶ νὰ πάρουν μέρος μὲ εἰλικρινὴ διάθεση καὶ καθαρὴ ψυχὴ στὴν πανήγυρή τους.

Οἱ ὁμιλίες *Τῆς βασίλιδος μέσον νυκτῶν εἰς Μεγάλην Ἐκκλησίαν προσελθούσης...* καὶ *Τῇ ἐπιούσῃ ἡμέρᾳ παραγενομένου τοῦ βασιλέως...* ἐκφωνήθηκαν τὸ 398 στὸ μαρτύριο τοῦ ἁγίου θωμᾶ, στὴ Δρυπία, ποὺ ἀπεῖχε ἐννέα μίλια ἀπὸ τὴν Κωνσταντινούπολη, μὲ τὴν εὐκαιρία τῆς μεταφορᾶς ἐκεῖ ἱερῶν λειψάνων. Τὴ μεταφορὰ παρακολούθησε μαζὶ μὲ ὁλόκληρη τὴν πόλη καὶ ἡ βασίλισσα Εὐδοξία. Ἡ πρώτη ὁμιλία ἐκφωνήθηκε τὴ νύχτα τῆς μεταφορᾶς καὶ ἡ δεύτερη τὴν ἑπόμενη ἡμέρα, μετὰ τὴν ἀναχώρηση τοῦ αὐτοκράτορα ποὺ ἦρθε μὲ τὴν ἀκολουθία του νὰ προσκυνήσει τὰ ἱερὰ λείψανα.

**Τῆς βασιλίδος μέσον νυκτῶν εἰς Μεγάλην Ἐκκλησίαν προσελθούσης**

Στὴν ὁμιλία αὐτὴ ὁ Χρυσόστομος ἐκφράζει τὴ μεγάλη του χαρὰ γιὰ τὸ πλῆθος τῶν πιστῶν ποὺ παρακολουθεῖ τὴ μεταφορὰ τῶν λειψάνων, ἐξαίρει τὴ δύναμη τῶν μαρτύρων καὶ ἐπαινεῖ τὴ βασίλισσα, παρομοιάζοντάς την μὲ τὴ Φοίβη καὶ τὴν Πρίσκιλλα. Ἦταν ἐποχὴ ποὺ οἱ σχέσεις Χρυσοστόμου καὶ Εὐδοξίας ἦταν ἀγαθές.

**Τῇ ἐπιούσῃ ἡμέρᾳ παραγενομένου τοῦ βασιλέως ἐν τῷ Μαρτυρίῳ τοῦ Ἀποστόλου καὶ μάρτυρος Θωμᾶ τοῦ διακειμένου ἐν τῇ Δρυπίᾳ**

Στὴν ὁμιλία αὐτὴ ἐπαινεῖ τὴν εὐσέβεια τοῦ αὐτοκράτορα,

τονίζει τὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ τὴ δύναμη τῶν ἁγίων, μιλάει γιὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως, ἀναφερόμενος σὲ παραδείγματα ἀπὸ τὴν Παλαιὰ Διαθήκη καὶ στὴ ἀνάσταση τοῦ Χριστοῦ, κάνει λόγο γιὰ τὰ ἀγαθὰ τῆς παρούσας καὶ τῆς μέλλουσας ζωῆς καὶ τελειώνει προτρέποντας τοὺς πιστοὺς νὰ μιμηθοῦν τὴν ἀρετή, τὸ ζῆλο καὶ τὴν πίστη τῶν μαρτύρων, καὶ καλώντας τους σὲ ἀδιάκοπο ἀγώνα ἐναντίον τῶν παθῶν τῆς ζωῆς αὐτῆς.

## Εἰς Εὐτρόπιον εὐνοῦχον, πατρίκιον καὶ ὕπατον

Ἡ ὁμιλία αὐτὴ ἐκφωνήθηκε τὸ 399, ὅταν ὁ Εὐτρόπιος κατέφυγε ἱκέτης στὸ ναό. Ὁ Εὐτρόπιος, παντοδύναμος πρωθυπουργὸς τότε, ἀπολαμβάνοντας τὴν εὔνοια τῆς Εὐδοξίας, κατόρθωσε νὰ ἐξοντώσει τοὺς πολιτικούς του ἀντιπάλους καὶ νὰ μείνει οὐσιαστικὰ μόνος κυρίαρχος στὸ Βυζάντιο. Ἕνα ἀπὸ τὰ μέτρα ποὺ πῆρε γιὰ τὸ σκοπὸ αὐτὸν ἦταν καὶ ἡ κατάργηση τοῦ ἀσύλου τῶν ναῶν. Ἦταν πεπρωμένο ὅμως πρῶτα ὁ ἴδιος ὁ Εὐτρόπιος νὰ ὑποστεῖ τὶς συνέπειες τῆς κατάργησής του. Γιατὶ στὸ μεταξὺ τὰ πράγματα πῆραν ἄλλη τροπή. Ὁ Γαϊνᾶς, Γερμανὸς στρατηγός, κέρδισε τὴν εὔνοια τοῦ αὐτοκράτορα Ἀρκαδίου καὶ στὴ συνέχεια ἐπέτυχε τὴν ἀπομάκρυνση τοῦ Εὐτροπίου, πού, καταδιωκόμενος ἀπὸ τὰ πλήθη, κατέφυγε στὸν καθεδρικὸ ναὸ καὶ προσέφυγε στὸ θυσιαστήριο. Ὁ Χρυσόστομος μὲ παρέμβασή του στὸν αὐτοκράτορα ἐξασφάλισε τὸ δικαίωμα τῆς ἀσυλίας καὶ τὴν ἑπόμενη ἡμέρα ἐκφώνησε στὸ ναὸ τὴν ὁμιλία αὐτή. Ἡ ὁμιλία πλέκεται γύρω ἀπὸ τὸ ρητὸ τῆς Γραφῆς, «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης». Ὁ Χρυσόστομος τονίζει τὴ ματαιότητα τῶν ἐγκοσμίων, τὶς συχνὲς καὶ εὔκολες μεταβολὲς σὲ ὅλα τὰ πράγματα τῆς ζωῆς αὐτῆς, καὶ συγχρόνως συνιστᾶ στὸ ἐξαγριωμένο πλῆθος νὰ ἐπιδείξει συγγνώμη καὶ συμπάθεια. Ἡ ὁμιλία ἔφερε τὸ ἀναμενόμενο ἀποτέλεσμα καὶ ὁ Εὐτρόπιος σώθηκε τότε.

### Ὅτε τῆς Ἐκκλησίας ἔξω εὑρεθεὶς Εὐτρόπιος ἀπεσπάσθη

Ὁ Εὐτρόπιος λίγες ἡμέρες ἀργότερα προσπάθησε νὰ φύγει ἀπὸ τὴν Κωνσταντινούπολη καὶ ἀπομακρύνθηκε ἀπὸ τὸ ναὸ στὸν ὁποῖο εἶχε καταφύγει. Τὸ πλῆθος τὸν ἀναγνώρισε καὶ τὸν συνέλαβε. Τὰ γεγονότα αὐτὰ ἔδωσαν τὴν ἀφορμὴ στὸν ἱ. Χρυσόστομο νὰ ἐκφωνήσει τὴν ὁμιλία αὐτή. Τονίζει τὴν ὠφελιμότητα ἀπὸ τὴν ἀνάγνωση τῆς ἁγίας Γραφῆς, τὴ δύναμη καὶ τὸ νόημα τῆς Ἐκκλησίας, ἐπανέρχεται στὴ ματαιότητα τῶν ἀνθρώπινων πραγμάτων καὶ ἀναφέρεται στὴ μυστικὴ σχέση πιστοῦ καὶ Ἐκκλησίας, Χριστοῦ καὶ Ἐκκλησίας, νυμφίου καὶ νύμφης. Ἡ ὁμιλία κλείνει μὲ ἑρμηνεία στό, «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου», καὶ ἐπισήμανση τῶν στοιχείων ἐκείνων ποὺ συνιστοῦν τὴν ὀμορφιὰ τῆς ψυχῆς καὶ τοῦ τρόπου ποὺ μπορεῖ κανεὶς ν' ἀποκτήσει τὴν ἐσωτερική του ὀμορφιά.

Ὁ Εὐτρόπιος σώθηκε προσωρινά, ἀλλὰ μετὰ ἀπὸ λίγο καιρὸ ἐξορίσθηκε στὴν Κύπρο καὶ τελικὰ καταδικάσθηκε σὲ θάνατο.

### Ὅτε Σατορνῖνος καὶ Αὐρηλιανὸς ἐξωρίσθησαν...

Τὸν Εὐτρόπιο διαδέχθηκαν στὴν ἐξουσία ὁ Αὐρηλιανὸς καὶ ὁ Σατορνῖνος. Μὲ τὴν εὐκαιρία τῆς ἐξορίας τῶν ἀνδρῶν αὐτῶν ἀπὸ τὸ Γαϊνᾶ, σὲ μιὰ ἐποχὴ ἀνήσυχη καὶ ταραγμένη, ὁ Χρυσόστομος ἐκφώνησε τὴν ὁμιλία αὐτή. Ἡ αἰτία γιὰ τὴν ὅλη κατάσταση ποὺ ἐπικρατοῦσε τότε, τονίζεται στὴν ὁμιλία, ἦταν ὁ ἔρωτας γιὰ τὰ χρήματα καὶ ἡ μανία γιὰ τὴ φιλαργυρία, ποὺ χαρακτηρίζεται «ἀρρώστια ἀνίατη, καμίνι ποὺ ποτὲ δὲ σβήνει, τυραννία ποὺ ἁπλώθηκε σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης». Τέλος ὁ Χρυσόστομος, ἀναφερόμενος στὴν τότε κατάσταση καὶ φέρνοντας τὸ παράδειγμα τοῦ Ἰώβ, συνιστᾶ στοὺς πιστοὺς νὰ

περιμένουν τὶς ἀλλαγὲς σὲ ὅλα τὰ ἀνθρώπινα πράγματα. Τὸ κείμενο τῆς ὁμιλίας εἶναι παρμένο ἀπὸ τὴν πατρολογία τοῦ Migne.

Ἀκολουθοῦν πέντε ὁμιλίες ποὺ ἐκφωνήθηκαν στὸ μαρτύριο τῆς Παλαιᾶς Πέτρας καὶ στοὺς ναοὺς τῆς ἁγίας Ἀναστασίας, τῆς ἁγίας Εἰρήνης, τῶν ἁγίων Ἀποστόλων καὶ τοῦ Ἀποστόλου Παύλου. Διάφορες στάθηκαν οἱ ἀφορμὲς γιὰ τὶς ὁμιλίες αὐτὲς καὶ ποικίλα εἶναι τὰ θέματα μὲ τὰ ὁποῖα ἀσχολεῖται ὁ ἱερὸς Χρυσόστομος σ' αὐτές.

**Ἐν τῷ Μαρτυρίῳ τῷ ἐπὶ τῇ Παλαιᾷ Πέτρα...**

Ἡ ὁμιλία αὐτὴ ἐκφωνήθηκε τριάντα ἡμέρες μετὰ τὴν πτώση τοῦ Εὐτροπίου, στὸ μαρτύριο τῆς Παλαιᾶς Πέτρας, ποὺ βρισκόταν κοντὰ στὴν Κωνσταντινούπολη. Ἡ κακοκαιρία τῆς ἡμέρας δὲν ἐπέτρεψε νὰ συκεντρωθοῦν πολλοὶ στὸ μαρτύριο γιὰ προσευχή. Μὲ ἀφορμὴ τὸ γεγονὸς αὐτὸ ὁ Χρυσόστομος στὴν ὁμιλία του καλεῖ τοὺς πιστοὺς νὰ συγκεντρώνονται συχνὰ στὶς ἐκκλησίες καὶ στρέφεται ἐναντίον τῆς ἀδιαφορίας καὶ τοῦ πάθους τῆς φιλαργυρίας. Τονίζει ἀκόμη πὼς οἱ ἁμαρτωλοὶ δὲν πρέπει νὰ ἀπελπίζονται γιὰ τὴ σωτηρία τους, ἀλλὰ νὰ δείχνουν μετάνοια γιὰ τὶς πράξεις τους. Τέλος, ἀναφερόμενος στὸ Μωυσῆ, στὸν προφήτη Ἠλία καὶ τοὺς ἀποστόλους Πέτρο καὶ Παῦλο, μᾶς προσκαλεῖ νὰ μὴν ὑπερηφανευόμαστε γιὰ τὰ κατορθώματά μας καὶ νὰ εἴμαστε συγκαταβατικοί, συγχωρητικοὶ καὶ φιλάνθρωποι πρὸς τοὺς ἄλλους.

**Ἐν τῷ ναῷ τῆς Ἁγίας Ἀναστασίας...**

Ἡ δεύτερη αὐτὴ ὁμιλία ἐκφωνήθηκε στὸ ναὸ τῆς ἁγίας

Ἀναστασίας, εἶναι παραινετική, ἀπευθύνεται σ' ἐκείνους ποὺ δὲν ἐκκλησιάσθηκαν, καὶ ἀναφέρεται στὸν μακάριο καὶ δίκαιο Ἰώβ. Ὁ Χρυσόστομος καλεῖ τοὺς πιστοὺς νὰ φροντίζουν γιὰ τὴν ψυχή τους μὲ τρεῖς τρόπους· μὲ τὴν ἀπαλλαγὴ ἀπὸ τὴν κακία, μὲ τὴν ἀπόκτηση τῆς ἀρετῆς, καὶ μὲ τὴ διατήρησή της, πράγμα ποὺ χρειάζεται πάρα πολὺ κόπο. Στὴ συνέχεια παρουσιάζει τὴ γνωστὴ ἱστορία τοῦ Ἰώβ, ποὺ εἶναι χρήσιμη σὲ πλούσιους καὶ φτωχούς, σὲ εὐτυχισμένους καὶ δυστυχισμένους, καὶ τελειώνει προσκαλώντας τοὺς πιστοὺς νὰ μιμηθοῦν τὸ παράδειγμα τοῦ Ἰώβ. Τὸ κείμενο τῆς ὁμιλίας εἶναι ἀπὸ τὴν πατρολογία τοῦ Migne.

**Ἐν τῷ ναῷ τῆς Ἁγίας Εἰρήνης...**

Ἡ ὁμιλία αὐτὴ ἐκφωνήθηκε στὸ ναὸ τῆς ἁγίας Εἰρήνης. Σ' αὐτὴν ὁ Χρυσόστομος μιλάει πρῶτα γιὰ τὴν ὠφέλεια ἀπὸ τὴν ἀνάγνωση τῆς ἁγίας Γραφῆς καὶ στὴ συνέχεια γιὰ τὸ ζῆλο ἐκείνων ποὺ ἐκκλησιάζονται καὶ τὴν ἀδιαφορία ἐκείνων ποὺ δὲν ἔρχονται στὴν ἐκκλησία. Στὸ δεύτερο μέρος τηῆς ὁμιλίας του ἀρχίζει μὲ τὸ κέρδος ποὺ προσφέρει ἡ ψαλμωδία. Τὴν ὥρα τῆς κοινῆς ψαλμωδίας μέσα στὴν ἐκκλησία ὅλοι εἶναι ἴσοι μεταξύ τους καὶ δὲν ὑπάρχει καμιὰ διαφορὰ ἀνάμεσα στοὺς ἄρχοντες καὶ τοὺς ἁπλοὺς πολίτες, στοὺς πλούσιους καὶ τοὺς φτωχούς, στοὺς ἄνδρες καὶ τὶς γυναῖκες, στοὺς ἐλεύθερους καὶ στοὺς δούλους, στοὺς σοφοὺς καὶ στοὺς ἀμόρφωτους. Ἔπειτα στρέφεται ἐναντίον τῶν ἀνδρῶν ἐκείνων ποὺ εἶναι δοῦλοι στὰ διάφορα πάθη καὶ παρουσιάζουν θηλυπρεπὴ συμπεριφορά. Στὸ τρίτο καὶ τέταρτὸ μέρος τονίζει πὼς ἡ γυναικεία φύση δὲν ἐμποδίζει τὴ γυναίκα νὰ κατορθώσει τὴν ἀρετὴ καὶ πὼς ἡ διαφορὰ ἀνάμεσα στὸν ἄνδρα καὶ τὴ γυναίκα δὲ βρίσκεται στὴ φύση τους ἀλλὰ στὴ διάθεση, στὸ ζῆλο καὶ τὴν ἀδιαφορία, στὴν κακία καὶ τὴν ἀρετή τους. Τὸ μέρος αὐτὸ τῆς ὁμιλίας ἀποτελεῖ μέγα ἐγκώμιο γιὰ τὴ μητέρα τῶν Μακκαβαίων, καθὼς καὶ

γιὰ τὴ Φοίβη καὶ τὴν Πρίσκιλλα, τὶς γυναῖκες δηλαδὴ ποὺ κατόρθωσαν τὴν ἀρετὴ καὶ τὶς ὁποῖες προβάλλει γιὰ παράδειγμα καὶ μίμηση.

**Ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων...**

Ἡ ὁμιλία αὐτὴ εἶναι ἀφιερωμένη στὸν αὐτοκράτορα Θεοδόσιο, εἶναι πολὺ σύντομη, γιατὶ ἕνα μεγάλο μέρος της χάθηκε, καὶ ἐκφωνήθηκε τὸ 399 στὸ ναὸ τῶν ἁγίων Ἀποστόλων. Ὁ Θεοδόσιος πρόσφερε πάρα πολλὰ στὸ Χριστιανισμὸ καὶ γι' αὐτὸ ἡ Ἐκκλησία τὸν ὀνόμασε Μέγα. Τιμώντας τὴ μνήμη του κατὰ τὴν τέταρτη ἐπέτειο τοῦ θανάτου του ὁ Χρυσόστομος ἀναφέρεται στὴν πίστη καὶ τὰ στρατιωτικά του κατορθώματα. Στὸ δεύτερο μέρος τῆς ὁμιλίας του στρέφεται ἐναντίον τῶν Καθαρῶν. Ἱδρυτὴς τῆς αἱρετικῆς αὐτῆς παραφυάδας ὑπῆρξε ὁ ρωμαῖος πρεσβύτερος Νοβατιανός. Οἱ Καθαροὶ ὀνόμαζαν ἔτσι τοὺς ἑαυτούς τους γιὰ τὴν καθάροτητα καὶ αὐστηρότητα τοῦ βίου τους. Ὁ Χρυσόστομος τονίζει πὼς ὁ ἄνθρωπος οὔτε μία ἡμέρα δὲν μπορεῖ νὰ παραμείνει καθαρός, ἀφοῦ εἶναι ἄπειρα τὰ πάθη ποὺ περικυκλώνουν τὴν ψυχή του. Εἶναι ἑπομένως ἀλαζονεία καὶ παραφροσύνη νὰ ἰσχυρίζεται κανεὶς πὼς εἶναι καθαρός, τὴ στιγμὴ μάλιστα ποὺ ὁ ἀπόστολος Παῦλος ἀποκαλοῦσε τὸν ἑαυτό του ἔκτρωμα, ἔσχατο τῶν ἀποστόλων καὶ ἀνάξιο γιὰ τὴν ὀνομασία αὐτή. Τελειώνει μὲ συμβουλὲς πρὸς ἀποφυγὴ τῆς ἀλαζονείας καὶ παραφροσύνης αὐτῆς καὶ πρὸς ἀπόκτηση τῶν ὑπεσχημένων ἀπὸ τὸ Θεὸ ἀγαθῶν. Τὸ κείμενο τῆς ὁμιλίας εἶναι ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

**Ἐν τῷ ναῷ τοῦ Ἀποστόλου Παύλου...**

Ἡ τελευταία ὁμιλία τῆς ὁμάδας αὐτῆς ἐκφωνήθηκε στὸ

ναὸ τοῦ ἀποστόλου Παύλου, ἀφοῦ προηγουμένως διάβασαν Γότθοι καὶ μίλησε κάποιος Γότθος πρεσβύτερος. Στὴν ὁμιλία αὐτή, ποὺ ἀποτελεῖται ἀπὸ ἕξι μέρη, ὁ Χρυσόστομος ἀσχολεῖται μὲ διάφορα θέματα. Πρῶτα τονίζει τὴ δύναμη τοῦ κηρύγματος ποὺ ἔφθασε στὰ πιὸ ἀπομακρυσμένα μέρη τῆς γνωστῆς τότε οἰκουμένης. Στὴ συνέχεια θεωρεῖ στόλισμα τῆς Ἐκκλησίας τὴν παρουσία τῶν βαρβάρων, λέγοντας πὼς καὶ ὁ Χριστὸς πρῶτα κάλεσε βαρβάρους, καὶ ἀναφέρεται στὴν ταπεινὴ ἔλευση τοῦ Χριστοῦ ποὺ εἶχε σὰν σκοπὸ τὴν καταπάτηση τῆς ἀλαζονείας τοῦ ἀνθρώπου καὶ τὴν ἐξαφάνιση τῆς ματαιοδοξίας του. Αὐτὴ ἡ ματαιοδοξία θεωρεῖται ἡ αἰτία γιὰ τὴν κακὴ κατάσταση τῶν πραγμάτων καὶ τὴ βαριὰ ἀρρώστια τοῦ ἀνθρώπινου γένους ὅταν ἦρθε ὁ Χριστός. Γιὰ νὰ περιορίσει ὁ Θεὸς τὴν ἀλαζονεία τοῦ ἀνθρώπου ὕψωσε γύρω του σὰν τεῖχος τὸ θάνατο. Ἔπειτα ἀναφέρει παραδείγματα ἀλαζόνων βασιλέων ποὺ τιμωρήθηκαν μὲ θάνατο. Στὸ πέμπτο μέρος τῆς ὁμιλίας λέγει, πὼς ἡ σοφία τοῦ Θεοῦ κάλεσε μὲ τὸ ἀστέρι τοὺς μάγους, ποὺ γίνονται οἱ πρῶτοι κήρυκες τῆς ἔλευσης τοῦ Χριστοῦ. Στὸ τελευταῖο μέρος τονίζει πὼς δὲν ὑπάρχει εἱμαρμένη καὶ πὼς ἡ ἀνάγκη δὲν ὁδηγεῖ τὰ ἀνθρώπινα, ἀλλὰ τὰ πάνα ἐξαρτῶνται ἀπὸ τὴν ἐλεύθερη θέληση τοῦ ἀνθρώπου· καὶ γι' αὐτὸ ὁ ἄνθρωπος εἶναι ὑπεύθυνος γιὰ τὶς πράξεις του. Τέλος κλείνει μὲ προτροπὴ γιὰ ν' ἀποφεύγουμε τὴν κακία καὶ νὰ προτιμοῦμε τὴν ἀρετή.

**Περὶ τοῦ μὴ δεῖν εἰς ἱπποδρομίας μηδὲ εἰς θέατρα ἀναβαίνειν**

Στὴν ὁμιλία αὐτή, ποὺ ἔχει κυρίως ἑρμηνευτικὸ χαρακτήρα, ὁ Χρυσόστομος ἀναφέρεται στὴ μανία ποὺ εἶχαν οἱ πιστοὶ νὰ ἐγκαταλείπουν τοὺς ναοὺς καὶ νὰ τρέχουν νὰ παρακολουθοῦν τὰ θεάματα στὶς ἱπποδρομίες καὶ τὰ θέατρα. Στὸ μεγαλύτερο μέρος αὐτῆς ἑρμηνεύει τὸ χωρίο Ἰω. 5, 17. Στὸ μέρος αὐτὸ τονίζει τὴν ἰσοτιμία τοῦ Χριστοῦ πρὸς τὸν Πατέρα του, μιλάει γιὰ

τὴν κατάργηση τοῦ Σαββάτου, καὶ τελειώνοντας καλεῖ τοὺς πιστοὺς νὰ δείχνουν μαζὶ μὲ τὴν ὀρθὴ γνώση τῶν δογμάτων καὶ ἀνάλογη συμπεριφορά.

**Στὸ «Ὁ μὲν θερισμὸς πολύς, ἀλλ' οἱ ἐργάται ὀλίγοι**

Καὶ ἡ ὁμιλία αὐτὴ ἔχει ἑρμηνευτικὸ χαρακτήρα. Στὴν ἀρχὴ τονίζει πὼς οὔτε τὰ γηρατειὰ οὔτε ἡ νεότητα ἀποτελοῦν ἐμπόδιο γιὰ τὴν ἀρετή, σημειώνει τὴν ἀξία ποὺ ἔχει ἡ σωτηρία καὶ ἑνὸς ἀκόμη ἀνθρώπου καὶ στρέφεται γιὰ μιὰ ἀκόμη φορὰ ἐναντίον ἐκείνων ποὺ παρακολουθοῦν τὶς ἱπποδρομίες. Στὴ συνέχεια ἑρμηνεύει κατὰ τὸ δικό του μοναδικὸ τρόπο τὸ Ματθ. 9,37 καὶ στὸ τελος προσκαλεῖ τοὺς πιστοὺς σὲ ἀγῶνες γιὰ τὴν ἀπόκτηση τῆς ἀρετῆς καὶ νὰ προσφέρουν γιὰ τὸ σκοπὸ αὐτὸν ὅλα τὰ δικά τους.

Στὴ συνέχεια δημοσιεύονται πέντε ὁμιλίες ποὺ ἔχουν σχέση μὲ τὴν πρώτη ἐξορία τοῦ ἱεροῦ Χρυστοστόμου. Μὲ πρωταγωνιστὴ τὸν ἐπίσκοπο τῆς Ἀλεξάνδρειας Θεόφιλο συγκλήθηκε στὴν τοποθεσία Δρῦ, κοντὰ στὴ Χαλκηδόνα, σύνοδος (Ἰούλιος 403) ποὺ κάλεσε τὸ Χρυσόστομο σὲ ἀπολογία γιὰ φανταστικὲς κατηγορίες. Ὁ τελευταῖος δὲν παρουσιάσθηκε στὴ σύνοδο αὐτή, ποὺ στὸ μεταξὺ τὸν καθαίρεσε καὶ τὸν ἐξόρισε. Πρὶν ἀναχωρήσει γιὰ τὴν ἐξορία ὁ Ἰώαννης Χρυσόστομος ἐκφώνησε τὶς ὁμιλίες *Πρὸ τῆς ἐξορίας* καὶ *Ὅτε ἀπῄει ἐν τῇ ἐξορίᾳ*.

**Πρὸ τῆς ἐξορίας**

Στὴν ὁμιλία αὐτὴ ἐξυμνεῖ τὴ δύναμη καὶ τὸ ἀήττητο τῆς

Ἐκκλησίας καὶ ἐπαινεῖ τοὺς πιστοὺς γιὰ τὴν ἀφοσίωσή τους πρὸς αὐτόν. Στὴ συνέχεια μιλάει γιὰ τὴ σκευωρία ποὺ πλέχθηκε ἐναντίον του καὶ παραλληλίζει τὸν ἑαυτό του μὲ τὸν Ἰωάννη τὸν Πρόδρομο, ἐνῶ τὴν αὐτοκράτειρα Εὐδοξία μὲ τὴν Ἡρωδιάδα. Παρατηρεῖ πὼς ὅλα τὰ παθαίνει ἐξ αἰτίας τῆς ἀγάπης του γιὰ τοὺς πιστοὺς καὶ πὼς οἱ ἐνέργειές του ἀποβλέπουν στὸ νὰ μὴν εἰσχωρήσει κανεὶς στὴν ποίμνη του, ὥστε νὰ μείνει ἀκέραιο τὸ ποίμνιό του. Τὸ κείμενο λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

**Ὅτε ἀπῄει ἐν τῇ ἐξορίᾳ**

Στὴ ὁμιλία αὐτὴ ἐπαναλαμβάνει τὰ ἴδια μὲ τὴν προηγούμενη καὶ στρέφεται μὲ βιαιότητα ἐναντίον τῆς βασίλισσας. Ἡ ὁμιλία δὲν ἀνήκει στὸ Χρυσόστομο. Τὸ κείμενο λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Μὲ ἀπόφαση τῆς συνόδου στὴ Δρῦ, ὅπως εἴπαμε, ὁ Ἰωάννης Χρυσόστομος καθαιρέθηκε καὶ ἐξορίσθηκε. Καθὼς ὅμως περίμενε στὴ Βιθυνία τὴ γνωστοποίηση τοῦ τόπου ἐξορίας ἀνακλήθηκε στὴν Κωνσταντινούπολη. Εἶχε συμβεῖ «θραύση» στὸ δωμάτιο τῆς βασίλισσας ἀπὸ σεισμὸ ἢ ἄλλο ἀτύχημα καὶ τὸ γεγονὸς θορύβησε τὴ δεισιδαίμονη Εὐδοξία. Στὴ συνέχεια ἡ βασίλισσα ζήτησε καὶ ἐπέτυχε τὴν ἀνάκληση τοῦ Χρυσοστόμου, στὸν ὁποῖο μάλιστα ἀπέστειλε καὶ ἐπιστολὴ μὲ τὴν ὁποία ἐκφράζει τὴ χαρά της γιὰ τὴν ἐπάνοδο τοῦ ἀρχιεπισκόπου. Οἱ ὁμιλίες *Ὅτε ἦλθεν ἀπὸ τῆς ἐξορίας*, καὶ *Ἐπανελθόντος αὐτοῦ ἀπὸ τῆς προτέρας ἐξορίας ἐκφωνήθηκαν τὴν ἡμέρα τῆς ἐπιστροφῆς, ἐνῶ καὶ μιὰ τρίτη, Εἰς τὴν ἐπίλυσιν τῆς Χαναναίας*, ἐκφωνήθηκε λίγες ἡμέρες μετὰ τὴν ἐπιστροφή του.

**῞Οτε ἦλθεν ἀπὸ τῆς ἐξορίας**

Ἡ ὁμιλία αὐτὴ εἶναι πολὺ σύντομη, ἐκφωνήθηκε σὲ συγκέντρωση πιστῶν στὸ ναὸ τῶν ἁγίων Ἀποστόλων, καὶ ἀποτελεῖ εὐχαριστία τοῦ Χρυσοστόμου πρὸς τὸ Θεὸ καὶ τὸ λαὸ τῆς Κωνσταντινουπόλεως.

**Ἐπανελθόντος αὐτοῦ ἀπὸ τῆς προτέρας ἐξορίας**

Ἡ δεύτερη αὐτὴ ὁμιλία εἶναι ἐκτενέστερη καὶ ἀποτελεῖ βιαιότατη ἐπίθεση ἐναντίον τοῦ Θεοφίλου ποὺ ὑπῆρξε ὁ κύριος ὑποκινητὴς τῶν ἐχθρῶν τοῦ ἱεράρχη. Ὁ Χρυσόστομος ἐπαινεῖ τὴ βασίλισσα καὶ ἐξυμνεῖ τὸ λαὸ τῆς πρωτεύουσας. Ἀκόμη παρατηρεῖ πὼς ἡ περιπέτειά του ἔγινε ἡ ἀφορμὴ νὰ φανερωθεῖ ὁ πλοῦτος καὶ ἡ δύναμη τῆς Ἐκκλησίας. Τέλος, καλεῖ τοὺς πιστοὺς νὰ ἐργασθοῦν γιὰ τὴν ἑδραίωση τῆς εἰρήνης καὶ νὰ εὐχαριστήσουν γιὰ ὅλα τὸ Θεό.

**Εἰς τὴν ἐπίλυσιν τῆς Χαναναίας**

Ἡ ὁμιλία αὐτὴ ἔχει ἑρμηνευτικὸ περιεχόμενο καὶ περιέχει ἀναφορὲς στὴ δοκιμασία. Στὸ πρῶτο μέρος αὐτῆς ὁ ἱ. Χρυσόστομος τονίζει πὼς ἦταν μεγάλο κέρδος ἀπὸ τὴ δοκιμασία τῆς ἐξορίας του, πὼς εἶναι ἀνίκητη ἡ Ἐκκλησία καὶ πὼς ὁ πιστὸς δὲν πρέπει νὰ φοβᾶται τὸν πειρασμὸ ὅταν ἔχει κατάλληλα προετοιμασμένη τὴν ψυχή του. Στὸ δεύτερο μιλάει γιὰ τὴν κλήση τοῦ εὐαγγελιστῆ Ματθαίου, ἐνῶ στὸ τρίτο λέγει πὼς κάθε ἁμαρτωλὸς μπορεῖ νὰ σωθεῖ, ἀρκεῖ βέβαια νὰ τὸ θελήσει. Στὰ ὑπόλοιπα ὀκτὼ μέρη τῆς ὁμιλίας, κατὰ τὸ γνωστό του τρόπο, ἑρμηνεύει ἀναλυτικὰ καὶ σὲ βάθος τὸ Ματθ. 15,21–28, ποὺ ἀναφέρεται στὴ θεραπεία τῆς θυγατέρας τῆς Χαναναίας. Στὴν

ἑρμηνεία τῆς περικοπῆς τονίζεται ἡ μεγάλη δύναμη τῆς προσευχῆς καὶ τῆς πίστης, καὶ καλοῦνται οἱ πιστοὶ νὰ μιμηθοῦν τὴ Χαναναία.

## Πρὸς τοὺς σκανδαλισθέντας

Ἡ πραγμετεία αὐτὴ γράφτηκε τὴν ἐποχὴ τῆς δεύτερης ἐξορίας τοῦ Χρυσοστόμου (404–407). Ἦταν ἡ ἐποχὴ ποὺ οἱ φίλοι του στὴν Κωνσταντινούπολη δὲν μποροῦσαν νὰ κατανοήσουν γιατί ἔγιναν ἔτσι τὰ πράγματα, ὥστε ἕνας ἅγιος ἱεράρχης νὰ τιμωρεῖται τόσο σκληρὰ καὶ αὐτοὶ νὰ ὑποφέρουν, ἐνῶ οἱ ἐχθροὶ τοῦ Χρυσοστόμου νὰ θριαμβεύουν. Χρησιμοποιώντας ἀποδείξεις ἀπὸ τὴν ἁγία Γραφὴ καὶ τὰ συμβαίνοντα στὴν παρούσα ζωὴ καὶ ἀναφέροντας πολλὰ παραδείγματα ἀπὸ τὴν Παλαιὰ καὶ τὴν Καινὴ Διαθήκη διδάσκει ὅτι οἱ αἰτίες τῶν ἐνεργειῶν τοῦ Θεοῦ εἶναι ἄγνωστες, οἱ θλίψεις ἀποτελοῦν συχνὰ μέσο παίδευσης καὶ στὸ τέλος ἡ θεία Πρόνοια διευθετεῖ τὰ πράγματα καλά. Εἶναι ἀνεξήγητη, λέγει, ἡ πρόνοια τοῦ Θεοῦ, ἀκατάληπτη ἡ στοργή του, ἀνέφραστη ἡ ἀγαθότητά του, καὶ ἀνεξερεύνητη ἡ φιλανθρωπία του. Μιλώντας γιὰ τὰ σκάνδαλα διατυπώνει τὴν ἄποψη πὼς αὐτὰ προέρχονται ἀπὸ τὴν ἀδυναμία τῶν ἀνθρώπων καὶ ἀποτελοῦν αἰτία διάκρισης πολλῶν· ἀπόδειξη οἱ τόσοι μάρτυρες, ἄνδρες καὶ γυναῖκες, νέοι καὶ μικρὰ παιδιά. Στὸ ἐρώτημα, 'γιατί ὑπάρχουν οἱ κίνδυνοι, οἱ πειρασμοὶ καὶ οἱ ἐπιβουλές', δίνει τὴν ἀπάντηση πὼς «ἡ παροῦσα ζωὴ εἶναι παλαίστρα, γυμναστήριο καὶ ἀγώνας, χωνευτήριο, βαφεῖο ἀρετῆς». Τὴν πραγματεία του αὐτὴ ὁ ἱερὸς Χρυσόστομος τὴν ἀπευθύνει σὲ ὅλους καὶ τὴν ὀνομάζει φάρμακο ποὺ τρέφει καλύτερα ἀπὸ τὸ ψωμί, θεραπεύει περισσότερο ἀπὸ τὸ φάρμακο, καίει πιὸ δυνατὰ ἀπὸ τὴ φωτιά, δὲν προκαλεῖ κανένα πόνο, σταματάει τὰ βρώμικα ὑγρὰ τῶν πονηρῶν λογισμῶν καὶ κόβει τὰ σάπια μέλη χωρὶς πόνο πιὸ εὔκολα ἀπὸ τὸ νυστέρι.

# ΟΜΙΛΙΑ

## ΓΙΑ ΤΟΝ ΕΛΕΑΖΑΡΟ
## ΚΑΙ ΤΟΥΣ ΕΠΤΑ ΝΕΟΥΣ

**Ἐκφωνήθηκε, ἀφοῦ προηγουμένως μίλησε ἄλλος πάρα πολὺ γέροντας**



## *ΟΜΙΛΙΑ*

### *ΠΕΡΙ ΕΛΕΑΖΑΡΟΥ ΚΑΙ ΤΩΝ ΕΠΤΑ ΠΑΙΔΩΝ*

*Λεχθεῖσα*

*ἑτέρου προειρηκότος σφόδρα πρεσβυτέρου*

*1. Ὡς ὡραία ἡ πνευματικὴ ἐλαία αὕτη! τῶν κλάδων αὐτῆς γεγηρακότων, ὥριμον ἡμῖν ἤνεγκε τὸν καρπόν. Οὐ γὰρ τοιαῦτα τὰ φυτὰ τῆς γῆς, οἷα τὰ δένδρα τῆς Ἐκκλησίας· ἐκεῖνα μὲν γὰρ εἰς γῆρας ἐλθόντα, τότε τὰ πλείονα τῶν φύλλων ἀποτίθεται, τόν τε καρπόν, ὃν ἂν ἐνέγκῃ, τοῦτο ἔξωρόν τε φέρει καὶ ἀραιόν· ταῦτα δὲ ὅταν εἰς γῆρας ἔλθῃ, τότε μάλιστα τῷ καρπῷ βρίθεται, ὃ δὴ καὶ ἐπὶ τοῦ σήμερον εἰρηκότος ἐστὶν ἰδεῖν· διὸ καὶ σιγᾶν ἔγνω· ἔδει γάρ, τοσούτων γερόντων παρόντων καὶ λέγειν εἰδότων, τὸν νέον ἡσυχίαν ἄγειν. Οὕτω καὶ αἱ θεῖαι Γραφαὶ παιδεύουσιν ἡμᾶς· ὅταν μὲν γὰρ νέῳ διαλέγωνται, φασί· «λάλησον, νεανίσκε, εἰ χρεία σου, μόλις δὶς ἐὰν ἐπερωτηθῇς· κεφαλαίωσον ἐν ὀλίγοις πολλά». Τῷ δὲ πρεσβύτῃ οὐ μετὰ τῶν τοιούτων διορισμῶν διαλέγεται, ἀλλ' ἀφεὶς τὸν αὐτὸν καὶ χωρὶς τῶν τοιούτων ὅρων συγχωρεῖ τρέχειν· καὶ τὴν ἡδονὴν δὲ πάλιν τῶν λεγομένων, ὅταν μετὰ συνέσεως λέγηται, θαυμάζουσα, οὕτως ἔφη· «λάλησον, πρεσβύτερε, πρέπει γάρ σοι,*

---

1. Σοφ. Σειρ. 32,7-8.



# ΟΜΙΛΙΑ

## ΓΙΑ ΤΟΝ ΕΛΕΑΖΑΡΟ ΚΑΙ ΤΟΥΣ ΕΠΤΑ ΝΕΟΥΣ

Ἐκφωνήθηκε
ἀφοῦ προηγουμένως μίλησε ἄλλος πάρα πολὺ γέροντας

1. Πόσο ὡραία εἶναι ἡ πνευματικὴ αὐτὴ ἐλιά! Πάρ' ὅλο ποὺ τὰ κλαδιά της ἔχουν γεράσει, μᾶς πρόσφερε ὥριμο καρπό. Γιατὶ τὰ φυτὰ τῆς γῆς δὲν εἶναι τέτοια, ὅπως τὰ δένδρα τῆς Ἐκκλησίας. Ἐκεῖνα ὅταν γεράσουν, τότε ρίχνουν τὰ περισσότερα φύλλα τους καὶ τὸν καρπὸ ποὺ θὰ δώσουν τὸν δίνουν παράκαιρο καὶ ἀραιό, ἐνῶ αὐτὰ ὅταν γεράσουν τότε κυρίως εἶναι γεμάτα μὲ καρπό, πράγμα ποὺ μπορεῖ νὰ τὸ δεῖ κανεὶς καὶ σ' αὐτὸν ποὺ μίλησε σήμερα. Γι' αὐτὸ καὶ ἀποφάσισα νὰ σιωπήσω· γιατὶ ἔπρεπε νὰ σιωπήσει ὁ νέος ὅταν τόσοι γέροντες εἶναι παρόντες καὶ ξέρουν νὰ μιλοῦν. Ἔτσι μᾶς διδάσκουν καὶ οἱ θεῖες Γραφές. Ὅταν λοιπὸν ἀναφέρονται στὸ νέο λέγουν· «μίλησε, νεαρέ, ἂν ὑπάρχει ἀνάγκη γιὰ τὸν ἑαυτό σου, μόνο δυὸ φορὲς ἂν ἐρωτηθεῖς· συνόψισε πολλὰ μὲ λίγα λόγια»[1]. Στὸ γέροντα ὅμως δὲν ἀπευθύνεται μὲ τέτοιους περιορισμούς, ἀλλὰ τὸν ἀφήνει καὶ τοῦ ἐπιτρέπει νὰ μιλάει χωρὶς τέτοιους ὅρους· καὶ θαυμάζοντας πάλι τὴν εὐχαρίστηση ποὺ προκαλοῦν τὰ λόγια του, ὅταν λέγονται μὲ σύνεση, λέγει τὰ ἑξῆς· «μίλησε, γέροντα, γιατὶ σὲ σένα ἁρμόζει αὐτό, μὲ ὀρθὴ ὅμως σκέψη καὶ θὰ ἐμποδίσεις ἀκροά-

*ἐν ἀκριβεῖ δὲ ἐπιστήμη, καὶ ἐμποδίσεις μουσικά». Τί ἐστιν, «καὶ ἐμποδίσεις μουσικά»; Δείκνυσιν ἐκ τούτου, ὅτι οὐχ οὕτως αὐλὸς καὶ κιθάρα καὶ σύριγγες ἡδὺ τοῖς ἀκούουσιν, ὡς πρεσβύτου διδασκαλία μετὰ ἀκριβοῦς ἐπιστήμης προφερομένη. Ἡδονῇ γὰρ ἡδονὴν παραβάλλουσα, πολὺ ταύτην ἐκείνης τυραννικωτέραν εἶναί φησι, καὶ τὴν μὲν κρατεῖν, τὴν δὲ αὐτῇ παραχωρεῖν· διὸ καί φησιν, «ἐμποδίσεις μουσικά»· τουτέστιν, οὐκ ἐάσει αὐτὰ φαίνεσθαι, ἐπισκοτήσεις αὐτοῖς, συσκιάσεις αὐτά.*

*Διὰ δὴ ταῦτα καὶ ἡμᾶς μὲν ἔδει σιγᾶν καὶ ἀκούειν, τοῦτον δὲ λέγειν καὶ διδάσκειν· ἀλλ', ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ· οὔτε ὑμῶν φέρω τὴ τυραννίδα, οὔτε τούτων τὴν ἀνάγκην· διὸ δὴ πάλιν πρὸς τοὺς συνήθεις ἀποδύομαι δρόμους, πρᾶγμα ἐπίπονον, τὸ λέγειν, μετὰ πολλῆς τῆς εὐκολίας μεταχειρίζων, οὐ διὰ τὴν ἐμαυτοῦ δύναμιν, ἀλλὰ διὰ τὴν προθυμίαν ὑμῶν τῶν ἀκροωμένων. Ἐπεὶ καὶ πρῴην πρὸς τοσοῦτον βάθος κατενεχθεὶς ὁ λόγος οὐκ ἀπεπνίγη, καὶ μακρὰ οὕτω πελάγη διαβαίνων, οὐδαμοῦ σπιλάδες οὐδὲ ὕφαλοι οὐδὲ σκόπελοι, ἀλλὰ πανταχοῦ λιμένος γαληνότερον εὕρισκε πέλαγος· καὶ ὥσπερ ὑπὸ ζεφύρου τινὸς ἐπὶ πρύμνης ἱσταμένου τοῦ πόθου τῆς ὑμετέρας ἀκροάσεως, πρὸς εὔδιον λιμένα παρεπέμπετο.*

*Ὁμοῦ τε γὰρ ἐξεπήδα τῆς γλώττης τῆς ἡμετέρας, καὶ πάντες ὑπτίαις αὐτὸν ὑπεδέχονταο χερσί, καίτοι γε δυσκολίαν πολλὴν ἔχοντα· τοιαύτη γὰρ ἦν τῶν νοημάτων τῶν πρῴην ἡ φύσις· ἀλλ' ὅμως καὶ τῆς προθυμίας ἡ ὑπερβολή, καὶ τὸ συντεῖναι τὴν διάνοιαν μετὰ ἀκριβείας ἁπάσης, τὸν τόπον ἡμῖν παρεμυθήσασθε καὶ τὰ δύσκολα ῥᾴδια κατεσκευάσατε. Οὐδὲ γὰρ εἰς πέτραν, οὐδὲ εἰς ἀκάνθας, οὐδὲ εἰς τὴν ὁδὸν κατενεχθῆναι συνεχωρήσατε, ἀλλὰ πάντα εἰς πίονα καὶ βαθύγειον ἄρουρον ὑπεδέξασθε, εἰς τὸ τῆς διανοίας*

ματα μουσικά»[2]. Τί σημαίνει, «θὰ ἐμποδίσεις ἀκροάματα μουσικά»; Μ' αὐτὸ δείχνει πὼς ὁ αὐλὸς καὶ ἡ κιθάρα καὶ οἱ φλογέρες δὲν εἶναι τόσο εὐχάριστα σ' αὐτοὺς ποὺ τὰ ἀκοῦν, ὅσο εἶναι ἡ διδασκαλία τοῦ γέροντα ποὺ γίνεται μὲ ὀρθὴ σκέψη. Συγκρίνοντας δηλαδὴ εὐχαρίστηση μὲ εὐχάριστη λέγει πὼς αὐτὴ εἶναι πολὺ πιὸ δυνατὴ ἀπὸ ἐκείνη καὶ πὼς αὐτὴ ὑπερισχύει, ἐνῶ ἐκείνη ὑποχωρεῖ μπροστὰ σ' αὐτήν. Γι' αὐτὸ καὶ λέγει, «θὰ ἐμποδίσεις ἀκροάματα μουσικά», δηλαδὴ δὲ θὰ τὰ ἀφήσεις νὰ φαίνονται, θὰ τὰ ἐπικαλύψεις, θὰ τὰ ἐπισκιάσεις.

Γι' αὐτὸ ἀκριβῶς ἔπρεπε καὶ μεῖς νὰ σιωποῦμε καὶ ν' ἀκοῦμε, ἐνῶ αὐτὸς νὰ ὁμιλεῖ καὶ νὰ διδάσκει. Ἀλλ' ἐκεῖνο ποὺ πολλὲς φορὲς εἶπα θὰ τὸ πῶ καὶ τώρα· οὔτε ἀντέχω τὴ δική σας τυραννία, οὔτε τὴν ἀνάγκη αὐτῶν. Γι' αὐτὸ λοιπὸν ἑτοιμάζομαι πάλι γιὰ τοὺς συνηθισμένους δρόμους, πράγμα ποὺ εἶναι κουραστικό, δηλαδὴ γιὰ ὁμιλία, γιατὶ ὁμιλῶ μὲ μεγάλη εὐκολία, ὄχι ἐξ αἰτίας τῆς δικῆς μου δύναμης, ἀλλ' ἐξ αἰτίας τῆς δικῆς σας προθυμίας νὰ μὲ ἀκοῦτε. Ἐπειδὴ καὶ προηγουμένως, ἂν καὶ ὁ λόγος κατέβηκε σὲ τόσο μεγάλο βάθος καὶ δὲν ἀφανίσθηκε, πέρασε σὲ τόσο μακρινὰ πελάγη καὶ δὲν προκάλεσε πουθενὰ ναυάγιο σὲ σᾶς – καὶ ἡ αἰτία εἶναι τὸ ὅτι πουθενὰ δὲν ὑπῆρχαν βράχοι, οὔτε ὕφαλοι, οὔτε σκόπελοι, ἀλλὰ παντοῦ συναντοῦσε πέλαγος πιὸ ἥσυχο ἀπὸ λιμάνι–, καὶ ἡ ἐπιθυμία τῆς δικῆς σας ἀκρόασης σὰν ζέφυρος ποὺ στεκόταν στὴν πρύμνη τὸν ὁδηγοῦσε σὲ γαλήνιο λιμάνι.

Γιατὶ μόλις ἔβγαινε ἀπὸ τὸ δικό μου στόμα ὅλοι τὸν ὑποδέχονταν μὲ ἀνοιχτὰ χέρια, παρ' ὅλο βέβαια ποὺ εἶχε μεγάλη δυσκολία. Τέτοια ἦταν ἡ φύση τῶν προηγούμενων νοημάτων. Ἀλλ' ὅμως ἡ ὑπερβολική σας προθυμία καὶ ἡ μεγάλη προσοχὴ τοῦ νοῦ σας ἀνακούφισε τὸν κόπο μου καὶ τὰ δύσκολα τὰ ἔκαμε εὔκολα. Γιατὶ δὲν ἐπιτρέψατε νὰ πέσουν τὰ λόγια μου οὔτε σὲ πέτρα οὔτε σὲ ἀγκάθια οὔτε στὸ δρόμο, ἀλλὰ τὰ ὑποδεχθήκατε ὅλα σὲ πλούσια καὶ εὔφορη γῆ, στὸ βάθος τῆς ψυχῆς σας. Γι'

2. Σοφ. Σειρ. 32,3.

*ὑμῶν βάθος. Διὸ καὶ καθ' ἑκάστην ἡμέραν κομῶντα τὰ λήϊα βλέπομεν, ἀντὶ ζεφύρου ταῖς τοῦ Πνεύματος αὔραις τρεφόμενα, καὶ τὸ θέατρον καθ' ἑκάστην λαμπρὸν ἡμῖν γενόμενον.*

*Διὰ δὴ τοῦτο καὶ σήμερον τῶν λειπομένων ἅψασθαι ἐβουλόμην. Ἀλλὰ τί πάθω; τῶν Μακκαβαίων ὁ χορὸς πρὸ τῶν ὀφθαλμῶν ἵσταται τῶν ἐμῶν, καὶ τῇ λαμπηδόνι τῶν οἰκείων τραυμάτων καταυγάζων μου τὴν διάνοιαν, πρὸς τὴν οἰκείαν εὐμορφίαν καλεῖ τὴν γλῶτταν τὴν ἡμετέραν. Ἀλλὰ μηδεὶς ἀκαιρίαν καταγινωσκέτω τοῦ λόγου, ὅτι τῆς ἡμέρας τῶν παλαισμάτων αὔριον οὔσης, σήμερον τοὺς στεφάνους πλέκομεν, καὶ πρὸ τοῦ καιροῦ τῶν πολέμων τὸ τρόπαιον ἀνακηρύττομεν. Εἰ γὰρ δὴ γάμων ἐπιτελουμένων οἱ συνιόντες καὶ πρὸ τῆς κυρίας καὶ παστάδας ὑφαίνουσι καὶ στεφάνοις τὰς οἰκίας κατακοσμοῦσι καὶ παραπετάσμασι, πολλῷ δὴ μᾶλλον ἡμεῖς τοῦτο ἐργασόμεθα, ὅσῳ καὶ πνευματικώτερος οὗτος ὁ γάμος, οὐκ ἀνθρώπου γυναῖκα, ἀλλὰ Θεοῦ τὰς ψυχὰς τῶν ἀνθρώπων ἁρμοζομένου. Διόπερ οὐκ ἄν τις ἁμάρτοι τῶν μαρτύρων τὴν ψυχὴν νύμφην προσειπών, νύμφην πνευματικήν· ἐπεὶ καὶ προῖκα τὸ αἷμα εἰσφέρουσι, προῖκα μηδέποτε δαπανωμένην.*

*Ἀλλ' ὁ μὲν τῶν ἐγκωμίων καιρὸς εἰς τὴν αὔριον ἡμᾶς ἡμέραν ἀναμενέτω, σήμερον δὲ τοὺς ἀσθενεστέρους τῶν ἀδελφῶν ἡμῶν διορθώσομεν. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀφελεστέρων κατὰ τὴν διάνοιαν χωλεύοντες, ὑπὸ τῶν ἐχθρῶν τῆς Ἐκκλησίας παρασυρόμενοι, οὐ τὴν προσήκουσαν περὶ τῶν ἁγίων τούτων δόξαν ἔχουσιν, οὐδὲ ὁμοίως εἰς τὸν λοιπὸν τῶν μαρτύρων αὐτοὺς καταλέγουσι χορόν, λέγοντες ὅτι οὐχ ὑπὲρ Χριστοῦ τὸ αἷμα ἐξέχεαν, ἀλλ' ὑπὲρ τοῦ νόμου καὶ τῶν ἐν τῷ νόμῳ γραμμάτων, ὑπὲρ χοιρείων σφαγέντες κρεῶν· φέρε δὴ τὴν ἐκείνων διορθώσωμεν διάνοιαν· καὶ γὰρ αἰσχρὸν ἂν εἴη πανήγυριν ἐπιτελοῦντας ἀγνοεῖν τῆς πανηγύρεως τὴν ὑπόθεσιν.*

2. *Ἵν' οὖν μὴ ἐν τῇ κοινῇ πάντων ἡδονῇ μόνοι οἱ τὰ τοιαῦτα νο-*

αὐτὸ καὶ καθημερινὰ βλέπουμε τὰ σπαρτὰ νὰ κυματίζουν, νὰ τρέφονται ἀντὶ μὲ τὴν αὔρα τοῦ ζεφύρου μὲ τὴν αὔρα τοῦ Πνεύματος, καὶ τὸ ἐκκλησίασμά μας νὰ γίνεται καθημερινὰ λαμπρό.

Γι' αὐτὸ ἀκριβῶς ἤθελα καὶ σήμερα νὰ καταπιασθῶ μὲ ὅσα ἔχουν ἀπομείνει. Τί νὰ κάνω ὅμως; Μπροστὰ στὰ μάτια μου στέκεται ὁ χορὸς τῶν Μακκαβαίων καὶ καταυγάζοντας μὲ τὴ λάμψη τῶν τραυμάτων τους τὴ διάνοιά μου καλεῖ τὴ γλῶσσα μου πρὸς τὴ δική τους ὀμορφιά. Ἀλλὰ κανεὶς ἂς μὴν κατηγορήσει τὸ λόγο μου γιὰ ἀκαταλληλότητα χρόνου, ἐπειδὴ σήμερα πλέκουμε τὰ στεφάνια, ἐνῶ ἡ ἡμέρα τῶν ἀγώνων εἶναι αὔριο, καὶ στήνουμε τὸ τρόπαιο πρὶν ἀπὸ τὴν ὥρα τοῦ πολέμου. Γιατί, ἄν, ὅταν γίνονται γάμοι, αὐτοὶ ποὺ συγκεντρώνονται σ' αὐτοὺς ἑτοιμάζουν πρὶν ἀπὸ τὴν ἡμέρα τοῦ γάμου τὰ νυφικὰ δωμάτια καὶ στολίζουν τὰ σπίτια μὲ στεφάνια καὶ παραπετάσματα, πολὺ περισσότερο θὰ κάνουμε ἐμεῖς τὸ ἴδιο, τόσο, ὅσο καὶ ὁ γάμος αὐτὸς εἶναι πιὸ πνευματικός, ἀφοῦ δὲν παντρεύεται ἄνδρας γυναίκα, ἀλλὰ ὁ Θεὸς τὶς ψυχὲς τῶν ἀνθρώπων. Γι' αὐτὸ δὲ θὰ ἔκανε κανεὶς σφάλμα ἂν ὀνόμαζε νύφη τὴν ψυχὴ τῶν μαρτύρων, νύφη πνευματική, ἀφοῦ προσφέρουν προίκα τὸ αἷμα τους, προίκα ποὺ ποτὲ δὲν δαπανᾶται.

Ἀλλ' ὁ καιρὸς τῶν ἐγκωμίων ἂς μᾶς περιμένει αὔριο, ἐνῶ σήμερα θὰ διορθώσουμε τοὺς πιὸ ἀδύνατους στὴν πίστη ἀδελφούς μας. Ἐπειδὴ λοιπὸν πολλοὶ ἀπὸ τοὺς ἀφελέστερους ἔχοντας ἀναπηρία στὸ νοῦ καὶ παρασυρόμενοι ἀπὸ τοὺς ἐχθροὺς τῆς Ἐκκλησίας δὲν ἔχουν τὴν γνώμη ποὺ ἁρμόζει γιὰ τοὺς ἁγίους αὐτούς, οὔτε καὶ τοὺς συγκαταλέγουν στὸν ὑπόλοιπο χορὸ τῶν μαρτύρων, λέγοντας πὼς δὲν ἔχυσαν τὸ αἷμα τους γιὰ τὸ Χριστό, ἀλλὰ γιὰ τὸ νόμο καὶ γιὰ ὅσα εἶναι γραμμένα στὸ νόμο, καὶ πὼς σφάχτηκαν γιὰ χοιρινὰ κρέατα, ἐμπρὸς ἂς διορθώσουμε τὴ σκέψη τους. Γιατὶ πραγματικὰ θὰ εἶναι ντροπή, ἐνῶ ἑορτάζουμε τὴν πανήγυρη, νὰ ἀγνοοῦμε τὴν ἀφορμή της.

2. Γιὰ νὰ μὴν ὑποφέρουν λοιπὸν κατὰ τὴν ὥρα τῆς κοινῆς

*σοῦντες ἀλγῶσιν, ἀλλ' εἰλικρινεῖ διανοίᾳ τοὺς ἀγωνιστὰς περιπτύξωνται καὶ καθαροῖς ὄμμασιν αὐτοὺς ἴδωσι, τὸ ὑφορμοῦν αὐτῶν ταῖς διανοίαις σήμερον ὑποσύραντες, εἰλικρινεῖ τῇ γνώμῃ καὶ καθαρᾷ τῇ διανοίᾳ παρασκευάσομεν αὔριον αὐτοὺς ἀπαντῆσαι πρὸς τὴν πανήγυριν τὴν πνευματικήν. Ἐγὼ γὰρ τοσοῦτον οὐ παραιτοῦμαι μετὰ τῶν ἄλλων καταλέγειν αὐτοὺς μαρτύρων, ὅτι δὴ καὶ λαμπροτέρους τούτους εἶναί φημι. Τότε γὰρ ἠγωνίσαντο, ὅτε οὐδέπω ἦσαν αἱ χαλκαῖ κλασθεῖσαι πύλαι, οὔτε ὁ μοχλὸς ὁ σιδηροῦς περιαιρεθείς, ὅτε ἔτι ἡ ἁμαρτία ἐκράτει καὶ ἡ κατάρα ἤνθει καὶ τοῦ διαβόλου ἡ ἀκρόπολις συνειστήκει καὶ ἀτριβὴς ἦν ἔτι τῆς τοιαύτης ἀρετῆς ἡ ὁδός. Νῦν μὲν γὰρ καὶ μειράκια κομιδῇ καὶ παρθένοι πολλαὶ πολλαχοῦ τῆς οἰκουμένης ἁπαλαὶ καὶ ἀπειρόγαμοι κατὰ τῆς τοῦ θανάτου τυραννίδος ἀπεδύσαντο, τότε δὲ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ δίκαιοι σφόδρα αὐτὸν ἔτρεμον. Ὁ γοῦν Μωϋσῆς διὰ τοῦτον ἔφυγε τὸν φόβον· καὶ Ἠλίας τεσσαράκοντα ἡμερῶν ὁδὸν ἐντεῦθεν ἀπέδρα· καὶ ὁ πατριάρχης Ἀβραὰμ διὰ τοῦτο τῇ γυναικὶ παρῄνει λέγειν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι καὶ οὐ γυνή.*

*Καὶ τί δεῖ τοὺς ἄλλους λέγειν; αὐτὸς γὰρ ὁ Πέτρος οὕτως ἐδεδοίκει τὸν θάνατον, ὡς μηδὲ θυρωροῦ ἀπειλὴν ἐνεγκεῖν· καὶ γὰρ φοβερὸς ἦν καὶ ἀπρόσιτος, οὐδέπω αὐτοῦ τῶν νεύρων ἐκκεκομμένων, οὐδὲ τῆς δυνάμεως καταλελυμένης. Ἀλλ' ὅμως οὗτοι τότε, ὅτε οὕτω φοβερὸν ἔπνει, κατηγωνίσαντο αὐτὸν καὶ κατεπάλαισαν. Ἐπειδὴ γὰρ ἔμελλε λοιπὸν ὁ τῆς δικαιοσύνης ἀνίσχειν ἥλιος, ὅπερ ἐπὶ τῆς ἡμέρας γίνεται, καὶ τότε συνέβη. Καθάπερ γὰρ καὶ μηδέπω φανέντος ἡλίου, φαιδρὸς ἡμῖν ὁ ὄρθρος φαίνεται, τῶν μὲν ἀκτίνων τὴν οἰκουμένην καὶ πόρρωθεν καταλάμποντος, οὕτω δὴ καὶ τότε συνέβη. Ἐπειδὴ γὰρ παραγίνεσθαι ἔμελλεν ὁ τῆς δι-*

χαρᾶς ὅλων μόνο ἐκεῖνοι ποὺ ἔχουν αὐτὴ τὴν ἀσθένεια, ἀλλὰ γιὰ ν' ἀγκαλιάσουν μὲ εἰλικρινὴ διάθεση τοὺς ἀγωνιστὲς καὶ γιὰ νὰ τοὺς δοῦν μὲ καθαρὰ μάτια, ἀφοῦ ἀφαιρέσουμε σήμερα τὴν ὑποψία ἀπὸ τὸ νοῦ τους, θὰ τοὺς προετοιμάσουμε νὰ συναντήσουν αὔριο τὴν πνευματικὴ πανήγυρη μὲ εἰλικρινὴ διάθεση καὶ καθαρὴ ψυχή. Γιατὶ ἐγὼ δὲν παύω καθόλου νὰ τοὺς συγκαταλέγω μαζὶ μὲ τοὺς ἄλλους μάρτυρες, καὶ μάλιστα λέγω πὼς αὐτοὶ εἶναι λαμπρότεροι. Γιατὶ ἀγωνίσθηκαν τότε, ὅταν δὲν εἶχαν σπάσει ἀκόμη οἱ χάλκινες πύλες, οὔτε εἶχε ἀφαιρεθεῖ ὁ σιδερένιος μοχλός, ὅταν ἀκόμη ἡ ἁμαρτία ἐπικρατοῦσε, ἡ κατάρα ἀνθοῦσε καὶ ἡ ἀκρόπολη τοῦ διαβόλου ἦταν ἰσχυρή, καὶ ὁ δρόμος τῆς ἀρετῆς αὐτῆς ἦταν ἀκόμη ἀπάτητος. Γιατὶ τώρα ἀκόμη καὶ νέοι καὶ πολλὲς νεάνιδες τρυφερὲς καὶ ἀνύπανδρες σὲ πολλὰ μέρη τῆς οἰκουμένης ἀγωνίσθηκαν ἐναντίον τῆς τυραννίας τοῦ θανάτου, ἐνῶ τότε πρὶν ἀπὸ τὴν ἐρχομὸ τοῦ Χριστοῦ καὶ οἱ δίκαιοι τὸν φοβοῦνταν πάρα πολύ. Ὁ Μωϋσῆς ἐξ αἰτίας τοῦ φόβου αὐτοῦ ἔφυγε· καὶ ὁ Ἠλίας ἀπὸ τὴν αἰτία αὐτὴ ἀναχώρησε καὶ βάδισε σαράντα ἡμέρες δρόμο· καὶ ὁ πατριάρχης Ἀβραὰμ γι' αὐτὸ συμβούλευε στὴ γυναίκα του νὰ λέγει, ὅτι εἶμαι ἀδελφή του καὶ ὄχι γυναίκα του.

Καὶ γιατί πρέπει ν' ἀναφέρω τοὺς ἄλλους; Καθόσον ὁ ἴδιος ὁ Πέτρος τόσο φοβήθηκε τὸ θάνατο, ὥστε δὲν ἄντεξε οὔτε τὴν ἀπειλὴ τῆς θυρωροῦ. Πραγματικὰ ἦταν φοβερὸς καὶ ἀπλησίαστος ὁ θάνατος, ἀφοῦ δὲν εἶχαν κοπεῖ ἀκόμη τὰ νεῦρα του καὶ δὲν εἶχε καταλυθεῖ ἡ δύναμή του. Ἀλλ' ὅμως αὐτοὶ τότε, ὅταν τόσο μεγάλο φόβο προκαλοῦσε, ἀγωνίσθηκαν ἐναντίον του καὶ τὸν κατανίκησαν. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο ν' ἀνατείλει στὸ μέλλον ὁ ἥλιος τῆς δικαιοσύνης, συνέβηκε καὶ τότε αὐτὸ ποὺ γίνεται στὴν περίπτωση τῆς ἡμέρας. Γιατί, ὅπως ἀκριβῶς καὶ ὅταν ἀκόμη δὲν ἔχει φανεῖ ὁ ἥλιος, μᾶς φαίνεται φωτεινὸ τὸ χάραμα, ἂν καὶ οἱ ἀκτίνες δὲν φανερώθηκαν ἀκόμη, ἐνῶ τὸ φῶς τους φωτίζει καὶ ἀπὸ μακριὰ τὴν οἰκουμένη, τὸ ἴδιο συνέβηκε καὶ τότε. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ ἔρθει ὁ ἥλιος

*καιοσύνης ἥλιος, λοιπὸν δὴ τὸ σκότος τῆς δειλίας ἐλύετο, καὶ οὐδέπω παρόντος αὐτοῦ κατὰ σάρκα, ἀλλ' ἐγγὺς αὐτοῦ καὶ ἐν προοιμίοις ὄντος, καὶ αὐτῶν λοιπὸν ἀπτομένου τῶν πραγμάτων.*

*Ὅτι μὲν οὖν πολλὴν ἀνδρείαν ἐπεδείξαντο ἐν τοῖς καιροῖς ἀγωνισάμενοι τοῖς τοιούτοις, παντί που δῆλόν ἐστιν· ὅτι δὲ καὶ ὑπὲρ Χριστοῦ τὰ τραύματα ἔλαβον, τοῦτο ἤδη δεῖξαι πειράσομαι. Τίνος γὰρ ἕνεκεν ἔπαθον, εἰπέ μοι; τοῦ νόμου, φησίν, ἕνεκεν καὶ τῶν ἐν τῷ νόμῳ κειμένων γραμμάτων. Ἂν τοίνυν φανῇ Χριστὸς ὁ τὸν νόμον ἐκεῖνον δεδωκώς, οὐκ εὔδηλον ὅτι ὑπὲρ τοῦ νόμου παθόντες, ὑπὲρ τοῦ νομοθέτου τὴν καρτερίαν ἐπεδείξαντο πᾶσαν ἐκείνην; Φέρε δὴ οὖν τοῦτο ἀποδείξωμεν σήμερον, ὅτι Χριστός ἐστιν ὁ τὸν νόμον δεδωκώς. Τίς οὖν ταῦτά φησιν; Ὁ ταῦτα σαφῶς ἐπιστάμενος, τά τε παλαιὰ καὶ τὰ νέα, Παῦλος, ὁ τῆς οἰκουμένης διδάσκαλος· Κορινθίοις γὰρ ἐπιστέλλων, οὕτω πὼς φήσιν· «οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάττῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον», τὸ μάννα λέγων, «καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον», τὸ ὕδωρ λέγων τὸ ἀπὸ τῆς πέτρας.*

*Εἶτα δεικνὺς ὅτι ὁ Χριστὸς ταῦτα ἐποίει τὰ θαύματα, ἐπήγαγεν· «ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός». Καὶ εἰκότως· οὐ γὰρ ἡ φύσις τῆς πέτρας ἠφίει τὸ ὕδωρ καὶ τοὺς ποταμοὺς ἐκείνους, ἀλλ' ἡ τοῦ Χριστοῦ ἐνέργεια τύπτουσα τὸν λίθον, ἀναδίδοσθαι τὰς πηγὰς παρεσκεύαζε. Διὰ τοῦτο καὶ πνευματικὴν πέτραν ἐκάλεσε, καὶ ἀκολουθεῖν ἔφη· ἡ δὲ αἰσθητὴ οὐκ ἀκολουθεῖ, ἀλλ' ἐν ἑνὶ ἵδρυται χωρίῳ· ἀλλ' ἡ πανταχοῦ παροῦσα δύναμις καὶ πάντα θαυματουργοῦσα, ἐκείνη καὶ τὴν πέτραν*

τῆς δικαιοσύνης, διαλυόταν πλέον τὸ σκοτάδι τῆς δειλίας, παρ' ὅλο ποὺ δὲν ἔχε παρουσιασθεῖ ἀκόμη κατὰ σάρκα, ἀλλ' ἦταν κοντὰ καὶ πλησίαζε καὶ ἄγγιζε πιὰ τὰ ἴδια τὰ πράγματα.

Τὸ ὅτι λοιπὸν ἔδειξαν μεγάλη ἀνδρεία, ἂν καὶ ἀγωνίσθηκαν σὲ τέτοιους καιρούς, εἶναι φανερὸ στὸν καθένα, τὸ ὅτι ὅμως δέχθηκαν τὰ τραύματα καὶ γιὰ χάρη τοῦ Χριστοῦ, θὰ προσπαθήσω τώρα νὰ τὸ ἀποδείξω. Γιὰ ποιό λόγο, πές μου, ὑπόφεραν; Γιὰ χάρη τοῦ νόμου, λέγει, καὶ γιὰ χάρη ὅσων εἶναι γραμμένα στὸ νόμο. Ἂν λοιπὸν ἀποδειχθεῖ ὅτι ὁ Χριστὸς εἶναι αὐτὸς ποὺ ἔδωσε τὸ νόμο ἐκεῖνο, δὲν εἶναι ὁλοφάνερο πὼς ὑποφέροντας γιὰ χάρη τοῦ νόμου ἔδειξαν ὅλη ἐκείνη τὴν καρτερία γιὰ χάρη τοῦ νομοθέτη; Ἐμπρὸς λοιπὸν ἂς ἀποδείξουμε αὐτὸ σήμερα, ὅτι δηλαδὴ ὁ Χριστὸς εἶναι αὐτὸς ποὺ ἔδωσε τὸ νόμο. Ποιός λοιπὸν τὰ λέγει αὐτά; Ἐκεῖνος ποὺ τὰ γνωρίζει αὐτὰ πολὺ καλά, καὶ τὰ παλαιὰ καὶ τὰ νέα, ὁ Παῦλος, ὁ διδάσκαλος τῆς οἰκουμένης. Γράφοντας στοὺς Κορινθίους λέγει τὰ ἑξῆς· «δὲ θέλω νὰ ἀγνοεῖτε, ἀδελφοί, ὅτι ὅλοι πέρασαν μέσα ἀπὸ τὴ θάλασσα καὶ ὅλοι στὸ Μωυσῆ βαπτίσθηκαν μέσα στὴ νεφέλη καὶ στὴ θάλασσα, καὶ ὅτι ὅλοι ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφή», ἐννοώντας τὸ μάννα, «καὶ ὅλοι ἤπιαν τὸ ἴδιο πνευματικὸ ποτό»[3], ἐννοώντας τὸ νερὸ ποὺ βγῆκε ἀπὸ τὴν πέτρα.

Στὴ συνέχεια γιὰ νὰ δείξει ὅτι ὁ Χριστὸς ἔκανε αὐτὰ τὰ θαύματα, πρόσθεσε· «γιατὶ ἔπιναν ἀπὸ πνευματικὴ πέτρα ποὺ τοὺς ἀκολουθοῦσε, καὶ ἡ πέτρα αὐτὴ ἦταν ὁ Χριστός». Καὶ εὔλογα· γιατὶ δὲν ἀνέβλυζε τὸ νερὸ καὶ τοὺς ποταμοὺς ἐκείνους ἡ φύση τῆς πέτρας, ἀλλ' ἡ ἐνέργεια τοῦ Χριστοῦ ποὺ κτυποῦσε τὴν πέτρα ἔκανε ν' ἀναβλύζουν οἱ πηγές. Γι' αὐτὸ καὶ τὴν ὀνόμασε πνευματικὴ πέτρα καὶ εἶπε ὅτι ἀκολουθοῦσε, καθόσον ἡ πραγματικὴ πέτρα δὲν ἀκολουθεῖ, ἀλλὰ μένει πάντοτε σ' ἕνα τόπο· ἡ δύναμη λοιπὸν ποὺ βρίσκεται παντοῦ καὶ κάνει ὅλα τὰ θαύματα, αὐτὴ ἄνοιξε καὶ τὴν πέτρα ὥστε νὰ τρέξει νερό. Ἂν ὅμως ὁ Ἰουδαῖος δὲν παραδέχεται τὰ λόγια αὐτά, ἂς τὸν συλλά-

3. Α' Κορ. 10,1–4.

ἀνέρρηξεν. Εἰ δὲ οὐκ ἀνέχοιτο τῶν ῥημάτων τούτων ὁ Ἰουδαῖος, φέρε δὴ τοῖς οἰκείοις αὐτὸν ὅπλοις ἕλωμεν, οὐδὲν ἀπὸ Παύλου καὶ Πέτρου καὶ Ἰωάννου, ἀλλ' ἀπὸ τῶν προφητῶν αὐτῷ διαλεγόμενοι, ἵνα μάθῃ ὅτι τὰ πράγματα παρ' αὐτῷ, τὰ δὲ νοήματα παρ' ἡμῖν.

3. Τίς οὖν τῶν προφητῶν ταῦτά φησιν, ὅτι τὴν Παλαιὰν αὐτὸς ἔδωκε Διαθήκην; Ὁ ἐκ κοιλίας ἁγιασθεὶς Ἱερεμίας, ὁ ἐν νεότητι λάμψας. Ποῦ καὶ πότε; Ἄκουε τῶν ῥημάτων αὐτῶν καὶ παιδεύου σαφῶς ἐκ τῶν λεγομένων. Τίνα τοίνυν ἐστὶ τὰ ῥήματα; «ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος». Ἐκ προοιμίων εὐθέως ἀνίστησι τὸν ἀκροατήν, καὶ διεγείρει τὰ φρονήματα τῶν ἀκουόντων, δεικνὺς ὅτι οὐκ αὐτοῦ τὰ ῥήματα, ἀλλὰ τοῦ ἀπεσταλκότος αὐτὸν Θεοῦ. «Ἰδοὺ ἡμέραι ἔρχονται». Εἶτα δείκνυσιν, ὅτι περὶ μελλόντων ἡμῖν διαλέγεται πραγμάτων. Πῶς οὖν, εἰ περὶ μελλλόντων διαλέγεται, τὴν Παλαιάν, φησίν, αὐτὸς ἔδωκε; Ἀνάμεινον καὶ μὴ θορύβει, καὶ τότε ὄψει σαφῶς τῆς ἀληθείας τὴν λαμπηδόνα. Ὅτε γὰρ ταῦτα ἐλέγετο, ὁ νόμος ἦν δεδομένος καὶ παραβαθείς, ἡ δὲ Καινὴ οὐδέπω. Ταῦτα τοίνυν σαφῶς ἐπὶ ταῖς διανοίαις ὑμῶν ἐναποθέμενοι, δέχεσθε τὴν λύσιν τῶν πολλοῖς διαπορουμένων. «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος», τὸν παρόντα καιρὸν δηλῶν, «καὶ διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν».

Ἐρωτῶ τὸν Ἰουδαῖον, ἐρωτῶ τὸν ἀσθενοῦντα ἀδελφόν, τίς τὴν Καινὴν ἔδωκε Διαθήκην; Πάντως ἐρεῖ πᾶς, ὅτι ὁ Χριστός. Οὐκοῦν οὗτος καὶ τὴν Παλαιάν· ὁ γὰρ εἰπών, ὅτι «διαθήσομαι διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην», ἔδειξεν ὅτι κἀκείνην αὐτὸς διέθετο· οὐκοῦν ἀμφοτέρων τῶν διαθηκῶν εἷς ὁ νομοθέτης. Καὶ πότε διέθετο τὴν Παλαιάν, εἰπέ μοι; «Ἐν ἡμέρᾳ ἐπιλαβο-

4. Ἱερ. 38,31.

βουμε μὲ τὰ δικά του ὅπλα, χωρὶς ν' ἀναφέρουμε τίποτε ἀπὸ τὸν Παῦλο, τὸν Πέτρο καὶ τὸν Ἰωάννη, ἀλλὰ ἀπὸ τοὺς προφῆτες, γιὰ νὰ μάθει ὅτι τὰ πράγματα βρίσκονται σ' αὐτόν, ἐνῶ τὰ νοήματα σὲ μᾶς.

3. Ποιός λοιπὸν ἀπὸ τοὺς προφῆτες λέγει αὐτά, ὅτι δηλαδὴ αὐτὸς ἔδωσε τὴν Παλαιὰ Διαθήκη; Ὁ Ἰερεμίας ποὺ ἁγιάσθηκε ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του, ποὺ ἔλαμψε στὴ νεότητά του. Ποῦ καὶ πότε; Ἄκου τὰ λόγια αὐτὰ καὶ διδάξου καλὰ ἀπὸ τὰ λεγόμενα. Ποιά λοιπὸν εἶναι τὰ λόγια; «Νά, ἔρχονται ἡμέρες, λέγει ὁ Κύριος»[4]. Ἀμέσως ἀπὸ τὴν ἀρχὴ ξεσηκώνει τὸν ἀκροατὴ καὶ διεγείρει τὴ σκέψη αὐτῶν ποὺ τὸν ἀκοῦν, δείχνοντας πὼς δὲν εἶναι δικά του τὰ λόγια, ἀλλὰ τοῦ Θεοῦ ποὺ τὸν ἀπέστειλε. «Νά, ἔρχοναι ἡμέρες». Στὴ συνέχεια δείχνει ὅτι μᾶς μιλάει γιὰ μελλοντικὰ πράγματα. Πῶς λοιπόν, λέγει, ἂν μιλάει γιὰ μελλοντικά, ἔδωσε αὐτὸς τὴν Παλαιὰ Διαθήκη; Περίμενε καὶ μὴ θορυβεῖς, καὶ τότε θὰ δεῖς καθαρὰ τὴ λάμψη τῆς ἀληθειας. Γιατὶ ὅταν τὰ ἔλεγε αὐτά, ὁ νόμος εἶχε δοθεῖ καὶ τὸν εἶχαν παραβεῖ, ἐνῶ ἡ Καινὴ Διαθήκη δὲν εἶχε δοθεῖ ἀκόμη. Αὐτὰ λοιπόν, ἀφοῦ τὰ βάλετε καλὰ στὸ νοῦ σας, νὰ δέχεστε τὴν ἐξήγηση γιὰ ἐκεῖνα ποὺ πολλοὶ προβάλλουν ἀπορίες. «Νά, ἔρχονται ἡμέρες, λέγει ὁ Κύριος», ἐννοώντας τὴ σημερινὴ ἐποχή, «καὶ θὰ συνάψω μαζί σας νέα διαθήκη, ποὺ δὲ θὰ εἶναι ὅμοια μὲ τὴ διαθήκη ἐκείνη ποὺ συνῆψα μὲ τοὺς πατέρες σας»[5].

Ἐρωτῶ τὸν Ἰουδαῖο, ἐρωτῶ τὸν ἀδύνατο στὴν πίστη ἀδελφό, ποιός ἔδωσε τὴ νέα διαθήκη; Ὁπωσδήποτε ὁ καθένας θὰ πεῖ, ὅτι τὴν ἔδωσε ὁ Χριστός. Ἑπομένως ὁ ἴδιος ἔδωσε καὶ τὴν παλαιά. Γιατὶ αὐτὸς ποὺ εἶπε, «θὰ συνάψω νέα διαθήκη, ποὺ δὲ θὰ εἶναι ὅμοια μὲ τὴ διαθήκη ἐκείνη ποὺ συνῆψα», ἔδειξε πὼς καὶ ἐκείνην ὁ ἴδιος τὴ συνῆψε. Ἑπομένως ἕνας εἶναι ὁ νομοθέτης καὶ γιὰ τὶς δύο διαθῆκες. Καὶ πές μου, πότε συνῆψε τὴν παλαιά; «Τὴν ἡμέρα ἐκείνη ποὺ τοὺς πῆρα ἀπὸ τὰ χέρια γιὰ

5. Ἱερ. 38,31–32.

*μένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου». Ἰδὲ πῶς καὶ τὴν εὐκολίαν ἔδειξε τῆς ἐξόδου, καὶ τὴν φιλοστοργίαν τὴν αὐτοῦ, καὶ τὴν ἄδειαν τῆς τότε διεξαγωγῆς, καὶ ὅτι πάντα αὐτὸς ἐθαυματούργει τὰ ἐν Αἰγύπτῳ. Τῷ γὰρ εἰπεῖν, «ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου», τὰ θαύματα πάντα ἐδήλωσεν· ἡ γὰρ ἔξοδος ἐκείνη διὰ τῶν σημείων τῶν παραδόξων ἐκείνων ἐγίνετο.*

*«Καὶ αὐτοὶ οὐκ ἐνέμειναν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος». Ὅτι μὲν οὖν Καινῆς καὶ Παλαιᾶς διαθήκης εἷς ὁ νομοθέτης, ἐντεῦθεν δῆλον. Ἐνταῦθα δὲ εἴ τις ἀκριβῶς κατεῖδε τὸ εἰρημένον, οἶδεν ὅτι οὐ τῆς τυχούσης ἀπορίας γέμει· λέγων γὰρ τὴν αἰτίαν, δι' ἣν μέλλει διδόναι διαθήκην ἑτέραν, καινὴν αὐτὴν εἶπεν, τουτέστι παράδοξον· «διαθήσομαι» γάρ, φησί, «διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν τῇ διαθήκῃ μου· κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος». Καὶ μὴν διὰ τοῦτο αὐτοὺς κολασθῆναι ἔδει, καὶ τὴν ἐσχάτην δοῦναι δίκην, καὶ τιμωρίαν ὑποστῆναι τὴν ἀφόρητον, ὅτι, τοσούτων ἀπολαύσαντες θαυμάτων καὶ νόμον λαβόντες, οὐδαμόθεν ἐγένοντο βελτίους. Ἀλλ' ὧδε μὲν αὐτοὺς οὐκ ἀπαιτεῖ δίκην, ἀλλὰ καὶ μείζονα ἐπαγγέλλεται τῶν προτέρων.*

*Ἔδει μὲν οὖν καὶ σήμερον ἐπαγαγεῖν τῇ διαπορήσει ταύτῃ τὴν λύσιν, ἀλλ' ἐπειδὴ καὶ πρὸς ἕτερον ἡμῖν ὁ λόγος ἐπείγεται καὶ βουλόμεθα ὑμᾶς παιδεύειν, ὥστε μὴ παρ' ἡμῶν πάντα μανθάνειν, ἀλλὰ καὶ οἴκοθεν εὑρίσκειν, τοῦτο ὑμῖν καταλιμπάνω ζητῆσαι καὶ εὑρεῖν. Ἐὰν δὲ ἴδωμεν ζητήσαντας μέν, οὐχ εὑρόντας δέ, τότε καὶ αὐτοὶ χεῖρας ὀρέξομεν· ὥστε δὲ καὶ εὐκολωτέραν ὑμῖν γενέσθαι τὴν εὕρεσιν, καὶ τὰ χωρία τὰ ἀποστολικά, ἐν οἷς μάλιστά ἐστι τὸν*

νὰ τοὺς βγάλω ἀπὸ τὴ χώρα τῆς Αἰγύπτου». Κοίταξε μὲ ποιὸν τρόπο ἔδειξε καὶ τὴν εὐκολία τῆς ἐξόδου, καὶ τὴ δική του φιλοστοργία καὶ τὴν ἀσφάλεια τῆς ἐξόδου ποὺ πραγματοποιήθηκε τότε, καὶ ὅτι ὁ ἴδιος ἔκανε ὅλα τὰ θαύματα στὴν Αἴγυπτο. Γιατὶ μὲ τὸ νὰ πεῖ, «ὅταν τοὺς πῆρα ἀπὸ τὰ χέρια γιὰ νὰ τοὺς βγάλω ἀπὸ τὴ χώρα τῆς Αἰγύπτου», φανέρωσε ὅλα τὰ θαύματα, ἀφοῦ ἡ ἔξοδος ἐκείνη ἔγινε μὲ τὰ παράδοξα ἐκεῖνα θαύματα.

«Καὶ αὐτοὶ δὲν ἔμειναν πιστοὶ στὴ διαθήκη μου, καὶ ἐγὼ τοὺς παραμέλησα, λέγει ὁ Κύριος»[6]. Ὅτι λοιπὸν ἕνας εἶναι ὁ νομοθέτης τῆς νέας καὶ τῆς Παλαιᾶς διαθήκης ἀπὸ ἐδῶ εἶναι φανερό. Ἐδῶ ὅμως ἂν κάποιος κατάλαβε καλὰ αὐτὸ ποὺ λέχθηκε, γνωρίζει πὼς εἶναι γεμάτο ἀπὸ μεγάλη δυσκολία. Γιατὶ λέγοντας τὴν αἰτία γιὰ τὴν ὁποία πρόκειται νὰ δώσει ἄλλη διαθήκη, τὴν εἶπε καινούρια, δηλαδὴ παράδοξη. «Θὰ συνάψω», λέγει, «διαθήκη καινούρια ποὺ δὲ θὰ εἶναι ὅμοια μὲ τὴ διαθήκη ἐκείνη ποὺ συνῆψα μὲ τοὺς πατέρες τους, γιατὶ αὐτοὶ δὲν ἔμειναν πιστοὶ στὴ διαθήκη μου, καὶ ἐγὼ τοὺς παραμέλησα, λέγει ὁ Κύριος». Καὶ γι' αὐτὸ βέβαια ἔπρεπε αὐτοὶ νὰ τιμωρηθοῦν καὶ μάλιστα μὲ τὴ χειρότερη ποινὴ καὶ νὰ ὑποστοῦν τὴν ἀφόρητη τιμωρία, γιατί, ἂν καὶ ἀπόλαυσαν τόσα θαύματα καὶ ἔλαβαν νόμο, ἀπὸ πουθενὰ δὲν ἔγιναν καλύτεροι. Ἐδῶ ὅμως δὲν ἀπαιτεῖ τὴν τιμωρία τους, ἀλλὰ τοὺς ὑπόσχεται καὶ μεγαλύτερα ἀπὸ τὰ προηγούμενα.

Ἔπρεπε λοιπὸν καὶ σήμερα νὰ δώσω τὴν ἐξήγηση σ' αὐτὴ τὴν ἀπορία, ἀλλ' ἐπειδὴ ὁ λόγος μας βιάζεται νὰ φθάσει καὶ σὲ ἄλλο σημεῖο καὶ θέλω νὰ σᾶς διδάξω, ὥστε νὰ μὴ τὰ μαθαίνετε ὅλα ἀπὸ μᾶς, ἀλλὰ νὰ τὰ βρίσκετε καὶ μόνοι σας, αὐτὸ λοιπὸν τὸ ἀφήνω νὰ τὸ ζητήσετε καὶ νὰ τὸ βρεῖτε σεῖς. Ἂν ὅμως δῶ πὼς τὸ ζητήσατε ἀλλὰ δὲ τὸ βρήκατε, τότε καὶ ἐγὼ θὰ σᾶς βοηθήσω. Καὶ γιὰ νὰ βρεῖτε πιὸ εὔκολα τὴν ἐξήγηση, σᾶς λέγω ἀπὸ τώρα τὰ ἀποστολικὰ χωρία, στὰ ὁποῖα κυρίως μπορεῖτε νὰ βρεῖτε τὸ θησαυρὸ καὶ τὴν ἐξήγηση αὐτῆς τῆς ἀπορίας· στὴν πρὸς Ρωμαίους ἐπιστολή, στὴν πρὸς Γαλάτες καὶ

6. Ἱερ. 38,32.

*θησαυρὸν εὑρεῖν καὶ τῆς ἐπαπορήσεως ταύτης τὴν λύσιν, ἤδη ὑμῖν προαγορεύω· ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ καὶ πρὸς Γαλάτας καὶ πρὸς Ἑβραίους, τουτὶ τὸ κεφάλαιον θεὶς διέλυσε. Καὶ ὅσοι φιλόπονοι, δυνήσονται ἐπελθόντες τὰς ἐπιστολὰς τὴν λύσιν φωρᾶσαι ταύτην, ἐὰν τὰς μεταξὺ ταύτας ἡμέρας μὴ συλλόγοις ἀκαίροις μηδὲ ἀδολεσχίαις ἀνονήτοις ἑαυτοὺς δῶτε, ἀλλὰ τῇ μερίμνῃ τῶν εἰρημένων προσηλωμένοι, τὸν θησαυρὸν ἀνορύττητε. Τοῦτο τέως ἄλυτον ἀφέντες, ἐπὶ τὰ ἑξῆς βαδιούμεθα.*

*Τίνα δὲ τὰ ἑξῆς; «Ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι ὑμῖν, λέγει Κύριος· διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. Καὶ οὐ μὴ διδάξουσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι». Εἰπὼν Παλαιὰν διαθήκην, ἣν ἔδωκεν· εἰπὼν καὶ νέαν, ἣν μέλλει διδόναι, ὑπογράφει δὴ καὶ τὴν εὐμορφίαν αὐτῆς, καὶ δείκνυσιν αὐτῆς τοὺς χαρακτῆρας, καὶ τὰ παράσημα ἐπάλληλα τίθησιν, ἵνα μάθῃς πόσον τὸ διάφορον τῆς Καινῆς πρὸς τὴν Παλαιάν, τὸ διάφορον, οὐ τὸ ἐναντίον· πόση ὑπεροχή, πόση ἡ λαμπηδών, πόση ἡ ἀστραπὴ τῶν δωρεῶν καὶ τῆς χάριτος.*

*4. Τίνες οὖν οἱ χαρακτῆρες τῆς Καινῆς; «Διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαις αὐτῶν ἐπιγράψω αὐτούς». Ὁ μὲν γὰρ παλαιὸς νόμος ἐν πλαξὶ λιθίναις ἐγράφη, καὶ ἐπειδὴ αἱ πρῶται συνετρίβησαν πλάκες, ἑτέρας πάλιν ἐκόλαψε, καὶ ἐκεῖ τὰ γράμματα ἐγχαράξας, κατέβαινε Μωϋσῆς, συγγενῆ τῆς ἀναισθησίας τῶν δεχομένων τὴν φύσιν τῶν δέλτων ἔχων. Ἡ δὲ Καινὴ οὐχ οὕτως· οὐ γὰρ πλάκες ἐκολάφθησαν, ὅτε ἡ Καινὴ Διαθήκη ἐδίδοτο, ἀλλὰ πῶς*

στὴν πρὸς Ἑβραίους ἀναφέροντας αὐτὸ ἐδῶ τὸ κεφάλαιο ἔλυσε τὴν ἀπορία. Καὶ ὅσοι εἶναι φιλόπονοι θὰ μπορέσουν, ἀφοῦ διαβάσουν μὲ προσοχὴ τὶς ἐπιστολές, νὰ συλλάβουν αὐτὴ τὴν ἐξήγηση, ἂν στὶς ἐνδιάμεσες αὐτὲς ἡμέρες δὲν παραδοθεῖτε σὲ ἄκαιρες συγκεντρώσεις καὶ σὲ ἄχρηστες φλυαρίες, ἀλλὰ σκάβετε γιὰ τὸ θησαυρό, προσηλωμένοι στὴ φροντίδα γιὰ ὅσα ἔχουν λεχθεῖ. Ἀφήνοντας τώρα αὐτὸ ἄλυτο, θὰ προχωρήσουμε στὰ ἑπόμενα.

Καὶ ποιά εἶναι τὰ ἑπόμενα; «Γιατὶ αὐτὴ εἶναι ἡ διαθήκη ποὺ θὰ συνάψω μαζί σας, λέγει ὁ Κύριος. Θὰ δώσω νόμους κατανοητοὺς στὴ διάνοιά τους καὶ θὰ τοὺς γράψω στὶς καρδιές τους. Καὶ δὲ θὰ διδάξει ὁ καθένας τὸ συμπολίτη του καὶ ὁ ἀδελφὸς τὸν ἀδελφό του λέγοντας, 'γνώρισε τὸν Κύριο', γιατὶ ὅλοι θὰ μὲ γνωρίσουν ἀπὸ τὸ μικρὸ ὡς τὸ μεγάλο, ἐπειδὴ θὰ εἶμαι γεμάτος ἔλεος γιὰ τὶς ἀδικίες τους καὶ δὲ θὰ θυμηθῶ πιὰ τὶς ἁμαρτίες καὶ τὶς ἀνομίες τους»[7]. Ἀφοῦ ὀνόμασε παλαιὰ διαθήκη αὐτὴν ποὺ ἔδωσε καὶ νέα αὐτὴν ποὺ πρόκειται νὰ δώσει, περιγράφει καὶ τὴν ὀμορφιά της καὶ δείχνει τὰ γνωρίσματά της, θέτοντας τὰ διακριτικὰ σύμβολα τὸ ἕνα μετὰ τὸ ἄλλο, γιὰ νὰ μάθεις πόση εἶναι ἡ διαφορὰ τῆς νέας ἀπὸ τὴν παλαιὰ διαθήκη, ἡ διαφορὰ καὶ ὄχι ἡ ἀντίθεση· πόση εἶναι ἡ ὑπεροχή, πόση ἡ λάμψη, πόση ἡ ἀκτινοβολία τῶν δωρεῶν καὶ τῆς χάρης.

4. Ποιά λοιπὸν εἶναι τὰ γνωρίσματα τῆς καινῆς διαθήκης; «Θὰ δώσω τοὺς νόμους μου στὴ διάνοιά τους καὶ θὰ τοὺς γράψω στὶς καρδιές τους». Ὁ παλαιὸς νόμος γράφηκε σὲ λίθινες πλάκες καὶ ἐπειδὴ οἱ πρῶτες πλάκες ἔσπασαν, χάραξε πάλι ἄλλες, καὶ ἀφοῦ σκάλισε ἐκεῖ τὰ γράμματα κατέβαινε ὁ Μωυσῆς κρατώντας τὶς λίθινες πλάκες ποὺ ἦταν τὸ ἴδιο ἀναίσθητες ὅπως αὐτοὶ ποὺ τὶς δέχονταν. Ἡ καινὴ ὅμως δὲν ἔγινε ἔτσι. Γιατὶ δὲ χαράχθηκαν πλάκες ὅταν δινόταν ἡ καινὴ διαθήκη, ἀλλὰ πῶς καὶ μὲ ποιόν τρόπο; Ἄκου τὸ Λουκᾶ ποὺ διηγεῖται

7. Ἱερ. 38,33–34.

*καὶ τίνι τρόπῳ; Ἄκουε τοῦ Λουκᾶ διηγουμένου· «ἦσαν πάντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό», φησί· «καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ φωνὴ ὡσεὶ φερομένης πνοῆς βιαίας· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός· ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν Πνεύματος ἁγίου, καὶ ἤρξαντο φθέγγεσθαι γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς».*

*Ὁρᾷς πῶς τοῦτο ἄνωθεν ὁ προφήτης σαφῶς προανεφώνησεν, οὕτως εἰπών· «διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαις αὐτῶν ἐπιγράψω αὐτούς». Ἡ γὰρ τοῦ Πνεύματος χάρις ἡ παρὰ τοῦ Θεοῦ δοθεῖσα ταῖς διανοίαις αὐτῶν ἐγκαθῆσθαι, στήλας αὐτοὺς ἐποίησεν ἐμψύχους...καὶ τῇ διανοίᾳ ἐπισκιάζει τῇ δόξῃ αὐτοῦ· διὸ καὶ ἔλεγεν, ὅτι ἀπεστάλη κηρύττειν, «οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ»· καὶ πάλιν, «ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου»· καὶ ἄνω καὶ κάτω τὸν σταυρὸν περιστρέφει. «Ἐπειδὴ γάρ», φησίν, «Ἰουδαῖοι σημεῖα αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύττομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί»· μωρὸν Θεοῦ καὶ ἀσθενὲς Θεοῦ τὸν σταυρὸν ὀνομάζων, οὐκ ἐπειδὴ μωρόν· τί γὰρ τούτου σοφώτερον; οὐδὲ ἐπειδὴ ἀσθενές· τί γὰρ τούτου ἰσχυρότερον; ἀλλὰ τὴν τῶν ἀπίστων ὑπόνοιαν ἀπαγγέλλων, ἣν εἶχον περὶ τοῦ πράγματος. Διὸ καὶ ἀνωτέρω ἔλεγεν· «ὁ λόγος γὰρ ὁ*

8. Πράξ. 2,1–4.
9. Στὸ σημεῖο αὐτὸ τὸ κείμενο παρουσιάζει κάποιο κενό.

καὶ λέγει· «ἦταν ὅλοι μαζὶ στὸ ἴδιο μέρος», λέγει, «καὶ ξαφνικὰ ἦρθε ἀπὸ τὸν οὐρανὸ φωνὴ σὰν νὰ φυσοῦσε δυνατὸς ἄνεμος. Καὶ παρουσιάσθηκαν γλῶσσες σὰν φλόγες φωτιᾶς διαμοιραζόμενες σ' αὐτοὺς καὶ κάθισε στὸν καθένα τους μία, καὶ γέμισαν ἀπὸ ἅγιο Πνεῦμα καὶ ἄρχισαν νὰ μιλοῦν γλῶσσες, καθὼς τὸ Πνεῦμα τοὺς ἔδινε δύναμη λόγου»[8].

Βλέπεις πῶς αὐτὸ τὸ προανήγγειλε μὲ ἀκρίβεια ἀπὸ τὴν ἀρχὴ ὁ προφήτης λέγοντας αὐτά· «θὰ δώσω τοὺς νόμους μου στὴ διάνοιά τους καὶ θὰ τοὺς γράψω στὶς καρδιές τους». Γιατὶ ἡ χάρη τοῦ Πνεύματος ποὺ δόθηκε ἀπὸ τὸ Θεὸ νὰ καθίσει στὶς διάνοιές τους, τοὺς ἔκαμε ἔμψυχες στῆλες[9]... καὶ μὲ τὴ διάνοια ἐπισκιάζει τὴ δόξα του. Γι' αὐτὸ καὶ ἔλεγε ὅτι στάθηκε νὰ κηρύττει «ὄχι μὲ σοφία ρητορική, γιὰ νὰ μὴ χάσει τὴ δύναμή του ὁ σταυρὸς τοῦ Χριστοῦ»[10]. Καὶ πάλι λέγει, «μώρανε ὁ Θεὸς τὴ σοφία τοῦ κόσμου αὐτοῦ»[11], καὶ παντοῦ ἀναφέρει τὸ σταυρό. «Ἐπειδὴ οἱ Ἰουδαῖοι θέλουν θαύματα», λέγει, «καὶ οἱ Ἕλληνες ζητοῦν σοφία, ἐμεῖς ὅμως κηρύττουμε Χριστὸ σταυρωμένο, ποὺ εἶναι γιὰ τοὺς Ἰουδαίους σκάνδαλο, ἐνῶ γιὰ τοὺς ἐθνικοὺς μωρία, ἀλλὰ γιὰ ἐκείνους ποὺ εἶναι καλεσμένοι, Ἰουδαίους καὶ Ἕλληνες, ὁ Χριστὸς εἶναι δύναμη Θεοῦ καὶ σοφία Θεοῦ. Γιατὶ ἐκεῖνο ποὺ θεωρεῖται μωρία τοῦ Θεοῦ, εἶναι πιὸ σοφὸ ἀπὸ τὴ σοφία τοῦ ἀνθρώπου, καὶ ἐκεῖνο ποὺ θεωρεῖται ἀδυναμία τοῦ Θεοῦ, εἶναι πιὸ δυνατὸ ἀπὸ τὴ δύναμη τῶν ἀνθρώπων»[12]. Ὀνομάζει μωρία τοῦ Θεοῦ καὶ ἀδυναμία τοῦ Θεοῦ τὸ σταυρό, ὄχι γιατὶ εἶναι μωρία (γιατὶ τί εἶναι πιὸ σοφὸ ἀπ' αὐτόν;), οὔτε γιατὶ εἶναι ἀδυναμία (γιατὶ τί εἶναι πιὸ δυνατὸ ἀπ' αὐτόν;), ἀλλὰ γιὰ νὰ κάνει γνωστὴ τὴν σκέψη ποὺ εἶχαν οἱ ἄπιστοι γιὰ τὸ πράγμα αὐτό. Γι' αὐτὸ καὶ παραπάνω ἔλεγε· «τὸ κήρυγμα γιὰ τὸ σταυρὸ

---

10. Α' Κορ. 1,17.
11. Α' Κορ. 1,20.
12. Α' Κορ. 1,22-25.

τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις δύναμις Θεοῦ ἐστιν».

Ἀλλ' οὐκ ἀπὸ τῶν ἀπολλυμένων δεῖ φέρειν τῶν πραγμάτων τὰς κρίσεις· ἐπεὶ καὶ οἱ νοσοῦντες τὸ μέλι πικρὸν εἶναι νομίζουσιν, ἀλλὰ τοῦτο τῆς νόσου τὸ ἔγκλημα, οὐ τοῦ μέλιτος ἡ κατηγορία. Οὕτω δὴ καὶ ὁ σταυρὸς μωρὸν πρᾶγμα δοκεῖ τοῖς ἔξωθεν εἶναι, ἀλλ' οὐκ ἔστιν. Εἶτα ἀποδεικνύς, ὅτι οὐ μόνον οὐκ ἔστι μωρόν, ἀλλὰ καὶ σφόδρα σοφὸν τὸ πρᾶγμα, οὐδὲ μόνον οὐκ ἀσθενές, ἀλλὰ καὶ σφόδρα ἰσχυρόν, παραβάλλει τὰ ἐξ αὐτοῦ κατορθώματα καὶ τῇ κτίσει καὶ τῇ παλαιᾷ καὶ τῇ ἔξωθεν σοφίᾳ· καὶ δείκνυσιν, ὅτι ἅπερ οὔτε ἡ ἔσωθεν σοφία εὗρεν ἢ ἡ ἔξωθεν, οὔτε παρὰ τῆς κτίσεως ἔμαθον πολλοὶ τῶν ἀνθρώπων, οὔτε παρὰ τῆς Παλαιᾶς ἐκέρδαναν, ταῦτα τὸ δοκοῦν εἶναι τοῦτο μωρὸν καὶ ἀσθενὲς ἴσχυσε, τὸ δοκοῦν, οὐ τὸ ὄν.

Διόπερ, ἔχων τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν, μετὰ πολλῆς ἀποδύεται τῆς παρρησίας, πρῶτον κατὰ τῆς ἔξω σοφίας, λέγων, «ποῦ σοφός;». Τί ἐστι, «ποῦ σοφός;» Ὡσανεὶ ἔλεγεν· ποῦ τὰ τῶν φιλοσόφων; ποῦ τὰ τῶν λογογράφων; Οἴχεται πάντα καὶ ἀπόλωλε καὶ ἐκποδὼν γέγονεν. Οὕτω γὰρ λαμπρὰ γέγονεν ἡ νίκη, ὡς μηδὲ φαίνεσθαι λοιπὸν τὰ ἐκείνων. Διὰ τοῦτο τούτων οὕτως ἀφανῶν γενομένων καὶ καθάπερ κόνεώς τινος ἀναρριπισθείσης, οὕτως ἐρωτᾷ καί φησι· «ποῦ σοφός;» Ἐφάνη σταυρός, καὶ πάντα ἐκεῖνα ἐλύθη· ἤχησε τὸ κήρυγμα, καὶ ἀράχνης εὐτελέστερον διεσπάσθη. «Ποῦ σοφός;» Ποῦ τῶν ρημάτων ὁ κόμπος; ποῦ τῆς εὐγλωττίας τὸ κάλλος; ποῦ τῶν σοφισμάτων ἡ δεινότης; ποῦ τῶν λόγων ἡ ρύμη; ποῦ ἡ γλῶττα ἡ ἠκονημένη; ποῦ οἱ σύλλογοι καὶ τὰ συνέ-

13. Α' Κορ. 1,18.

γιὰ ἐκείνους ποὺ χάνονται εἶναι μωρία, ἐνῶ γιὰ ἐκείνους ποὺ σώζονται εἶναι δύναμη Θεοῦ»[13].

Ἀλλὰ δὲν πρέπει νὰ ἐκφέρουμε τὶς κρίσεις μας γιὰ τὰ πράγματα ἀπὸ ἐκείνους ποὺ χάνονται, γιατὶ καὶ οἱ ἄρρωστοι νομίζουν πὼς τὸ μέλι εἶναι πικρό· αὐτὸ ὅμως ἔχει τὴν αἰτία στὴν ἀρρώστια καὶ δὲν ὀφείλεται στὸ μέλι. Ἔτσι ἀκριβῶς καὶ ὁ σταυρὸς φαίνεται πὼς εἶναι ἀνόητο πράγμα στοὺς ἄπιστους, ἀλλὰ δὲν εἶναι. Στὴ συνέχεια γιὰ νὰ δείξει ὅτι ὄχι μόνο δὲν εἶναι ἀνόητο ἀλλὰ καὶ πάρα πολὺ σοφὸ τὸ πράγμα, καὶ ὄχι μόνο δὲν εἶναι ἀδύνατο ἀλλὰ καὶ πάρα πολὺ ἰσχυρό, συγκρίνει τὰ κατορθώματα ποὺ προέρχονται ἀπ' αὐτὸν μὲ τὴ δημιουργία, μὲ τὴν Παλαιὰ Διαθήκη καὶ τὴν εἰδωλολατρικὴ σοφία. Καὶ ἀποδεικνύει ὅτι ἐκεῖνα ποὺ δὲ βρῆκε οὔτε ἡ ἰουδαϊκὴ οὔτε ἡ εἰδωλολατρικὴ σοφία, ποὺ πολλοὶ ἄνθρωποι δὲν τὰ ἔμαθαν ἀπὸ τὴ δημιουργία, οὔτε τὰ κέρδισαν ἀπὸ τὴν Παλαιὰ Διαθήκη, αὐτὰ τὰ ἐπέτυχε ἐκεῖνο ποὺ φαινόταν πὼς εἶναι ἀνόητο καὶ ἀδύνατο, ἐκεῖνο ποὺ φαινόταν, ὄχι ἐκεῖνο ποὺ ἦταν.

Γι' αὐτὸ ἀκριβῶς, ἔχοντας τὴν ἀπόδειξη ἀπὸ τὰ πράγματα, στρέφεται μὲ πολλὴ παρρησία πρῶτα ἐναντίον τῆς εἰδωλολατρικῆς σοφίας λέγοντας, «ποῦ εἶναι ὁ σοφός;»[14]. Τί σημαίνει, «ποῦ εἶναι ὁ σοφός;». Σὰν νὰ ἔλεγε· ποῦ εἶναι τὰ ἔργα τῶν φιλοσόφων; ποῦ τὰ ἔργα τῶν ρητόρων; ποῦ τὰ ἔργα τῶν σοφιστῶν; ποῦ εἶναι τὰ ἔργα τῶν λογογράφων; Καταστράφηκαν ὅλα καὶ χάθηκαν καὶ ἐξαφανίσθηκαν. Τόσο λαμπρὴ δηλαδὴ ἦταν ἡ νίκη, ὥστε δὲ φαίνονται πιὰ τὰ ἔργα τους. Γι' αὐτό, ἀφοῦ ἐκεῖνοι ἐξαφανίσθηκαν τόσο πολύ, καὶ μάλιστα σὰν σκόνη ποὺ παρασύρθηκε ἀπὸ τὸν ἄνεμο, ἐρωτᾶ ἔτσι καὶ λέγει, «ποῦ εἶναι ὁ σοφός;». Φάνηκε ὁ σταυρὸς καὶ ὅλα ἐκεῖνα διαλύθηκαν· ἀκούσθηκε τὸ κήρυγμα καὶ κομματιάστηκαν πιὸ εὔκολα ἀπὸ τὸν ἱστὸ τῆς ἀράχνης. «Ποῦ εἶναι ὁ σοφός;». Ποῦ εἶναι ἡ καύχηση τῶν λόγων; ποῦ ἡ ὀμορφιὰ τῆς εὐγλωττίας; ποῦ ἡ δεινότητα τῶν σοφισμάτων; ποῦ ἡ ὁρμητικότητα τῶν λόγων; ποῦ ἡ ἀκονισμένη γλώσσα; ποῦ εἶναι οἱ συγκεντρώσεις καὶ τὰ συνέδρια;

14. Α' Κορ. 1,20.

*δρια; Πάντα ἐκεῖνα παρεσύρη καὶ ἀπώλετο καὶ διεφθάρη καὶ οἴχεται καὶ νῶτα ἔδωκε.*

*«Ποῦ γραμματεύς;». Ποῦν τὰ Ἰουδαίων, φησί; κἀκείνων ἐκράτησε τὸ κήρυγμα, καὶ καθάπερ ἥλιος σκιὰν ἀπέκρυψεν. Ἃ γὰρ οὐκ ἴσχυσεν ἐν τοσούτῳ χρόνῳ ὁ νόμος ἐν ἔθνει ἑνί, ταῦτα μετὰ πλείονος τῆς περιουσίας ὁ σταυρὸς πανταχοῦ κατώρθωσεν, ἁμαρτήματα λύσας, δικαιοσύνην χαρισάμενος, ἁγίους τοὺς ἀνθρώπους κατασκευάσας, θεογνωσίαν παιδεύσας, πρὸς τὸν οὐρανὸν χειραγωγήσας. Εἶτα πάλιν ἀφεὶς τὰ Ἰουδαϊκά, ἐπὶ τὰ Ἑλληνικὰ ἔρχεται· «ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;». Τοὺς αἱρετικοὺς ἐνταῦθα αἰνίττεται καὶ συλλογιστικούς, οἳ πρὸ μὲν τούτων ξιφῶν ἦσαν ὀξύτεροι, ἐπειδὴ δὲ ὁ σταυρὸς ἐφάνη, πηλοῦ παντὸς ἀσθενέστερον διεκόπησαν. «Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;». Πάλιν πρὸς τὴν ἑλληνικὴν ἀποδύεται. Τί ἐστιν, «ἐμώρανεν»; Μωρὰν οὖσαν ἀπέφηνεν· ἦν μὲν γάρ.*

*«Καὶ αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι». Ἀλλ᾽ ὁ μὲν προφήτης τῆς Παλαιᾶς τὴν φαιδρότητα ἡμῖν ὑπογράφει, ὁ δὲ ἀπόστολος, ἐπειδὴ πρὸς Ἰουδαίους ἐμάχετο, παράλληλα ἑκάτερα τίθησιν· ἄνω μὲν εἰπών, «οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ᾽ ἐν πλαξὶ καρδίας σαρκίναις», ἐνταῦθα δέ, «οὐ γράμματος, ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ».*

*5. Ἐν σαββάτῳ συνέλεξέ τις ξύλα καὶ ἐλιθάσθη. Εἶδες πῶς τὸ γράμμα ἀποκτείνει, τουτέστιν, ὁ νόμος ἐκόλαζε; μάθε πῶς τὸ πνεῦμα ζωοποιεῖ. Εἰσέρχεταί τις μυρίων γέμων κακῶν, ἡταιρηκώς, ἁρπάσας, πλεονεκτήσας, μοιχεύσας, πᾶσαν ἐπελθὼν κακίαν, νεκρωθεὶς ἤδη τῇ ἁμαρτίᾳ· λαμβάνει αὐτὸν ἡ τοῦ Πνεύματος χάρις*

15. Ἱερ. 38,34.

Ὅλα ἐκεῖνα παρασύρθηκαν καὶ χάθηκαν, καταστράφηκαν καὶ ἐξαφανίσθηκαν καὶ διαλύθηκαν.

«Ποῦ εἶναι ὁ γραμματέας;». Ποῦ εἶναι, λέγει, τὰ ἔργα τῶν Ἰουδαίων; Καὶ σ' αὐτὰ κυριάρχησε τὸ κήρυγμα καὶ τὰ ἔκρυψε ὅπως ὁ ἥλιος τὴ σκιά. Γιατὶ ἐκεῖνα ποὺ δὲν κατόρθωσε σὲ τόσο χρόνο ὁ νόμος σ' ἕνα ἔθνος, αὐτὰ τὰ ἐπέτυχε μὲ περισσότερη εὐκολία ὁ σταυρὸς παντοῦ, ἀφοῦ συγχώρησε ἁμαρτήματα, χάρισε δικαιοσύνη, ἔκαμε ἁγίους τοὺς ἀνθρώπους, δίδαξε τὴ θεογνωσία, καὶ ὁδήγησε στὸν οὐρανό. Ἔπειτα πάλι ἀφήνοντας τὰ σχετικὰ μὲ τοὺς Ἰουδαίους ἔρχεται στοὺς Ἕλληνες. «Ποῦ εἶναι ὁ συζητητὴς τοῦ κόσμου αὐτοῦ;». Ἐδῶ ὑπαινίσσεται τοὺς αἱρετικοὺς καὶ ἐκείνους ποὺ χρησιμοποιοῦν τοὺς συλλογισμούς, οἱ ὁποῖοι πρὶν ἀπ' αὐτὰ ἦταν πιὸ κοφτεροὶ ἀπὸ τὰ ξίφη, ἀλλὰ ὅταν φάνηκε ὁ σταυρὸς διαλύθηκαν πιὸ εὔκολα ἀπὸ τὸν πηλό. «Δὲ μώρανε ὁ Θεὸς τὴ σοφία τοῦ κόσμου αὐτοῦ;». Πάλι στρέφεται ἐναντίον τῆς ἑλληνικῆς σοφίας. Τί σημαίνει, «μώρανε»; Ἀπέδειξε πὼς εἶναι ἀνόητη· γιατὶ πραγματικὰ ἦταν.

«Αὐτοὺς λοιπὸν καὶ τὶς ἁμαρτίες τους καὶ τὶς ἀνομίες τους δὲ θὰ τὰ θυμηθῶ πιά». Ὁ προφήτης δηλαδὴ τῆς Παλαιᾶς Διαθήκης μᾶς περιγράφει τὴ φαιδρὴ ὄψη, ἐνῶ ὁ ἀπόστολος, ἐπειδὴ ἀγωνιζόταν ἐναντίον τῶν Ἰουδαίων, τὰ ἀναφέρει καὶ τὰ δύο τὸ ἕνα κοντὰ στὸ ἄλλο, λέγοντας πρῶτα, «ὄχι σὲ λίθινες πλάκες, ἀλλὰ στὶς σαρκικὲς πλάκες τῆς καρδιᾶς», καὶ ὕστερα, «ὄχι γραπτοῦ νόμου, ἀλλὰ τοῦ Πνεύματος, γιατὶ ὁ γραπτὸς νόμος θανατώνει, ἐνῶ τὸ Πνεῦμα δίνει ζωή»[16].

5. Τὸ Σάββατο μάζεψε κάποιος ξύλα καὶ λιθοβολήθηκε. Εἶδες πῶς θανατώνει τὸ γράμμα, δηλαδὴ πῶς τιμωροῦσε ὁ νόμος; Μάθε μὲ ποιὸν τρόπο δίνει ζωὴ τὸ Πνεῦμα. Ἔρχεται κάποιος ποὺ εἶναι γεμάτος ἄπειρα κακά, ποὺ εἶναι κίναιδος, ἅρπαγας, πλεονέκτης, μοιχός, ποὺ ἔκαμε κάθε κακία καὶ νεκρώθηκε πιὰ ἀπὸ τὴν ἁμαρτία. Τὸν παίρνει ἡ χάρη τοῦ Πνεύματος στὴν κο-

16. Β' Κορ. 3,3·6.

*εἰς τὴν κολυμβήθραν, καὶ τὸν ἠταιρηκότα υἱὸν Θεοῦ κατασκευάζει, καὶ τὸν νεκρωθέντα ταῖς ἁμαρτίαις ζωογονεῖ. Τοῦτό ἐστι, «τὸ δὲ πνεῦμα ζωοποιεῖ». Πῶς δὲ ζωοποιεῖ; Οὐκ ἀπαιτῶν εὐθύνας τῶν πλημμελημάτων κατὰ τὸ τοῦ προφήτου· «ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι».*

*Ἐρώτησον πάλιν τὸν Ἰουδαῖον, ποῦ τοῦτο γέγονεν ἐν τῷ νόμῳ; Ἀλλ' οὐκ ἂν ἔχοι δεῖξαι. Καὶ γὰρ καὶ ὁ τὰ ξύλα συλλέξας ἐλιθάζετο, καὶ ἡ πορνεύουσα κατεκαίετο, καὶ Μωυσῆς διὰ μίαν ἁμαρτίαν τῆς γῆς τῆς ἐπαγγελίας ἐξέπεσεν· ἐπὶ δὲ τῆς χάριτος οἱ μυρία ἐργασάμενοι δεινά, τοῦ βαπτίσματος ἀπολαύοντες ζωογονοῦνται, καὶ οὐδεμίαν ἀπαιτοῦνται δίκην τῶν πλημμελημάτων. Διὸ καὶ ὁ Παῦλος ἔλεγε· «μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὐ μοιχοί, οὐ κλέπται, οὐ πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσι. Καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν». Εἶδες πῶς λάμπει τὸ προφητικόν, ὅτι «ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν»; πῶς ἀστράπτει τὸ ἀποστολικόν, ὅτι «τὸ πνεῦμα ζωοποιεῖ»;*

*Βούλει μαθεῖν καὶ τὸ ἕτερον, τὸν ἀπόστολον Παῦλον λέγοντα, πῶς ἐν βραχείᾳ χρόνου ῥοπῇ τὴν οἰκουμένην περιῆλθεν ἅπασαν; ἄκουσον αὐτοῦ λέγοντος· «ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον»· καὶ πάλιν, «νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ ἰδεῖν ὑμᾶς, ὡς, ἐὰν πορεύσωμαι εἰς τὴν Ἱσπανίαν, ἐλπίζω θεά-*

17. Α' Κορ. 6,9–11.
18. Ρωμ. 15,19.

λυμβήθρα, καὶ τὸν κίναιδο τὸν καθιστᾶ υἱὸ τοῦ Θεοῦ, καὶ τὸ νεκρὸ ἀπὸ τὶς ἁμαρτίες τὸν ζωογονεῖ. Αὐτὸ σημαίνει, «τὸ Πνεῦμα δίνει ζωή». Καὶ μὲ ποιόν τρόπο δίνει ζωή; Ὄχι μὲ τὸ νὰ ζητάει εὐθύνες γιὰ τὰ παραπτώματα, σύμφωνα μὲ τὰ λόγια τοῦ προφήτη· «θὰ εἶμαι γεμάτος ἔλεος γιὰ τὶς ἀδικίες τους, καὶ δὲ θὰ θυμηθῶ πιὰ τὶς ἁμαρτίες καὶ τὶς ἀνομίες τους».

Ρώτησε πάλι τὸν Ἰουδαῖο, ποῦ ἔγινε αὐτὸ στὸ νόμο; Ἀλλὰ δὲ θὰ μποροῦσε νὰ δείξει κάτι τέτοιο. Γιατὶ καὶ ἐκεῖνος ποὺ μάζεψε τὰ ξύλα λιθοβολοῦνταν, καὶ ἡ πόρνη καιγόταν, καὶ ὁ Μωυσῆς γιὰ μία ἁμαρτία ἔχασε τὴ γῆ τῆς ἐπαγγελίας. Στὴν περίπτωση τῆς χάρης ὅμως ἐκεῖνοι ποὺ ἔπραξαν ἄπειρα κακά, ἀπολαμβάνοντας τὸ βάπτισμα ζωογονοῦνται καὶ δὲν τιμωροῦνται καθόλου γιὰ τὰ ἁμαρτήματά τους. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «μὴν πλανιέστε· οὔτε πόρνοι, οὔτε θηλυπρεπεῖς, οὔτε ἀρσενοκοῖτες, οὔτε μοιχοί, οὔτε κλέφτες, οὔτε πλεονέκτες, οὔτε μέθυσοι, οὔτε ὑβριστές, οὔτε ἅρπαγες θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ. Τέτοιοι ἤσαστε μερικοί, ἀλλὰ λουσθήκατε, ἁγιασθήκατε, λάβατε δικαίωση στὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ καὶ τοῦ Πνεύματος τοῦ Θεοῦ μας»[17]. Εἶδες μὲ ποιόν τρόπο λάμπει τὸ προφητικό, «θὰ εἶμαι γεμάτος ἔλεος γιὰ τὶς ἀδικίες τους»; μὲ ποιόν τρόπο ἀστράφτει τὸ ἀποστολικό, «τὸ Πνεῦμα δίνει ζωή»;

Θέλεις νὰ μάθεις καὶ τὸ ἄλλο ποὺ ὁ ἀπόστολος Παῦλος λέγει, πῶς δηλαδὴ σὲ μικρὸ χρονικὸ διάστημα γύρισε ὅλη τὴν οἰκουμένη; ἄκουσε τὸν ἴδιο ποὺ λέγει· «ὥστε ἀπὸ τὰ Ἰεροσόλυμα μέχρι τὸ Ἰλλυρικὸ νὰ ἔχω συμπληρώσει τὸ Εὐαγγέλιο»[18]. Καὶ πάλι λέγει· «τώρα ὅμως ἐπειδὴ δὲν ἔχω ἔργο πιὰ στὰ μέρη αὐτὰ καὶ ἔχω ζωηρὴ ἐπιθυμία νὰ σᾶς δῶ, γι' αὐτό, ἂν μεταβῶ στὴν Ἱσπανία, ἐλπίζω νὰ σᾶς δῶ, ἀφοῦ πρῶτα σᾶς ἀπολαύσω γιὰ λίγο»[19]. Ἂν ὅμως ἕνας ἀπόστολος μέσα σὲ μικρὸ χρονικὸ

---

19. Ρωμ. 15,23–24.

*σασθαι ὑμᾶς, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ». Εἰ δὲ εἷς ἀπόστολος ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πλέον τῆς οἰκουμένης διέδραμεν, ἐννόησον πῶς καὶ ἄλλοι ἅπασαν αὐτὴν ἐσαγήνευσαν. Διὸ καὶ ἔλεγε· «τοῦ εὐαγγελίου τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν»· τὸ προφητικὸν ἐκεῖνο ἑρμηνεύων, «ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν».*

*Ἀλλ' ὅτι μὲν τὸν νόμον ὁ Χριστὸς ἔδωκεν, ἀπὸ τούτων δῆλον· καὶ ὅτι σφαγέντες ὑπὲρ τοῦ νόμου, ὑπὲρ τοῦ νομοθέτου τὸ αἷμα ἐξέχεον, καὶ τοῦτο σαφές· παρακαλῶ δὲ λοιπὸν τὴν ὑμετέραν ἀγάπην μετὰ πολλῆς τῆς προθυμίας εἰς τὴν πανήγυριν ἀπαντῆσαι· καθάπερ μέλισσαι τῶν σίμβλων ἐκπηδήσατε ἐπὶ τὰ τραύματα τῶν μαρτύρων, καὶ περιπτύξασθε αὐτῶν τὰς βασάνους, μηδὲν πρὸς τὸ τῆς ὁδοῦ κατοκνήσαντες μῆκος. Εἰ γὰρ γέρων ὁ Ἐλεάζαρος πυρὸς κατετόλμησε, καὶ ἡ μήτηρ τῶν μακαρίων ἐκείνων ἐν ἐσχάτῳ γήρᾳ τοσαύτας ὑπέμεινεν ὀδύνας, ποίαν ἂν σχοίητε ἀπολογίαν, ποίαν συγγνώμην, μηδὲ ὀλίγους σταδίους διαπερῶντες ὑπὲρ τῆς θεωρίας τῶν παλαισμάτων ἐκείνων;*

διάστημα διέτρεξε τὸ περισσότερο μέρος τῆς οἰκουμένης, σκέψου πῶς καὶ ἄλλοι ἀπόστολοι τὴν ἔπιασαν ὁλόκληρη στὰ δίχτυα τους. Γι' αὐτὸ καὶ ἔλεγε, «τὸ Εὐαγγέλιο ποὺ κηρύχθηκε σὲ ὅλη τὴν κτίση ποὺ βρίσκεται κάτω ἀπὸ τὸν οὐρανό»[20], ἑρμηνεύοντας τὸ λόγο τοῦ προφήτη, «γιατὶ ὅλοι θὰ μὲ γνωρίσουν ἀπὸ τὸν μικρὸ μέχρι τὸν μεγάλο».

Τὸ ὅτι λοιπὸν ὁ Χριστὸς ἔδωσε τὸ νόμο, εἶναι φανερὸ ἀπ' αὐτά· τὸ ὅτι πάλι ἔχυναν τὸ αἷμα τους γιὰ χάρη τοῦ νομοθέτη, σφαζόμενοι γιὰ χάρη τοῦ νόμου, καὶ αὐτὸ εἶναι ὁλοφάνερο. Παρακαλῶ ὅμως τώρα τὴν ἀγάπη σας νὰ ἔρθετε μὲ πολλὴ προθυμία στὴν πανήγυρη[21]. Σὰν μέλισσες πηδῆστε ἔξω ἀπὸ τὶς κυψέλες σας ἐπάνω στὰ τραύματα τῶν μαρτύρων, καὶ ἀγκαλιάστε τὰ βασανιστήριά τους, μὴ διστάζοντας καθόλου ἀπὸ τὸ μῆκος τοῦ δρόμου. Γιατί, ἂν ὁ Ἐλεάζαρος, ποὺ ἦταν γέροντας, περιφρόνησε τὴ φωτιά, καὶ ἡ μητέρα τῶν μακαρίων ἐκείνων ὑπέφερε τόσους πολλοὺς πόνους στὰ βαθιὰ γηρατειά, ποιά δικαιολογία μπορεῖτε νὰ ἔχετε, ποιά συγγνώμη, μὴ θέλοντας νὰ βαδίσετε λίγα στάδια γιὰ νὰ δεῖτε τὰ ἀγωνίσματα ἐκεῖνα;

20. Κολ. 1,23.
21. Ἡ Ἐκκλησία μας τιμάει τὴ μνήμη τοῦ Ἐλεάζαρου καὶ τῶν ἑπτὰ Μακκαβαίων τὴν 1η Αὐγούστου.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΠΗΓΕ Η ΒΑΣΙΛΙΣΣΑ ΜΕΣΑΝΥΧΤΑ ΣΤΗ ΜΕΓΑΛΗ ΕΚΚΛΗΣΙΑ

**καὶ ἀπὸ ἐκεῖ σήκωσε τὰ λείψανα τῶν μαρτύρων καὶ τὰ συνόδευσε μέσα ἀπ' ὅλη τὴν ἀγορὰ μέχρι τὴ Δρυπία, μαρτύριο ποὺ ἀπέχει ἐννέα μίλια ἀπὸ τὴν πόλη. Ἐκφωνήθηκε στὸ μαρτύριο, παρουσία τῆς βασίλισσας καθὼς καὶ ὅλης τῆς πόλεως καὶ τῶν ἀρχόντων**



# *ΟΜΙΛΙΑ*

## *ΤΗΣ ΒΑΣΙΛΙΔΟΣ ΜΕΣΟΝ ΝΥΚΤΩΝ ΕΙΣ ΜΕΓΑΛΗΝ ΕΚΚΛΗΣΙΑΝ ΠΡΟΣΕΛΘΟΥΣΗΣ*

*κἀκεῖθεν τὰ λείψανα τῶν μαρτύρων ἀραμένης, καὶ προπεμψάσης διὰ πάσης τῆς ἀγορᾶς ἕως Δρυπίας, τοῦ μαρτυρίου ἀπέχοντος θ' σημεῖα τῆς πόλεως· ἐλέχθη ἐν τῷ μαρτυρίῳ ἡ προσομιλία, παρούσης αὐτῆς καὶ τῆς πόλεως πάσης καὶ τῶν ἀρχόντων.*

*1. Τί εἴπω καὶ τί λαλήσω; σκιρτῶ καὶ μαίνομαι μανίαν σωφροσύνης βελτίονα· πέτομαί καὶ χορεύω καὶ μετάρσιος φέρομαι καὶ μεθύω λοιπὸν ὑπὸ τῆς ἡδονῆς ταύτης τῆς πνευματικῆς. Τί εἴπω καὶ τί λαλήσω; τῶν μαρτύρων τὴν ἰσχύν; τῆς πόλεως τὴν προθυμίαν; τῆς βασιλίδος τὸν ζῆλον; τῶν ἀρχόντων τὴν συνδρομήν; τοῦ διαβόλου τὴν αἰσχύνην; τῶν δαιμόνων τὴν ἧτταν; τῆς Ἐκκλησίας τὴν εὐγένειαν; τοῦ σταυροῦ τὴν ἰσχύν; τοῦ σταυρωθέντος τὰ θαύματα; τοῦ Πατρὸς τὴν δόξαν; τοῦ Πνεύματος τὴν χάριν; τοῦ δήμου παντὸς τὴν ἡδονήν ; τῆς πόλεως τὰ σκιρτήματα; τῶν μοναχῶν τοὺς συλλόγους; τῶν παρθένων τοὺς χορούς; τῶν ἱερέων τὰ τάγματα; τῶν βιωτικῶν ἀνδρῶν τὸ τόνον, τῶν δούλων, τῶν ἐλευθέρων, τῶμ ἀρχόντων, τῶν ἀρχομένων, τῶν πενήτων, τῶν πλουτούντων, τῶν ξένων, τῶν πολιτῶν; Εὔκαιρον ἐφ' ἅπασιν εἰπεῖν·*



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΗΡΘΕ Η ΒΑΣΙΛΙΣΣΑ ΜΕΣΑΝΥΧΤΑ ΣΤΗ ΜΕΓΑΛΗ ΕΚΚΛΗΣΙΑ

καὶ ἀπὸ ἐκεῖ σήκωσε τά λείψανα τῶν μαρτύρων καὶ τὰ συνόδευσε μέσα ἀπ' ὅλη τὴν ἀγορὰ μέχρι τὴ Δρυπία, μαρτύριο ποὺ ἀπέχει ἐννέα μίλια ἀπὸ τὴν πόλη.
Ἐκφωνήθηκε στὸ μαρτύριο ἡ ὁμιλία, ἐνῶ ἦταν παρούσα ἡ βασίλισσα καὶ ὅλη ἡ πόλη καὶ οἱ ἄρχοντες

1. Τί νὰ πῶ καὶ τί νὰ λαλήσω; πηδῶ ἀπὸ χαρὰ καὶ κατέχομαι ἀπὸ τρέλλα ποὺ εἶναι καλύτερη ἀπὸ τὴ σωφροσύνη. Πετῶ καὶ χορεύω καὶ βρίσκομαι στὸν ἀέρα καὶ μεθῶ πιὰ ἀπὸ τὴν ἡδονὴ αὐτὴ τὴν πνευματική. Τί νὰ πῶ καὶ τί νὰ λαλήσω; τὴ δύναμη τῶν μαρτύρων; τὴν προθυμία τῆς πόλης; τὸ ζῆλο τῆς βασίλισσας; τὴ βοήθεια τῶν ἀρχόντων; τὴν ντροπὴ τοῦ διαβόλου; τὴν ἧττα τῶν δαιμόνων; τὴν εὐγενικὴ καταγωγὴ τῆς Ἐκκλησίας; τὴ δύναμη τοῦ Χριστοῦ; τὰ θαύματα τοῦ σταυρωμένου; τὴ δόξα τοῦ Πατέρα; τὴ χάρη τοῦ Πνεύματος; τὴν εὐχαρίστηση ὅλου τοῦ λαοῦ; τὸν ἐνθουσιασμὸ τῆς πόλης; τὶς συνάξεις τῶν μοναχῶν; τὶς συγκεντρώσεις τῶν παρθένων; τὰ τάγματα τῶν ἱερέων; τὸ δυνάμωμα τῶν λαϊκῶν ἀνθρώπων, τῶν δούλων, τῶν ἐλευθέρων, τῶν ἀρχόντων, τῶν ἀρχομένων, τῶν φτωχῶν, τῶν πλουσίων, τῶν ξένων, τῶν πολιτῶν; Εἶναι εὐκαιρία νὰ ποῦμε γιὰ

*«τίς λαλήσει τὰς δυναστείας σου, Κύριε; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σου;».*

*Γυναῖκες θαλαμευόμεναι καὶ κηροῦ μαλακώτεραι, τὰ κατάστεγα οἰκήματα καταλιποῦσαι, πρὸς τοὺς ἰσχυροτάτους τῶν ἀνδρῶν ἡμιλλῶντο τῇ προθυμίᾳ, μῆκος ὁδοῦ τοσοῦτον βάδην ἀνύουσαι· οὐ νέαι μόνον, ἀλλὰ καὶ γεγηρακυῖαι· καὶ οὔτε ἡ τῆς φύσεως ἀσθένεια, οὔτε τὸ τῆς διαγωγῆς ἀβροδίαιτον, οὔτε ὁ τῆς περιφανείας τῦφος γέγονε κώλυμα τῇ προθυμίᾳ. Ἄρχοντες πάλιν καὶ αὐτοὶ τὰ ὀχήματα καταλιπόντες καὶ τοὺς ῥαβδούχους καὶ τοὺς δορυφόρους, τοῖς ἰδιώταις ἑαυτοὺς ἀνέμιξαν. Καὶ τί δεῖ λέγειν γυναῖκας, ἢ ἄρχοντας, ὅπου καὶ αὐτὴ ἡ τὸ διάδημα περικειμένη καὶ τὴν πορφυρίδα περιβεβλημένη, παρὰ τὴν ὁδὸν ἅπασαν οὐδὲ μικρὸν τῶν λειψάνων ἀποσχέσθαι ἠνέσχετο, ἀλλ' ὥσπερ θεραπαινὶς παρηκολούθει τοῖς ἁγίοις, τῆς θήκης ἁπτομένη καὶ τῆς ὀθόνης τῆς ἐπικειμένης, καὶ πάντα τὸν ἀνθρώπινον καταπατοῦσα τῦφον, καὶ ἐν μέσῳ θεάτρῳ τοσούτῳ φαινομένη δήμῳ, ἣν οὐδὲ εὐνούχοις ἅπασι τοῖς ἐν ταῖς βασιλικαῖς στρεφομένοις αὐλαῖς θέμις ἰδεῖν. Ἀλλ' ὁ τῶν μαρτύρων πόθος καὶ ἡ τυραννὶς καὶ ἡ τῆς ἀγάπης φλὸξ ἅπαντα ταῦτα τὰ προσωπεῖα ῥῖψαι ἀνέπεισε, καὶ γυμνῇ τῇ προθυμίᾳ τὸν ζῆλον ἐπιδείξασθαι τὸν περὶ τοὺς ἁγίους μάρτυρας.*

*Καὶ γὰρ ἀνεμνήσθη τοῦ μακαρίου Δαυίδ, ὃς καὶ ἁλουργίδα περιβεβλημένος καὶ διάδημα περικείμενος, καὶ τὰ σκῆπτρα τοῦ τῶν Ἑβραίων ἔχων δήμου, ἐπειδὴ τὴν κιβωτὸν ἀνέφερε, τὴν σκηνὴν ἅπασαν ἐκείνην ἀφείς, ἐσκίρτα καὶ ἐχόρευε καὶ ἐπήδα μεγάλα παίζων τε καὶ ὀρχούμενος, καὶ διὰ τῶν ἁλμάτων τὴν ἡδονὴν ἐπιδεικνύμενος, ἣν εἶχεν ἐπὶ τοῖς τελουμένοις. Εἰ δὲ ἐν τῇ σκιᾷ καὶ τῷ τύπῳ τοσαύτην ἐπιδείκνυσθαι θερμότητα ἔδει, πολλῷ μᾶλλον*

---

1. Ψαλμ. 105,2.

ὅλα, «ποιός μπορεῖ νὰ διηγηθεῖ τὶς ἐξουσίες σου, Κύριε; νὰ κάμει γνωστὲς ὅλες τὶς δοξολογίες σου;»[1].

Γυναῖκες κλεισμένες στὰ σπίτια τους καὶ πιὸ μαλακὲς ἀπὸ τὸ κερὶ ἄφησαν τὰ κάτω ἀπὸ τὴ στέγη δωμάτια καὶ συναγωνίζονταν στὴν προθυμία μὲ τοὺς πιὸ δυνατοὺς ἄνδρες, κατορθώνοντας νὰ βαδίσουν τόσο πολὺ μακρινὸ δρόμο. Ὄχι νέες μόνο, ἀλλὰ καὶ γερόντισσες. Καὶ οὔτε ἡ ἀδυναμία τῆς φύσης, οὔτε ὁ ἁπαλὸς τρόπος ζωῆς, οὔτε ἡ ἀλαζονικὴ ὑπερηφάνεια ἔγινε ἐμπόδιο στὴν προθυμία τους. Οἱ ἄρχοντες πάλι ἄφησαν καὶ αὐτοὶ τὰ ὀχήματα καὶ τοὺς ραβδούχους καὶ τοὺς σωματοφύλακες καὶ ἀναμίχθηκαν μὲ τοὺς πολίτες. Καὶ γιατί χρειάζεται νὰ ὁμιλῶ γιὰ γυναῖκες ἢ ἄρχοντες, ἀφοῦ καὶ αὐτὴ ποὺ φοράει τὸ στέμμα καὶ εἶναι ντυμένη τὴ βασιλικὴ πορφύρα δὲ δέχθηκε σὲ ὅλο τὸ δρόμο οὔτε λίγο νὰ ἀπομακρυνθεῖ ἀπὸ τὰ λείψανα, ἀλλὰ σὰν ὑπηρέτρια παρακολουθοῦσε τοὺς ἁγίους, καὶ ἄγγιζε τὴ θήκη καὶ τὸ ὕφασμα ποὺ τὴ σκέπαζε, καὶ περιφρονοῦσε κάθε ἀνθρώπινη ἀλαζονεία, καὶ γινόταν θέαμα σὲ τόσο μεγάλη συνκέντρωση λαοῦ, αὐτὴ ποὺ οὔτε σὲ ὅλους τοὺς εὐνούχους ποὺ περιτριγυρίζουν μέσα στὶς βασιλικὲς αὐλὲς ἐπιτρεπόταν νὰ τὴ δοῦν. Ἀλλ' ὁ πόθος τῶν μαρτύρων, ἡ δύναμη καὶ ἡ φλόγα τῆς ἀγάπης τὴν ἔπεισαν νὰ ρίξει ὅλα τὰ προσωπεῖα αὐτὰ καὶ μὲ γυμνὴ τὴν προθυμία της νὰ φανερώσει τὸ ζῆλο της γιὰ τοὺς ἅγιους μάρτυρες.

Γιατὶ πραγματικὰ θυμήθηκε τὸ μακάριο Δαβίδ, ὁ ὁποῖος, ἂν καὶ ἦταν ντυμένος τὴν πορφύρα καὶ φοροῦσε τὸ στέμμα καὶ εἶχε τὴ βασιλικὴ ἐξουσία τοῦ ἑβραϊκοῦ λαοῦ, ὅταν μετέφερε τὴν κιβωτό, ἄφησε ὅλη ἐκείνη τὴ σκηνὴ καὶ σκιρτοῦσε καὶ χόρευε καὶ πηδοῦσε ἀπὸ ὑπερβολικὴ χαρά, παίζοντας μουσικὰ ὄργανα καὶ χορεύοντας καὶ φανερώνοτας μὲ τὰ πηδήματα τὴν εὐχαρίστηση ποὺ ἔνιωθε γι' αὐτὰ ποὺ τελοῦνταν[2]. Ἂν ὅμως στὴ

2. Βλ. Β' βασ. 6,1–22.

*ἐπὶ τῆς χάριτος καὶ τῆς ἀληθείας· ἐπὶ καὶ αὕτη κιβωτὸν ἀνῆγε πολλῷ βελτίονα ἐκείνης τῆς τοῦ Δαυίδ. Οὐ γὰρ πλάκας λιθίνας, ἀλλὰ πλάκας ἔχει πνευματικάς, καὶ χάριν ἐπανθοῦσαν, καὶ δωρεὰν ἀποστίλβουσαν, καὶ ὀστᾶ αὐταῖς ἀντιλάμποντα ταῖς ἀκτῖσι· μᾶλλον δὲ λαμπροτέραν ἀφίενται ἀστραπήν. Ἀκτῖνα μὲν γὰρ βλέποντες ἡλιακήν, οὐδὲν πάσχουσι δαίμονες· τὴν δὲ ἐντεῦθεν ἐκπηδῶσαν λαμπηδόνα μὴ φέροντες, ἀποτυφλοῦνται καὶ δραπετεύουσι καὶ ἐκ πολλοῦ φεύγουσι τοῦ διαστήματος· τοσαύτη καὶ τῆς τέφρας τῶν ἁγίων ἡ δύναμις, οὐκ ἔνδον ἐγκαθημένη μόνον ἐν τοῖς λειψάνοις, ἀλλὰ καὶ περαιτέρω προϊοῦσα καὶ τὰς ἀκαθάρτους ἀπελαύνουσα δυνάμεις, καὶ τοὺς μετὰ πίστεως προσιόντας μετὰ πολλῆς ἁγιάζουσα τῆς περιουσίας.*

*Διά τοι τοῦτο καὶ ἡ φιλόχριστος αὕτη παρείπετο τοῖς λειψάνοις, συνεχῶς ἐφαπτομένη, καὶ τὴν εὐλογίαν ἐπισπωμένη, καὶ τοῖς ἄλλοις πᾶσι διδάσκαλος γινομένη τῆς καλῆς ταύτης καὶ πνευματικῆς ἐμπορίας, καὶ διδάσκουσα πάντας ἀρύεσθαι ἀπὸ τῆς πηγῆς ταύτης τῆς ἀεὶ μὲν ἀντλουμένης, οὐδέποτε δὲ κενουμένης. Καθάπερ γὰρ τὰ νάματα τῶν πηγῶν βρύοντα, οὐκ εἴσω τῶν οἰκείων κόλπων κατέχεται, ἀλλ' ὑπερβλύζει καὶ ὑπερχεῖται, οὕτω δὴ καὶ ἡ τοῦ Πνεύματος χάρις ἡ τοῖς ὀστέοις παρακαθημένη καὶ τοῖς ἁγίοις συνοικοῦσα, καὶ εἰς ἑτέρους πρόεισι τοὺς μετὰ πίστεως ἐφεπομένους αὐτῇ, καὶ ἀπὸ ψυχῆς εἰς σώματα, καὶ ἀπὸ σωμάτων εἰς ἱμάτια, καὶ ἀπὸ ἱματίων εἰς ὑποδήματα, καὶ ἀπὸ ὑποδημάτων εἰς σκιὰς ἐκτρέχει.*

*Διά τοι τοῦτο οὐ τὰ σώματα ἐνήργει μόνον τῶν ἁγίων ἀποστόλων, ἀλλὰ καὶ τὰ σουδάρια καὶ τὰ σιμικίνθια, καὶ οὐ τὰ σουδάρια μόνον καὶ τὰ σιμικίνθια, ἀλλὰ καὶ αἱ σκιαὶ τοῦ Πέτρου τῶν ζώντων δυνατώτερα εἰργάζοντο. Ἤδη που καὶ μηλωτὴ κατενεχθεῖσα ἐπὶ τὸ σῶμα τοῦ Ἐλισσαίου διπλοῦν αὐτῷ χάρισμα κατήγαγεν· οὐ γὰρ τὸ σῶμα Ἐλισσαίου μόνον, ἀλλὰ καὶ τὸ ἱμάτιον ἐκεῖ-*

σκιὰ καὶ τὸν τύπο ἔπρεπε νὰ φανερώνει κανεὶς τόσο μεγάλη θερμότητα, πολὺ περισσότερο πρέπει στὴ χάρη καὶ τὴν ἀλήθεια· γιατὶ καὶ αὐτὴ μετέφερε κιβωτὸ πολὺ καλύτερη ἀπὸ τὴν κιβωτὸ τοῦ Δαβίδ. Γιατὶ δὲν ἔχει πλάκες λίθινες, ἀλλὰ πλάκες πνευματικὲς καὶ χάρη ποὺ λάμπει καὶ δωρεὰ ποὺ ἀστράφτει καὶ ὀστὰ ποὺ θαμπώνουν ὅπως οἱ ἀκτίνες τοῦ ἥλιου· ἢ καλύτερα ἐκπέμπουν πιὸ φωτεινὴ λάμψη. Γιατὶ βλέποντας τὴν ἀκτίνα τοῦ ἥλιου οἱ δαίμονες δὲν παθαίνουν τίποτε, ἐνῶ τὴ λάμψη ποὺ ξεπηδάει ἀπὸ ἐδῶ δὲν τὴν ἀντέχουν καὶ τυφλώνονται τελείως καὶ δραπετεύουν καὶ φεύγουν ἀπὸ πολὺ μακριά. Τόσο μεγάλη εἶναι ἡ δύναμη καὶ τῆς τέφρας τῶν ἁγίων, ποὺ δὲν παραμένει μόνο μέσα στὰ λείψανα, ἀλλὰ προχωράει καὶ πιὸ πέρα καὶ διώχνει τὶς ἀκάθαρτες δυνάμεις καὶ ἁγιάζει μὲ μεγάλη ἀφθονία ἐκείνους ποὺ πλησιάζουν μὲ πιστη.

Γι' αὐτὸ λοιπὸν καὶ ἡ φιλόχριστη αὐτὴ ἀκολουθοῦσε τὰ λείψανα, καὶ συνέχεια τὰ ἄγγιζε, καὶ κέρδιζε τὴν εὐλογία, καὶ στοὺς ἄλλους ὅλους γινόταν διδάσκαλος τοῦ καλοῦ αὐτοῦ καὶ πνευματικοῦ ἐμπορεύματος, καὶ δίδασκε ὅλους νὰ παίρνουν ἀπὸ τὴν πηγὴ αὐτή, ἀπὸ τὴν ὁποία πάντοτε βέβαια ἀντλοῦμε, ποτὲ ὅμως δὲ στερεύει. Γιατί, ὅπως τὰ νερὰ τῶν πηγῶν ποὺ ἀναβλύζουν καὶ πλημμυρίζουν, ἔτσι ἀκριβῶς καὶ ἡ χάρη τοῦ Πνεύματος ποὺ παρακάθεται στὰ ὀστὰ καὶ συγκατοικεῖ μὲ τοὺς ἁγίους, καὶ πηγαίνει σὲ ἄλλους ποὺ μὲ πίστη τὴν ἀκολουθοῦν, καὶ τρέχει ἀπὸ τὴν ψυχὴ στὰ σώματα, καὶ ἀπὸ τὰ σώματα στὰ ἐνδύματα, καὶ ἀπὸ τὰ ἐνδύματα στὰ ὑποδήματα, καὶ ἀπὸ τὰ ὑποδήματα στὶς σκιές.

Γι' αὐτὸ λοιπὸν δὲν ἐνεργοῦσαν θαύματα μόνο τὰ σώματα τῶν ἁγίων Ἀποστόλων, ἀλλὰ καὶ τὰ σουδάρια καὶ τὰ μανδήλια τους, καὶ ὄχι μόνο τὰ σουδάρια καὶ τὰ μανδήλια τους, ἀλλὰ καὶ οἱ σκιὲς τοῦ Πέτρου ἐνεργοῦσαν πιὸ δυνατὰ ἀπὸ τοὺς ζωντανούς. Ἀλλὰ καὶ ἡ μηλωτὴ ποὺ ἔπεσε πάνω στὸ σῶμα τοῦ Ἐλισσαίου κατέβασε σ' αὐτὸν διπλὸ χάρισμα· γιατὶ ὄχι μόνο τὸ σῶμα τοῦ Ἐλισσαίου, ἀλλὰ καὶ τὸ ἔνδυμα ἐκεῖνο ἦταν γεμάτο

*νο τῆς χάριτος ἦν ἐμπεπλησμένον. Διά τοι τοῦτο καὶ ἐπι τῶν τριῶν παίδων· οὐ γὰρ τὰ σώματα αὐτῶν ᾐδέσθη μόνον τῆς φλογὸς ἡ φύσις, ἀλλὰ καὶ αὐτὰ τὰ ὑποδήματα· καὶ ἐπὶ τοῦ Ἐλισσαίου οὐδὲ τελευτήσαντος, οὕτως ἐλύετο θάνατος, είς τάφον τοῦ προφήτου ριφέντος ἑτέρου νεκροῦ. Οὕτω δὴ καὶ σήμερον γέγονε· τῶν γὰρ λειψάνων φερομένων, ἐμπρησμοὶ δαιμόνων, ὀλολυγαὶ καὶ κωκυτοὶ πανταχόθεν ἤροντο, τῆς ἀκτῖνος τῶν ὀστῶν ἐκπηδώσης, καὶ τὴν φάλαγγα τῶν ἀντικειμένων κατακαιούσης δυνάμεων.*

*2. Διὰ ταῦτα σκιρτῶ καὶ πέτομαι ὑπὸ τῆς ἡδονῆς, ὅτι τὴν ἔρημον πόλιν ἐποιήσατε, τὴν πόλιν κενώσαντες· ὅτι τὸν πλοῦτον ἡμῖν τῆς Ἐκκλησίας ὑπεδείξατε σήμερον. Ἰδοὺ πόσα πρόβατα, καὶ οὐδαμοῦ λύκος· πόσαι ἄμπελοι, καὶ οὐδαμοῦ ἄκανθα· πόσοι στάχυες, καὶ οὐδαμοῦ ζιζάνια. Θάλαττα ἀπὸ τῆς πόλεως μέχρι τοῦ παρόντος ἐξετάθη χωρίου, θάλαττα κυμάτων ἀπηλλαγμένη, ναυάγιον οὐκ ἔχουσα, σκοπέλων ἠλευθερωμένη· θάλαττα μέλιτος παντὸς γλυκυτέρα, τῶν ποτίμων ὑδάτων ποτιμωτέρα. Οὐκ ἄν τις ἁμάρτοι τὴν θάλατταν ταύτην καὶ ποταμὸν πυρὸς προσειπών· οὕτως αἱ λαμπάδες αἱ διὰ τῆς νυκτὸς αἱ πυκναὶ καὶ συνεχεῖς μέχρι τοῦ μαρτυρίου τούτου διαπαντὸς ἐκταθεῖσαι, πυρίνου ποταμοῦ φαντασίαν παρεῖχον τοῖς ὁρῶσι.*

*Καὶ ταῦτα μὲν ἐν τῇ νυκτί· τῆς δὲ ἡμέρας φανείσης ἕτεραι λαμπάδες πάλιν ἐφαίνοντο· ἐκείνας μὲν γὰρ ὁ ἥλιος ἀνίσχων ἔκρυπτε καὶ ἀμαυροτέρας ἐτίθει, τὰς δὲ ἐν τῇ ἑκάστου διανοίᾳ φαιδροτέρας ἐδείκνυ· τοῦ γὰρ πυρὸς ἐκείνου τοῦ φαινομένου θερμότερον τὸ τῆς προθυμίας τῆς ὑμετέρας ἦν· καὶ ἕκαστος διπλῆν ἔφερε λαμπάδα, τὴν τοῦ πυρὸς ἐν τῇ νυκτί, τὴν τῆς προθυμίας καὶ ἐν τῇ νυκτὶ καὶ ἐν τῇ ἡμέρᾳ· μᾶλλον δὲ οὐδὲ νύκτα λοιπὸν ἐκείνην καλῶ· πρὸς γὰρ τὴν ἡμέραν ἡμιλλᾶτο, τοὺς υἱοὺς τοῦ φωτὸς ὑμᾶς περιφέρουσα καὶ μυρίων ἀστέρων καὶ ἑωσφόρου λαμπροτέρους ἀποφαίνουσα.*

ἀπὸ τὴ χάρη. Τὸ ἴδιο ἀκριβῶς συνέβηκε καὶ στοὺς τρεῖς νέους· καθόσον ἡ φύση τῆς φλόγας δὲ σεβάσθηκε μόνο τὰ σώματά τους, ἀλλὰ καὶ αὐτὰ τὰ ὑποδήματά τους. Καὶ στὸν Ἐλισσαῖο οὔτε ἀφοῦ πέθανε, καταργοῦνταν ἔτσι ὁ θάνατος, ὅταν στὸν τάφο τοῦ προφήτη ρίχθηκε ἄλλος νεκρός. Ἔτσι ἀκριβῶς ἔγινε καὶ σήμερα· γιατί, καθὼς μεταφέρονταν τὰ λείψανα, οἱ ἐμπρησμοὶ τῶν δαιμόνων, οἱ θρῆνοι καὶ ὀδυρμοὶ ἀπὸ παντοῦ ἐξαφανίσθηκαν, ἐπειδὴ ξεπηδοῦσε ἡ ἀκτίνα τῶν ὀστῶν καὶ κατέκαιε τὴ φάλαγγα τῶν ἐχθρικῶν δυνάμεων.

2. Γι' αὐτὰ πηδῶ ἀπὸ χαρὰ καὶ πετῶ ἀπὸ εὐχαρίστηση, γιατὶ κάνατε τὴν πόλη ἔρημο, ἀφοῦ ἀδειάσατε τὴν πόλη, γιατὶ μᾶς φανερώσατε σήμερα τὸν πλοῦτο τῆς Ἐκκλησίας. Νὰ πόσα πρόβατα, καὶ πουθενὰ λύκος· πόσα ἀμπέλια, καὶ πουθενὰ ἀγκάθια· πόσα στάχυα, καὶ πουθενὰ ζιζάνια. Μιὰ θάλασσα ἁπλώθηκε ἀπὸ τὴν πόλη μέχρι τὸν τόπο αὐτόν, μιὰ θάλασσα ἀπαλλαγμένη ἀπὸ κύματα, ἡ ὁποία δὲν ἔχει ναυάγιο, ἡ ὁποία εἶναι ἐλευθερωμένη ἀπὸ σκοπέλους· μιὰ θάλασσα πιὸ γλυκιὰ ἀπ' ὅλο τὸ μέλι, πιὸ πόσιμη ἀπὸ τὰ πόσιμα νερά. Δὲ θὰ ἔσφαλλε κανεὶς ἂν ὀνόμαζε τὴ θάλασσα αὐτὴ καὶ ποτάμι ἀπὸ φωτιά. Ἔτσι οἱ λαμπάδες οἱ πυκνὲς καὶ ἀδιάκοπες ποὺ μέσα στὴ νύχτα ἁπλώθηκαν ἀδιάκοπα μέχρι τὸ μαρτύριο αὐτό, ἔδιναν σ' αὐτοὺς ποὺ ἔβλεπαν τὴν ἐντύπωση πύρινου ποταμοῦ.

Καὶ αὐτὰ βέβαια συνέβαιναν τὴ νύχτα. Ὅταν ὅμως ξημέρωσε ἄλλες λαμπάδες πάλι φαίνονταν, γιατὶ ἐκεῖνες καθὼς ἀνέβαινε ὁ ἥλιος τὶς ἔκρυβε καὶ τὶς καθιστοῦσε πιὸ σκοτεινές, ἐνῶ ἔδειχνε πιὸ φωτεινὲς αὐτὲς ποὺ βρίσκονταν στὴν ψυχὴ τοῦ καθενός. Γιατὶ ἡ προθυμία σας ἦταν πιὸ ζωηρὴ ἀπὸ τὴ φωτιὰ ἐκείνη ποὺ φαινόταν. Καὶ ὁ καθένας ἔφερε διπλὴ λαμπάδα, τῆς φωτιᾶς στὴ νύχτα, τῆς προθυμίας καὶ στὴ νύχτα καὶ στὴν ἡμέρα· ἢ καλύτερα οὔτε νύχτα τὴν ὀνομάζω πιὰ ἐκείνη, γιατὶ συναγωνιζόταν μὲ τὴν ἡμέρα, ἀφοῦ σᾶς περιέφερε τὰ παιδιὰ τοῦ φωτὸς καὶ σᾶς ἀποδείκνυε πιὸ φωτεινοὺς ἀπὸ ἄπειρα ἀστέρια

*Ὥσπερ γὰρ καὶ τὴν ἡμέραν νύκτα ποιοῦσιν οἱ μεθύοντες, οὕτω καὶ τὴν νύκτα ἡμέραν ἐργάζονται οἱ παννυχεύοντες καὶ ἐγρηγορότες. Διὰ δὴ τοῦτο διὰ πάσης νυκτὸς ἐκεῖνο τὸ προφητικὸν ᾖδον· «νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου»· καί, « ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ»· καί, «νὺξ ὡς ἡμέρα φωτισθήσεται· ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς».*

*Ποίας γὰρ ἡμέρας οὐ γέγονε φαιδροτέρα ἡ νὺξ αὕτη, ἐν τοσαύτῃ χαρᾶς ὑπερβολῇ σκιρτώντων ἁπάντων, χαρὰν ἐχόντων πνευματικήν, τοσούτων ἐκχυθέντων δήμων καὶ τὴν ὁδὸν καὶ τὴν ἀγορὰν ἐπικλυσάντων; Οὐδὲ γὰρ ἦν ἔδαφος γυμνὸν ἰδεῖν, ἀλλὰ πᾶσαν τὴν ὁδὸν σώμασιν ἀνθρωπίνοις καλύψαντες, μίαν σειράν τινα χρυσῆν καὶ συνεχῆ, καὶ ποταμὸν ἕνα πολλῷ τῷ ροθίῳ φερόμενον διὰ πάσης ἐδείξατε τῆς ὁδοιπορίας· καὶ ἄνω μὲν εἰς τὸν οὐρανὸν ἀναβλέποντες ἑωρῶμεν σελήνην καὶ ἀστέρας ἐν μέσῳ, κάτω δὲ τῶν πιστῶν τὸ πλῆθος, καὶ τῆς σελήνης λαμπρότερον ἐν τῷ μέσῳ τὴν βασιλίδα φερομένην. Ὥσπερ γὰρ οἱ ἀστέρες οἱ κάτω ἀμείνους τῶν ἄνω, οὕτω καὶ αὕτη πολὺ φαιδροτέρα ἐκείνης. Τί γάρ; τοσοῦτον σελήνη, ὅσον ψυχὴ ἐν ἀξιώματι τοσούτῳ τοσαύτῃ κατακοσμουμένη πίστει; Τί ἄν τις αὐτῆς ἀγάσαιτο πρότερον, τὸν ζῆλον τὸν πυρὸς θερμότερον, τὴν πίστιν τὴν ἀδάμαντος στερροτέραν, τὴν συντριβὴν τῆς διανοίας καὶ τὴν ταπεινοφροσύνην, δι' ἧς πάντας ἀπέκρυψε, βασιλείαν μὲν καὶ διαδήματα καὶ τὸν ἐντεῦθεν ἅπαντα τῦφον μετὰ πολλῆς ρίψασα τῆς περιουσίας, ἐνδυσαμένη δὲ τὴν τῆς ταπεινοφροσύνης στολὴν ἀντὶ τῆς πορφυρίδος, καὶ διὰ ταύτης λάμψασα μειζόνως;*

*Βασιλίδες μὲν γὰρ πολλαὶ πολλάκις ἐγένοντο, αἳ τῆς στολῆς αὐτῆς καὶ τῶν διαδημάτων ἐκοινώνησαν μόνον καὶ τῆς δόξης τῆς βασιλικῆς, ταύτης δὲ μόνης οὗτος ἐξαίρετος ὁ κόσμος ἐγένετο, καὶ*

καὶ ἀπὸ τὸν αὐγερινό. Ὅπως δηλαδὴ αὐτοὶ ποὺ μεθοῦν κάνουν νύχτα καὶ τὴν ἡμέρα, ἔτσι καὶ αὐτοὶ ποὺ ξενυχτοῦν καὶ ξαγρυπνοῦν σὲ προσευχὲς κάνουν καὶ τὴ νύχτα ἡμέρα. Γι' αὐτὸ λοιπὸν ἔψαλνα ὅλη τὴ νύχτα ἐκεῖνο τὸ προφητικό, «ἡ νύχτα εἶναι φωτισμὸς στὴν εὐχαρίστησή μου, γιατὶ τὸ σκοτάδι δὲν εἶναι γιὰ σένα σκοτάδι καὶ ἡ νύχτα· εἶναι φωτισμένη ὅπως ἡ ἡμέρα· τὸ σκοτάδι τῆς νύχτας εἶναι ὅπως τὸ φῶς τῆς ἡμέρας»[3]

Καὶ ἀπὸ ποιά ἡμέρα δὲν ἔγινε πιὸ φωτεινὴ ἡ νύχτα αὐτή, ὅταν ὅλοι πηδοῦσαν ἀπὸ τόση ὑπερβολικὴ χαρά, ὅταν ὅλοι εἶχαν τὴν πνευματικὴ χαρά, ὅταν ξεχύθηκαν τόσα πλήθη καὶ πλημμύρισαν τὸ δρόμο καὶ τὴν ἀγορά; Γιατὶ δὲν ὑπῆρχε γυμνὸ ἔδαφος νὰ δεῖ κανείς, ἀλλ', ἀφοῦ καλύψατε ὅλο τὸ δρόμο μὲ σώματα ἀνθρώπινα, δείξατε σὲ ὅλη τὴν ὁδοιπορία μιὰ σειρὰ χρυσὴ καὶ ἀδιάκοπη καὶ ἕνα ποτάμι ποὺ κυλοῦσε μὲ πολλὴ ὁρμή. Καὶ σηκώνοντας τὰ μάτια ψηλὰ στὸν οὐρανὸ βλέπαμε τὴ σελήνη ἀνάμεσα στὰ ἀστέρια, καὶ κάτω τὸ πλῆθος τῶν πιστῶν καὶ ἀνάμεσά τους τὴ βασίλισσα νὰ βαδίζει πιὸ λαμπρὰ καὶ ἀπὸ τὴ σελήνη. Ὅπως δηλαδὴ τὰ κάτω ἀστέρια εἶναι καλύτερα ἀπὸ τὰ πάνω, ἔτσι καὶ αὐτὴ εἶναι πιὸ φωτεινὴ ἀπὸ ἐκείνη. Τί λοιπόν; ἀξίζει τόσο ἡ σελήνη ὅσο μιὰ ψυχὴ σὲ τόσο μεγάλο ἀξίωμα στολισμένη μὲ τόση πίστη; Τί μπορεῖ κανεὶς νὰ θαυμάσει πρῶτα σ' αὐτήν, τὸ ζῆλο της τὸν πιὸ θερμὸ ἀπὸ τὴ φωτιά, τὴν πίστη της τὴν πιὸ στερρεὴ ἀπὸ διαμάντι, τὴ συντριβὴ τῆς ψυχῆς της καὶ τὴν ταπεινοφροσύνη μὲ τὴν ὁποία ὅλους τοὺς ἔκρυψε, ἀφοῦ μὲ μεγάλη εὐκολία πέταξε καὶ τὴ βασιλεία καὶ τὰ στέμματα καὶ ὅλη τὴν ἀλαζονεία ἀπὸ ἐδῶ καὶ φόρεσε, ἀντὶ γιὰ τὴν πορφύρα, τὴ στολὴ τῆς ταπεινοφροσύνης καὶ μ' αὐτὴν ἔλαμψε πιὸ πολύ;

Γιατὶ βασίλισσες βέβαια ἔγιναν πολλὲς καὶ πολλὲς φορές, ποὺ μετεῖχαν μόνο στὴ στολὴ αὐτὴ καὶ τὰ στέμματα, καθὼς καὶ στὴ δόξα τὴ βασιλική, ἀλλὰ σ' αὐτὴ μόνο ἔγινε αὐτὴ ἡ ἐξαιρε-

3. Ψαλμ. 138,11–12.

τοῦτο μόνης αὐτῆς τὸ τρόπαιον. Μάρτυρας γὰρ μόνη βασιλίδων αὕτη μετὰ τοσαύτης προέπεμψε τιμῆς, μετὰ τοσαύτης σπουδῆς καὶ εὐλαβείας, ἀναμιγνυμένη τῷ πλήθει, καὶ τὴν δορυφορίαν ἅπασαν περικόψασα, καὶ τὴν ἀνωμαλίαν τοῦ βίου ὅλην σχεδὸν μετὰ πολλῆς ἀπελάσασα τῆς ὑπερβολῆς. Διά τοι τοῦτο τῶν μαρτύρων οὐκ ἔλαττον τὸν δῆμον ὠφέλησεν. Ὥσπερ γὰρ πρὸς τὰ λείψανα πάντες ἑώρων, οὕτω καὶ πρὸς τὴν ταύτης προσεδρείαν ἐκεχήνεσαν καὶ πλούσιοι καὶ πένητες, ἀπρὶξ αὐτὴν ἐχομένην τῶν ὀστῶν διὰ τοσαύτης ὁρῶντες ὁδοιπορίας, οὐδὲ ἀποκάμνουσαν οὐδὲ ἀπαγορεύουσαν, ἀλλ' ἐξηρτημένην λάρνακος. Διὰ ταῦτά σε μακαρίζοντες οὐ παυόμεθα, οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ αἱ γενεαὶ μετὰ ταῦτα πᾶσαι.

3. Τὰ γὰρ ἐνταῦθα γενόμενα ἀκούσεται μὲν τὰ πέρατα τῆς οἰκουμένης καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, ἀκούσονται δὲ οἱ μεθ' ἡμᾶς καὶ οἱ μετ' ἐκείνους, καὶ χρόνος οὐδεὶς λήθῃ παραδώσει τὸ γεγενημένον, τοῦ Θεοῦ πανταχοῦ τῆς οἰκουμένης καὶ πανταχοῦ τῶν μετὰ ταῦτα γενεῶν αὐτὸ μετὰ πολλῆς ἐκπομπεύοντος τῆς περιφανείας. Εἰ γὰρ πόρνης γυναικὸς ἔργον πρὸς τὰ τέρματα τῆς οἰκουμένης ἀφικέσθαι ἐποίησε καὶ τῇ μνήμῃ κατέστησεν ἀθάνατον, πολλῷ μᾶλλον τῆς κοσμίας καὶ σεμνῆς καὶ σώφρονος γυναικὸς καὶ ἐν βασιλείᾳ τοσαύτην ἐπιδειξαμένης εὐλάβειαν, οὐκ ἀφήσει τὸ ἔργον λαθεῖν, ἀλλὰ μακαριοῦσί σε πάντες, τὴν ξενοδόχον τῶν ἁγίων, τὴν προστάτιν τῶν Ἐκκλησιῶν, τὴν ὁμόζηλον τῶν Ἀποστόλων. Εἰ γὰρ γυναικείαν ἔλαχες φύσιν, ἀλλ' ἔξεστί σοι καὶ πρὸς ἀποστολικὰ κατορθώματα ἁμιλλᾶσθαι.

Ἐπεὶ καὶ ἡ Φοίβη τότε ἐκείνη ἡ τὸν διδάσκαλον τῆς οἰκουμένης ὑποδεξαμένη καὶ προστάτις αὐτοῦ γενομένη, γυνὴ ἦν καὶ τῆς αὐτῆς σοὶ φύσεως κοινωνοῦσα, ἀλλ' ὅμως τοσοῦτον ἔλαμψεν, ὡς τὸν ἅγιον ἐκεῖνον τὸν τῶν οὐρανῶν ἄξιον καὶ τῶν Ἀποστόλων πάντων μείζονα ἀνακηρῦξαι αὐτὴν καὶ εἰπεῖν, ὅτι «προστάτις πολ-

τικὴ τιμὴ καὶ σ' αὐτὴ μόνο τὸ τρόπαιο αὐτό. Γιατὶ αὐτὴ μόνο ἀπὸ τὶς βασίλισσες μὲ τόσο μεγάλη τιμὴ συνόδευσε μάρτυρες, μὲ τόσο ζῆλο καὶ εὐλάβεια, ἀφοῦ ἀναμίχθηκε μὲ τὸ πλῆθος καὶ ἀπομάκρυνε ὅλη τὴν ἀκολουθία της καὶ ἔδιωξε μὲ μεγάλη εὐκολία σχεδὸν κάθε ἐμπόδιο τῆς ζωῆς. Γι' αὐτὸ ἀκριβῶς ὠφέλησε τὸ λαὸ ὄχι λιγότερο ἀπὸ τοὺς μάρτυρες. Γιατί, ὅπως ὅλοι ἔβλεπαν στὰ λείψανα, ἔτσι πρόσεχαν μὲ ἀνοιχτὸ τὸ στόμα στὸ δικό της ζῆλο καὶ πλούσιοι καὶ φτωχοί, ἀφοῦ τὴν κοίταζαν ν' ἀκολουθεῖ δίπλα τὰ ὀστὰ σὲ τόση μεγάλη ὁδοιπορία, καὶ νὰ μὴν κουράζεται οὔτε ν' ἀπομακρύνεται, ἀλλὰ νὰ κρατιέται ἀπὸ τὴ λάρνακα. Γι' αὐτὰ δὲ θὰ σταματήσουμε νὰ σὲ μακαρίζουμε, καὶ ὄχι μόνο ἐμεῖς, ἀλλὰ καὶ ὅλες οἱ γενεὲς ἀργότερα.

3. Γιατὶ αὐτὰ ποὺ ἔγιναν ἐδῶ θὰ τὰ ἀκούσουν βέβαια τὰ πέρατα τῆς οἰκουμένης καὶ ὅση γῆ ἐπιβλέπει ὁ ἥλιος, ἀλλὰ θὰ τὰ ἀκούσουν καὶ οἱ μετὰ ἀπὸ μᾶς καὶ οἱ μετὰ ἀπὸ ἐκείνους, καὶ κανεὶς χρόνος δὲ θὰ παραδώσει στὴ λήθη αὐτὸ ποὺ ἔχει γίνει, ἀφοῦ ὁ Θεὸς τὸ συνοδεύει αὐτὸ μὲ πολλὴ δόξα παντοῦ στὴν οἰκουμένη καὶ παντοῦ στὶς μεταγενέστερες γενεές. Ἂν λοιπὸν τὸ ἔργο μιᾶς πόρνης γυναίκας ἔκαμε νὰ φθάσει στὰ πέρατα τῆς οἰκουμένης καὶ τὸ κατέστησε ἀθάνατο στὴ μνήμη μας, πολὺ περισσότερο δὲ θ' ἀφήσει νὰ ξεχαστεῖ τὸ ἔργο τῆς κόσμιας καὶ σεμνῆς καὶ συνετῆς γυναίκας καὶ ποὺ φανέρωσε τόση μεγάλη εὐλάβεια στὴ βασιλεία της, ἀλλὰ θὰ σὲ μακαρίσουν ὅλοι, ἐσένα ποὺ φιλοξενεῖς τοὺς ἁγίους, ποὺ προστατεύεις τὶς Ἐκκλησίες, ποὺ ἔχεις τὸν ἴδιο ζῆλο μὲ τοὺς Ἀποστόλους. Γιατί, ἂν καὶ σοῦ ἔτυχε γυναικεία φύση, ὅμως ἔχεις τὴ δύναμη νὰ συναγωνίζεσαι καὶ μὲ τὰ ἀποστολικὰ κατορθώματα.

Καὶ ἡ Φοίβη τότε ἐκείνη ποὺ ὑποδέχθηκε τὸ διδάσκαλο τῆς οἰκουμένης καὶ τὸν βοήθησε, ἦταν γυναίκα καὶ εἶχε τὴν ἴδια μὲ σένα φύση. Ἀλλ' ὅμως ἔλαμψε τόσο πολύ, ὥστε ὁ ἅγιος ἐκεῖνος, ὁ ἄξιος τῶν οὐρανῶν καὶ μεγαλύτερος ἀπὸ τοὺς Ἀποστόλους ὅλους, νὰ τὴν τιμήσει καὶ νὰ πεῖ, ὅτι «βοήθησε πολ-

*λῶν ἐγένετο, καὶ ἐμοῦ αὐτοῦ». Καὶ Πρίσκιλλα δὲ γυναικείαν ἦν λαχοῦσα φύσιν, ἀλλ' οὐδὲν αὐτῇ κώλυμα γέγονε τοῦτο εἰς τὸ ἀνακηρυχθῆναι καὶ ἀθάνατον αὐτῆς γενέσθαι τὴν μνήμην. Καὶ ἕτερος δὲ πολὺς γυναικῶν ἦν τότε χορὸς ἀποστολικὸν μεταχειρισαμένων βίον. Διὸ καὶ ἡμεῖς μετ' ἐκείνων σε νῦν ἀριθμοῦντες, οὐχ ἁμαρτησόμεθα, ὅτι δὴ λιμὴν εἶ τῶν Ἐκκλησιῶν ἁπασῶν, καὶ τῇ βασιλείᾳ τῇ παρούσῃ πρὸς τὴν κτῆσιν τῆς μελλούσης ἀποκέχρησαι βασιλείας, Ἐκκλησίας ὀρθοῦσα, ἱερέας τιμῶσα, αἱρετικῶν καταλύουσα πλάνην, μάρτυρας ὑποδεχομένη, οὐ τραπέζῃ, ἀλλὰ γνώμῃ, οὐ σκηνῇ, ἀλλὰ προαιρέσει, μᾶλλον δὲ καὶ σκηνῇ καὶ προαιρέσει.*

*Προηγήσατό ποτε καὶ Μαρία τοῦ λαοῦ, τὰ ὀστᾶ τοῦ Ἰωσὴφ ἐπιφερομένη, καὶ ᾖσεν ᾠδήν· ἀλλ' ἐκείνη μὲν Αἰγυπτίων καταποντισθέντων, σὺ δὲ δαιμόνων ἀποπνιγομένων· ἐκείνη τοῦ Φαραὼ καταποντισθέντος, σὺ δὲ τοῦ διαβόλου κατενεχθέντος· ἐκείνη κύμβαλα ἔχουσα, σὺ δὲ διάνοιαν καὶ ψυχὴν ὑπὲρ σάλπιγγα ἠχοῦσαν· ἐκείνη Ἰουδαίων ἐλευθερωθέντων, σύ δὲ τῆς Ἐκκλησίας στεφανουμένης· ἐκείνη δῆμον ἕνα ἐξάγουσα ὁμόγλωττον, σὺ δὲ μυρίους δήμους ἑτερογλώσσους. Καὶ γὰρ μυρίους ἡμῖν ἐξήγαγες χορούς, τοὺς μὲν τῇ Ῥωμαίων, τοὺς δὲ τῇ Σύρων, τοὺς δὲ τῇ βαρβάρων, τοὺς δὲ τῇ Ἑλλάδι φωνῇ τὰ τοῦ Δαυίδ ἀνακρουομένους ᾄσματα· καὶ διάφορα ἔθνη καὶ διαφόρους χοροὺς ἦν ἰδεῖν μίαν κιθάραν ἅπαντας ἔχοντας, τὴν τοῦ Δαυίδ, καὶ ταῖς εὐχαῖς σε στεφανοῦντας.*

*Ἐπεζήτει τῆς ἑορτῆς ταύτης ἡ εὐφροσύνη καὶ τὸν θεοφιλέστατον βασιλέα τὸν μετὰ σοῦ τὸ ἄροτρον τῆς εὐσεβείας ἕλκοντα, ἀλλὰ καὶ τοῦτο τῆς σῆς ἐγένετο συνέσεως, τὸ κατασχεῖν αὐτὸν σήμερον οἴκοι, καὶ εἰς τὴν αὔριον ὑποσχέσθαι τὴν παρουσίαν. Ἵνα*

λοὺς καὶ μένα τὸν ἴδιο»[4]. Ἄλλωστε καὶ ἡ Πρίσκιλλα γεννήθηκε γυναίκα, ἀλλὰ δὲν τὴν ἐμπόδισε καθόλου νὰ τιμηθεῖ καὶ νὰ γίνει ἀθάνατη ἡ μνήμη της. Ὑπῆρχε τότε καὶ ἄλλος μεγάλος ὅμιλος γυναικῶν ποὺ ἔζησαν ἀποστολικὸ βίο. Γι' αὐτὸ καὶ μεῖς ποὺ σὲ κατατάσσουμε τώρα μαζὶ μ' ἐκεῖνες δὲ θὰ κάνουμε λάθος, γιατὶ πραγματικὰ εἶσαι λιμάνι ὅλων τῶν Ἐκκλησιῶν καὶ μεταχειρίζεσαι τὴν παροῦσα βασιλεία σου γιὰ ν' ἀποκτήσεις τὴ μέλλουσα βασιλεία, στηρίζοντας τὶς Ἐκκλησίες, τιμώντας τοὺς ἱερεῖς, διαλύοντας τὴν πλάνη τῶν αἱρετικῶν, ὑποδεχόμενη τοὺς μάρτυρες, ὄχι στὸ τραπέζι ἀλλὰ στὴ σκέψη, ὄχι στὴ σκηνὴ ἀλλὰ στὴν προαίρεση, ἢ καλύτερα καὶ στὴ σκηνὴ καὶ στὴν προαίρεση.

Κάποτε καὶ ἡ Μαρία βάδισε μπροστὰ ἀπὸ τὸ λαό, μεταφέροντας τὰ ὀστὰ τοῦ Ἰωσὴφ καὶ ἔψαλε ὕμνο. Ἀλλὰ ἐκείνη ὅταν καταποντίσθηκαν οἱ Αἰγύπτιοι, ἐνῶ ἐσὺ ὅταν πνίγονται οἱ δαίμονες· ἐκείνη ὅταν καταποντίσθηκε ὁ Φαραώ, ἐνῶ ἐσὺ ὅταν βυθίσθηκε ὁ διάβολος· ἐκείνη ἔχοντας κύμβαλα, ἐνῶ ἐσὺ νοῦ καὶ ψυχὴ ποὺ ἠχοῦσε πιὸ δυνατὰ ἀπὸ σάλπιγγα· ἐκείνη ὅταν ἐλευθερώθηκαν οἱ Ἰουδαῖοι, ἐνῶ ἐσὺ ὅταν στεφανώνεται ἡ Ἐκκλησία· ἐκείνη ὁδηγώντας ἕνα λαὸ ὁμόγλωσσο, ἐνῶ ἐσὺ πάρα πολλοὺς λαοὺς μὲ διαφορετικὲς γλῶσσες. Γιατὶ πραγματικὰ μᾶς ἔφερες ἄπειρους ὁμίλους, ποὺ ψάλλουν τοὺς ὕμνους τοῦ Δαβὶδ ἄλλοι στὴ γλώσσα τῶν Ρωμαίων, ἄλλοι στὴ γλώσσα τῶν Σύρων, ἄλλοι στὴ γλώσσα τῶν βαρβάρων καὶ ἄλλοι στὴν ἑλληνική. Καὶ μπορεῖ νὰ δεῖ κανεὶς διαφορετικὰ ἔθνη καὶ διαφορετικοὺς ὁμίλους νὰ ἔχουν ὅλοι μία κιθάρα, τὴν κιθάρα τοῦ Δαβίδ, καὶ μὲ τὶς εὐχὲς νὰ σὲ στεφανώνουν.

Ἐπιζητοῦσε ἡ μεγάλη χαρὰ τῆς ἑορτῆς αὐτῆς καὶ τὸ θεοφιλέστατο βασιλιά, αὐτὸν ποὺ σύρει μαζί σου τὸ ἄροτρο τῆς εὐσέβειας· ἀλλὰ καὶ αὐτὸ εἶναι ἔργο τῆς δικῆς σου σύνεσης, τὸ νὰ παραμείνει δηλαδὴ σήμερα στὸ ἀνάκτορο καὶ νὰ ὑποσχεθεῖ τὴν παρουσία του γιὰ αὔριο. Γιὰ νὰ μὴν ταλαιπωρήσει δηλαδὴ τὸ

4. Ρωμ. 16,2.

*γὰρ μὴ τῶν ἱππέων τὸ πλῆθος μηδὲ τῶν ὡπλισμένων στρατιωτῶν ὁ θόρυβος λυμήνηται παρθένοις, γεγηρακυίαις, πρεσβύταις ἀνδράσι, καὶ διαταράξῃ τὴν ἑορτήν, ἄξια τῆς ἑαυτῆς συνέσεως ποιοῦσα διενείματο τὴν πανήγυριν. Εἰ μὲν γὰρ ἀμφότεροι σήμερον παρεγένοντο, σήμερον ἂν τέλος ἔλαβε τὰ τῆς ἑορτῆς· ἵνα δὲ καὶ ἡσυχίαν ἐργάσηται τῇ παρούσῃ ἡμέρᾳ, καὶ τῇ προσθήκῃ τῆς αὔριον ἐπιδαψιλεύσηται τὴν εὐφροσύνην, διενείματο πρὸς αὐτὸν τὴν λειτουργίαν, καὶ αὐτὴ σήμερον παραγενομένη, αὔριον ἡμῖν ἐπηγγείλατο τὴν ἐκείνου παρουσίαν. Ὥσπερ γὰρ κοινωνεῖ τῆς βασιλείας αὐτῷ, οὕτω καὶ τῆς εὐσεβείας, καὶ οὐκ ἀφίησιν ἐν τοῖς κατορθώμασιν ἄμοιρον εἶναι, ἀλλὰ πανταχοῦ συμμεριστὴν λαμβάνει.*


*Ἐπεὶ οὖν καὶ εἰς τὴν ἐπιοῦσαν ἐκταθῆναι δεῖ τὴν πανήγυριν ἡμῖν τὴν πνευματικήν, τὴν αὐτὴν σπουδὴν πάλιν ἐπιδειξώμεθα, ἵνα ὥσπερ σήμερον τὴν φιλόχριστον ταύτην μετὰ τῆς πόλεως εἴδομεν, οὕτως αὔριον τὸν θεοφιλῆ βασιλέα μετὰ τοῦ στρατοπέδου θεασώμεθα παραγινόμενον, καὶ τὴν αὐτὴν προσάγοντα τῷ Θεῷ θυσίαν τὴν ἀπὸ τῆς εὐλαβείας, τὴν ἀπὸ τοῦ ζήλου, τὴν ἀπὸ τῆς πίστεως· καὶ λαβόντες τοὺς ἁγίους μάρτυρας κοινωνοὺς τῶν εὐχῶν, εὐξώμεθα αὐτοῖς ζωῆς μῆκος, γῆρας, λιπαρόν, παῖδας καὶ παίδων παῖδας, καὶ πρό γε τούτων ἁπάντων, τὸ ζῆλον τοῦτον ἐπιταθῆναι, τὴν εὐλάβειαν ἐπιδοθῆναι, καὶ οὕτω τὸν παρόντα διανύσαι βίον, ὡς καὶ κατὰ τοὺς ἀκηράτους αἰῶνας συμβασιλεῦσαι τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ· «εἰ γὰρ ὑπομένομεν», φησί, «καὶ συμβασιλεύσομεν»· καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

5. Β' Τιμ. 2,12.

πλῆθος τῶν ἱππέων καὶ ὁ θόρυβος τῶν ὁπλισμένων στρατιωτῶν τὰ κορίτσια, τὶς γριές, τοὺς γέρους, καὶ γιὰ νὰ μὴ διαταράξει τὴν ἑορτή, ἐνεργώντας ὅπως ἀξίζει στὴ σύνεσή της μοίρασε τὴν πανήγυρη. Γιατί, ἂν ἔρχονταν σήμερα καὶ οἱ δύο, θὰ τελείωνε σήμερα ἡ ἑορτή. Ἀλλὰ γιὰ νὰ προκαλέσει ἡσυχία στὴ σημερινὴ ἡμέρα καὶ μὲ τὴν προσθήκη τῆς αὐριανῆς νὰ χαρίσει ἄφθονη τὴν χαρά, μοίρασε μαζί του τὴν ὑπηρεσία, καὶ ἀφοῦ αὐτὴ ἦρθε σήμερα μᾶς ὑποσχέθηκε γιὰ αὔριο τὴν παρουσία ἐκείνου. Γιατί, ὅπως μετέχει στὴ βασιλεία μ' αὐτόν, ἔτσι μετέχει καὶ στὴν εὐσέβεια, καὶ δὲν τὸν ἀφήνει νὰ εἶναι ἀμέτοχος στὰ κατορθώματα, ἀλλὰ παντοῦ τὸν παίρνει συμμέτοχο.

Ἀφοῦ λοιπὸν καὶ στὴν αὐριανὴ ἡμέρα πρέπει νὰ παραταθεῖ ἡ πνευματική μας πανήγυρη, ἂς δείξουμε πάλι τὸν ἴδιο ζῆλο, ὥστε, ὅπως εἴδαμε σήμερα τὴ φιλόχριστη βασίλισσα μαζὶ μὲ τὴν πόλη, ἔτσι νὰ δοῦμε αὔριο τὸν θεοφιλὴ βασιλιὰ νὰ ἔρχεται μαζὶ μὲ τὸ στρατὸ καὶ νὰ προσφέρει στὸ Θεὸ τὴν ἴδια πίστη. Καὶ ἔχοντας στὶς προσευχὲς μαζί μας τοὺς ἁγίους μάρτυρες, ἂς εὐχηθοῦμε σ' αὐτοὺς διάρκεια ζωῆς, εὐτυχισμένα γηρατειά, παιδιὰ καὶ ἐγγόνια, καὶ πρὶν βέβαια ἀπ' ὅλα αὐτά, νὰ δυναμώσει ὁ ζῆλος τους αὐτός, νὰ αὐξηθεῖ ἡ εὐλάβειά τους, καὶ νὰ περάσουν ἔτσι τὴν παρούσα ζωή, ὥστε καὶ στοὺς ἀτέλειωτους αἰῶνες νὰ βασιλεύσουν μαζὶ μὲ τὸ μονογενὴ Υἱὸ τοῦ Θεοῦ· γιατὶ λέγει, «ἂν δείχνουμε ὑπομονή, ὕστερα θὰ συμβασιλεύσουμε»[5], καὶ θὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι νὰ τὰ ἀξιωθοῦμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα τώρα καὶ πάντοτε, καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΗΡΘΕ Ο ΒΑΣΙΛΙΑΣ ΤΗΝ ΑΛΛΗ ΗΜΕΡΑ

**Στὸ μαρτύριο τοῦ Ἀποστόλου καὶ μάρτυρα Θωμᾶ
ποὺ βρίσκεται στὴ Δρυπία,
καὶ ἀναχώρησε πρὶν ἀπὸ τὴν ὁμιλία.
Λέχθηκε στὸ πλῆθος μετὰ τὴν ἀναχώρησή του**



# *ΟΜΙΛΙΑ*

## *ΤΗ ΕΠΙΟΥΣΗ ΗΜΕΡΑ ΠΑΡΑΓΕΝΟΜΕΝΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ*

*ἐν τῷ μαρτυρίῳ τοῦ ἀποστόλου καὶ μάρτυρος Θωμᾶ,*
*τοῦ διακειμένου ἐν τῇ Δρυπίᾳ,*
*καὶ ἀναχωρήσαντος πρὸ τῆς διαλέξεως· ἐλέχθη*
*μετὰ τὴν ἀναχώρησιν τὴν ἐκείνου πρὸς τὸ πλῆθος.*

*1. Εὐλογητὸς ὁ Θεός, ἡλίκαι τῶν μαρτύρων αἱ δυνάμεις· χθὲς ἡμῖν τὴν πόλιν ὁλόκληρον μετὰ τῆς βασιλίδος, σήμερον τὸν βασιλέα μετὰ τοῦ στρατοπέδου ἐνταῦθα εἵλκυσαν μετὰ πολλῆς τῆς εὐλαβείας, οὐ δεσμὰ περιθέντες, ἀλλὰ τῆς ἀγάπης τὴν ἅλυσιν, ἅλυσιν μηδέποτε διακοπτομένην. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, οὐχ ὅτι παραγέγονε βασιλεύς, ἀλλ' ὅτι μετὰ πολλῆς προθυμίας, οὐκ ἀνάγκῃ, ἀλλὰ γνώμῃ, οὐ χάριν διδούς, ἀλλὰ χάριν λαμβάνων· καὶ ὁ πάντας εὐεργετῶν τοὺς κατὰ τὴν οἰκουμένην, ἦλθεν εὐεργεσίας ἀπολαύσων παρὰ τῶν ἁγίων τούτων, καὶ τὰ μέγιστα καρπωσόμενος ἀγαθά. Διά τοι τοῦτο καὶ αὐτὸς τὸ διάδημα καὶ οἱ δορυφόροι πάντες, οἱ μὲν τὰς ἀσπίδας, οἱ δὲ τὰ δόρατα ἀποθέμενοι, καὶ τὴν φαντασίαν ἐκείνην ἀφέντες, μετὰ κατεσταλμένης παρεγένοντο διανοίας ἅπαντες, ὡς ἀπὸ γῆς εἰς τὸν οὐρανὸν εἰσιόντες, ἔνθα ἀξιώματα ἐκποδών, βίου δὲ ἐπίδειξις διαλάμπει μόνον καὶ ἀρετῆς καρποί.*



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΗΡΘΕ Ο ΒΑΣΙΛΙΑΣ ΤΗΝ [illegible]ΜΕΝΗ ΗΜΕΡΑ

στὸ μαρτύριο τοῦ ἀποστόλου καὶ μάρτυρα Θωμᾶ,
ποὺ βρίσκεται στὴ Δρυπία,
καὶ ἀναχώρησε πρὶν ἀπὸ τὴν ὁμιλία, ποὺ λέχθηκε
στὸ πλῆθος μετὰ τὴν ἀναχώρησή του.

1. Εὐλογητὸς ὁ Θεός· πόσο μεγάλες εἶναι οἱ δυνάμεις τῶν μαρτύρων. Χθὲς ὁλόκληρη τὴν πόλη μας μὲ τὴ βασίλισσα, σήμερα τὸ βασιλιὰ μὲ τὸ στρατὸ προσείλκυσαν ἐδῶ μὲ πολλὴ εὐλάβεια, ἀφοῦ τοὺς φόρεσαν ὄχι δεσμά, ἀλλὰ τὴν ἁλυσίδα τῆς ἀγάπης, ἁλυσίδα ποὺ ποτὲ δὲν κόβεται. Καὶ τὸ πιὸ θαυμαστὸ εἶναι αὐτό, ὄχι ὅτι ἦρθε ἐδῶ ὁ βασιλιάς, ἀλλὰ ὅτι ἦρθε μὲ πολλὴ προθυμία, ὄχι ἀπὸ ἀνάγκη, ἀλλὰ ἀπὸ διάθεση, ὄχι γιὰ νὰ εὐχαριστήσει, ἀλλὰ γιὰ νὰ τὸν εὐχαριστήσουν· καὶ αὐτὸς ποὺ εὐεργετεῖ ὅλους στὴν οἰκουμένη, ἦρθε γιὰ ν' ἀπολαύσει εὐεργεσία ἀπὸ τοὺς ἁγίους αὐτοὺς καὶ γιὰ νὰ κερδίσει τὰ πιὸ μεγάλα ἀγαθά. Γι' αὐτὸ λοιπὸν καὶ αὐτὸς τὸ στέμμα καὶ οἱ σωμαροφύλακες ὅλοι, ἄλλοι τὶς ἀσπίδες, ἄλλοι τὰ δόρατα ἀφοῦ ἀπέθεσαν, καὶ τὴν πολυτέλεια ἐκείνη ἀφοῦ ἄφησαν, ἦρθαν ὅλοι μὲ συνεσταλμένη τὴ σκέψη, σὰν νὰ πέρασαν ἀπὸ τὴ γῆ στὸν οὐρανό, ὅπου τὰ ἀξιώματα καὶ ἡ δόξα καὶ ὅλη αὐτὴ ἡ ἐμφάνιση τῶν ἀξιωμάτων χάνονται καὶ λάμπει μόνο ἡ ἐπίδειξη τοῦ βίου καὶ οἱ καρποὶ τῆς ἀρετῆς. Ἂν ὅμως ἐδῶ εἶναι τόσο μεγάλη ἡ δύναμη

*Εἰ δὲ ἐνταῦθα τοσαύτη τῶν μαρτύρων ἡ δύναμις, ἐννόησον ἐν οὐρανοῖς ἡλίκη· εἰ ἐν τῷ καιρῷ τῶν ἀγώνων καὶ τῶν παλαισμάτων τοιαῦται αὐτῶν αἱ τιμαί, ἐν τῷ καιρῷ τῆς ἀντιδόσεως ἡλίκα ἔσται τὰ βραβεῖα;*

*Καὶ γὰρ καὶ τὰ ἡμέτερα οὐ μέχρι τοῦ παρόντος καταλύει, ἀλλὰ πρὸς ἑτέραν ἀμείνω ζωὴν τῆς παρούσης ὁδεύομεν, καὶ πρὸς μακροτέρας βαδίζομεν ἐλπίδας καὶ ἀγαθῶν ἀπόλαυσιν ἀθάνατον οὐκ ἐχόντων τέλος. Εἰς δύο γὰρ τούτους αἰῶνας τὴν ζωὴν ἡμῶν διεῖλεν ὁ Θεός, καὶ τὸν μὲν παρόντα ἐπίπονον ἐποίησε, τὸν δὲ μέλλοντα ἡδὺν καὶ ἀκήρατον, ἵνα, ὀλίγα πονήσαντες ἐνταῦθα, τῶν ἀκηράτων ἀπολαύσωμεν ἐκεῖ στεφάνων. Ἐβούλετο μὲν γὰρ καὶ ἐκ προοιμίων εὐθέως ἐπ' ἐκείνην ἡμᾶς ἀγαγεῖν τὴν ζωήν, ἀλλ' ἡμεῖς οὐκ εἰάσαμεν, τῇ ῥαθυμίᾳ πολλὴν ἐργασάμενοι τὴν ἀναβολὴν καὶ διὰ τῆς ἀγνωμοσύνης κατασκευάσαντες τὴν μέλλησιν ταύτην τὴν μακράν. Καὶ τοῦτο ἐκ τῶν ἐξ ἀρχῆς ἡμῖν γενομένων πειράσομαι ποιῆσαι δῆλον. Καὶ γὰρ τοιοῦτος ὁ Θεός· ὅταν μέλλῃ τι παρέχειν ἡμῖν χρηστόν, κἂν ἀνάξιοι φαινώμεθα τῆς αὐτοῦ φιλοτιμίας, ὅμως ἐνδείκνυται διὰ πάντων ὅτι αὐτὸς μὲν ἐβούλετο, παρὰ δὲ τὴν ἡμετέραν ῥαθυμίαν τὸ ἐκπεσεῖν ὧν ἐβούλετο γέγονε. Τοῦτο δὴ καὶ ἐξ ἀρχῆς ἐποίησε.*

*Πλάτων γὰρ τὸν ἄνθρωπον, εὐθέως οὐ μετὰ πόνων, οὐ μετὰ ταλαιπωρίας, οὐ μετὰ λύπης αὐτὸν ἔπλασεν, οὐ θνητὸν εἰργάσατο, ἀλλὰ καὶ ἀθυμίας καὶ ἱδρώτων καὶ θανάτου τέως ἐκτὸς ἦν. Οὐ γὰρ ἄν, εἴπερ ἐξ ἀρχῆς αὐτῷ ταῦτα συνεκλήρωσεν, ὕστερον μετὰ τὴν παράβασιν ἐν τάξει κολάσεως καὶ τιμωρίας τούτοις ἂν αὐτὸν κατεδίκασε. Γενόμενος τοίνυν τούτων χωρίς, ὑπὲρ τὸν ἥλιον αὐτὸν ἔλαμπε, γυμνὸς μὲν ἱματίων ὤν, δόξῃ δὲ περιβεβλημένος. Καὶ γὰρ καὶ τοῦτο τῆς μακαριότητος αὐτοῦ μέγιστον ἦν σημεῖον, τὸ μήτε*

τῶν μαρτύρων, σκέψου πόση εἶναι στοὺς οὐρανούς. Ἂν στὸν καιρὸ τῶν ἀγώνων καὶ τῶν προσπαθειῶν τέτοιες εἶναι οἱ τιμές τους, στὸν καιρὸ τῆς ἀνταπόδοσης πόσο μεγάλα θὰ εἶναι τὰ βραβεῖα;

Γιατὶ καὶ τὰ δικά μας δὲν τελειώνουν στὴν παρούσα ζωή, ἀλλὰ πηγαίνουμε σ' ἄλλη ζωὴ καλύτερη ἀπὸ τὴν παρούσα καὶ βαδίζουμε σὲ μεγαλύτερες ἐλπίδες καὶ σ' ἀπόλαυση αἰώνια ἀγαθῶν ποὺ δὲν ἔχουν τέλος. Γιατὶ ὁ Θεὸς χώρισε τὴ ζωή μας στοὺς δύο αὐτοὺς αἰῶνες, ἀπὸ τοὺς ὁποίους τὸν παρόντα τὸν ἔκαμε κουραστικό, ἐνῶ τὸ μελλοντικὸ εὐχάριστο καὶ αἰώνιο, γιὰ ν' ἀπολαύσουμε ἐκεῖ τὰ αἰώνια στεφάνια, ἀφοῦ κουραστοῦμε λίγο ἐδῶ. Καὶ ἤθελε βέβαια ἀμέσως καὶ ἀπὸ τὴν ἀρχὴ νὰ μᾶς ὁδηγήσει σ' ἐκείνη τὴ ζωή, ἀλλὰ δὲν ἀφήσαμε ἐμεῖς, γιατὶ μὲ τὴν ἀδιαφορία μας κάναμε μεγάλη τὴν ἀναβολὴ καὶ μὲ τὴν ἀχαριστία μας προκαλέσαμε αὐτὴν τὴ μεγάλη καθυστέρηση. Καὶ αὐτὸ ἀπ' ὅσα μᾶς ἔγιναν στὴν ἀρχὴ θὰ προσπαθήσω νὰ τὸ κάμω φανερό. Γιατὶ πραγματικὰ τέτοιος εἶναι ὁ Θεός· ὅταν πρόκειται νὰ μᾶς δώσει κάτι καλό, καὶ ἂν ἀκόμη φαινόμαστε ἀνάξιοι γιὰ τὴ γενναιοδωρία του, ὅμως ἀποδεικνύει μὲ ὅλα πὼς αὐτὸς βέβαια ἤθελε, ἀλλὰ ἀπὸ τὴ δική μας ἀδιαφορία ἔγινε ἡ ἀπώλεια ἐκείνων ποὺ ἤθελε. Αὐτὸ ἀκριβῶς ἔκαμε καὶ στὴν ἀρχή.

Ὅταν λοιπὸν δημιουργοῦσε τὸν ἄνθρωπο, δὲν τὸν δημιούργησε ἀμέσως μὲ κόπους, οὔτε μὲ ταλαιπωρία, οὔτε μὲ λύπη, οὔτε τὸν ἔκαμε θνητό, ἀλλὰ στὴν ἀρχὴ ἦταν χωρὶς λύπη καὶ κόπους καὶ θάνατο. Γιατί, ἂν βέβαια ἀπὸ τὴν ἀρχὴ τὸν ἔνωνε μ' αὐτά, δὲ θὰ τὸν καταδίκαζε ὕστερα μετὰ τὴν παράβαση σὰν ποινὴ καὶ τιμωρία σ' αὐτά. Ἀφοῦ λοιπὸν δημιουργήθηκε χωρὶς αὐτά, ἔλαμπε περισσότερο ἀπ' αὐτὸν τὸν ἥλιο, γυμνὸς ἀπὸ ροῦχα, ντυμένος ὅμως μὲ δόξα. Γιατὶ βέβαια καὶ αὐτὸ ἦταν μέγιστη ἀπόδειξη τῆς μακαριότητάς του, τὸ νὰ μὴν ἔχει ἀνάγκη ἀπὸ ροῦχα, οὔτε ἀπὸ στέγη, οὔτε ἀπὸ κάποιο ἄλλο τέτοιο σκέπασμα, ἀλλὰ νὰ ἔχει τὸ σῶμα ἀνώτερο ἀπὸ τὴν ἀνάγκη τέτοιων

*ἱματίων δεῖσθαι, μὴ σκέπης, μὴ ἄλλης τινὸς τοιαύτης περιβολῆς, ἀλλ' ἔχειν σῶμα τῆς χρείας τῆς ἀπὸ τούτων ἀνώτερον. Οὐ ταύτῃ δὲ μόνον μακάριος ἦν, ἀλλ' ὅτι καὶ πρὸ τούτου τῆς πρὸς Θεὸν ἀπέλαυεν ὁμιλίας, καὶ τῇ παρρησίᾳ τῇ πρὸς αὐτὸν ἐνετρύφα. Καὶ ἄγγελοι μὲν ἔτρεμον, καὶ τὰ Χερουβεὶμ καὶ τὰ Σεραφεὶμ οὐδὲ ἀντιβλέψαι ἐτόλμων· αὐτὸς δὲ ὡσανεὶ φίλος φίλῳ διελέγετο.*

*Καὶ γὰρ ἡνίκα τὰ τῶν ἀλόγων ἐποίησε γένη, πρὸς αὐτὸν ἤγαγε, καὶ τὰ ὀνόματα πᾶσιν αὐτὸν ἐπέθηκε, καὶ ἔμεινεν ἀκίνητα τὰ ὀνόματα. Καὶ γὰρ καὶ τοῦτο μέγιστον τῆς τοῦ Θεοῦ τιμῆς τεκμήριον, οὐχ ὅτι αὐτῷ τὰ ὀνόματα ἐπιθεῖναι ἐκέλευσεν, ἀλλ' ὅτι, τοῦ ἀνθρώπου τὸν δοθέντα αὐτῷ νόμον κινήσαντος, ὁ Θεὸς τὴν τιμήν, ἣν ἔδωκεν αὐτῷ πρὸ τοῦ νόμου, οὐκ ἐκίνησεν, ἀλλὰ «πᾶν ὃ ἐκάλεσεν Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ». Εἶδες πῶς οὐδὲν τῆς παρούσης ἐκεῖ ζωῆς σύμβολον; οὐ τέχνας, οὐκ ἐμπορίας, οὐκ οἰκοδομάς, οὐκ ἐνδύματα, οὐκ ὑποδήματα, οὐ στέγην, οὐ τράπεζαν, οὐ πόνον, οὐ λύπην, οὐ θάνατον, οὐ τὸν τῶν ἄλλων παθῶν ἑσμόν, ἀλλὰ λαμπρὰ τὰ προοίμια, καὶ φαιδρὰ τὰ προπύλαια, καὶ τὴν ἀρχὴν ἐπὶ βελτίονα ζωὴν ὁδεύουσαν. Ἀλλ' οὐκ εἴασεν ὁ Ἀδάμ, ῥᾳθυμίᾳ ἀφάτῳ τῶν ἐπιταχθέντων ὑπερβὰς τοὺς ὅρους, καὶ μηδὲ ἑνὸς ἀποσχέσθαι καρτερήσας ξύλου· ἀλλ' ὅμως καὶ οὕτω πολλὴ ἡ τοῦ Θεοῦ φιλανθρωπία δείκνυται.*

*Καὶ γὰρ ἔθος τῷ Θεῷ τοιοῦτον, ὅταν τινὸς ἐκπέσωμεν διὰ ῥᾳθυμίαν, μὴ πρότερον ἀφίστασθαι πάντα ποιοῦντα καὶ πραγματευόμενον, ἕως ἂν ἡμᾶς ἐπὶ πολλῷ μείζονα ὧν ἐξεπέσαμεν ἐπαναγάγῃ, ὃ δὴ καὶ τότε συνέβη. Ἐξεπέσαμεν γὰρ παραδείσου, καὶ ἐλάβομεν οὐρανόν· διὸ καὶ μείζων τῆς ζημίας ἡ πραγματεία γέγονε. Ἀλλ' οὐκ εὐθέως εἰλήφαμεν· καὶ τοῦτο τῆς αὐτοῦ κηδεμονίας.*

1. Γεν. 2,19.

πραγμάτων. Καὶ δὲν ἦταν μακάριος μόνο γιὰ τὸ λόγο αὐτό, ἀλλὰ γιατὶ καὶ πρὶν ἀπ' αὐτὸ ἀπολάμβανε τὴν ἐπικοινωνία μὲ τὸ Θεὸ καὶ μὲ τὸ θάρρος του πρὸς αὐτὸν ἔβρισκε εὐχαρίστηση. Καὶ οἱ ἄγγελοι τὸν ἔτρεμαν, καὶ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ δὲν τολμοῦσαν οὔτε νὰ τὸν ἀντικρύσουν, ἐνῶ αὐτὸς συζητοῦσε σὰν φίλος μὲ φίλο.

Καὶ ὅταν δημιούργησε τὰ γένη τῶν ζώων, τὰ ὁδήγησε σ' αὐτόν, καὶ σὲ ὅλα αὐτὸς ἔδωσε τὰ ὀνόματα, καὶ ἔμειναν σταθερὰ τὰ ὀνόματα. Γιατὶ καὶ αὐτὸ εἶναι μέγιστη ἀπόδειξη τῆς τιμῆς τοῦ Θεοῦ, ὄχι γιατὶ τοῦ ἔδωσε ἐντολὴ νὰ δώσει τὰ ὀνόματα, ἀλλὰ γιατί, ἐνῶ ὁ ἄνθρωπος ἄλλαξε τὸ νόμο ποὺ τοῦ δόθηκε, ὁ Θεὸς δὲν ἄλλαξε τὴν τιμὴ ποὺ τοῦ ἔδωσε πρὶν ἀπὸ τὸ νόμο, ἀλλὰ «τὸ ὄνομα ποὺ ἔδωσε στὸ καθένα ὁ Ἀδάμ, αὐτὸ τὸ ὄνομα ἔμεινε σ' αὐτό»[1]. Εἶδες πῶς τίποτε δὲν ἔκαμε ἐκεῖ σύμβολο τῆς παρούσας ζωῆς· οὔτε τέχνες, οὔτε ἐμπόρια, οὔτε οἰκοδομές, οὔτε ἐνδύματα, οὔτε ὑποδήματα, οὔτε στέγη, οὔτε τραπέζι, οὔτε κόπο, οὔτε λύπη, οὔτε θάνατο, οὔτε τὸ πλῆθος τῶν ἄλλων παθῶν, ἀλλὰ λαμπρὴ τὴν ἀρχὴ καὶ εὐχάριστη τὴν εἴσοδο καὶ τὴν ἀρχὴ ποὺ ὁδηγοῦσε σὲ καλύτερη ζωή. Ἀλλὰ δὲν ἄφησε ὁ Ἀδάμ, ἀφοῦ ἀπὸ ἀνείπωτη ἀδιαφορία παρέβηκε τοὺς ὅρους τῶν ἐντολῶν καὶ δὲν ἄντεξε οὔτε ἀπὸ ἕνα δένδρο νὰ μὴ φάγει. Ἀλλ' ὅμως καὶ ἔτσι ἀποδεικνύεται μεγάλη ἡ φιλανθρωπία τοῦ Θεοῦ.

Γιατὶ τέτοια εἶναι ἡ συνήθεια στὸ Θεό, ὅταν ἀπὸ ἀδιαφορία χάσουμε κάτι, νὰ μὴ σταματάει νὰ κάνει καὶ νὰ μεταχειρίζεται τὰ πάντα, μέχρι ποὺ νὰ μᾶς ξαναφέρει σὲ πολὺ μεγαλύτερα ἀπ' αὐτὰ ποὺ χάσαμε, πράγμα βέβαια ποὺ ἔγινε καὶ τότε. Γιατὶ χάσαμε τὸν παράδεισο καὶ λάβαμε τὸν οὐρανό. Γι' αὐτὸ καὶ τὸ κέρδος ὑπῆρξε μεγαλύτερο ἀπὸ τὴ ζημιά. Ἀλλὰ δὲν τὸ λάβαμε ἀμέσως· καὶ αὐτὸ εἶναι ἀποτέλεσμα τῆς δικῆς του φροντίδας. Ἐπειδὴ δηλαδὴ εἶπε ὁ ἐχθρὸς ὅτι «θὰ εἶστε σὰν θεοί»[2], καὶ

---

2. Γεν. 3,5.

*Ἐπειδὴ γὰρ εἶπεν ὁ ἐχθρὸς ὅτι, «ἔσεσθε ὡς θεοί», καὶ ταύταις αὐτοὺς ἐφύσησε ταῖς ἐλπίσι, καὶ ἰσοθεΐαν προσδοκῆσαι παρεσκεύασε, καὶ εἰς ἀπόνοιαν ἤλειψε, καὶ μείζονα τῆς οἰκείας φύσεως λαβεῖν ἔννοιαν ἐποίησεν, ἐκ πολλοῦ τοῦ περιόντος τὸ ἕλκος τοῦτο θεραπεύων, εὐθέως ἀφίησιν ἐγχρονίσαι τῷ θανάτῳ, ὥστε τῇ πείρᾳ μαθεῖν τοῦ διαβόλου τὴν συμβουλήν, καὶ παιδευθεῖσαν καλῶς τὴν ψυχὴν μετριάζειν, τότε ἀθάνατον ἀπολαβεῖν τὸ σῶμα. Τέως μέντοι τοῦ θανάτου τὸν φόβον ἐνακμάζειν ἠβούλετο τῇ διανοίᾳ, καὶ φοβερὸν τὸ πρᾶγμα φαίνεσθαι.*

2. *Διά τοι τοῦτο καὶ τὸν Ἄβελ συνεχώρησεν ἀποθανεῖν πρῶτον, ἵνα ὁ παραβὰς διὰ τῆς ὄψεως αὐτῆς μάθῃ, τί ποτέ ἐστι θάνατος, καὶ πῶς βαρὺ πρᾶγμα καὶ ἐπαχθές. Εἰ μὲν γὰρ αὐτὸς ἐτελεύτησε πρῶτος, οὐκ ἂν ἔγνω τοῦ πράγματος τὴν φύσιν, μηδέποτε ἄλλον ἰδὼν νεκρόν· νυνὶ δὲ αὐτὸς μὲν ζῶν, ἐν ἑτέρῳ δὲ σώματι ὁρῶν τὸν θάνατον κρατοῦντα, τῷ τοῦ παιδός, ἀκριβέστερον καὶ σαφέστερον ἐμάνθανε τῆς κολάσεως τὸ μέγεθος. Διά τοι τοῦτο οὐδὲ ἁπλῶς ἐν ἀλλοτρίῳ σώματι, ἀλλ' ἐν τῷ τοῦ παιδὸς αὐτὸν εἶδεν, ἔνθα μετὰ τῆς τοῦ πράγματος φύσεως ἡ τυραννὶς χαλεπωτέραν ἐποίει τὴν ὀδύνην, καὶ μετὰ τῆς φύσεως ἡ ἀρετὴ τοῦ παιδός, καὶ μετὰ τῆς ἀρετῆς τὸ τῆς ἡλικίας ἄνθος· οὐ γὰρ ἐν γήρᾳ, ἀλλ' ἐν αὐτῇ τῇ ἀκμῇ τῆς νεότητος τὴν τελευτὴν ἐδέξατο· καὶ πρὸς τούτοις ἅπασι τὸ παρὰ ἀδελφοῦ ταῦτα παθεῖν, καὶ παρὰ ἀδελφοῦ παρανόμως καὶ ἀδίκως. Διὰ γὰρ ἁπάντων τούτων φοβερὸν τὸ προσωπεῖον τοῦ θανάτου κατεσκευάζετο καὶ τῇ ὄψει ἀλγεινότερον, καὶ ἡ ὀδύνη τῷ Ἀδὰμ ἠγείρετο χαλεπωτέρα, ἑκάστου τῶν εἰρημένων μεγάλην ἀνάπτοντος κάμινον καὶ δριμυτέραν τὴν φλόγα ἐργαζομένου, καὶ παιδεύοντος εἰς ὅσον κακὸν αὐτὸν ἐνέβαλεν ὁ διάβολος.*

*Εἰ γὰρ ἡμεῖς καθ' ἑκάστην ἡμέραν ὁρῶντες νεκροὺς θορυ-*

τοὺς φούσκωσε μ' αὐτὲς τὶς ἐλπίδες καὶ τοὺς ἔκαμε νὰ περιμένουν πὼς θὰ γίνουν ἴσοι μὲ τὸ Θεὸ καὶ τοὺς παρακίνησε στὴν ἀνοησία καὶ τοὺς ἔκαμε νὰ σκεφθοῦν μεγαλύτερα ἀπὸ τὴ φύση τους, θέλοντας νὰ θεραπεύσει πολὺ πιὸ ἀποτελεσματικὰ τὴν πληγὴ αὐτή, ἀμέσως ἀφήνει νὰ ὑποπέσει στὸ θάνατο, ὥστε μὲ τὴν πείρα νὰ μάθει τὴ συμβουλὴ τοῦ διαβόλου καί, ἀφοῦ ἀσκηθεῖ καλὰ ἡ ψυχὴ στὸ νὰ ταπεινώνεται, τότε νὰ πάρει ἀθάνατο τὸ σῶμα. Πρῶτα ὅμως ἤθελε νὰ κυριαρχεῖ στὴ σκέψη του ὁ φόβος τοῦ θανάτου καὶ νὰ φαίνεται φοβερὸ τὸ πράγμα.

2. Γι' αὐτὸ λοιπὸν ἐπέτρεψε καὶ τὸν Ἄβελ νὰ πεθάνει πρῶτος, ὥστε, βλέποντας αὐτὸ ἐκεῖνος ποὺ ἔκαμε τὴν παράβαση[3], νὰ μάθει τί τέλος πάντων εἶναι ὁ θάνατος καὶ πῶς εἶναι βαρὺ καὶ δυσάρεστο πράγμα. Γιατί, ἂν αὐτὸς πέθαινε πρῶτος, δὲ θὰ γνώριζε τὴ φύση τοῦ πράγματος, ἀφοῦ ποτὲ δὲ θὰ ἔβλεπε ἄλλο νεκρό. Τώρα ὅμως ποὺ αὐτὸς ζεῖ καὶ βλέπει τὸ θάνατο νὰ κυριαρχεῖ σ' ἄλλο σῶμα, στὸ σῶμα τοῦ παιδιοῦ του, μάθαινε πιὸ καλὰ καὶ πιὸ καθαρὰ τὸ μέγεθος τῆς τιμωρίας. Γι' αὐτὸ ἀκριβῶς εἶδε τὸ θάνατο ὄχι σὲ ξένο σῶμα ἀλλὰ στὸ σῶμα τοῦ παιδιοῦ του, ὅπου μαζὶ μὲ τὸν ἴδιο τὸ θάνατο ἡ τυραννία τῆς φύσης ἔκαμε πιὸ φοβερὸ τὸν πόνο, καὶ μαζὶ μὲ τὴ φύση ἡ ἀρετὴ τοῦ παιδιοῦ, καὶ μαζὶ μὲ τὴν ἀρετὴ τὸ ἄνθος τῆς ἡλικίας, γιατὶ δέχθηκε τὸ θάνατο ὄχι στὰ γηρατειά, ἀλλὰ σ' αὐτὴ τὴν ἀκμὴ τῆς νεότητας· καὶ μαζὶ μ' ὅλα αὐτὰ τὸ ὅτι τὰ ἔπαθε αὐτὰ ἀπὸ ἀδελφὸ καὶ μάλιστα ἀπὸ ἀδελφὸ μὲ τρόπο παράνομο καὶ ἄδικο. Μὲ ὅλα λοιπὸν αὐτὰ κατασκευαζόταν φοβερὸ τὸ προσωπεῖο τοῦ θανάτου καὶ στὴν ὄψη πιὸ ὀδυνηρό, καὶ ὁ πόνος στὸν Ἀδὰμ προκαλοῦνταν πιὸ φοβερός, ἀφοῦ τὸ καθένα ἀπ' αὐτὰ ποὺ λέχθηκαν ἄναβε μεγάλο καμίνι καὶ ἔκαμε πιὸ δυνατὴ τὴ φλόγα καὶ τὸν μάθαινε σὲ πόσο μεγάλο κακὸ τὸν ἔρριξε ὁ διάβολος.

Γιατὶ ἂν ἐμεῖς, ποὺ κάθε ἡμέρα βλέπουμε νεκρούς, συγχυ-

3. Δηλ. ὁ Ἀδάμ.

*βούμεθα, ταραττόμεθα, συστελλόμεθα, καὶ οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ τὰς ὀφρῦς ἀνασπῶντες καὶ ἐπὶ τῶν μεγάλων ὄντες ἀξιωμάτων καὶ πεφυσιωμένοι, εἰ παραγίνονται ἐπ' ἐκφορᾷ καὶ τοῦ τυχόντος νεκροῦ, τῇ ὄψει συστέλλονται καὶ γίνονται παντὸς ταπεινότεροι, τί εἰκὸς ἦν παθεῖν ἐκεῖνον τὸν πρῶτον βλέποντα νεκρόν, καὶ ἐν τῷ τοῦ παιδὸς σώματι, καὶ παιδὸς τοιούτου, καὶ μηδέπω τῇ συνεχείᾳ τῶν τελευτώντων μελετήσαντα τὸ πάθος, ἀλλὰ τῷ ξένῳ μάλιστα θορυβούμενον; τί πάσχειν εἰκὸς ἦν ὁρῶντα μὴ κωκυτῶν, μὴ κινούμενον, μὴ συναλγοῦντα τῷ πενθοῦντι πατρί, μὴ τὰ συνήθη πράττοντα; Μὴ γὰρ δὴ τὴν παροῦσαν κατάστασιν ἴδῃς, ἀλλ' ἐννόησον, ὅτι τότε πρῶτον ἐκεῖνον νεκρὸν εἶδεν ὁ ἄνθρωπος, καὶ πολλοῦ μὲν τοῦ δέους, πολλῆς δὲ ἐπληροῦτο τῆς ταραχῆς.*

*Ἀλλ' ὅμως μετὰ τούτου καὶ τὰ τῆς παρακλήσεως ἐπενόησεν ὁ Θεός· οὐδὲ γὰρ τὸν φόβον αὐξηθῆναι τοῦ θανάτου μόνον ἠβούλετο, ἀλλά τινα καὶ παραμυθίαν τὸν ἄνθρωπον καρπώσασθαι. Ποίαν δὴ ταύτην; Τὴν ἀπὸ τῆς ἀναστάσεως. Ἀλλ' εὐθέως μὲν αὐτὴν οὐκ ἔδωκεν, εὐθέως δὲ αὐτῆς τὰς ἐλπίδας ἀμυδρῶς καὶ ὡς ἐν αἰνίγματι διήνοιξεν. Ἐπειδὴ γὰρ ὁ φόβος ηὐξήθη καλῶς καὶ τοῦ ἀνθρώπου τὴν διάνοιαν κατέσεισε καὶ ἐδείχθη τί ποτε ἦν ὁ θάνατος, πῶς βαρὺ καὶ ἐπαχθὲς καὶ φορτικόν, οὐκ ἀπὸ τῆς ὄψεως τῆς τότε γενομένης μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν μετὰ τὴν ὄψιν, τῶν σκωλήκων, τῆς δυσωδίας, τοῦ ἰχῶρος, τῆς τέφρας, τῶν ἄλλων ἁπάντων τῶν τῷ νεκρῷ παρακολουθούντων σώματι· ἐπειδὴ οὖν ὁ φόβος ηὐξήθη καὶ κατέσεισε τὴν διάνοιαν, ὅρα πῶς καὶ τὴν ἀπὸ τῆς ἀναστάσεως εἰσάγει λοιπὸν ἐλπίδα, ἀμυδρὰν μὲν καὶ ἀσαφῆ, εἰσάγει δὲ οὖν ὅμως. Τὸν γὰρ Ἐνὼχ μετὰ ταῦτα γενόμενον οὐκ ἀφῆκεν ἀποθανεῖν· καί φησι Παῦλος· «πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνα-*

ζόμαστε, ταραζόμαστε, φοβούμαστε, καὶ ὄχι μόνο ἐμεῖς, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ σηκώνουν τὰ φρύδια τους καὶ βρίσκονται στὰ μεγάλα ἀξιώματα καὶ εἶναι φαντασμένοι, ὅταν παραβρίσκονται στὴν κηδεία καὶ τοῦ τυχαίου νεκροῦ, συστέλλονται στὸ πρόσωπο καὶ γίνονται πιὸ ταπεινοὶ ἀπὸ τὸν καθένα, τί ἦταν φυσικὸ νὰ πάθει ἐκεῖνος ποὺ ἔβλεπε τὸν πρῶτο νεκρό, καὶ στὸ σῶμα τοῦ παιδιοῦ του, καὶ μάλιστα τέτοιου παιδιοῦ, καὶ ποὺ δὲν εἶχε συνηθίσει ἀκόμη τὸ πάθος μὲ τοὺς συχνοὺς νεκρούς, ἀλλὰ ποὺ ταραζόταν πάρα πολὺ μὲ τὸ παράξενο θέαμα; Τί ἦταν φυσικὸ νὰ παθαίνει ὅταν τὸ ἔβλεπε νὰ μὴν αἰσθάνεται φωνή, οὔτε ἄγγιγμα, οὔτε δάκρυα, οὔτε τοὺς θρήνους, νὰ μὴν κινεῖται, νὰ μὴ συμπονάει τὸν πατέρα του ποὺ πενθεῖ, νὰ μὴν κάνει τὰ συνηθισμένα; Γιατὶ μὴ δεῖς τὴν τωρινὴ κατάσταση, ἀλλὰ σκέψου πὼς τότε ὁ ἄνθρωπος εἶδε ἐκεῖνον πρῶτον νεκρὸ καὶ ἦταν γεμάτος ἀπὸ πολὺ φόβο καὶ ἀπὸ μεγάλη ταραχή.

Ἀλλ' ὅμως μαζὶ μ' αὐτὸν ἐπινόησε ὁ Θεὸς καὶ τὴν παρηγοριά, γιατὶ δὲν ἤθελε μόνο νὰ μεγαλώσει ὁ φόβος τοῦ θανάτου, ἀλλὰ νὰ κερδίσει ὁ ἄνθρωπος καὶ κάποια παρηγοριά. Ποιὰ λοιπὸν εἶναι αὐτή; Ἡ παρηγοριὰ ἀπὸ τὴν ἀνάσταση. Ὅμως ἀμέσως δὲν τὴν ἔδωσε, ἀλλ' ἀμέσως φανέρωσε τὶς ἐλπίδες της ἀμυδρὰ καὶ σκοτεινά. Ἐπειδὴ δηλαδὴ αὐξήθηκε πολὺ ὁ φόβος καὶ τάραξε τὴν ψυχὴ τοῦ ἀνθρώπου, καὶ φάνηκε τί τέλος πάντων ἦταν ὁ θάνατος, πῶς ἦταν βαρὺ καὶ δυσάρεστο καὶ ἐνοχλητικὸ πράγμα, ὄχι μόνο ὅταν εἶδε τὸ νεκρὸ τότε, ἀλλὰ καὶ ἀπ' αὐτὰ ποὺ ἔρχονται μετά, ἀπὸ τὰ σκουλήκια, τὴ δυσωδία, τὸ σάπισμα, τὴν τέφρα, καὶ ὅλα τὰ ἄλλα ποὺ ἔρχονται μετὰ στὸ νεκρὸ σῶμα, κοίταξε πῶς δίνει στὴ συνέχεια καὶ τὴν ἐλπίδα τῆς ἀνάστασης, ἀμυδρὴ βέβαια καὶ σκοτεινή, ἀλλ' ὅμως τὴ δίνει. Γιατὶ τὸν Ἐνὼχ ποὺ ἔζησε ὕστερα ἀπ' αὐτὰ δὲν τὸν ἄφησε νὰ πεθάνει. Καὶ λέγει ὁ Παῦλος, «μὲ τὴν πίστη ὁ Ἐνὼχ μετατέθηκε γιὰ νὰ μὴ δεῖ θάνατο, καὶ δὲ βρισκόταν, γιατὶ τὸν εἶχε μεταθέσει ὁ Θεός»[4]. Τὸν μετάθεσε καὶ δὲν τὸν ἄφησε νὰ πεθάνει.

---

4. Ἑβρ. 11,5.

*τον, καὶ οὐχ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός». Μετέθηκεν καὶ οὐκ ἀφῆκεν ἀποθανεῖν· οὐ μὴν ἀθάνατον τέως ἐποίησεν, ὥστε μὴ ἐκλῦσαι τὸν φόβον, ἀλλὰ μένει μὲν οὐκ ἀποθανών, οὐ μήν ἐστιν ἀθάνατος, ἀλλ' ἐν τῷ θνητῷ σώματι μῆκος ζωῆς ἐχαρίσατο· παρανοίγων, ὡς εἶπον, ἀμυδρῶς πρὸ τῆς ἀναστάσεως τὰς ἐλπίδας.*

*Διά τοι τοῦτο καὶ πρῶτον δίκαιον συνεχώρησεν ἀποθανεῖν· μετὰ γὰρ τῆς εἰρημένης αἰτίας οὐκ ἄν τις ἁμάρτοι καὶ ταύτην εἰπών. Ποίαν δὴ ταύτην; Τὴν τῆς ἀναστάσεως. Ἐπειδὴ γὰρ οὐκ ἔμελλε διηνεκῶς ὁ θάνατος κρατεῖν, διὰ τοῦτο τὸν πρῶτον αὐτοῦ θεμέλιον καὶ τὴν πρώτην ρίζαν ἐν δικαιώματι παγῆναι ἐποίησεν, ἵνα σαθρὸς ὁ θεμέλιος γένηται. Ὥσπερ γὰρ ἁμαρτία θανάτου τροφή, οὕτω δικαιοσύνη θανάτου ἀναίρεσις καὶ ἀφανισμός. Συνεχώρησε τοίνυν τὸν πρῶτον μέλλοντα τελευτᾶν δίκαιον εἶναι, ἐκ προοιμίων ἡμῖν διαλεγόμενος, καὶ χρηστὰς ὑποφαίνων ἐλπίδας καὶ δεικνύς, ὅτι οὐκ ἀφήσει τὸ γένος ἡμῶν ἐναπομεῖναι τῇ τελευτῇ· διὸ δὴ καὶ σαθρότερον κατεβάλετο αὐτῷ τὸν θεμέλιον.*

*3. Εἶτα μετὰ τὸν Ἐνὼχ ἐπὶ τοῦ Νῶε ἑτέρῳ πάλιν τρόπῳ ἀναστάσεως ὄψιν ἡμῖν ἔδειξε. Τί γὰρ τῶν τετελευτηκότων ἄμεινον διέκειτο ἐν τοσούτῳ βυθῷ καὶ σκότῳ καὶ δεσμωτηρίῳ κατακεκλεισμένος ὁ Νῶε; Ἀλλ' ὅμως τὰ πελάγη ἐκεῖνα τὰ ἄπειρα, τὰ καλύψαντα τὰς κορυφὰς τῶν ὀρῶν, τὸν ἐν τῇ κιβωτῷ οὐ κατεπόντισεν, ἀλλ' ὥσπερ ἐκ θανάτου ἀναστάς, οὕτως ἐκ τοῦ μακροῦ χειμῶνος ἐξῄει τότε ἐκείνου ὁ Νῶε, τῆς ἀναστάσεως τὴν ὄψιν ἐπὶ τῆς οἰκείας δεικνὺς σωτηρίας. Πάλιν μετ' ἐκεῖνον (ὅσῳ γὰρ ὁ χρόνος προῄει, τοσούτῳ τρανότεροι καὶ αἱ εἰκόνες τῆς ἀναστάσεως ἐδείκνυντο) καὶ ἐπὶ τοῦ Ἰωνᾶ τὸ αὐτὸ τοῦτο εἰργάσατο. Αἱ γὰρ τρεῖς ἡμέραι αἱ ἐν τῷ κήτει τῶν τριῶν ἡμερῶν τῶν ἐν τῷ θανάτῳ σύμβολον ἦσαν, καὶ ἡ ἀπαλλαγὴ τοῦ κήτους τῆς ἀναστάσεως τοῦ δε-*

Ὅμως δὲν τὸν ἔκαμε πρῶτα ἀθάνατο, γιὰ νὰ μὴ διαλύσει τὸ φόβο, ἀλλὰ παραμένει βέβαια χωρὶς νὰ πεθάνει, ὅμως δὲν εἶναι ἀθάνατος, ἀλλὰ στὸ θνητὸ σῶμα χάρισε διάρκεια ζωῆς, φανερώνοντας, ὅπως εἶπα, ἀμυδρὰ τὶς ἐλπίδες πρὶν ἀπὸ τὴν ἀνάσταση.

Γι' αὐτὸ ἀκριβῶς ἐπέτρεψε καὶ τὸν πρῶτο δίκαιο νὰ πεθάνει, γιατὶ μαζὶ μὲ τὴν αἰτία ποὺ λέχθηκε δὲ θὰ ἔσφαλλε κανείς, ἂν ἔλεγε καὶ αὐτήν. Ποιά λοιπὸν εἶναι αὐτή; Ἡ αἰτία τῆς ἀνάστασης. Ἐπειδὴ δηλαδὴ δὲν ἐπρόκειτο νὰ ἐξουσιάζει παντοτινὰ ὁ θάνατος, γι' αὐτὸ ἔκαμε νὰ στηριχθεῖ τὸ πρῶτο του θεμέλιο καὶ ἡ πρώτη ρίζα ἐπάνω σ' ἕνα δίκαιο ἄνθρωπο, γιὰ νὰ γίνει σάπιο τὸ θεμέλιο. Γιατί, ὅπως ἡ ἁμαρτία εἶναι ἡ τροφὴ τοῦ θανάτου, ἔτσι ἡ δικαιοσύνη εἶναι κατάργηση καὶ ἀφανισμὸς τοῦ θανάτου. Ἐπέτρεψε λοιπὸν νὰ εἶναι δίκαιος ὁ πρῶτος ποὺ ἐπρόκειτο νὰ πεθάνει γιὰ νὰ μᾶς πεῖ ἀπὸ τὴν ἀρχὴ καὶ νὰ μᾶς φανερώσει καλὲς ἐλπίδες καὶ νὰ δείξει, ὅτι δὲ θ' ἀφήσει τὸ ἀνθρώπινο γένος νὰ παραμείνει στὸ θάνατο. Γι' αὐτὸ ἀκριβῶς καὶ τὸ θεμέλιό του κτιζόταν πιὸ σάπιο.

3. Ἔπειτα μετὰ τὸν Ἐνὼχ στὸ Νῶε πάλι μᾶς ἔδειξε μὲ ἄλλο τρόπο τὴν ὄψη τῆς ἀνάστασης. Ὡς πρὸς τί δηλαδὴ ὁ Νῶε βρισκόταν σὲ καλύτερη κατάσταση ἀπὸ τοὺς πεθαμένους κλεισμένος σὲ τόσο μεγάλο βυθὸ καὶ σκοτάδι καὶ φυλακή; Ἀλλ' ὅμως τὰ πελάγη ἐκεῖνα τὰ ἄπειρα, ποὺ κάλυψαν τὶς κορυφὲς τῶν βουνῶν, δὲν καταπόντισαν αὐτὸν ποὺ ἦταν μέσα στὴ φυλακή. Ἀλλὰ σὰν νὰ ἀναστήθηκε ἀπὸ τὸ θάνατο, ἔτσι ἔβγαινε τότε ὁ Νῶε ἀπὸ τὴν τρικυμία ἐκείνη ποὺ κράτησε πολύ, φανερώνοντας στὴ δική του σωτηρία τὴν ὄψη τῆς ἀνάστασης. Πάλι ὕστερα ἀπ' αὐτὸν (γιατὶ ὅσο ὁ καιρὸς προχωροῦσε, τόσο φανερώνονταν πιὸ τρανὲς καὶ οἱ εἰκόνες τῆς ἀνάστασης) ἀκριβῶς τὸ ἴδιο ἔκαμε καὶ στὸν Ἰωνᾶ. Γιατὶ οἱ τρεῖς ἡμέρες ποὺ ἦταν μέσα στὸ κῆτος συμβόλιζαν τὴν παραμονὴ γιὰ τρεῖς ἡμέρες στὸ θάνατο, καὶ ἡ ἀπαλλαγή του ἀπὸ τὸ κῆτος ἦταν προαναγγελία τῆς ἀνάστασης τοῦ σώματος τοῦ Κυρίου. Γι' αὐτὸ καὶ ἐκεῖνος ἔλεγε·

σποτικοῦ σώματος προανακήρυξις ἦν· διὸ καὶ αὐτὸς ἔλεγε, «σημεῖον ἐπιζητεῖ ἡ γενεὰ αὕτη, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον τοῦ Ἰωνᾶ· ὥσπερ γὰρ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐποίησεν, οὕτως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας».

Καὶ τὴν γέννησιν δὲ τοῦ Ἰσαὰκ οὐκ ἄν τις ἁμάρτοι ἀναστάσεως τύπον προσειπών. Διά τοι τοῦτο καὶ ὁ Παῦλος διηγησάμενος τὰ κατὰ τὰς γονὰς αὐτοῦ τὰς ἀπὸ τῆς στείρας, καὶ εἰπὼν ὅτι ὁ πατὴρ αὐτοῦ παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε, καὶ ὅτι «μὴ ἀσθενήσας τῇ πίστει, καταενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι καθ' ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι»· διὸ καὶ ἐπήγαγεν· «οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν». Δῆλον οὖν ὅτι ἡ γέννησις τοῦ Ἰσαὰκ τύπος ἦν τῆς ἀναστάσεως τοῦ Χριστοῦ.

Εἰ γὰρ μὴ τύπος ἦν, οὐκ ἂν ἐπήγαγε καὶ εἶπεν· «οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι». Οἱ γὰρ τύποι οὐ διὰ τοὺς δεχομένους κατὰ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν γίνονται γράφονται, ἀλλὰ καὶ διὰ τοὺς μέλλοντας ἀπ' αὐτῶν κερδαίνειν ἐν τῷ μετὰ ταῦτα χρόνῳ. Διὸ καὶ ἀλλαχοῦ φησι· «ταῦτα δὲ τύπος συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε». Καὶ ὁ Ἠλίας δὲ ἀναληφθεὶς ταύτην ἡμῖν ἤνοιγε τὴν ἐλπίδα τὴν τῆς ἀναστάσεως. Ἀλλ' ἐκεῖνα μὲν

---

5. Ματθ. 12,39–40.
6. Ρωμ. 4,19–21.

«ἡ γενεὰ αὐτὴ ζητάει θαῦμα, καὶ θαῦμα δὲ θὰ τῆς δοθεῖ, παρὰ μόνο τὸ θαῦμα τοῦ Ἰωνᾶ· ὅπως δηλαδὴ ὁ Ἰωνᾶς ἦταν τρεῖς ἡμέρες καὶ τρεῖς νύχτες στὴν κοιλιὰ τοῦ κήτους, ἔτσι καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ εἶναι τρεῖς ἡμέρες καὶ τρεῖς νύχτες στὴν καρδιὰ τῆς γῆς»[5].

Ἄλλωστε καὶ τὴ γέννηση τοῦ Ἰσαὰκ δὲ θὰ ἔσφαλλε κανεὶς ἂν τὴν ἔλεγε τύπο τῆς ἀνάστασης. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Παῦλος, ἀφοῦ διηγήθηκε τὰ σχετικὰ μὲ τὴ γέννησή του ἀπὸ τὴ στείρα καὶ ἀφοῦ εἶπε πὼς ὁ πατέρας του ἀντίθετα μὲ κάθε ἐλπίδα πίστεψε μὲ ἐλπίδα καὶ πώς, «ἐπειδὴ δὲν κλονίσθηκε στὴν πίστη, ἀντιλήφθηκε τὸ σῶμα του νεκρὸ καὶ τὴ νέκρωση τῆς μήτρας τῆς Σάρρας, ἀλλὰ στὴν ὑπόσχεση τοῦ Θεοῦ δὲν ἀμφέβαλε ἀπὸ ἀπιστία, ἀλλὰ πῆρε δύναμη ἀπὸ τὴν πίστη, ἀφοῦ ἔδωσε δόξα στὸ Θεὸ καὶ ἦταν τελείως πεπεισμένος ὅτι εἶναι δυνατὸς νὰ ἐκτελέσει ἐκεῖνο ποὺ ἔχει ὑποσχεθεῖ»[6], ὕστερα πρόσθεσε· «δὲ γράφτηκε ὅμως μόνο γι' αὐτόν, ἀλλὰ καὶ γιὰ μᾶς, στοὺς ὁποίους πρόκειται νὰ λογαριάζεται, σὲ ὅσους δηλαδὴ πιστεύουν στὸ Θεὸ ποὺ ἀνάστησε ἀπὸ τοὺς νεκροὺς τὸν Ἰησοῦ Χριστὸ τὸν Κύριό μας»[7]. Εἶναι φανερὸ λοιπὸν πὼς ἡ γέννηση τοῦ Ἰσαὰκ ἦταν τύπος τῆς ἀνάστασης τοῦ Χριστοῦ.

Γιατί, ἂν δὲν ἦταν τύπος, δὲ θὰ πρόσθετε καὶ δὲ θὰ ἔλεγε· «δὲ γράφτηκε ὅμως μόνο γι' αὐτόν, ἀλλὰ καὶ γιὰ μᾶς, στοὺς ὁποίους πρόκειται νὰ λογαριάζεται». Γιατὶ οἱ τύποι δὲ γράφονται γι' αὐτοὺς ποὺ τοὺς δέχονται τὸν καιρὸ ἐκεῖνο ποὺ γίνονται, ἀλλὰ γι' αὐτοὺς ποὺ πρόκειται νὰ ὠφελοῦνται ἀπ' αὐτοὺς στοὺς μεταγενέστερους χρόνους. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «καὶ αὐτὰ ποὺ συνέβαιναν σ' ἐκείνους ἦταν τύπος καὶ γράφτηκαν γιὰ νὰ νουθετήσουν ἐμᾶς στοὺς ὁποίους ἔφθασε τὸ τέλος τῶν αἰώνων»[8]. Ἀκόμη καὶ ὁ Ἠλίας ποὺ ἀναλήφθηκε μᾶς ἄνοιγε αὐτὴ τὴν ἐλπίδα τῆς ἀνάστασης. Ἀλλ' ἐκεῖνα βέβαια ἦταν σὰν τύποι,

---

7. Ρωμ. 4,23–25.
8. Α' Κορ. 10,11.

*ὡς ἐν τύποις· ἐπειδὴ δὲ ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς παρεγένετο μετὰ πολλοὺς καὶ ἀπείρους χρόνους, ἐν αὐτῷ τῷ ἔργῳ τὴν ἀνάστασιν ἡμῖν ἔδειξε διὰ τοῦ οἰκείου σώματος, ἀπολύσας αὐτὸ τῆς τοῦ θανάτου τυραννίδος· διὸ καὶ φησί, «Χριστὸς ἀποθανὼν καὶ ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει· ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ».*

*4. Ἀλλ' ἐν προοιμίοις μὲν ἀμυδρῶς ταῦτα ἐγένετο· τῆς τε γὰρ ἀναστάσεως ἡ ἐλπὶς ὡς ἐν αἰνίγματι παρεδείκνυτο ἡμῖν διὰ τοῦ Ἐνώχ, τοῦ τε θανάτου ἡ κατάλυσις διὰ τοῦ Ἄβελ· ἀμφότερα δὲ ταῦτα σαφῶς καὶ δήλως καὶ ὁλοσχερῶς καὶ ἐν ἀληθείᾳ διὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ γέγονεν. Ὅθεν δὴ καὶ δῆμοι μαρτύρων ἡμῖν ἐβλάστησαν, τοῦ θανάτου καταλυθέντος, τῆς δὲ ἀναστάσεως λαμπούσης. Διὰ τοῦτο καὶ ὁ παρὼν ἐπίπονος γέγονε βίος καὶ πολλῶν ἱδρώτων γέμων, ἵνα κἀντεῦθεν οἱ παχύτεροι τῶν ἀνθρώπων καὶ τοῖς παροῦσιν ἐμφιλοχωροῦντες ὠθούμενοι, καὶ πρὸς τὸ ἐπαχθὲς τῆς ζωῆς ταύτης ναρκῶντες, φεύγωσι μὲν ἡδονὰς καὶ τὴν πρὸς τὸν παρόντα βίον συμπάθειαν, πρὸς δὲ τὸν τῶν οὐρανῶν τρέχωσιν ἔρωτα, καὶ πρὸς ἐκείνην ἐπείγωνται τὴν ἡμέραν.*

*Ὁ μὲν γὰρ φιλόσοφος καὶ ὑψηλὸς οὐ δεήσεται τῆς ἐντεῦθεν παραινέσεως, ἀλλ' ἐννοήσας ἡλίκον ἐστὶ βασιλεία οὐρανῶν, μᾶλλον δὲ πρὸ τῆς βασιλείας τῷ Θεῷ συγγίνεσθαι καὶ μετὰ Χριστοῦ εἶναι (τοῦτο γὰρ βασιλείας ἁπάσης μεῖζον), οὐδενὸς αἰσθήσεται τῶν παρόντων ἡδέων, ἀλλ' ἀτιμάσει ταῦτα, τῆς σκιᾶς αὐτὰ μᾶλλον παρατρέχων. Ἐπειδὴ δὲ πολλοὶ τῇ σαρκὶ δουλεύοντες καὶ ὑπὸ τῆς τυραννίδος τῶν βιωτικῶν κατεχόμενοι, καθάπερ τὰ φωλεύοντα τῶν θηρίων, ἐμφιλοχωροῦσιν αὐτοῖς, διακόπτων αὐτῶν τὴν πρὸς ταῦτα συμπάθειαν, συνεκλήρωσεν αὐτοῖς πολλὰ τὰ λυπηρά, καὶ*

ὅταν ὅμως ἦρθε ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ὕστερα ἀπὸ πολλὰ καὶ ἄπειρα χρόνια, μᾶς ἔδειξε στὴν πραγματικότητα τὴν ἀνάσταση μὲ τὸ δικό του σῶμα, ὅταν τὸ ἐλευθέρωσε ἀπὸ τὴν τυραννικὴ ἐξουσία τοῦ θανάτου. Γι' αὐτὸ καὶ λέγει· «ὁ Χριστός, ἀφοῦ πέθανε καὶ ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς, δὲν πεθαίνει πιά, γιατὶ τότε ποὺ πέθανε γιὰ τὴν ἁμαρτία, πέθανε μιὰ γιὰ πάντα»[9].

4. Ἀλλὰ στὴν ἀρχὴ βέβαια αὐτὰ ἔγιναν μὲ τρόπο θολό, ἀφοῦ καὶ ἡ ἐλπίδα τῆς ἀνάστασης μᾶς φανερώθηκε μὲ τὸν Ἐνὼχ σὰν σὲ αἴνιγμα, καθὼς καὶ ἡ κατάργηση τοῦ θανάτου μὲ τὸν Ἄβελ. Ὅμως καὶ τὰ δύο αὐτὰ ἔγιναν μὲ τρόπο καθαρὸ καὶ φανερὸ καὶ ὁλοκληρωτικὸ καὶ ἀληθινὸ μὲ τὸ μονογενὴ Υἱὸ τοῦ Θεοῦ. Γι' αὐτὸ λοιπὸν καὶ πολλοὶ μάρτυρες βλάστησαν σὲ μᾶς, ἀφοῦ ὁ θάνατος καταργήθηκε, ἐνῶ ἡ ἀνάσταση λάμπει. Γι' αὐτὸ καὶ ἡ παρούσα ζωὴ ἔγινε κουραστικὴ καὶ γεμάτη πολλοὺς ἱδρῶτες, ὥστε καὶ ἀπὸ ἐδῶ παρακινούμενοι οἱ πιὸ σαρκικοὶ ἄνθρωποι, ποὺ μὲ εὐχαρίστηση ἀσχολοῦνται στὰ παρόντα καὶ εἶναι ἀναίσθητοι στὰ δυσάρεστα τῆς ζωῆς αὐτῆς, ν' ἀποφεύγουν τὶς ἡδονὲς καὶ τὴ συμπάθειά τους πρὸς τὴν παρούσα ζωή, καὶ νὰ τρέχουν πρὸς τὸν ἔρωτα τῶν οὐρανῶν καὶ νὰ σπεύδουν πρὸς τὴν ἡμέρα ἐκείνη.

Γιατὶ ὁ πιστὸς καὶ πνευματικὸς ἄνθρωπος δὲν ἔχει ἀνάγκη ἀπὸ τὴν παραίνεση αὐτή, ἀλλ', ἀφοῦ κατάλαβε πόσο μεγάλο ἀγαθὸ εἶναι ἡ βασιλεία τῶν οὐρανῶν, ἢ καλύτερα πρὶν ἀπὸ τὴ βασιλεία τὸ νὰ συναναστρέφεται τὸ Θεὸ καὶ νὰ εἶναι μαζὶ μὲ τὸ Χριστὸ (γιατὶ αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ τὴ βασιλεία ὁλόκληρη), δὲ θὰ προσέξει τίποτε ἀπὸ τὰ εὐχάριστα τῆς ζωῆς αὐτῆς, ἀλλὰ θὰ τὰ περιφρονήσει, προσπερνώντας αὐτὰ πιὸ γρήγορα ἀπὸ τὴ σκιά. Ἐπειδὴ ὅμως πολλοὶ ποὺ εἶναι δοῦλοι τῆς σάρκας καὶ κατέχονται ἀπὸ τὴν τυραννία τῶν βιοτικῶν ἀσχολοῦνται μὲ εὐχαρίστηση μ' αὐτά, σὰν τὰ θηρία ποὺ μένουν στὶς φωλιές τους, γιὰ νὰ σταματήσει τὴ συμπάθειά τους πρὸς αὐτά, συνένωσε μ' αὐτὰ καὶ πολλὰ λυπηρά, καὶ φόβους καὶ μέριμνες καὶ φρο-

9. Ρωμ. 6,9–10.

*φόβους καὶ μερίμνας καὶ φροντίδας καὶ ἀγωνίας καὶ κινδύνους καὶ δειλίαν, καὶ τὸν πολὺν τῶν σωματικῶν παθῶν ἑσμόν, καὶ τὴν ἀπὸ τῶν σωμάτων πολιορκίαν, καὶ ἕτερα πολλά, ἅπερ εἰπεῖν οὐκ ἔνι τῷ λόγῳ, ἵνα κἂν τὸ νέφος τῶν κακῶν τούτων φρίττοντες, ἐπιθυμήσωσιν εἰς τὸν ἀκύμαντον καταπλεῦσαι λιμένα καὶ τῆς γαλήνης ἀπολαύειν τῆς διηνεκοῦς, τῆς οὐκ ἀναμεμιγμένα τοῖς ἀγαθοῖς τὰ κακὰ ἐχούσης, ἀλλὰ καθαρὰ τὰ ἀγαθά, τὰ ὄντως ἀγαθά.*


*Τὰ μὲν γὰρ ἐνταῦθα δοκοῦντα εἶναι καλά, οἷον πλοῦτος καὶ δόξα καὶ δυναστεία, ὀνόματα μέν ἐστι καλῶν καὶ τοῖς ἐναντίοις ἀναμεμιγμένα, τὰ δὲ ἐκεῖ εἰλικρινῆ καὶ καθαρά, οὐκ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασι τὴν μακαριότητα ἔχοντα. Ἵν' οὖν τούτων ἐπιτύχωμεν, ζηλώσωμεν τῶν μαρτύρων τὴν ἀρετήν, τὴν ἀνδρείαν, τὸν ζῆλον, τὴν πίστιν, τὴν τῶν παρόντων ὑπεροψίαν, τὴν τῶν μελλόντων ἐπιθυμίαν. Ἔστι γὰρ ταῦτα καὶ χωρὶς διωγμοῦ πάντα κατορθοῦν. Κἂν γὰρ πυρὰ μὴ προκέηται, ἀλλ' ἐπιθυμία πρόσεστι σφοδροτέρα· κἂν ὀδόντες θηρίων μὴ ὦσιν, ἀλλὰ θηρίου χαλεπώτερος ἐπίκειται θυμός· κἂν δήμιοι μὴ παρεστήκοιεν πλευρὰς καταξαίνοντες, ἀλλὰ φθόνος ἔγκειται δημίου παντὸς χαλεπώτερον κατεσθίων τὴν διάνοιαν.*

*Δεῖ τοίνυν ἡμᾶς πρὸς τὰ πάθη ταῦτα ἀποδυσαμένους καὶ τὴν ἀπὸ τῶν φιλοσόφων λογισμῶν ἰσχὺν αὐτοῖς ἐπιτειχίσαντας, οὕτω τὸν παρόντα διανύειν βίον καὶ πᾶσαν τὴν ζωὴν ἐναγωνίους εἶναι, ἵνα, ὀλίγον χρόνον πονήσαντες, διηνεκῶς στεφανωθῶμεν, καὶ τῶν ἀκηράτων ἀπολαύσωμεν ἀγαθῶν, καὶ πάντοτε σὺν Κυρίῳ ὄντες, καὶ τῆς συνουσίας ἐκείνης ἀπολαύοντες τῆς πάντα ὑπερβαινούσης λόγον καὶ διάνοιαν, ἧς γένοιτο πάντας ἡμᾶς ματασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ντίδες καὶ ἀγωνίες καὶ κινδύνους καὶ δειλία, καὶ τὸ μεγάλο πλῆθος τῶν σωματικῶν παθῶν, καὶ τὴν ἐνόχληση ἀπὸ τὰ σώματα, καὶ πολλὰ ἄλλα, τὰ ὁποῖα δὲν εἶναι δυνατὸ νὰ τὰ πεῖ κανεὶς μὲ τὸ λόγο, ὥστε, τρέμοντας τουλάχιστο τὸ πλῆθος τῶν κακῶν αὐτῶν, νὰ ἐπιθυμήσουν νὰ καταπλεύσουν στὸ γαλήνιο λιμάνι καὶ ν' ἀπολαμβάνουν τὴν παντοτινὴ γαλήνη, ἡ ὁποία δὲν ἔχει ἀναμιγμένα τὰ ἀγαθὰ μὲ τὰ κακά, ἀλλ' ἔχει καθαρὰ τὰ ἀγαθά, τὰ πραγματικὰ ἀγαθά.

Γιατὶ αὐτὰ ποὺ ἐδῶ φαίνονται πὼς εἶναι καλά, ὅπως ὁ πλοῦτος καὶ ἡ δόξα καὶ ἡ ἐξουσία, εἶναι ὀνόματα τῶν καλῶν καὶ ἀναμιγμένα μὲ τὰ κακά, ἐνῶ τὰ ἐκεῖ εἶναι γνήσια καὶ καθαρά, ἀφοῦ ἔχουν τὴ μακαριότητα ὄχι στὰ ὀνόματα ἀλλὰ στὰ πράγματα. Γιὰ νὰ τὰ ἐπιτύχουμε λοιπὸν αὐτά, ἂς μιμηθοῦμε τὴν ἀρετὴ τῶν μαρτύρων, τὴν ἀνδρεία, τὸ ζῆλο, τὴν πίστη, τὴν περιφρόνηση γιὰ τὰ παρόντα καὶ τὴν ἐπιθυμία τους γιὰ τὰ μελλοντικά. Καθόσον εἶναι δυνατὸ νὰ τὰ κατορθώνουμε ὅλα καὶ χωρὶς διωγμό. Γιατί, καὶ ἂν ἀκόμη δὲν ἀνάβεται φωτιά, ὑπάρχει ὅμως ἐπιθυμία πιὸ δυνατή· καὶ ἂν δὲν ὑπάρχουν δόντια θηρίων, ἔρχεται ὁ θυμὸς πιὸ φοβερὸς ἀπὸ θηρίο· καὶ ἂν δὲν παραστέκονται δήμιοι καταξεσχίζοντας τὶς πλευρές, ὑπάρχει ὅμως ὁ φθόνος ποὺ κατατρώγει τὴν ψυχὴ χειρότερα ἀπὸ κάθε δήμιο.


Πρέπει λοιπὸν ἐμεῖς, ἀφοῦ ἀναλάβουμε ἀγώνα ἐναντίον τῶν παθῶν αὐτῶν καὶ ἀφοῦ ἀντιτάξουμε σ' αὐτὰ τὴ δύναμη ἀπὸ τὶς πνευματικὲς σκέψεις, ἔτσι νὰ περάσουμε τὴν παρούσα ζωή, ἀγωνιζόμενοι σ' ὅλη τὴ ζωή μας, ὥστε, ἀφοῦ κοπιάσουμε λίγο καιρό, νὰ στεφανωθοῦμε παντοτινά, καὶ ν' ἀπολαύσουμε τὰ αἰώνια ἀγαθά, καὶ νὰ εἴμαστε παντοτινὰ μαζὶ μὲ τὸν Κύριο, ἀπολαμβάνοντας τὴ συναναστροφὴ ἐκείνη ποὺ ξεπερνάει κάθε λόγο καὶ σκέψη, στὴν ὁποία εἴθε ὅλοι μας νὰ πάρουμε μέρος, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



# ΟΜΙΛΙΑ Α'

## ΣΤΟΝ ΕΥΤΡΟΠΙΟ

### ΤΟΝ ΕΥΝΟΥΧΟ, ΠΑΤΡΙΚΙΟ ΚΑΙ ΥΠΑΤΟ



# ΟΜΙΛΙΑ Α'

## ΕΙΣ ΕΥΤΡΟΠΙΟΝ

### ΕΥΝΟΥΧΟΝ, ΠΑΤΡΙΚΙΟΝ ΚΑΙ ΥΠΑΤΟΝ

*1. Ἀεὶ μέν, μάλιστα δὲν νῦν εὔκαιρον εἰπεῖν· «ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης». Ποῦ νῦν ἡ λαμπρὰ τῆς ὑπατείας περιβολή; Ποῦ δὲ αἱ φαιδραὶ λαμπάδες; Ποῦ δὲ οἱ κρότοι, καὶ οἱ χοροί, καὶ αἱ θαλίαι, καὶ αἱ πανηγύρεις; Ποῦ οἱ στέφανοι καὶ τὰ παραπετάσματα; Ποῦ ὁ τῆς πόλεως θόρυβος καὶ αἱ ἐν ἱπποδρομίες εὐφημίαι καὶ τῶν θεατῶν αἱ κολακεῖαι; Πάντα ἐκεῖνα οἴχεται· καὶ ἄνεμος πνεύσας ἀθρόον τὰ μὲν φύλλα κατέβαλε, γυμνὸν δὲ ἡμῖν τὸ δένδρον ἔδειξε, καὶ ἀπὸ τῆς ρίζης αὐτῆς σαλευόμενον λοιπόν· τοιαύτη γὰρ ἡ τοῦ πνεύματος γέγονε προσβολή, ὡς καὶ πρόρριζον ἀπειλεῖν ἀνασπᾶν, καὶ ταῦτα διασαλεῦσαι τοῦ δένδρου τὰ νεῦρα. Ποῦ νῦν οἱ πεπλασμένοι φίλοι; ποῦ τὰ συμπόσια καὶ τὰ δεῖπνα; ποῦ ὁ τῶν παρασίτων ἑσμὸς καὶ ὁ δι' ὅλης ἡμέρας ἐγχεόμενος ἄκρατος καὶ αἱ ποικίλαι τῶν μαγείρων τέχναι καὶ οἱ τῆς δυναστείας θεραπευταί, οἱ πάντα πρὸς χάριν ποιοῦντες καὶ λέγοντες; Νὺξ ἦν πάντα ἐκεῖνα καὶ ὄναρ, καὶ ἡμέρας γενομένης ἠφανίσθη· ἄνθη ἦν ἐαρινά, καὶ παρελθόντος τοῦ ἔαρος ἅπαντα κατεμαράνθη· σκιὰ ἦν, καὶ παρέ-*



# ΟΜΙΛΙΑ

## ΣΤΟΝ ΕΥΤΡΟΠΙΟ
## ΤΟΝ ΕΥΝΟΥΧΟ, ΠΑΤΡΙΚΙΟ ΚΑΙ ΥΠΑΤΟ

1. Πάντοτε βέβαια, ἰδιαίτερα ὅμως τώρα εἶναι εὐκαιρία νὰ ποῦμε, «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[1]. Ποῦ εἶναι τώρα ἡ λαμπρὴ στολὴ τῆς ὑπατείας; ποῦ οἱ φωτεινὲς λαμπάδες; ποῦ οἱ θόρυβοι, καὶ οἱ χοροί, καὶ οἱ διασκεδάσεις, καὶ τὰ πανηγύρια; Ποῦ εἶναι τὰ στεφάνια καὶ τὰ παραπετάσματα; Ποῦ εἶναι ὁ θόρυβος τῆς πόλης καὶ οἱ ἐπευφημίες στὰ ἱπποδρόμια καὶ οἱ κολακεῖες τῶν θεατῶν; Ὅλα αὐτὰ ἔφυγαν· φύσηξε ξαφνικὰ ἄνεμος καὶ ἔρριξε κάτω τὰ φύλλα καὶ μᾶς ἔδειξε τὸ δένδρο γυμνὸ καὶ νὰ κλονίζεται πιὰ ἀπὸ τὴ ρίζα του. Γιατὶ τέτοια ἦταν ἡ ὁρμὴ τοῦ ἀνέμου, ὥστε νὰ ἀπειλεῖ νὰ ξερριζώσει σύρριζα τὸ δένδρο καὶ νὰ τραντάξει καὶ αὐτὰ τὰ νεῦρα του. Ποῦ εἶναι τώρα οἱ ψεύτικοι φίλοι; ποῦ εἶναι τὰ συμπόσια καὶ τὰ δεῖπνα; ποῦ εἶναι τὸ πλῆθος τῶν παρασίτων, καὶ τὸ ἀνόθευτο κρασὶ ποὺ χινόταν ὅλη τὴν ἡμέρα, καὶ οἱ ποικίλες τέχνες τῶν μαγείρων καὶ οἱ ὑπηρέτες τῆς ἐξουσίας ποὺ ἔκαναν καὶ ἔλεγαν ὅλα γιὰ νὰ εἶναι εὐχάριστοι; Νύχτα ἦταν ὅλα ἐκεῖνα καὶ ὄνειρο, καὶ ὅταν ἦρθε ἡ ἡμέρα ἐξαφανίσθηκαν. Ἄνθη ἦταν ἀνοιξιάτικα, καὶ ὅταν πέρασε ἡ ἄνοιξη ὅλα μαράθηκαν. Σκιὰ ἦταν καὶ ἔφυγε γρήγορα, κα-

1. Ἐκκλ. 1,2.

*δραμε· καπνὸς ἦν, καὶ διελύθη· πομφόλυγες ἦσαν, καὶ διερράγησαν· ἀράχνη ἦν, καὶ διεσπάσθη.*

*Διὸ ταύτην τὴν πνευματικὴ ῥῆσιν ἐπᾴδομεν συνεχῶς ἐπιλέγοντες· «ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης». Ταύτην γὰρ τὴν ῥῆσιν καὶ ἐν τοίχοις, καὶ ἐν ἱματίοις, καὶ ἐν ἀγορᾷ καὶ ἐν οἰκίᾳ, καὶ ἐν ὁδοῖς, καὶ ἐν θύραις, καὶ ἐν εἰσόδοις, καὶ πρὸ πάντων ἐν τῷ ἑκάστου συνειδότι συνεχῶς ἐγγεγράφθαι δεῖ, καὶ διαπαντὸς αὐτὴν μελετᾶν. Ἐπειδὴ ἡ τῶν πραγμάτων ἀπάτη, καὶ τὰ προσωπεῖα, καὶ ἡ ὑπόκρισις, ἀλήθεια παρὰ τοῖς πολλοῖς εἶναι δοκεῖ, ταύτην καθ' ἑκάστην ἡμέραν, καὶ ἐν δείπνῳ καὶ ἐν ἀρίστῳ καὶ ἐν συλλόγοις ἐπιλέγειν ἕκαστον τῷ πλησίον ἐχρῆν, καὶ παρὰ τοῦ πλησίον ἀκούειν, ὅτι «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης». Οὐκ ἔλεγόν σοι συνεχῶς, ὅτι δραπέτης ὁ πλοῦτός ἐστι; Σὺ δὲ ἡμῶν οὐκ ἠνείχου. Οὐκ ἔλεγον ὅτι ἀγνώμων ἐστὶν οἰκέτης; Σὺ δὲ οὐκ ἐβούλου πείθεσθαι. Ἰδοὺ ἐκ τῶν πραγμάτων ἔδειξεν ἡ πεῖρα, ὅτι οὐ δραπέτης μόνον, οὐδὲ ἀγνώμων, ἀλλὰ καὶ ἀνδροφόνος· οὗτος γάρ σε τρέμειν νῦν καὶ δεδοικέναι παρεσκεύασεν. Οὐκ ἔλεγόν σοι, ἡνίκα συνεχῶς ἐπετίμας μοι λέγοντι τἀληθῆ, ὅτι ἐγώ σε φιλῶ μᾶλλον τῶν κολακευόντων; Ἐγὼ ὁ ἐλέγχων πλέον κήδομαι τῶν χαριζομένων;*

*Οὐ προσετίθην τοῖς ῥήμασι τούτοις, ὅτι ἀξιοπιστότερα τραύματα φίλων ὑπὲρ ἑκούσια φιλήματα ἐχθρῶν; Εἰ τῶν ἐμῶν ἠνέσχου τραυμάτων, οὐκ ἄν σοι τὰ φιλήματα ἐκείνων τὸν θάνατον τοῦτο ἔτεκον· τὰ γὰρ ἐμὰ τραύματα ὑγείαν ἐργάζεται, τὰ δὲ ἐκείνων φιλήματα νόσον ἀνίατον κατεσκεύασε. Ποῦ νῦν οἱ οἰνοχόοι; Ποῦ δὲ οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς, καὶ μυρία παρὰ πᾶσιν ἐγκώμια λέγοντες; Ἐδραπέτευσαν, ἠρνήσαντο τὴν φιλίαν, ἀσφάλειαν ἑαυτοῖς διὰ τῆς σῆς ἀγωνίας πορίζουσιν. Ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ καὶ τοῦ δυσχεραίνοντός σου οὐκ ἀποπηδῶ-*

2. Παροιμ. 27,6.

πνὸς ἦταν καὶ διαλύθηκε, ἀερόφουσκες ἦταν καὶ ἔσκασαν, ἀράχνη ἦταν καὶ ἔσπασε.

Γι' αὐτὸ αὐτὰ τὰ πνευματικὰ λόγια ἐπαναλαμβάνουμε συνέχεια λέγοντας, «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης». Πρέπει δηλαδὴ αὐτὰ τὰ λόγια νὰ εἶναι γραμμένα συνέχεια καὶ στοὺς τείχους καὶ στὰ ροῦχα καὶ στὴν ἀγορὰ καὶ στὸ σπίτι καὶ στοὺς δρόμους καὶ στὶς πόρτες καὶ στὶς εἰσόδους καὶ κυρίως στὴ συνείδηση τοῦ καθενὸς καὶ πάντοτε νὰ τὰ μελετοῦμε. Ἐπειδὴ ἡ ἀπάτη τῶν πραγμάτων, καὶ τὰ προσωπεῖα καὶ ἡ ὑποκρισία, θεωροῦνται ἀπὸ τοὺς πολλοὺς πὼς εἶναι ἀλήθεια, αὐτὸ τὸ ρητὸ κάθε ἡμέρα, καὶ στὸ δεῖπνο, καὶ στὸ γεῦμα, καὶ στὶς συνάξεις ἔπρεπε ὁ καθένας νὰ τὸ λέγει στὸν πλησίον του καὶ ἀπ' αὐτὸν ν' ἀκούει, «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης». Δὲ σοῦ ἔλεγα συνέχεια ὅτι ὁ πλοῦτος εἶναι δραπέτης; Ἐσὺ ὅμως δὲ μᾶς ἀνεχόσουν. Δὲν ἔλεγα ὅτι εἶναι ἀχάριστος ὑπηρέτης; Ἐσὺ ὅμως δὲν ἤθελες νὰ πεισθεῖς. Νά, ἀπὸ τὰ πράγματα δείχθηκε ἔμπρακτα πὼς δὲν εἶναι μόνο δραπέτης, οὔτε ἀχάριστος, ἀλλὰ καὶ ἀνθρωποκτόνος, γιατὶ αὐτὸς σὲ ἔκαμε τώρα νὰ τρέμεις καὶ νὰ φοβᾶσαι. Δὲ σοῦ ἔλεγα, ὅταν συνέχεια μὲ ἐπιτιμοῦσες ποὺ ἔλεγα τὴν ἀλήθεια, ὅτι ἐγὼ σ' ἀγαπῶ περισσότερο ἀπὸ τοὺς κόλακες; ὅτι ἐγὼ ποὺ σὲ ἐλέγχω, φροντίζω γιὰ σένα πιὸ πολὺ ἀπ' αὐτοὺς ποὺ σοῦ κάνουν τὰ χατίρια;

Δὲν πρόσθετα στὰ λόγια αὐτὰ ὅτι εἶναι περισσότερο εὐπρόσδεκτα τὰ τραύματα τῶν φίλων παρὰ τὰ αὐθόρμητα φιλήματα τῶν ἐχθρῶν[2]; Ἂν ἀνεχόσουν τὰ τραύματά μας δὲ θὰ σοῦ προκαλοῦσαν αὐτὸν τὸ θάνατο τὰ φιλήματά τους, γιατὶ τὰ δικά μας τραύματα φέρνουν ὑγεία, ἐνῶ τὰ δικά τους φιλήματα ἑτοίμασαν ἀσθένεια ἀθεράπευτη. Ποῦ εἶναι λοιπὸν οἱ οἰνοχόοι; καὶ ποῦ ἐκεῖνοι ποὺ βάδιζαν ὑπερήφανα στὴν ἀγορὰ καὶ σὲ ὅλους ἔλεγαν ἄπειρους ἐπαίνους γιὰ σένα; Ἐξαφανίσθηκαν, ἀρνήθηκαν τὴ φιλία, ἀπὸ τὴ δική σου ἀγωνία ἀποκτοῦν αὐτοὶ ἀσφάλεια γιὰ τὸν ἑαυτό τους. Ἐμεῖς ὅμως δὲ συμπεριφερόμασταν ἔτσι, ἀλλὰ καὶ ὅταν δυσανασχετοῦσες δὲν ἀπομακρυνόμασταν

*μεν, καὶ νῦν πεσόντα περιστέλλομεν καὶ θεραπεύομεν. Καὶ ἡ μὲν πολεμηθεῖσα Ἐκκλησία παρὰ σοῦ τοὺς κόλπους ἥπλωσε καὶ ἐπεδέξατο· τὰ δὲ θεραπευθέντα θέατρα, ὑπὲρ ὧν πολλάκις πρὸς ἡμᾶς ἠγανάκτεις, προὔδωκε καὶ ἀπώλεσεν. Ἀλλ' ὅμως οὐκ ἐπαυσάμεθα ἀεὶ λέγοντες· τί ταῦτα ποιεῖς; Ἐκβακχεύεις τὴν Ἐκκλησίαν καὶ κατὰ κρημνῶν σαυτὸν φέρεις, καὶ παρέτρεχες ἅπαντα. Καὶ αἱ μὲν ἱπποδρομίαι, τὸν πλοῦτον τὸν σὸν ἀναλώσασαι, τὸ ξίφος ἠκόνησαν, ἡ δὲ Ἐκκλησία ἡ τῆς ὀργῆς τῆς σῆς ἀπολαύσασα τῆς ἀκαίρου, πανταχοῦ παρατρέχει, τῶν δικτύων σε ἐξαρπάσαι βουλομένη.*

*2. Καὶ ταῦτα λέγω νῦν, οὐκ ἐπεμβαίνων τῷ κειμένῳ, ἀλλὰ τοὺς ἑστῶτας ἀσφαλεστέρους ποιῆσαι βουλόμενος· οὐκ ἀναξαίνων τὰ ἕλκη τοῦ τετρωμένου, ἀλλὰ τοὺς μηδέπω τετρωμένους ἐν ὑγείᾳ διατηρῆσαι ἀσφαλεῖ· οὐ καταποντίζων τὸν κλυδωνιζόμενον, ἀλλὰ τοὺς ἐξ οὐρίας πλέοντας παιδεύων, ὥστε μὴ γενέσθαι ὑποβρυχίους. Πῶς δ' ἂν τοῦτο γένοιτο; Εἰ τὰς μεταβολὰς τῶν ἀνθρωπίνων ἐννοώμεθα πραγμάτων. Καὶ γὰρ οὗτος εἰ ἔδεισε μεταβολήν, οὐκ ἂν ὑπέμεινε μεταβολήν· ἀλλ' ἐπείπερ οὗτος οὔτε οἴκοθεν, οὔτε παρ' ἑτέρων ἐγίνετο βελτίων, ὑμεῖς γοῦν οἱ κομῶντες τῷ πλούτῳ, ἀπὸ τῆς τούτου κερδάνατε συμφορᾶς· οὐδὲν γὰρ τῶν ἀνθρωπίνων πραγμάτων ἀσθενέστερον. Διόπερ οἷον ἂν εἴποι τις ὄνομα τῆς εὐτελείας αὐτῶν, ἔλαττον τῆς ἀληθείας ἐρεῖ· κἂν καπνὸν αὐτά, κἂν χόρτον, κἂν ὄναρ, κἂν ἄνθη ἐαρινά, κἂν ὁτιοῦν ὀνομάσῃ· οὕτως ἐστὶν ἐπίκηρα, καὶ τῶν οὐδὲν ὄντων οὐδαμινώτερα· ὅτι δὲ μετὰ τῆς οὐθενείας καὶ πολὺ ἔχει τὸ ἀπόκρημνον, δῆλον ἐντεῦθεν.*

*Τίς γὰρ τούτου γέγονεν ὑψηλότερος; Οὐ πᾶσαν τὴν οἰκουμένην παρῆλθε τῷ πλούτῳ; Οὐ πρὸς αὐτὰς τῶν ἀξιωμάτων ἀνέβη τὰς κορυφάς; οὐχὶ πάντες αὐτὸν ἔτρεμον, καὶ ἐδεδοίκει-*

ἀπὸ σένα, καὶ τώρα ποὺ ἔπεσες σὲ περιποιούμαστε καὶ σὲ φροντίζουμε. Καὶ ἡ Ἐκκλησία ποὺ πολεμήθηκε ἀπὸ σένα ἅπλωσε τοὺς κόλπους της καὶ σὲ δέχθηκε, ἐνῶ τὰ θέατρα ποὺ φρόντισες, γιὰ τὰ ὁποῖα πολλὲς φορὲς ἀγανακτοῦσες ἐναντίον μας, σὲ πρόδωσαν καὶ σὲ κατέστρεψαν. Ἀλλ' ὅμως δὲ σταματήσαμε νὰ σοῦ λέμε πάντοτε, 'γιατί τὰ κάνεις αὐτά; στρέφεσαι μὲ μανία ἐναντίον τῆς Ἐκκλησίας καὶ φέρνεις τὸν ἑαυτό σου στὸ γκρεμό', καὶ τὰ περιφρονοῦσες ὅλα. Καὶ οἱ ἱπποδρομίες, ἀφοῦ ξόδεψαν ὅλο τὸν πλοῦτο σου, ἀκόνισαν τὸ ξίφος, ἡ Ἐκκλησία ὅμως ποὺ ἀπόλαυσε τὴν ἀνόητη ὀργή σου, τρέχει παντοῦ, θέλοντας νὰ σὲ σώσει ἀπὸ τὰ δίχτυα τοῦ θανάτου.

2. Καὶ τὰ λέγω αὐτὰ τώρα, ὄχι γιὰ νὰ ἐπιτιμήσω αὐτὸν ποὺ ἔπεσε, ἀλλὰ γιατὶ θέλω νὰ κάνω ἀσφαλέστερους ἐκείνους ποὺ εἶναι ὄρθιοι· ὄχι γιὰ νὰ ξύσω τὶς πληγὲς τοῦ πληγωμένου, ἀλλὰ γιὰ νὰ διατηρήσω σὲ ὑγεία ἀσφαλὴ ἐκείνους ποὺ δὲν πληγώθηκαν ἀκόμη· ὄχι γιὰ νὰ καταποντίσω αὐτὸν ποὺ βρίσκεται σὲ τρικυμία, ἀλλὰ γιὰ νὰ διδάξω ἐκείνους ποὺ πλέουν μὲ οὔριο ἄνεμο νὰ μὴν καταποντισθοῦν. Καὶ πῶς μπορεῖ νὰ γίνει αὐτό; Ἂν ἔχουμε στὸ νοῦ μας τὶς μεταβολὲς τῶν ἀνθρωπίνων πραγμάτων. Γιατὶ καὶ αὐτός, ἂν φοβόταν τὴ μεταβολή, δὲ θὰ πάθαινε μεταβολή. Ἐπειδὴ ὅμως αὐτὸς οὔτε μόνος του οὔτε ἀπὸ ἄλλους γινόταν καλύτερος, ἐσεῖς τουλάχιστο ποὺ ὑπερηφανεύεστε γιὰ τὸν πλοῦτο σας κερδίστε ἀπὸ τὴ συμφορά του, γιατὶ τίποτε δὲν εἶναι ἀσθενέστερο ἀπὸ τὰ ἀνθρώπινα πράγματα. Γι' αὐτό, ὅπως κι ἂν ὀνομάσει κανεὶς τὴν ἀσήμαντη ἀξία τους, θὰ πεῖ λιγότερο ἀπὸ τὴν ἀλήθεια, εἴτε καπνό, εἴτε χορτάρι, εἴτε ὄνειρο, εἴτε ἄνθη ἀνοιξιάτικα, εἴτε ὁ,τιδήποτε τὰ ὀνομάσει. Τόσο πολὺ πρόσκαιρα εἶναι καὶ πιὸ ἀσήμαντα καὶ ἀπ' αὐτὰ ποὺ δὲν ὑπάρχουν καθόλου. Ὅτι ὅμως μαζὶ μὲ τὴ μηδαμινότητα ἔχουν καὶ πολὺ κίνδυνο, εἶναι φανερὸ ἀπὸ ἐδῶ.

Γιατὶ ποιός ἔγινε ἀνώτερος ἀπ' αὐτόν; Δὲν ξεπέρασε στὸν πλοῦτο ὅλη τὴν οἰκουμένη; Δὲν ἀνέβηκε σ' αὐτὲς τὶς κορυφὲς τῶν ἀξιωμάτων; Δὲν τὸν ἔτρεμαν καὶ δὲν τὸν φοβοῦνταν ὅλοι;

*σαν; Ἀλλ' ἰδοὺ γέγονε καὶ δεσμωτῶν ἀθλιώτερος, καὶ οἰκετῶν ἐλεεινότερος, καὶ τῶν λιμῷ τηκομένων πτωχῶν ἐνδεέστερος, καθ' ἑκάστην ἡμέραν ξίφη βλέπων ἠκονημένα, καὶ βάραθρον, καὶ δημίους, καὶ τὴν ἐπὶ θάνατον ἀπαγωγήν· καὶ οὐδὲ εἴποτε γέγονεν ἐπὶ τῆς ἡδονῆς οἶδεν ἐκείνης, οὐδὲ αὐτῆς αἰσθάνεται τῆς ἀκτῖνος· ἀλλ' ἐν μεσημβρίᾳ μέσῃ, καθάπερ ἐν πυκνοτάτῃ νυκτί, περιεστοιχισμένος οὗτος τὰς ὄψεις πεπήρωται. Μᾶλλον δὲ ὅσα ἂν φιλονεικήσωμεν, οὐ δυνησόμεθα τῷ λόγῳ παραστῆσαι τὸ πάθος, ὅπερ ὑπομένειν αὐτὸν εἰκός, καθ' ἑκάστην ὥραν ἀποκτείνεσθαι προσδοκῶντα. Ἀλλὰ γὰρ τί δεῖ τῶν λόγων τῶν παρ' ἡμῶν, αὐτοῦ ταῦτα καθάπερ ἐν εἰκόνι σαφῶς ὑπογράψαντος ἡμῖν; Τῇ γὰρ προτεραίᾳ, ὅτε ἐπ' αὐτὸν ἦλθον ἐκ τῶν βασιλικῶν αὐλῶν πρὸς βίαν ἀφελκύσαι βουλόμενοι, καὶ τοῖς σκεύεσι προσέδραμε τοῖς ἱεροῖς, ἦν αὐτοῦ τὸ πρόσωπον, καὶ τανῦν, νεκρωθέντος ἅπαξ οὐδὲν ἄμεινον διακείμενον· κτύπος δὲ τῶν ὀδόντων, καὶ πάταγος καὶ τρόμος παντὸς τοῦ σώματος, καὶ φωνὴ διακοπτομένη, καὶ γλῶττα διαλυομένη, καὶ σχῆμα τοιοῦτον, οἷον εἰκὸς τὴν λιθίνην ἔχειν ψυχήν.*

*3. Καὶ ταῦτα λέγω, οὐκ ὀνειδίζων, οὐδὲ ἐπεμβαίνων αὐτοῦ τῇ συμφορᾷ, ἀλλὰ τὴν ὑμετέραν διάνοιαν μαλάξαι βουλόμενος, καὶ εἰς ἔλεον ἐπισπάσασθαι, καὶ πεῖσαι ἀρκεσθῆναι τῇ τιμωρίᾳ τῇ γεγενημένῃ. Ἐπειδὴ γάρ εἰσι πολλοὶ παρ' ἡμῖν ἀπάνθρωποι, ὥστε ὁμοίως καὶ ἡμῖν ἐγκαλεῖν, ὅτι αὐτὸν ἐδεξάμεθα τῷ βήματι· τὸ ἄστοργον αὐτῶν τοῖς διηγήμασι μαλάξαι βουλόμενος, ἐκπομπεύω τὰ τούτου πάθη. Τίνος γὰρ ἕνεκεν ἀγανακτεῖς, εἰπέ μοι ἀγαπητέ; Ὅτι, φησίν, εἰς Ἐκκλησίαν κατέφυγεν ὁ πολεμήσας αὐτὴν διηνεκῶς. Διὰ τοῦτο μὲν οὖν μάλιστα δοξάζειν ἐχρῆν τὸν Θεόν, ὅτι ἀφῆκεν αὐτὸν ἐν τοσαύτῃ καταστῆναι ἀνάγκῃ, ὥστε καὶ τὴν δύναμιν τῆς Ἐκκλησίας καὶ τὴν φιλανθρωπίαν μαθεῖν· τὴν δύναμιν μέν, ἀφ' ὧν τοσαύτην ὑπέμεινε μεταβολὴν*

Ἀλλὰ νὰ ἔγινε πιὸ ἄθλιος ἀπὸ τοὺς φυλακισμένους καὶ πιὸ ἀξιολύπητος ἀπὸ τοὺς δούλους, καὶ ἀπὸ τοὺς φτωχοὺς ποὺ λειώνουν στὴν πείνα πιὸ φτωχός, βλέποντας κάθε ἡμέρα ξίφη ἀκονισμένα καὶ βάραθρο καὶ δήμιους καὶ νὰ τὸν ὁδηγοῦν γιὰ θάνατο. Καὶ οὔτε ξέρει ἂν κάποτε βρέθηκε στὴν εὐχαρίστηση ἐκείνη, οὔτε αἰσθάνεται καὶ αὐτὴν ἀκόμα τὴν ἀκτίνα τοῦ ἥλιου, ἀλλὰ μέσα στὸ καταμεσήμερο, σὰν σὲ σκοτεινότατη νύχτα, περικυκλωμένος καθὼς εἶναι αὐτὸς ἔχει τυφλωθεῖ. Ἢ καλυτερα ὅσο καὶ ἂν προσπαθήσουμε, δὲ θὰ μπορέσουμε νὰ παραστήσουμε μὲ τὸ λόγο τὸ πάθος, ποὺ εἶναι φυσικὸ νὰ παθαίνει αὐτός, περιμένοντας κάθε ὥρα νὰ πεθάνει. Ἀλλ' ὅμως τί χρειάζονται τὰ λόγια μου, ἀφοῦ αὐτὸς μᾶς τὰ ζωγράφισε καθαρὰ σὰν εἰκόνα; Γιατὶ τὴν προηγούμενη ἡμέρα, ὅταν ἦρθαν ἐναντίον του ἀπὸ τὰ βασιλικὰ ἀνάκτορα θέλοντας νὰ τὸν σύρουν μὲ τὴ βία καὶ ἔτρεξε στὰ ἱερὰ σκεύη, ἦταν τὸ πρόσωπό του, ὅπως καὶ τώρα, ὅμοιο μὲ πρόσωπο νεκροῦ, ἐνῶ τὰ δόντια του χτυποῦσαν, ὅλο τὸ σῶμα του ταραζόταν καὶ ἔτρεμε, ἡ φωνή του ἦταν κομμένη, ἡ γλῶσσα του παραλυμένη, καὶ εἶχε τέτοια ἐμφάνιση, ὅπως εἶναι φυσικὸ νὰ ἔχει ἡ πέτρινη ψυχή.

3. Καὶ τὰ λέγω αὐτὰ ὄχι γιὰ νὰ ψέξω οὔτε νὰ κατακρίνω τὴ συμφορά του, ἀλλὰ γιατὶ θέλω νὰ μαλακώσω τὴν καρδιά σας καὶ νὰ τὴν παρακινήσω σὲ συμπάθεια καὶ νὰ τὴν πείσω ν' ἀρκεσθεῖ στὴν τιμωρία ποὺ τοῦ ἔγινε. Ἐπειδὴ λοιπὸν ὑπάρχουν ἀνάμεσά μας πολλοὶ σκληροί, ὥστε τὸ ἴδιο νὰ κατηγοροῦν καὶ μένα, ὅτι τὸν δέχθηκα στὸ ἅγιο βῆμα, θέλοντας μὲ τὴ διήγηση νὰ μαλακώσω τὴν ἀστοργία τους, διαπομπεύω τὰ παθήματά του. Πές μου, ἀγαπητέ, γιὰ ποιό λόγο ἀγανακτεῖς; Γιατί, λέγει, κατέφυγε στὴν ἐκκλησία αὐτὸς ποὺ πάντοτε τὴν πολέμησε. Γι' αὐτὸ λοιπὸν ἔπρεπε πιὸ πολὺ νὰ δοξάζεις τὸ Θεό, γιατὶ τὸν ἄφησε νὰ καταντήσει σὲ τόσο μεγάλη ἀνάγκη, ὥστε νὰ μάθει καὶ τὴ δύναμη καὶ τὴ φιλανθρωπία τῆς Ἐκκλησίας. Τὴ δύναμη, ἀπὸ τὸ ὅτι ἔπαθε τόση μεταβολὴ ἐξ αἰτίας τῶν πολέμων του ἐναντίον της, καὶ τὴ φιλανθρωπία, ἀπὸ τὸ ὅτι ἡ Ἐκκλησία, ἂν

*ἐκ τῶν πρὸς ἐκείνην πολέμων· τὴν φιλανθρωπίαν δέ, ἐξ ὧν πολεμηθεῖσα νῦν τὴν ἀσπίδα προβάλλεται, καὶ ὑπὸ τὰς πτέρυγας ἐδέξατο τὰς αὑτῆς, καὶ ἐν ἀσφαλείᾳ πάσῃ κατέστησεν, οὐ μνησικακήσασα ὑπὲρ τῶν ἔμπροσθεν οὐδενός, ἀλλὰ τοὺς κόλπους αὐτῷ μετὰ πολλῆς ἁπλώσασα τῆς φιλοστοργίας.*

*Τοῦτο γὰρ τροπαίου παντὸς λαμπρότερον, τοῦτο νίκη περιφανής, τοῦτο Ἕλληνας ἐντρέπει, τοῦτο καὶ Ἰουδαίους καταισχύνει, τοῦτο φαιδρὸν αὐτῆς τὸ πρόσωπον δείκνυσιν· ὅτι τὸν πολέμιον αἰχμάλωτον λαβοῦσα, φείδεται, καὶ πάντων αὐτὸν ἐν ἐρημίᾳ παριδόντων, μόνη καθάπερ μήτηρ φιλόστοργος, ὑπὸ τὰ παραπετάσματα αὐτῆς ἔκρυψε, καὶ πρὸς βασιλικὴν ὀργὴν ἔστη, πρὸς δήμου θυμόν, καὶ πρὸς μῖσος ἀφόρητον· τοῦτο τῷ θυσιαστηρίῳ κόσμος. Ποῖος κόσμος, φησί, τὸ τὸν ἐναγῆ καὶ πλεονέκτην καὶ ἅρπαγα ἅπτεσθαι τοῦ θυσιαστηρίου; Μὴ λέγε ταῦτα· ἐπειδὴ καὶ ἡ πόρνη ἥψατο τῶν ποδῶν τοῦ Χριστοῦ, ἡ σφόδρα ἐναγὴς καὶ ἀκάθαρτος· καὶ οὐκ ἦν ἔγκλημα τῷ Ἰησοῦ τὸ γενόμενον, ἀλλὰ θαῦμα καὶ ὕμνος μέγας· οὐ γὰρ τὸν καθαρὸν ἔβλαπτεν ἡ ἀκάθαρτος, ἀλλὰ τὴν ἐναγῆ πόρνην ὁ καθαρὸς καὶ ἄμωμος διὰ τῆς ἀφῆς καθαρὰν εἰργάσατο.*

*Μὴ δὴ μνησικακήσῃς, ὦ ἄνθρωπε. Ἐκείνου οἰκέται ἐσμὲν τοῦ σταυρουμένου καὶ λέγοντος «ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν». Ἀλλ' ἀπετείχισε, φησί, τὴν ἐνταῦθα καταφυγὴν γράμμασι καὶ νόμοις διαφόροις. Ἀλλ' ἰδοὺ διὰ τῶν ἔργων ἔμαθεν, ὅπερ ἐποίησε, καὶ τὸν νόμον ἔλυσε πρῶτος αὐτός, δι' ὧν ἐποίησε, καὶ γέγονε τῆς οἰκουμένης θέατρον, καὶ σιγῶν ἐντεῦθεν ἀφίησι φωνὴν ἅπασι παραινῶν, μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. Διδάσκαλος ἀνεφάνη διὰ τῆς συμφορᾶς, καὶ λαμπηδόνα μεγάλην ἀφίησι τὸ θυσιαστήριον, νῦν φοβερὸν μάλιστα καὶ ἐκ τούτου φαινόμενον, ὅτι τὸν λέοντα δεδεμένον ἔχει· ἐπεὶ καὶ βασιλικῇ εἰκόνι μέγας γένοιτο κόσμος, οὐχ ὅταν ἐπὶ τοῦ θρόνου κάθηται πορφυρίδα περιβεβλημένος καὶ διάδημα περι-*

καὶ πολεμήθηκε ἀπ' αὐτόν, προτείνει τώρα τὴν ἀσπίδα της καὶ τὸν δέχθηκε κάτω ἀπὸ τὶς πτέρυγές της καὶ τὸν προστατεύει μὲ κάθε ἀσφάλεια, χωρίς νὰ τοῦ κρατήσει κακία γιὰ τίποτε ἀπὸ τὰ προηγούμενα, ἀλλὰ ἁπλώνοντας τοὺς κόλπους της σ' αὐτὸν μὲ πολλὴ φιλοστοργία.

Γιατὶ πραγματικὰ αὐτὸ εἶναι λαμπρότερο ἀπὸ κάθε τρόπαιο, αὐτὸ εἶναι νίκη περιφανής, αὐτὸ ἐλέγχει τοὺς Ἕλληνες, αὐτὸ ντροπιάζει καὶ τοὺς Ἰουδαίους, αὐτὸ δείχνει τὸ πρόσωπό της λαμπρό. Τὸ ὅτι δηλαδὴ συλλαμβάνοντας τὸν ἐχθρό της αἰχμάλωτο τὸν λυπᾶται καί, ἐνῶ ὅλοι τὸν ἄφησαν ἔρημο, μόνη σὰν φιλόστοργη μητέρα τὸν ἔκρυψε κάτω ἀπὸ τὰ παραπετάσματά της καὶ στάθηκε ἀντίθετη στὴ βασιλικὴ ὀργή, στὸ θυμὸ τοῦ λαοῦ καὶ στὸ ἀφόρητο μίσος· αὐτὸ εἶναι κόσμημα τοῦ θυσιαστηρίου. Ποιό κόσμημα, λέγει, τὸ ὅτι ὁ μολυσμένος καὶ πλεονέκτης καὶ ἅρπαγας ἀγγίζει τὸ θυσιαστήριο; Μὴν τὰ λές αὐτά, γιατὶ καὶ ἡ πόρνη ἄγγιξε τὰ πόδια τοῦ Χριστοῦ, ἐκείνη ποὺ ἦταν πάρα πολὺ μολυσμένη καὶ ἀκάθαρτη. Καὶ δὲν ἦταν ἔγκλημα γιὰ τὸν Ἰησοῦ αὐτὸ ποὺ ἔγινε, ἀλλὰ θαῦμα καὶ ὕμνος μεγάλος. Γιατὶ ἡ ἀκάθαρτη δὲν ἔβλαπτε τὸν καθαρό, ἀλλὰ τὴ μολυσμένη πόρνη μὲ τὸ ἄγγιγμα ὁ καθαρὸς καὶ ἀμόλυντος τὴν ἔκανε καθαρή.

Μὴ λοιπὸν κρατήσεις κακία, ἄνθρωπε. Εἴμαστε δοῦλοι ἐκείνου ποὺ σταυρωνόταν καὶ ἔλεγε, «συγχώρησέ τους, γιατὶ δὲν ξέρουν τί κάνουν»[3]. Ἀλλὰ κατάργησε, λέγει, τὸ ἐδῶ καταφύγιο μὲ διάφορα διατάγματα καὶ νόμους. Ὅμως νά, μὲ τὰ ἔργα ἔμαθε αὐτὸ ποὺ ἔκαμε καὶ πρῶτος αὐτὸς μὲ ὅσα ἔκαμε κατάργησε τὸ νομο καὶ ἔγινε θέατρο τοῦ κόσμου ὅλου καὶ σιωπώντας φωνάζει ἀπὸ ἐδῶ πρὸς ὅλους συμβουλεύοντάς τους, 'μὴν κάνετε τέτοια, γιὰ νὰ μὴν πάθετε τέτοια'. Ἀναδείχθηκε διδάσκαλος μὲ τὴ συμφορά του, καὶ τὸ θυσιαστήριο ἀφήνει μεγάλη λάμψη, καὶ φαίνεται τώρα ἀπ' αὐτὸ περισσότερο φοβερό, ἀπὸ τὸ ὅτι δηλαδὴ ἔχει δεμένο τὸ λιοντάρι. Γιατὶ καὶ στὴ βασιλικὴ εἰκόνα γίνεται μεγάλο στόλισμα, ὄχι μόνο ὅταν ὁ βασιλιὰς κάθεται στὸ

3. Λουκᾶ 23,34.

*κείμενος ὁ βασιλεὺς μόνον, ἀλλὰ καὶ ὅταν ὑπὸ τῷ ποδὶ τῷ βασιλικῷ βάρβαροι τῶν χειρῶν ὀπίσω δεδεμένοι, κάτω τὰς κεφαλὰς νεύωσι κείμενοι.*

*Καὶ ὅτι οὐ πιθανότητι κέχρηται λόγων, ὑμεῖς μάρτυρες τῆς σπουδῆς καὶ τῆς συνδρομῆς. Καὶ γὰρ λαμπρὸν ἡμῖν τὸ θέατρον σήμερον, καὶ φαιδρὸς ὁ σύλλογος, καὶ ὅσον ἐν τῷ Πάσχα τῷ ἱερῷ δῆμον εἶδον ξυναγόμενον, τοσοῦτον ὁρῶ καὶ ἐνταῦθα νῦν· καὶ οὕτω σιγῶν πάντας ἐκάλεσε, σάλπιγγος λαμπροτέραν φωνὴν διὰ τῶν πραγμάτων ἀφείς. Καὶ παρθένοι θαλάμους, καὶ γυναῖκες γυναικῶνας, καὶ ἄνδρες τὴν ἀγορὰν κενώσαντες, πάντες ἐνταῦθα συνεδράμετε, ἵνα τὴν ἀνθρωπίνην φύσιν ἴδητε ἐλεγχομένην, καὶ τῶν βιωτικῶν πραγμάτων τὸ ἐπίκηρον ἀπογυμνούμενον, καὶ τὴν πορνικὴν ὄψιν τὴν χθὲς καὶ πρώην φαιδρὸν ἀπολάμπουσαν (καὶ γὰρ τοιοῦτον ἡ εὐπραγία ἡ ἀπὸ τῶν πλεονεξιῶν, παντὸς γραϊδίου ρυτίδας ἔχοντος αἰσχροτέρα φαινομένη), καθάπερ σπογγιᾷ τινι τῇ μεταβολῇ τὰ ἐπιτρίμματα καὶ τὰς ἐπιγραφὰς ἐκμάξασαν.*

*4. Τοιαύτη γὰρ τῆς δυσημερίας ταύτης ἡ ἰσχύς· τὸν φαιδρὸν καὶ περιφανῆ πάντων ἐποίησεν εὐτελέστερον φαίνεσθαι νῦν. Κἂν πλούσιος εἰσέλθῃ, μεγάλα κερδαίνει· ὁρῶν γὰρ ἐκ τοσαύτης κορυφῆς κατενεχθέντα τὸν σείοντα τὴν οἰκουμένην ἅπασαν, καὶ συνεσταλμένον, καὶ λαγωοῦ καὶ βατράχου δειλότερον γεγενημένον, καὶ χωρὶς δεσμῶν τῷ κίονι τούτῳ προσηλωμένον, καὶ ἀντὶ ἁλύσεως τῷ φόβῳ περισφιγγόμενον, καὶ δεδοικότα, καὶ τρέμοντα, καταστέλλει τὴν φλεγμονήν, καθαιρεῖ τὸ φύσημα, καὶ φιλοσοφήσας ἃ χρὴ περὶ τῶν ἀνθρωπίνων φιλοσοφεῖν, οὕτως ἄπεισιν, ἃ διὰ ρημάτων λέγουσιν αἱ Γραφαί, ταῦτα διὰ τῶν πραγμάτων μανθάνων· ὅτι «πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· καὶ ὁ χόρτος ἐξηράνθη, καὶ τὸ ἄνθος ἐξέπεσεν»· οἷον, «ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται»· ὅτι «ὡσεὶ καπνὸς αἱ*

θρόνο ντυμένος τὴν πορφύρα καὶ φορώντας τὸ στέμμα, ἀλλὰ καὶ ὅταν κάτω ἀπὸ τὸ πόδι τοῦ βασιλιᾶ ὑπάρχουν βάρβαροι μὲ τὰ χέρια τους δεμένα πίσω καὶ σκύβουν τὰ κεφάλια τους κάτω.

Καὶ ὅτι δὲ χρειάζονται πειστικὰ λόγια, ἐσεῖς εἶστε μάρτυρες τῆς προθυμίας καὶ τῆς συρροῆς τοῦ πλήθους ἐδῶ. Γιατὶ πραγματικὰ εἶναι λαμπρὸ τὸ ἐκκλησίασμά μας σήμερα καὶ φαιδρὴ ἡ συγκέντρωση, καὶ ὅσο πλῆθος εἶδα τὸ ἅγιο Πάσχα συγκεντρωμένο ἐδῶ, τόσο πολὺ βλέπω καὶ σήμερα. Καὶ ἔτσι, ἂν καὶ σιωπᾶ, τοὺς κάλεσε ὅλους, βγάζοντας μὲ τὰ πράγματα πιὸ δυνατὴ φωνὴ ἀπὸ σάλπιγγα. Καὶ ἀδειάσατε οἱ νεάνιδες τοὺς θαλάμους σας καὶ οἱ γυναῖκες τοὺς γυναικωνίτες καὶ οἱ ἄνδρες τὴν ἀγορὰ καὶ ὅλοι τρέξατε ἐδῶ, γιὰ νὰ δεῖτε τὴν ἀνθρώπινη φύση νὰ ἐλέγχεται, καὶ τὸ πρόσκαιρο τῶν βιοτικῶν πραγμάτων νὰ ἀποκαλύπτεται, καὶ τὸ πορνικὸ πρόσωπο, ποὺ χθὲς καὶ πιὸ πρὶν ἔλαμπε εὐτυχισμένο (γιατὶ ἀληθινὰ τέτοιο πράγμα εἶναι ἡ ἐπιτυχία ἀπὸ τὶς πλεονεξίες καὶ φαίνεται πιὸ ἄσχημη ἀπὸ κάθε γριὰ ποὺ ἔχει ρυτίδες), νὰ ἔχει καθαρίσει μὲ τὴ μεταβολὴ τῶν πραγμάτων, σὰν μὲ σπόγγο, τὰ φτιασίδια καὶ τὶς ἐπιγραφές.

4. Τέτοια εἶναι ἡ δύναμη τῆς συμφορᾶς αὐτῆς. Ἔκαμε τὸ χαρούμενο καὶ τὸν ξακουστὸ νὰ φαίνεται τώρα πιὸ ἀσήμαντος ἀπ' ὅλους. Καὶ ἂν μπεῖ μέσα ἕνας πλούσιος κερδίζει πολλά, γιατὶ βλέποντας νὰ ἔχει πέσει ἀπὸ τόσο μεγάλη κορυφὴ αὐτὸς ποὺ κινοῦσε τὴν οἰκουμένη ὅλη, νὰ εἶναι συνεσταλμένος, νὰ ἔχει γίνει δειλότερος καὶ ἀπὸ λαγὸ καὶ ἀπὸ βάτραχο, καὶ νὰ εἶναι καρφωμένος χωρὶς δεσμὰ στὴν κολόνα αὐτή, καὶ νὰ περισφίγγεται ἀντὶ μὲ ἁλυσίδα μὲ τὸ φόβο, καὶ νὰ φοβᾶται καὶ νὰ τρέμει, συγκρατεῖ τὴν ἔξαψή του, ἐλαττώνει τὸ φούσκωμά του καί, ἀφοῦ φιλοσοφήσει ὅσα πρέπει νὰ φιλοσοφεῖ κανεὶς γιὰ τὰ ἀνθρώπινα, ἔτσι θὰ φύγει, μαθαίνοντας μὲ τὰ πράγματα αὐτὰ ποὺ μὲ τὰ λόγια λέγουν οἱ Γραφές, ὅτι δηλαδὴ «κάθε ἄνθρωπος εἶναι σὰν χορτάρι καὶ κάθε δόξα ἀνθρώπου σὰν τὸ ἄνθος τοῦ χορταριοῦ· τὸ χορτάρι ξεράθηκε καὶ τὸ ἄνθος του ἔπεσε κάτω»[4], καὶ «γρήγορα σὰν τὸ χορτάρι θὰ ξεραθοῦν καὶ σὰν πράσινη χλόη

4. Ἠσ. 40,6–7.

*ἡμέραι αὐτοῦ», καὶ ὅσα τοιαῦτα. Πάλιν ὁ πένης εἰσελθὼν καὶ πρὸς τὴν ὄψιν ταύτην ἰδών, οὐκ ἐξευτελίζει ἑαυτόν, οὐδὲ ὀδυνᾶται διὰ τὴν πτωχείαν, ἀλλὰ καὶ χάριν οἶδε τῇ πενίᾳ, ὅτι χωρίον αὐτῷ γέγονεν ἄσυλον καὶ λιμὴν ἀκύμαντος καὶ τεῖχος ἀσφαλές· καὶ πολλάκις ἂν ἕλοιτο ταῦτα ὁρῶν μένειν, ἔνθα ἐστίν, ἢ πρὸς βραχὺ τὰ πάντων λαβών, ὕστερον καὶ ὑπὲρ αἵματος κινδυνεύειν ἑαυτοῦ.*

*Ὁρᾷς ὡς οὐ μικρὸν κέρδος γέγονε καὶ πλουσίοις καὶ πένησι καὶ ταπεινοῖς καὶ ὑψηλοῖς καὶ δούλοις καὶ ἐλευθέροις ἀπὸ τῆς ἐνταῦθα τούτου καταφυγῆς; Ὁρᾷς πῶς ἕκαστος φάρμακα λαβὼν ἐντεῦθεν ἄπεισιν, ἀπὸ τῆς ὄψεως ταύτης μόνης θεραπευόμενος; Ἆρα ἐμάλαξα ὑμῶν τὸ πάθος καὶ ἐξέβαλον ὀργήν; ἆρα ἔσβεσα τὴν ἀπανθρωπίαν; ἆρα εἰς συμπάθειαν ἤγαγον; Σφόδρα ἔγωγε οἶμαι, καὶ δηλοῖ τὰ πρόσωπα καὶ αἱ τῶν δακρύων πηγαί. Ἐπεὶ οὖν ὑμῖν ἡ πέτρα γέγονε βαθύγειος καὶ λιπαρὰ χώρα, φέρε δὴ καὶ καρπὸν ἐλεημοσύνης βλαστήσαντες καὶ τὸν στάχυν κομῶντα τῆς συμπαθείας ἐπιδειξάμενοι, προσπέσωμεν τῷ βασιλεῖ, μᾶλλον δὲ παρακαλέσωμεν τὸν φιλάνθρωπον Θεόν, μαλάξαι τὸν θυμὸν τοῦ βασιλέως καὶ ἁπαλὴν αὐτοῦ ποιῆσαι τὴν καρδίαν, ὥστε ὁλόκληρον ἡμῖν δοῦναι τὴν χάριν.*

*Καὶ ἤδη μὲν γὰρ ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἧς οὗτος κατέφυγεν ἐνταῦθα, οὐ μικρὰ γέγονεν ἡ μεταβολή· ἐπειδὴ γὰρ ὁ βασιλεὺς ἔγνω, ὅτι εἰς τὸ ἄσυλον τοῦτο χωρίον κατέδραμε, τοῦ στρατοπέδου παρόντος, καὶ παροξυνομένου ὑπὲρ τῶν αὐτῷ πεπλημμελημένων καὶ εἰς σφαγὴν αὐτὸν αἰτούντων, μακρὸν ἀπέτεινε λόγον, τὸν στρατιωτικὸν καταστέλλων θυμόν, ἀξιῶν μὴ τὰ ἁμαρτήματα μόνον, ἀλλὰ καὶ εἴ τι αὐτῷ γέγονε κατόρθωμα, καὶ τοῦτο λογίζεσθαι, καὶ τοῖς μὲν εἰδέναι χάριν ὁμολογῶν, ὑπὲρ δὲ τῶν ἑτέρως ἐχόντων ὡς ἀνθρώπῳ συγγινώσκων. Ὡς δὲ*

5. Ψαλμ. 36,2.

γρήγορα θὰ πέσουν στὸ ἔδαφος»[5], καὶ «σὰν καπνὸς οἱ ἡμέρες του»[6], καὶ ὅλα τὰ παρόμοια. Ἐπίσης ὁ φτωχὸς ἂν μπεῖ καὶ δεῖ τὸ θέαμα αὐτό, δὲν ἐξευτελίζει τὸν ἑαυτό του, οὔτε στενοχωριέται γιὰ τὴ φτώχεια του, ἀλλὰ καὶ εὐχαριστεῖ τὴ φτώχεια, γιατὶ τοῦ ἔγινε τόπος ἀσύλου καὶ λιμάνι γαλήνιο καὶ τεῖχος ἀσφαλισμένο. Καὶ βλέποντας αὐτὰ θὰ προτιμοῦσε πολλὲς φορὲς νὰ παραμένει ἐκεῖ ποὺ βρίσκεται παρά, ἀφοῦ λάβει γιὰ λίγο τὰ ἀξιώματα ὅλων, νὰ κινδυνεύει ὕστερα γιὰ τὴ δική του ζωή.

Βλέπεις πῶς ἀπὸ τὸ καταφύγιό του ἐδῶ προέκυψε μεγάλο κέρδος καὶ στοὺς πλούσιους καὶ στοὺς φτωχοὺς καὶ στοὺς ταπεινοὺς καὶ στοὺς μεγάλους καὶ στοὺς δούλους καὶ στοὺς ἐλεύθερους; Βλέπεις πῶς ὁ καθένας, παίρνοντας φάρμακα, φεύγει ἀπὸ ἐδῶ, θεραπευόμενος μόνο ἀπὸ τὸ θέαμα αὐτό; Ἄραγε μαλάκωσα τὸ πάθος σας καὶ ἀπομάκρυνα τὴν ὀργή σας; Ἄραγε ἔσβησα τὴν ἀπανθρωπιά; Ἄραγε σᾶς ἔφερα σὲ συμπάθεια; Ἐγὼ τουλάχιστο νομίζω πάρα πολύ, καὶ τὸ φανερώνουν τὰ πρόσωπά σας καὶ οἱ πηγὲς τῶν δακρύων. Ἀφοῦ λοιπὸν ἡ πέτρινη καρδιά σας ἔγινε χῶμα βαθὺ καὶ γῆ εὔφορη, ἐμπρός, ἀφοῦ βλαστήσουμε καὶ τὸν καρπὸ τῆς ἐλεημοσύνης καὶ ἀφοῦ παρουσιάσουμε πλούσιο τὸ στάχυ τῆς συμπάθειας, ἂς προσπέσουμε στὸ βασιλιά, ἢ καλύτερα ἂς παρακαλέσουμε τὸ φιλάνθρωπο Θεὸ νὰ μαλακώσει τὸ θυμὸ τοῦ βασιλιᾶ καὶ νὰ κάμει ἁπαλὴ τὴ καρδιά του, ὥστε νὰ μᾶς δώσει ὁλόκληρη τὴ χάρη.

Καὶ πραγματικὰ ἀπὸ τὴν ἡμέρα ἐκείνη ποὺ αὐτὸς κατέφυγε ἐδῶ δὲν ἔγινε μικρὴ ἡ μεταβολὴ ὡς τώρα. Γιατί, ὅταν ὁ βασιλιὰς ἔμαθε ὅτι ἔτρεξε στὸ ἄσυλο αὐτό, μπροστὰ στοὺς στρατιῶτες ποὺ ἦταν ὀργισμένοι γιὰ τὰ σφάλματά του καὶ ζητοῦσαν νὰ τὸν σφάξουν, ἔβγαλε μακρὸ λόγο, γιὰ νὰ συγκρατήσει τὸ θυμὸ τῶν στρατιωτῶν καὶ νὰ ζητήσει ὄχι μόνο τὰ παραπτώματά του, ἀλλὰ καὶ ἂν ἔκαμε κάποιο κατόρθωμα νὰ τὸ σκέπτονται καὶ αὐτό, ὁμολογώντας ἔτσι εὐγνωμοσύνη γιὰ τὰ καλὰ ποὺ ἔκα-

6. Ψαλμ. 101,4.

*ἐπέκειντο πάλιν εἰς ἐκδικίαν τοῦ ὑβρισμένου βασιλέως, βοῶντες, πηδῶντες, θανάτου μεμνημένοι καὶ τὰ δόρατα σείοντες, πηγὰς λοιπὸν ἀφεὶς δακρύων ἀπὸ τῶν ἡμερωτάτων ὀφθαλμῶν, καὶ ἀναμνήσας τῆς ἱερᾶς τραπέζης, εἰς ἣν κατέφυγεν, οὕτω τὴν ὀργὴν κατέπαυσε.*

5. *Πλὴν ἀλλὰ καὶ ἡμεῖς τὰ παρ᾽ ἑαυτῶν προσθῶμεν. Τίνος γὰρ ἂν ἦτε συγγνώμης ἄξιοι, εἰ τοῦ βασιλέως τοῦ ὑβρισμένου μὴ μνησικακοῦντος, ὑμεῖς οἱ μηδὲν τοιοῦτον παθόντες τοσαύτην ὀργὴν ἐπεδείξασθε; Πῶς δὲ τοῦ θεάτρου τούτου λυθέντος, ὑμεῖς μυστηρίων ἅψεσθε καὶ τὴν εὐχὴν ἐρεῖτε ἐκείνην, δι᾽ ἧς κελευόμεθα λέγειν, «ἄφες ἡμῖν καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν», τὸν ὑμῶν ὀφειλέτην ἀπαιτοῦντες δίκην; Ἠδίκησε μεγάλα καὶ ὕβρισεν; Οὐδὲ ἡμεῖς ἀντεροῦμεν. Ἀλλ᾽ οὐ δικαστηρίου καιρὸς νῦν, ἀλλ᾽ ἐλέους· οὐκ εὐθύνης, ἀλλὰ φιλανθρωπίας· οὐκ ἐξετάσεως, ἀλλὰ συγχωρήσεως· οὐ ψήφου καὶ δίκης, ἀλλὰ οἴκτου καὶ χάριτος. Μὴ τοίνυν φλεγμαινέτω τις, μηδὲ δυσχεραινέτω, ἀλλὰ μᾶλλον δεηθῶμεν τοῦ φιλανθρώπου Θεοῦ, δοῦναι αὐτῷ προθεσμίαν ζωῆς, καὶ τῆς ἀπειλουμένης ἐξαρπάσαι σφαγῆς, ὥστε αὐτὸν ἀποδύσασθαι τὰ πεπλημμελημένα, καὶ κοινῇ προσέλθωμεν τῷ φιλανθρώπῳ βασιλεῖ, ὑπὲρ τῆς Ἐκκλησίας, ὑπὲρ τοῦ θυσιαστηρίου, ἕνα ἄνδρα τῇ τραπέζῃ τῇ ἱερᾷ χαρισθῆναι παρακαλοῦντες.*

*Ἂν τοῦτο ποιήσωμεν, καὶ αὐτὸς ὁ βασιλεὺς ἀποδέξεται, καὶ ὁ Θεὸς πρὸ τοῦ βασιλέως ἐπαινέσεται, καὶ μεγάλην ἡμῖν τῆς φιλανθρωπίας ἀποδώσει τὴν ἀμοιβήν. Ὥσπερ γὰρ τὸν ὠμὸν καὶ ἀπάνθρωπον ἀποστρέφεται καὶ μισεῖ, οὕτω τὸν ἐλεήμονα καὶ φιλάνθρωπον προσίεται καὶ φιλεῖ· κἂν μὲν δίκαιος ὁ τοιοῦτος ᾖ, λαμπροτέρους αὐτῷ πλέκει τοὺς στεφάνους· ἂν δὲ ἁμαρ-*

7. Ματθ. 6,12.

με καὶ συγχωρώντας τον ὡς ἄνθρωπο γιὰ τὰ παραπτώματά του. Ἐπειδὴ ὅμως ἐπέμεναν πάλι νὰ ἐκδικηθοῦν γιὰ τὴν προσβολὴ ποὺ ἔγινε στὸ βασιλιά, φωνάζοντας, πηδώντας, ἀναφέροντας τὸ θάνατο καὶ σείοντας τὰ δόρατα, ἀφήνοντας στὴ συνέχεια νὰ τρέξουν πηγὴ τὰ δάκρυα ἀπὸ τὰ ἡμερότατα μάτια του καὶ ὑπενθυμίζοντας τὴν ἁγία τράπεζα, στὴν ὁποία αὐτὸς κατέφυγε, ἔτσι σταμάτησε τὴν ὀργή τους.

5. Ἀλλ' ὅμως καὶ μεῖς ἂς προσθέσουμε τὰ δικά μας. Γιατὶ γιὰ ποιά συγγνώμη θὰ εἶστε ἄξιοι, ἄν, ἐνῶ ὁ βασιλιὰς ποὺ βρίστηκε δὲν κρατάει κακία, ἐσεῖς ποὺ δὲν πάθατε τίποτε τέτοιο δείξετε τόσο μεγάλη ὀργή; Καὶ πῶς ἐσεῖς ὅταν τελειώσει αὐτὴ ἡ σύναξη, θὰ ἀγγίξετε τὰ μυστήρια καὶ θὰ πεῖτε τὴν εὐχὴ ἐκείνη, μὲ τὴν ὁποία μᾶς προτρέπει νὰ λέμε, «συγχώρησέ μας, ὅπως καὶ μεῖς συγχωροῦμε ἐκείνους ποὺ μᾶς ἔχουν κάνει κακό»[7], ζητώντας νὰ τιμωρηθεῖ ἐκεῖνος ποὺ σᾶς ἔκανε κακό; Ἔκανε μεγάλες ἀδικίες καὶ πρόσβαλε; Τὸ παραδεχόμαστε καὶ μεῖς. Ὅμως δὲν εἶναι τώρα καιρὸς γιὰ δικαστήριο, ἀλλὰ γιὰ ἔλεος, οὔτε γιὰ εὐθύνες, ἀλλὰ γιὰ φιλανθρωπία, οὔτε γιὰ ἀνάκριση, ἀλλὰ γιὰ συγχώρηση, οὔτε γιὰ ἀπόφαση καὶ τιμωρία, ἀλλὰ γιὰ εὐσπλαχνία καὶ χάρη. Ἂς μὴν ἐξάπτεται λοιπὸν κανείς, οὔτε νὰ δυσανασχετεῖ, ἀλλὰ μᾶλλον ἂς παρακαλέσουμε τὸ φιλάνθρωπο Θεὸ νὰ τοῦ δώσει προθεσμία ζωῆς καὶ νὰ τὸν σώσει ἀπὸ τὴν ἀπειλούμενη σφαγή, ὥστε νὰ ἀπορρίψει τὰ ἁμαρτήματά του, καὶ ἂς προσέλθουμε ὅλοι μαζὶ στὸ φιλάνθρωπο βασιλιά, παρακαλώντας τον γιὰ χάρη τῆς Ἐκκλησίας, γιὰ χάρη τοῦ θυσιαστηρίου, νὰ χαρίσει ἕνα ἄνδρα στὴν ἁγία τράπεζα.

Ἂν τὸ κάνουμε αὐτό, καὶ ὁ ἴδιος ὁ βασιλιὰς θὰ τὸ δεχθεῖ καὶ ὁ Θεὸς πρὶν ἀπὸ τὸ βασιλιὰ θὰ τὸ ἐπαινέσει καὶ γιὰ τὴ φιλανθρωπία αὐτὴ θὰ μᾶς ἀνταποδώσει μεγάλη ἀμοιβή. Γιατί, ὅπως ἀποστρέφεται καὶ μισεῖ τὸν σκληρὸ καὶ ἀπάνθρωπο, ἔτσι δέχεται καὶ ἀγαπάει τὸν ἐλεήμονα καὶ φιλάνθρωπο. Καὶ ἂν λοιπὸν αὐτὸς εἶναι δίκαιος, τοῦ πλέκει λαμπρότερα τὰ στεφάνια,

*τωλός, παρατρέχει τὰ ἁμαρτήματα, τῆς πρὸς τὸν ὁμόδουλον συμπαθείας ἀμοιβὴν αὐτῷ ταύτην ἀποδιδούς· «ἔλεον γάρ», φησί, «θέλω, καὶ οὐ θυσίαν»· καὶ πανταχοῦ τῶν Γραφῶν ὁρᾷς αὐτὸν τοῦτο ἀεὶ ἐπιζητοῦντα, καὶ ταύτην λύσιν τῶν ἁμαρτημάτων εἶναι λέγοντα. Οὕτω τοίνυν αὐτὸν καὶ ἡμεῖς ἵλεων ἐργασόμεθα, οὕτω τὰ ἡμέτερα διαλύσομεν πλημμελήματα, οὕτω τὴν Ἐκκλησίαν κοσμήσομεν, οὕτω καὶ βασιλεὺς ἡμᾶς ὁ φιλάνθρωπος ἐπαινέσεται, καθάπερ ἔφθην εἰπών, καὶ ἅπας ὁ δῆμος κροτήσει, καὶ τὰ πέρατα τῆς οἰκουμένης τὸ φιλάνθρωπον καὶ ἥμερον τῆς πόλεως θαυμάσεται, καὶ μαθόντες οἱ πανταχοῦ τῆς γῆς τὰ γενόμενα κηρύξουσιν ἡμᾶς.*

*Ἵνα οὖν ἀπολαύσωμεν τῶν τοσούτων ἀγαθῶν, προσπέσωμεν, παρακαλέσωμεν, δεηθῶμεν, ἐξαρπάσωμεν τοῦ κινδύνου τὸν αἰχμάλωτον, τὸν φυγάδα, τὸν ἱκέτην, ἵνα καὶ αὐτοὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἂν ὅμως εἶναι ἁμαρτωλός, παραβλέπει τὰ ἁμαρτήματά του, δίνοντάς του τὴν ἀμοιβὴ αὐτὴ γιὰ τὴ συμπάθεια ποὺ ἔδειξε πρὸς τὸ συνάνθρωπό του. «Εὐσπλαχνία», λέγει, «θέλω καὶ ὄχι θυσία»[8]. Καὶ παντοῦ στὶς Γραφὲς τὸν βλέπεις νὰ τὸ ζητάει αὐτὸ πάντοτε καὶ νὰ λέγει πὼς αὐτὴ εἶναι συγχώρηση τῶν ἁμαρτημάτων. Ἔτσι λοιπὸν καὶ μεῖς θὰ τὸν κάνουμε εὐσπλαχνικό, ἔτσι θὰ διαλύσουμε τὰ δικά μας ἁμαρτήματα, ἔτσι θὰ στολίσουμε τὴν Ἐκκλησία, ἔτσι καὶ ὁ βασιλιὰς ὁ φιλάνθρωπος θὰ μᾶς ἐπαινέσει, ὅπως εἶπα προηγουμένως, καὶ ὅλος ὁ λαὸς θὰ μᾶς χειροκροτήσει, καὶ τὰ πέρατα τῆς οἰκουμένης θὰ θαυμάσουν τὴ φιλανθρωπία καὶ πραότητα τῆς πόλης μας, καὶ σὲ ὅλα τὰ μέρη τῆς γῆς, ὅταν μάθουν αὐτὰ ποὺ ἔγιναν, θὰ μᾶς ἐγκωμιάσουν.

Γιὰ νὰ ἀπολαύσουμε λοιπὸν τὰ τόσα ἀγαθά, ἂς προσπέσουμε, ἂς παρακαλέσουμε, ἂς προσευχηθοῦμε, ἂς γλυτώσουμε ἀπὸ τὸν κίνδυνο τὸν αἰχμάλωτο, τὸ δραπέτη, τὸν ἱκέτη, γιὰ νὰ ἐπιτύχουμε καὶ μεῖς τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

8. Ὠσηὲ 6,6.



# ΟΜΙΛΙΑ Β΄

## ΟΤΑΝ Ο ΕΥΤΡΟΠΙΟΣ ΒΡΕΘΗΚΕ ΕΞΩ ΑΠΟ ΤΗΝ ΕΚΚΛΗΣΙΑ

**καὶ συνελήφθηκε· περὶ τοῦ κήπου τῶν Γραφῶν,**
**καὶ στὸ**
**«Στάθηκε ἡ βασίλισσα στὰ δεξιά σου»**



# ΟΜΙΛΙΑ

## ΟΤΕ
## ΤΗΣ ΕΞΩ ΕΥΡΕΘΕΙΣ ΕΥΤΡΟΠΙΟΣ ΑΠΕΣΠΑΣΘΗ

*καὶ περὶ παραδείσου καὶ Γραφῶν,*
*καὶ εἰς τὸ*
*«παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου».*

*1. Ἡδὺς μὲν λειμὼν καὶ παράδεισος, πολὺ δὲ ἡδύτερον τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις. Ἐκεῖ μὲν γάρ ἐστιν ἄνθη μαραινόμενα, ἐνταῦθα δὲ νοήματα ἀκμάζοντα· ἐκεῖ ζέφυρος πνέων, ἐνταῦθα δὲ Πνεύματος αὔρα· ἐκεῖ ἄκανθαι αἱ τειχίζουσαι, ἐνταῦθα δὲ πρόνοια Θεοῦ ἡ ἀσφαλιζομένη· ἐκεῖ τέρψις ἀπὸ τῆς ὄψεως, ἐνταῦθα δὲ ὠφέλεια ἀπὸ τῆς ἀναγνώσεως. Ὁ παράδεισος ἐν ἑνὶ χωρίῳ, αἱ δὲ Γραφαὶ πανταχοῦ τῆς οἰκουμένης· ὁ παράδεισος δουλεύει καιρῶν ἀνάγκαις, αἱ δὲ Γραφαὶ καὶ ἐν χειμῶνι καὶ ἐν θέρει κομῶσι τοῖς φύλλοις, βρίθουσι τοῖς καρποῖς. Προσέχωμεν τοίνυν τῇ τῶν Γραφῶν ἀναγνώσει· ἐὰν γὰρ τῇ Γραφῇ προσέχῃς, ἐκβάλλει σου τὴν ἀθυμίαν, φυτεύει σου τὴν ἡδονήν, ἀναιρεῖ τὴν κακίαν, ῥιζοῖ τὴν ἀρετήν, οὐκ ἀφίησιν ἐν θορύβῳ πραγμάτων τὰ τῶν κλυδωνιζομένων πάσχειν. Ἡ θάλασσα μαίνεται, σὺ δὲ μετὰ γαλήνης πλέεις· ἔχεις γὰρ κυβερνήτην τῶν Γραφῶν τὴν ἀνάγνωσιν· τοῦτο γὰρ τὸ σχοινίον οὐ διαρρήγνυσι τῶν πραγμάτων ὁ πειρασμός.*

---

1. Ψαλμ. 44,10.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ
## Ο ΕΥΤΡΟΠΙΟΣ ΒΡΕΘΗΚΕ ΕΞΩ ΑΠΟ ΤΗΝ ΕΚΚΛΗΣΙΑ

καὶ συνελήφθηκε, καθὼς καὶ περὶ κήπου
καὶ τῶν Γραφῶν, καὶ στὸ
«στάθηκε ἡ βασίλισσα στὰ δεξιά σου».[1]

1. Εὐχάριστο βέβαια εἶναι τὸ λιβάδι καὶ ἕνας κῆπος, ἀλλὰ πολὺ πιὸ εὐχάριστο πράγμα εἶναι ἡ ἀνάγνωση τῶν θείων Γραφῶν. Γιατὶ ἐκεῖ ὑπάρχουν ἄνθη ποὺ μαραίνονται, ἐνῶ ἐδῶ νοήματα ποὺ πάντα εἶναι ἀκμαῖα· ἐκεῖ εἶναι ὁ ζέφυρος ποὺ φυσάει, ἐνῶ ἐδῶ ἡ αὔρα τοῦ Πνεύματος· ἐκεῖ τὰ ἀγκάθια ποὺ φράζουν, ἐνῶ ἐδῶ ἡ πρόνοια τοῦ Θεοῦ ποὺ ἀσφαλίζει· ἐκεῖ τὰ τζιτζίκια τραγουδοῦν, ἐνῶ ἐδῶ οἱ προφῆτες κελαϊδοῦν· ἐκεῖ ἡ εὐχαρίστηση ἀπὸ τὸ θέαμα, ἐνῶ ἐδῶ ἡ ὠφέλεια ἀπὸ τὴν ἀνάγνωση. Ὁ κῆπος βρίσκεται σ' ἕνα τόπο, ἐνῶ οἱ Γραφὲς σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης· ὁ κῆπος δουλεύει ἀνάλογα μὲ τὶς ἐποχές, ἐνῶ οἱ Γραφὲς καὶ τὸ χειμώνα καὶ τὸ θέρος ἔχουν πλούσια φύλλα καὶ εἶναι γεμάτες καρπούς. Ἂς προσέχουμε λοιπὸν στὴν ἀνάγνωση τῶν Γραφῶν, γιατί, ἂν προσέχεις στὴ Γραφή, σοῦ απομακρύνει τὴ στενοχώρια, σοῦ φυτεύει τὴν εὐχαρίστηση, ἀφανίζει τὴν κακία, ριζώνει τὴν ἀρετή, δὲν ἀφήνει στὴν ἀναταραχὴ τῶν πραγμάτων νὰ παθαίνεις αὐτὰ ποὺ παθαίνουν ὅσοι ταλαιπωροῦνται ἀπὸ τρικυμία. Ἡ θάλασσα μαίνεται, ἐσὺ ὅμως πλέεις μὲ γαλήνη, γιατὶ ἔχεις κυβερνήτη τὴν ἀνάγνωση τῶν Γραφῶν καὶ αὐτὸ τὸ σχοινὶ δὲν τὸ σπάζει ὁ πειρασμὸς τῶν περιστάσεων.

*Καὶ ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ τὰ πράγματα αὐτά. Ἐπολιορκήθη ἡ Ἐκκλησία πρὸ ὀλίγων ἡμερῶν· ἦλθε στρατόπεδον, καὶ πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἠφίει, καὶ τὴν ἐλαίαν οὐκ ἐμάρανε· ξίφη γεγύμνωντο, καὶ τραύματα οὐδεὶς ἐδέξατο· αἱ βασιλικαὶ πύλαι ἐν ἀγωνίᾳ καὶ ἡ Ἐκκλησία ἐν ἀσφαλείᾳ· καίτοι γε ὁ πόλεμος ἐνταῦθα ἔρρευσεν. Ἐνταῦθα γὰρ ἐζητεῖτο ὁ καταφυγὼν καὶ παριστάμεθα μὴ δεδοικότες τὸν ἐκείνων θυμόν. Τί δήποτε; Εἴχομεν ἐνέχυρον ἀσφαλὲς τό, «σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς», Ἐκκλησίαν δὲ λέγω, οὐ τόπον μόνον, ἀλλὰ καὶ τρόπον· οὐ τοίχους ἐκκλησίας, ἀλλὰ νόμους Ἐκκλησίας. Ὅταν καταφεύγῃς ἐν ἐκκλησίᾳ, μὴ τόπῳ καταφύγῃς, ἀλλὰ γνώμῃ. Ἐκκλησία γὰρ οὐ τοῖχος καὶ ὄροφος, ἀλλὰ πίστις καὶ βίος.*

*Μὴ λέγε, ὅτι προεδόθη ἀπὸ Ἐκκλησίας ὁ προδοθείς· εἰ μὴ ἀφῆκε τὴν ἐκκλησίαν, οὐκ ἂν προεδίδοτο. Μὴ λέγε, ὅτι καὶ κατέφυγε καὶ προεδόθη· οὐχ ἡ Ἐκκλησία αὐτὸν ἀφῆκεν, ἀλλ' αὐτὸς τὴν ἐκκλησίαν ἐφῆκεν. Οὐκ ἔνδοθεν παρεδόθη, ἀλλ' ἔξωθεν. Διὰ τί κατέλιπε τὴν ἐκκλησίαν; Ἐβούλου σώζεσθαι; Ὤφειλες κατέχειν τὸ θυσιαστήριον. Οὐκ ἦσαν ἐνταῦθα τοῖχοι, ἀλλὰ Θεοῦ πρόνοιαν ἡ ἀσφαλιζομένη. Ἁμαρτωλὸς ἦς; Οὐκ ἀποπέμπεταί σε ὁ Θεός· οὐκ ἦλθε γὰρ καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Πόρνη ἐσώθη, ἐπειδὴ πόδας κατέσχεν. Ἠκούσατε τοῦ σήμερον ἀνεγνωσμένου; Ταῦτα δὲ λέγω, ἵνα μηδέποτε εἰς Ἐκκλησίαν καταφεύγων ἀμφιβάλῃς. Μένε εἰς Ἐκκλησίαν, καὶ οὐ προδίδοσαι ἀπὸ τῆς Ἐκκλησίας. Ἐὰν δὲ φύγῃς ἀπὸ Ἐκκλησίας, οὐκ αἰτία ἡ Ἐκκλησία. Ἐὰν μὲν γὰρ ἦς ἔσω, ὁ λύκος οὐκ εἰσέρχεται· ἐὰν δὲ ἐξέλθῃς ἔξω, θηριάλωτος*

Καὶ ὅτι δὲ λέγω ψέματα, τὸ βεβαιώνουν τὰ ἴδια τὰ πράγματα. Πολιορκήθηκε ἡ Ἐκκλησία πρὶν λίγες ἡμέρες, ἦρθε στρατὸς καὶ ἀπὸ τὰ μάτια του πετοῦσε φωτιά, ἀλλὰ δὲ μάρανε τὴν ἐλιά. Τὰ ξίφη εἶχαν γυμνωθεῖ καὶ κανεὶς δὲν πληγώθηκε. Ἡ βασιλικὴ αὐλὴ ἦταν σὲ ἀγωνία καὶ ἡ Ἐκκλησία σὲ ἀσφάλεια, παρ' ὅλο βέβαια ποὺ ὁ πόλεμος μετακινήθηκε ἐδῶ. Γιατὶ ἐδῶ καταζητοῦνταν αὐτὸς ποὺ κατέφυγε στὴν ἐκκλησία καὶ μεῖς παραστεκόμασταν χωρὶς νὰ φοβόμαστε τὸ θυμό τους. Γιατί ἄραγε; Εἴχαμε ἐνέχυρο ἀσφαλισμένο τὸ «ἐσὺ εἶσαι Πέτρος καὶ πάνω στὴν πέτρα αὐτὴ θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴν καταβάλουν»[2]. Καὶ Ἐκκλησία λέγω ὄχι μόνο τὸν τόπο, ἀλλὰ καὶ τὸν τρόπο, ὄχι μόνο τοὺς τοίχους τῆς ἐκκλησίας, ἀλλὰ τοὺς νόμους τῆς Ἐκκλησίας. Ὅταν καταφεύγεις στὴν ἐκκλησία μὴν καταφύγεις στὸν τόπο, ἀλλὰ στὴ γνώμη. Γιατὶ ἐκκλησία δὲν εἶναι τοῖχος καὶ στέγη, ἀλλὰ πίστη καὶ τρόπος ζωῆς.

Νὰ μὴ λέγεις ὅτι παραδόθηκε ἀπὸ τὴν Ἐκκλησία αὐτὸς ποὺ παραδόθηκε· ἂν δὲν ἄφηνε τὴν Ἐκκλησία, δὲ θὰ παραδινόταν. Νὰ μὴ λέγεις ὅτι καὶ κατέφυγε καὶ παραδόθηκε· δὲν τὸν ἐγκατέλειψε ἡ Ἐκκλησία, ἀλλ' αὐτὸς ἐγκατέλειψε τὴν ἐκκλησία. Δὲν παραδόθηκε ἀπὸ μέσα, ἀλλ' ἀπὸ ἔξω. Γιατί ἐγκατέλειψε τὴν ἐκκλησία; Ἤθελες νὰ σωθεῖς; Ἔπρεπε νὰ κρατᾶς τὸ θυσιαστήριο. Δὲν ἦταν ἐδῶ οἱ τοῖχοι, ἀλλὰ ἡ πρόνοια τοῦ Θεοῦ ποὺ σὲ ἀσφάλιζε. Εἶσαι ἁμαρτωλός; Δὲ σὲ διώχνει ὁ Θεός, γιατὶ δὲν ἦρθε νὰ καλέσει δικαίους, ἀλλὰ ἁμαρτωλοὺς σὲ μετάνοια. Ἡ πόρνη σώθηκε γιατὶ κράτησε τὰ πόδια τοῦ Κυρίου. Ἀκούσατε τὸ σημερινὸ ἀνάγνωσμα; Καὶ τὰ λέγω αὐτὰ γιὰ νὰ μὴν ἔχεις ποτὲ ἀμφιβολία, ὅταν καταφεύγεις στὴν Ἐκκλησία. Μένε στὴν Ἐκκλησία καὶ ἡ Ἐκκλησία δὲ σὲ παραδίνει. Ἂν ὅμως φύγεις ἀπὸ τὴν Ἐκκλησία, δὲν εἶναι αἰτία ἡ Ἐκκλησία. Γιατί, ἂν εἶσαι μέσα, ὁ λύκος δὲν μπαίνει σ' αὐτήν· ἂν ὅμως βγεῖς ἔξω, τότε θὰ σὲ συλλάβουν τὰ θηρία. Καὶ αὐτὸ δὲ συμβαί-

2. Ματθ. 16,18.

γίνῃ· ἀλλ' οὐ παρὰ τὴν μάνδραν τοῦτο, ἀλλὰ παρὰ τὴν σὴν μικροψυχίαν.

Ἐκκλησίας οὐδὲν ἴσον. Μή μοι λέγε τείχη καὶ ὅπλα· τείχη μὲν γὰρ τῷ χρόνῳ παλαιοῦνται, ἡ Ἐκκλησία δὲ οὐδέποτε γηρᾷ. Τείχη βάρβαροι καταλύουσιν, Ἐκκλησίας δὲ οὐδὲ δαίμονες περιγίνονται. Καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, μαρτυρεῖ τὰ πράγματα. Πόσοι ἐπολέμησαν τὴν Ἐκκλησίαν καὶ οἱ πολεμήσαντες ἀπώλοντο; Αὕτη δὲ ὑπὲρ τῶν οὐρανῶν ἀναβέβηκε. Τοιοῦτον ἔχει μέγεθος ἡ Ἐκκλησία· πολεμουμένη νικᾷ· ἐπιβουλευομένη περιγίνεται· ὑβριζομένη, λαμπροτέρα καθίσταται· δέχεται τραύματα, καὶ οὐ καταπίπτει ὑπὸ τῶν ἑλκῶν· κλυδωνίζεται, ἀλλ' οὐ καταποντίζεται· χειμάζεται, ἀλλὰ ναυάγιον οὐχ ὑπομένει· παλαίει, ἀλλ' οὐχ ἡττᾶται· πυκτεύει, ἀλλ' οὐ νικᾶται. Διὰ τί οὖν συνεχώρησε τὸν πόλεμον; Ἵνα δείξῃ λαμπρότερον τὸ τρόπαιον. Παρῆτε κατὰ τὴν ἡμέραν ἐκείνην, καὶ ἐβλέπετε ὅσα ἐκινεῖτο ὅπλα, καὶ θυμὸς στρατιωτικὸς πυρὸς σφοδρότερος, καὶ ἡμεῖς ἐπὶ τὰς βασιλικὰς αὐλὰς ἐπειγόμεθα. Ἀλλὰ τί; Τοῦ Θεοῦ χάριτι οὐδὲν ἡμᾶς ἐκείνων κατέπληξε.

2. Ταῦτα δὲ λέγω, ἵνα καὶ ὑμεῖς μιμῆσθε. Διὰ τί δὲ οὐ κατεπλάγημεν; Ὅτι οὐδὲν τῶν παρόντων δεινῶν ἐδεδοίκαμεν. Τί γάρ ἐστι δεινόν; Θάνατος; Οὐκ ἔστι τοῦτο δεινόν· ταχέως γὰρ ἐπὶ τὸν λιμένα ἀπερχόμεθα τὸν ἀκύμαντον. Ἀλλὰ δημεύσεις; «Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι». Ἀλλ' ἐξορίαι; «Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Ἀλλὰ συκοφαντίαι; «Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Ἑώρων τὰ ξίφη, καὶ τὸν οὐρανὸν ἐλογιζόμην· προσεδόκων τὸν θάνατον, καὶ τὴν ἀνάστασιν ἐνενόουν· ἑώρων τὰ κάτω πάθη, καὶ ἠρίθμουν τὰ ἄνω βραβεῖα· ἔβλεπον τὰς ἐπιβουλάς, καὶ ἐλογιζόμην τὸν ἄνω στέφανον· ἡ γὰρ ὑπόθε-

3. Ἰὼβ 1,21. 4. Ψαλμ. 23,1.

νει ἐξ αἰτίας τῆς μάνδρας, ἀλλ' ἐξ αἰτίας τῆς δικῆς σου μικροψυχίας.

Τίποτε δὲν εἶναι ἴσο μὲ τὴν Ἐκκλησία. Μὴ μοῦ λέγεις τὰ τείχη καὶ τὰ ὅπλα, γιατὶ τὰ τείχη μὲ τὸ χρόνο παλαιώνουν, ἐνῶ ἡ Ἐκκλησία ποτὲ δὲ γερνᾶ. Τὰ τείχη οἱ βάρβαροι τὰ γκρεμίζουν, τὴν Ἐκκλησία ὅμως οὔτε οἱ δαίμονες τὴ νικοῦν. Καὶ ὅτι τὰ λόγια αὐτὰ δὲν εἶναι μεγάλη καύχηση τὸ μαρτυροῦν τὰ πράγματα. Πόσοι πολέμησαν τὴν Ἐκκλησία καὶ αὐτοὶ ποὺ τὴν πολέμησαν χάθηκαν; Αὐτὴ ὅμως ἀνέβηκε πάνω ἀπὸ τοὺς οὐρανούς. Τέτοιο μεγαλεῖο ἔχει ἡ Ἐκκλησία. Ὅταν τὴν πολεμοῦν, νικάει· ὅταν τὴν ἐπιβουλεύονται, θριαμβεύει· ὅταν τὴ βρίζουν, γίνεται λαμπρότερη· δέχεται τραύματα καὶ δὲν πέφτει ἀπὸ τὶς πληγές· κλυδωνίζεται, ἀλλὰ δὲν καταποντίζεται· δοκιμάζεται ἀπὸ τρικυμίες, ἀλλὰ δὲν παθαίνει ναυάγιο· παλεύει, ἀλλὰ μένει ἀήττητη· ἀγωνίζεται, ἀλλὰ δὲ νικιέται. Γιατί λοιπὸν ἐπέτρεψε τὸν πόλεμο; Γιὰ νὰ δείξει πιὸ λαμπρὸ τὸ τρόπαιο. Ἤσαστε παρόντες τὴν ἡμέρα ἐκείνη καὶ βλέπατε πόσα ὅπλα κινοῦνταν, καὶ ὁ θυμὸς τοῦ στρατοῦ ἦταν πιὸ δυνατὸς ἀπὸ τὴ φωτιά, καὶ μεῖς τρέχαμε στὴ βασιλικὴ αὐλή. Ἀλλὰ τί; Μὲ τὴ χάρη τοῦ Θεοῦ τίποτε ἀπὸ ἐκεῖνα δὲ μᾶς τρόμαξε.

2. Αὐτὰ ὅμως τὰ λέγω γιὰ νὰ τὰ μιμηθεῖτε καὶ σεῖς. Ἀλλὰ γιατὶ δὲν τρομάξαμε; Ἐπειδὴ δὲ φοβηθήκαμε κανένα ἀπὸ τὰ παρόντα κακά. Γιατὶ τί εἶναι κακό; Ὁ θάνατος; Δὲν εἶναι αὐτὸ κακό, γιατὶ γρήγορα φεύγουμε γιὰ τὸ ἀκύμαντο λιμάνι. Μήπως οἱ δημεύσεις; «Γυμνὸς βγῆκα ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας μου, γυμνὸς καὶ θὰ φύγω»[3]. Μήπως οἱ ἐξορίες; «Στὸν Κύριο ἀνήκει ἡ γῆ καὶ καθετὶ ποὺ τὴ γεμίζει»[4]. Μήπως οἱ συκοφαντίες; «Νὰ χαίρεστε καὶ νὰ ἀγαλλιᾶσθε, ὅταν θὰ ποῦν ἐναντίον σας κάθε κακὸ πράγμα λέγοντας ψέματα, γιατὶ ἡ ἀνταμοιβή σας θὰ εἶναι μεγάλη στοὺς οὐρανούς»[5]. Ἔβλεπα τὰ ξίφη καὶ σκεπτόμουν τὸν οὐρανό· περίμενα τὸ θάνατο καὶ εἶχα στὸ νοῦ μου τὴν ἀνάσταση· ἔβλεπα τὰ γήινα πάθη καὶ ἀριθμοῦσα τὰ οὐράνια βραβεῖα· ἔβλεπα τὶς ἔχθρες καὶ στοχαζόμουν τὸ οὐράνιο στεφάνι. Γιατὶ

5. Ματθ. 5,12·11.

*σις τῶν ἀγώνων ἀρκοῦσα ἦν εἰς παράκλησιν καὶ παραμυθίαν. Ἀπηγόμην δέ, ἀλλ' οὐκ ἦν ὕβρις ἐμοὶ τὸ γινόμενον· ὕβρις γὰρ ἓν μόνον ἐστίν, ἡ ἁμαρτία. Κἂν γὰρ ἡ οἰκουμένη πᾶσά σε ὑβρίζῃ, σὺ δὲ σαυτὸν μὴ ὑβρίσῃς, οὐχ ὑβρίσθης. Προδοσία μόνη ἡ τοῦ συνειδότος. Μὴ προδῷς σου τὸ συνειδός, καὶ οὐδείς σε προδίδωσιν.*

*Ἀπηγόμην, καὶ ἑώρων τὰ πράγματα, μᾶλλον δὲ τὰ ῥήματά μου πράγματα γινόμενα, τὴν ὁμιλίαν μου, τὴν διὰ τῶν ῥημάτων, ἐπὶ τῆς ἀγορᾶς διὰ τῶν πραγμάτων κηρυττομένην. Ποίαν ὁμιλίαν; Ἣν ἔλεγον ἀεί. Ἄνεμος ἔπνευσε, καὶ τὰ φύλλα κατέβαλεν. «Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν». Ἀπῆλθεν ἡ νύξ, καὶ ἐφάνη ἡ ἡμέρα· ἠλέγχθη ἡ σκιά, καὶ ἐφάνη ἡ ἀλήθεια. Ἀνέβησαν ἕως τῶν οὐρανῶν καὶ κατέβησαν ἕως τῶν πεδίων. Τὰ κύματα γὰρ ἄνω κατεστάλη διὰ τῶν ἀνθρωπίνων πραγμάτων. Πῶς; Διδασκαλία ἦν τὰ γινόμενα. Καὶ ἔλεγον πρὸς ἐμαυτόν· ἆρα σωφρονίσονται οἱ μετὰ ταῦτα; Ἆρα οὐ παρέρχονται δύο ἡμέραι, καὶ λήθη τὰ γινόμενα παραδίδοται; Ἔναυλα τὰ ὑπομνήματα ἦν. πάλιν εἴπω, πάλιν λαλήσω. Τί ὄφελος. Μᾶλλον δὲ ὄφελος. Κἂν γὰρ μὴ πάντες ἀκούσωσι, οἱ ἡμίσεις ἀκούσονται· κἂν μὴ οἱ ἡμίσεις ἀκούσωσι, τὸ τρίτον μέρος· κἂν μὴ τὸ τρίτον, τὸ τέταρτον· κἂν μὴ τὸ τέταρτον, κἂν δέκα· κἂν μὴ δέκα, κἂν πέντε· κἂν μὴ πέντε, κἂν εἷς· κἂν μὴ εἷς, ἐγὼ τὸν μισθὸν ἀπηρτισμένον ἔχω. «Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα».*

*3. Εἴδετε τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν; Εἴδετε τῆς δυναστείας τὸ ἐπίκηρον; Εἴδετε τὸν πλοῦτον, ὃν ἀεὶ δραπέτην ἐκάλουν, οὐ δραπέτην δὲ μόνον ἀλλὰ καὶ ἀνδροφόνον; Οὐ γὰρ καταλιμπάνει τοὺς ἔχοντας μόνον, ἀλλὰ καὶ σφάζει αὐτούς· ὅταν γάρ τις αὐτὸν θεραπεύῃ, τότε μάλιστα αὐτὸν παραδί-*

---

6. Ἡσ. 40,7.

ἡ ὑπόθεση τῶν ἀγώνων ἦταν ἀρκετὴ γιὰ ἐνίσχυση καὶ παρηγοριά. Ἐξορίσθηκα, ἀλλ' αὐτὸ δὲν ἦταν προσβολὴ γιὰ μένα· γιατὶ προσβολὴ ἕνα μόνο πράγμα εἶναι, ἡ ἁμαρτία. Καὶ ἂν ἀκόμη ὅλη ἡ οἰκουμένη σὲ προσβάλλει, ἂν ἐσὺ δὲν προσβάλεις τὸν ἑαυτό σου, δὲν προσβάλθηκες. Προδοσία εἶναι μόνο ἡ προδοσία τῆς συνείδησης. Μὴν προδώσεις τὴ συνείδησή σου καὶ κανείς δὲ σὲ προδίδει.

Ἔφευγα τότε καὶ ἔβλεπα τὰ πράγματα, ἢ καλύτερα τὰ λόγια μου νὰ γίνονται πράγματα, τὴν ὁμιλία μου, ποὺ ἔγινε μὲ τὰ λόγια, νὰ κηρύσσεται στὴ ἀγορὰ μὲ τὰ πράγματα. Ποιά ὁμιλία; Αὐτὴν ποὺ πάντοτε ἔλεγα. Φύσηξε ἄνεμος καὶ ἔρριξε κάτω τὰ φύλλα. «Ξεράθηκε τὸ χορτάρι καὶ τὸ ἄνθος του ἔπεσε κάτω»[6]. Ἔφυγε ἡ νύχτα καὶ φάνηκε ἡ ἡμέρα· διαλύθηκε ἡ σκιὰ καὶ φάνηκε ἡ ἀλήθεια. Ἀνέβηκαν μέχρι τοὺς οὐρανοὺς καὶ κατέβηκαν μέχρι τὶς πεδιάδες. Τὰ ψηλὰ κύματα συγκρατήθηκαν μὲ τὰ ἀνθρώπινα πράγματα. Μὲ ποιό τρόπο; Διδασκαλία ἦταν ὅσα ἔγιναν. Καὶ ἔλεγα μέσα μου· ἄραγε θὰ σωφρονισθοῦν οἱ ἄλλοι μετὰ ἀπ' αὐτά; ἄραγε δὲ θὰ περάσουν δύο ἡμέρες καὶ δὲ θὰ παραδοθοῦν στὴ λήθη αὐτὰ ποὺ ἔγιναν; Οἱ ὑπομνήσεις μου ἠχοῦσαν στὰ αὐτιά σας. Πάλι θὰ πῶ, πάλι θὰ μιλήσω. Ποιό τὸ ὄφελος; Ἢ καλύτερα μεγάλο ὄφελος. Γιατί, καὶ ἂν ἀκόμη δὲν ἀκούσουν ὅλοι, θ' ἀκούσουν οἱ μισοί· καὶ ἂν δὲν ἀκούσουν οἱ μισοί, θ' ἀκούσει τὸ ἕνα τρίτο· καὶ ἂν δὲν ἀκούσει τὸ ἕνα τρίτο, τὸ ἕνα τέταρτο· καὶ ἂν ὄχι τὸ ἕνα τέταρτο, τουλάχιστο δέκα· καὶ ἂν οὔτε δέκα, τουλάχιστο πέντε· καὶ ἂν ὄχι πέντε, τουλάχιστο ἕνας· καὶ ἂν οὔτε ἕνας, ἐγὼ ἔχω ὁλόκληρο τὸ μισθό μου· «Ξεράθηκε τὸ χορτάρι καὶ τὸ ἄνθος του ἔπεσε κάτω, ὁ λόγος ὅμως τοῦ Θεοῦ παραμένει αἰώνιος»[7].

3. Εἴδατε πόσο ἀσήμαντα εἶναι τὰ ἀνθρώπινα πράγματα; εἴδατε πόσο προσωρινὴ εἶναι ἡ ἐξουσία; Εἴδατε τὸν πλοῦτο, ποὺ πάντοτε τὸν ὀνόμαζα δραπέτη, πῶς δὲν εἶναι μόνο δραπέτης, ἀλλὰ καὶ ἀνθρωποκτόνος; Γιατὶ δὲν ἐγκαταλείπει μόνο αὐτοὺς ποὺ τὸν ἔχουν, ἀλλὰ καὶ τοὺς σφάζει. Γιατί, ὅταν κανεὶς τὸν λα-

7. Ἠσ. 40,7–8.

*δωσι. Τί θεραπεύεις τὸν πλοῦτον τὸν σήμερον πρὸς σέ, καὶ αὔριον πρὸς ἄλλον; Τί θεραπεύεις πλοῦτον, τὸν μηδέποτε κατασχεθῆναι δυνάμενον; Βούλει θεραπεῦσαι αὐτόν; Βούλει αὐτὸν κατασχεῖν; Μὴ κατορύξῃς αὐτόν, ἀλλὰ δὸς αὐτὸν εἰς τὰς χεῖρας τῶν πενήτων. Θηρίον ἐστὶν ὁ πλοῦτος· ἂν μὲν κατέχηται, φεύγει· ἂν δὲ σκορπίζηται, μένει. «Ἐσκόρπισε γάρ», φησίν, «ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα». Σκόρπισον, ἵνα μείνῃ· μὴ κατορύξῃς, ἵνα μὴ φύγῃ. Ποῦ ὁ πλοῦτος; Ἡδέως ἂν ἐροίμην τοὺς ἀπελθόντας.*

*Λέγω δὲ ταῦτα οὐκ ὀνειδίζων, μὴ γένοιτο, οὐδὲ ἀναξαίνων τὰ ἕλκη, ἀλλὰ τὰ ἑτέρων ναυάγια ὑμῖν κατασκευάζων. Ὅτε οἱ στρατιῶται καὶ τὰ ξίφη, ὅτε πόλις ἐκαίετο, ὅτε διάδημα οὐκ ἴσχυεν, ὅτε πορφύρα ὑβρίζετο, ὅτε μανίας πάντα ἔγεμε, ποῦ ὁ πλοῦτος; Ποῦ τὰ ἀργυρώματα; Ποῦ αἱ κλῖναι αἱ ἀργυραῖ; Ποῦ οἱ οἰκέται; Πάντες ἐν φυγῇ. Ποῦ οἱ εὐνοῦχοι; Πάντες ἐδραπέτευσαν. Ποῦ οἱ φίλοι; Τὰ προσωπεῖα ἤλλασσον. Ποῦ αἱ οἰκίαι; Ἀπεκλείοντο. Ποῦ τὰ χρήματα; Ἔφυγεν ὁ ἔχων αὐτά. Καὶ τὰ χρήματα ποῦ; Κατωρύγη. Ποῦ ἐκρύβη τοῦτο ὅλον; Μὴ φορτικός εἰμι, μὴ ἐπαχθής, ἀεὶ λέγων, ὅτι ὁ πλοῦτος τοὺς κακῶς κεχρημένους προδίδωσιν; Ἦλθεν ὁ καιρὸς δεικνὺς τῶν ρημάτων τὴν ἀλήθειαν. Τί κατέχεις αὐτόν, ἐν πειρασμῷ σε μηδὲν ὠφελοῦντα; Εἰ ἔχει ἰσχύν, ὅταν ἐμπέσῃς εἰς ἀνάγκην παρέστω σοι· εἰ δὲ τότε φεύγει, τί χρείαν αὐτοῦ ἔχεις; Αὐτὰ τὰ πράγματα μαρτυρεῖ. Τί τὸ ὄφελος; Ξίφη ἠκονημένα, θάνατος ἀπειλούμενος, στρατόπεδον μαινόμενον, προσδοκία ἀπειλῆς τοσαύτης· καὶ ὁ πλοῦτος οὐδαμοῦ. Ποῦ ἔφυγεν ὁ δραπέτης; Αὐτός σοι κατεσκεύασε ταῦτα πάντα, καὶ ἐν καιρῷ ἀνάγκης φεύγει.*

*Καίτοι πολλοὶ ἐγκαλοῦσί μοι ἀεὶ λέγοντες, κεκόλλησαι τοῖς πλουσίοις· καὶ γὰρ καὶ ἐκεῖνοι ἀεὶ κεκόλληνται τοῖς πένησιν. Ἐγὼ δὲ κεκόλλημαι τοῖς πλουσίοις· οὐ τοῖς πλουσίοις δέ, ἀλλὰ τοῖς κακῶς τῷ πλούτῳ κεχρημένοις. Ἀεὶ γὰρ λέγω, ὅτι οὐ τὸν*

τρεύει, τότε πιὸ πολὺ προδίδεται ἀπ' αὐτόν. Τί λατρεύεις τὸν πλοῦτο ποὺ σήμερα εἶναι σὲ σένα καὶ αὔριο σ' ἄλλον; Θέλεις νὰ τὸν λατρέψεις; θέλεις νὰ τὸν κρατήσεις; Μὴν τὸν κρύψεις στὸ χῶμα, ἀλλὰ δῶσε τον στὰ χέρια τῶν φτωχῶν. Ὁ πλοῦτος εἶναι θηρίο· ἂν τὸν κρατάει κανείς, φεύγει· ἂν ὅμως τὸν σκορπίζει, μένει. Γιατὶ λέγει· «σκόρπισε, ἔδωσε στοὺς φτωχούς, ἡ δικαιοσύνη του μένει στὸν αἰώνα»[8]. Σκόρπισέ τον γιὰ νὰ μείνει· μὴν τὸν κρύψεις γιὰ νὰ μὴ φύγει. Ποὺ εἶναι ὁ πλοῦτος; μὲ εὐχαρίστηση θὰ ἐρωτοῦσα αὐτοὺς ποὺ ἔφυγαν.

Καὶ τὰ λέγω αὐτὰ ὄχι γιὰ νὰ κατηγορήσω, μακριὰ μιὰ τέτοια σκέψη, οὔτε γιὰ νὰ ξύσω πάλι τὶς πληγές, ἀλλὰ γιὰ νὰ κάνω τὰ ναυάγια τῶν ἄλλων λιμάνι γιὰ σᾶς. Ὅταν ἦταν οἱ στρατιῶτες καὶ τὰ ξίφη, ὅταν καιγόταν ἡ πόλη, ὅταν τὸ στέμμα δὲν εἶχε δύναμη, ὅταν ἡ πορφύρα βριζόταν, ὅταν ὅλα ἦταν γεμάτα μανία, ποῦ βρισκόταν ὁ πλοῦτος; ποῦ τὰ ἀσημένια σκεύη; ποῦ τὰ ἀσημένια κρεβάτια; ποῦ οἱ δοῦλοι; Ὅλοι ἔφυγαν. Ποῦ ἦταν οἱ εὐνοῦχοι; Ὅλοι δραπέτευσαν. Ποῦ ἦταν οἱ φίλοι; Ἄλλαζαν τὰ προσωπεῖα. Ποῦ τὰ σπίτια; Ἦταν κλειστά. Ποῦ τὰ χρήματα; Ἔφυγε αὐτὸς ποὺ τὰ εἶχε. Καὶ τὰ χρήματα ποῦ εἶναι; Παραχώθηκαν. Ποῦ κρύφτηκαν ὅλα αὐτά; Μήπως εἶμαι δυσάρεστος, μήπως εἶμαι ἐνοχλητικός, ποὺ λέγω πάντοτε ὅτι ὁ πλοῦτος προδίδει αὐτοὺς ποὺ τὸν χρησιμοποιοῦν μὲ κακὸ τρόπο; Ἦρθε ὁ καιρὸς νὰ δείξει τὴν ἀλήθεια τῶν λόγων. Τί τὸν κρατᾶς ἀφοῦ καθόλου δὲ σὲ ὠφελεῖ στὸν πειρασμό; Ἂν ἔχει δύναμη, ἄς σὲ παρασταθεῖ ὅταν βρεθεῖς σὲ ἀνάγκη· ἂν ὅμως τότε φεύγει, τί τὸν χρειάζεσαι; Τὰ ἴδια τὰ πράγματα τὸ βεβαιώνουν. Ποιό τὸ ὄφελος; Ξίφη ἀκονισμένα, θάνατος ἀπειλούμενος, στρατὸς μανιασμένος, ἀναμονὴ τόσο μεγάλης ἀπειλῆς· καὶ ὁ πλοῦτος πουθενά. Ποῦ ἔφυγε ὁ δραπέτης; Αὐτὸς σοῦ τὰ ἑτοίμασε ὅλα αὐτὰ καὶ στὸν καιρὸ τῆς ἀνάγκης φεύγει.

Ὅμως πολλοὶ μὲ κατηγοροῦν, λέγοντάς μου πάντοτε, γίνεσαι ἐνοχλητικὸς στοὺς πλουσίους· μὰ καὶ ἐκεῖνοι πάντοτε ἐνοχλοῦν τοὺς φτωχούς. Ἐγὼ πραγματικὰ γίνομαι ἐνοχλητικὸς στοὺς πλουσίους, καὶ ὄχι τοὺς πλουσίους, ἀλλὰ σ' ἐκείνους ποὺ

8. Ψαλμ. 111,9.

*πλούσιον διαβάλλω, ἀλλὰ τὸν ἅρπαγα. Ἄλλο δὲ πλούσιος, καὶ ἄλλο ἅρπαξ· ἄλλο εὔπορος, καὶ ἄλλο πλεονέκτης. Διαίρει τὰ πράγματα, καὶ μὴ σύγχεε τὰ ἄμικτα. Πλούσιος εἶ; Οὐ κωλύω. Ἅρπαξ εἶ; Κατηγορῶ. Ἔχεις τὰ σά; Ἀπόλαυε. Λαμβάνεις τὰ ἀλλότρια; Οὐ σιγῶ. Θέλεις με λιθάσαι; Ἕτοιμός εἰμι τὸ αἷμά μου ἐκχέειν, μόνον τὴν ἁμαρτίαν σου κωλύω. Ἐμοὶ οὐ μέλει μῖσος, οὐ μέλει μοι πόλεμος· ἑνὸς δέ μοι μόνον μέλει, τῆς προκοπῆς τῶν ἀκουόντων. Καὶ οἱ πλούσιοι ἐμὰ τέκνα, καὶ οἱ πένητες ἐμὰ τέκνα· ἡ αὐτὴ γαστὴρ ἀμφοτέρους ὤδινεν· αἱ αὐταὶ ὠδῖνες ἀμφοτέρους ἔτεκον. Ἂν τοίνυν κεκόλλησαι τῷ πένητι, κατηγορῶ σου· οὐ γὰρ τοῦ πένητος τοσαύτη ζημία, ὅση τοῦ πλουσίου. Ὁ μὲν γὰρ πένης οὐδὲν μέγα ἀδικεῖται· εἰς χρήματα γὰρ βλάπτεται. Σὺ δὲ εἰς ψυχὴν βλάπτῃ. Ὁ βουλόμενος ἀποτεμνέτω, ὁ βουλόμενος λιθαζέτω, ὁ βουλόμενος μισείτω· ὑποθῆκαι γὰρ ἐμοὶ στεφάνων αἱ ἐπιβουλαί, καὶ ἀριθμὸς βραβείων τὰ τραύματα.*

*4. Οὐ δέδοικα τοίνυν ἐπιβουλήν· ἓν δέδοικα μόνον, ἁμαρτίαν. Μή μέ τις ἐλέγξῃ ἁμαρτάνοντα, καὶ ἡ οἰκουμένη πᾶσα πολεμείτω μοι. Ὁ γὰρ πόλεμος οὗτος λαμπρότερόν με ἐργάζεται. Οὕτω καὶ ὑμᾶς παιδεῦσαι βούλομαι. Μὴ φοβηθῆτε ἐπιβουλὴν δυνάστου, ἀλλὰ φοβήθητε ἁμαρτίας δύναμιν. Ἄνθρωπός σε οὐ βλάψει, ἐὰν μὴ σὺ σεαυτὸν πλήξῃς. Ἐὰν μὴ ἔχῃς ἁμαρτίαν, καὶ μυρία ξίφη παρῇ, ἁρπάζει σε ὁ Θεός· ἐὰν δὲ ἔχῃς ἁμαρτίαν καὶ ἐν παραδείσῳ ᾖς, ἐκπίπτεις. Ἐν παραδείσῳ ἦν ὁ Ἀδάμ, καὶ ἔπεσεν· ἐν κοπρίᾳ ἦν ὁ Ἰώβ, καὶ ἐστεφανώθη. Τί ὠφέλησεν ἐκεῖνον ὁ παράδεισος; Ἢ τί ἔβλαψε τοῦτον ἡ κοπρία; Ἐκείνῳ οὐδεὶς ἐπεβούλευσεν, καὶ ὑπεσκελίσθη· τούτῳ ὁ διάβολος καὶ*

χρησιμοποιοῦν μὲ κακὸ τρόπο τὸν πλοῦτο. Γιατὶ πάντοτε λέγω ὅτι δὲν κατηγορῶ τὸν πλούσιο, ἀλλὰ τὸν ἅρπαγα. Ἄλλο ὅμως πλούσιος καὶ ἄλλο ἅρπαγας, ἄλλο εὔπορος καὶ ἄλλο πλεονέκτης. Ξεχώριζε τὰ πράγματα καὶ μὴ συγχέεις τὰ ἀσυμβίβαστα μεταξύ τους. Εἶσαι πλούσιος; Δὲ σὲ ἐμποδίζω. Εἶσαι ἅρπαγας; Σὲ κατηγορῶ. Ἔχεις τὰ δικά σου; Ἀπολάμβανέ τα. Παίρνεις τὰ ξένα; Δὲ σιωπῶ. Θέλεις νὰ μὲ λιθοβολήσεις; Εἶμαι ἕτοιμος νὰ χύσω τὸ αἷμα μου, μόνο τὴν ἁμαρτία σου ἐμποδίζω. Ἐμένα δὲ μ' ἐνδιαφέρει τὸ μίσος, δὲ μ' ἐνδιαφέρει ἡ ἔχθρα· ἕνα πράγμα μόνο μ' ἐνδιαφέρει, ἡ προκοπὴ τῶν ἀκροατῶν μου. Καὶ οἱ πλούσιοι εἶναι δικά μου παιδιά, καὶ οἱ φτωχοὶ δικά μου παιδιά· ἡ ἴδια κοιλιὰ πονοῦσε καὶ γιὰ τοὺς δύο, οἱ ἴδιοι πόνοι τοὺς γέννησαν καὶ τοὺς δύο. Ἂν λοιπὸν ἐνοχλεῖς τὸ φτωχό, σὲ κατηγορῶ. Ἐξάλλου δὲν εἶναι τόσο μεγάλη ἡ ζημία τοῦ φτωχοῦ ὅσο τοῦ πλουσίου. Γιατὶ ὁ φτωχὸς δὲν παθαίνει καμιὰ μεγάλη ζημία, ἀφοῦ ζημιώνεται σὲ χρήματα, ἐσὺ ὅμως ζημιώνεσαι στὴν ψυχή. Ὅποιος θέλει ἂς μὲ ἀποκεφαλίσει, ὅποιος θέλει ἂς μὲ λιθοβολήσει, ὅποιος θέλει ἂς μὲ μισήσει, γιατὶ οἱ ἐπιβουλὲς εἶναι γιὰ μένα ἐγγυήσεις γιὰ στεφάνια καὶ τὰ τραύματα πλῆθος βραβείων.

4. Δὲ φοβᾶμαι λοιπὸν τὴν ἐπιβουλή, ἕνα μόνο φοβᾶμαι, τὴν ἁμαρτία. Ἂς μὴ μὲ κατηγορήσει κανεὶς γιὰ ἁμαρτία, καὶ ἂς μὲ πολεμάει ἡ οἰκουμένη ὁλόκληρη. Γιατὶ ὁ πόλεμος αὐτὸς μὲ κάνει περρισσότερο λαμπρό. Ἔτσι θέλω ν' ἀσκήσω καὶ σᾶς. Μὴ φοβηθεῖτε τὴν ἐπιβουλὴ τοῦ ἄρχοντα, ἀλλὰ φοβηθεῖτε τὴ δύναμη τῆς ἁμαρτίας. Ἄνθρωπος δὲ θὰ σὲ βλάψει, ἂν δὲν πληγώσεις ἐσὺ τὸν ἑαυτό σου. Ἂν δὲν ἔχεις ἁμαρτία, καὶ ἂν ἀκόμη εἶναι παρόντα ἄπειρα ξίφη, ὁ Θεὸς σὲ σώζει. Ἂν ὅμως ἔχεις ἁμαρτία, καὶ στὸν παράδεισο ἂν εἶσαι, τὸν χάνεις. Στὸν παράδεισο ἦταν ὁ Ἀδάμ, καὶ ἔπεσε· στὴν κοπριὰ ἦταν ὁ Ἰώβ, καὶ στεφανώθηκε. Τί τὸν ὠφέλησε ἐκεῖνον ὁ παράδεισος; ἢ τί τὸν ἔβλαψε αὐτὸν ἡ κοπριά; Ἐκεῖνον κανεὶς δὲν τὸν ἐπιβουλεύθηκε, καὶ ἔπεσε· αὐτὸν ὁ διάβολος τὸν ἐπιβουλεύθηκε καὶ στε-

*ἐστεφανώθη. Οὐ τὰ χρήματα αὐτοῦ ἔλαβεν; Ἀλλὰ τὴν εὐσέβειαν οὐκ ἐσύλησεν. Οὐ τοὺς παῖδας αὐτοῦ ἥρπασεν; Ἀλλὰ τὴν πίστιν οὐκ ἐσάλευσεν. Οὐ τὸ σῶμα αὐτοῦ διέρρηξεν; Ἀλλὰ τὸν θησαυρὸν οὐχ εὗρεν. Οὐ τὴν γυναῖκα αὐτοῦ ὥπλισεν; Ἀλλὰ τὸν στρατιώτην οὐχ ὑπεσκέλισεν. Οὐκ ἔβαλε τόξα καὶ βέλη; Ἀλλὰ τραύματα οὐκ ἐδέξατο. Προσήγαγε μηχανήματα, ἀλλὰ τὸν πύργον οὐκ ἔσεισεν· ἐπήγαγε κύματα, ἀλλὰ τὸ πλοῖον οὐ κατεπόντισε.*

*Τοῦτόν μοι τὸν νόμον τηρήσατε, παρακαλῶ, καὶ τῶν γονάτων ὑμῶν ἅπτομαι, εἰ καὶ μὴ χειρί, ἀλλὰ τῇ γνώμῃ, καὶ δάκρυα ἐκχέω. Τοῦτόν μοι τηρήσατε τὸν νόμον, καὶ οὐδεὶς ὑμᾶς βλάπτει. Μηδέποτε μακαρίζετε πλούσιον· μηδέποτε ταλανίζετε εἰ μὴ τὸν ἐν ἁμαρτίᾳ· μακαρίζετε τὸν ἐν δικαιοσύνῃ. Οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων, ἀλλ' ἡ γνώμη τῶν ἀνθρώπων καὶ τοῦτον κἀκεῖνον ποιεῖ. Μηδέποτε φοβηθῇς ξίφη, ἐὰν μὴ τὸ συνειδός σου κατηγορήσῃ· μηδέποτε φοβηθῇς ἐν πολέμῳ, ἐὰν τὸ συνειδός σου καθαρὸν ᾖ. Ποῦ οἱ ἀπελθόντες, εἰπέ μοι; Οὐχὶ πάντες ὑπέκυπτον; Οὐχὶ οἱ ἐν ἀρχῇ ὄντες μεῖζον ἔτρεμον αὐτούς; Οὐκ ἐθεράπευον; Ἀλλ' ἦλθεν ἡ ἁμαρτίας, καὶ πάντα ἠλέγχθη· καὶ οἱ θεράποντες δικασταὶ ἐγένοντο, οἱ κολακεύοντες δήμιοι· οἱ τὰς χεῖρας καταφιλοῦντες, αὐτοὶ αὐτὸν εἷλκον ἀπὸ τῆς ἐκκλησίας· καὶ ὁ χθὲς τὴν χεῖρα καταφιλῶν, σήμερον πολέμιος. Διὰ τί; Ὅτι οὔτε χθὲς μετὰ ἀληθείας ἐφίλει. Ἦλθε γὰρ ὁ καιρός, καὶ ἠλέγχθη τὰ προσωπεῖα. Οὐ χθὲς τὰς χεῖρας κατεφίλεις, καὶ σωτῆρα ὠνόμαζες, καὶ κηδεμόνα, καὶ εὐεργέτην; Οὐκ ἐγκώμια ὕφαινες μυρία; Διὰ τί σήμερον κατηγορεῖς; Χθὲς ἐπαινέτης, καὶ σήμερον κατήγορος; Χθὲς ἐγκώμια, καὶ σήμερον ἐγκλήματα μιγνύεις; Τίς ἡ μεταβολή; Τίς ἡ μετάστασις;*

*5. Ἀλλ' οὐκ ἐγὼ τοιοῦτος· ἀλλ' ἐγὼ ἐπιβουλευόμενος, προστάτης ἐγενόμην. Μυρία ἔπαθον δεινά, καὶ οὐκ ἠμειψάμην. Τὸν*

φανώθηκε. Δὲν τοῦ πῆρε τὰ χρήματά του; Ὅμως τὴν εὐσέβειά του δὲν τὴν ἔκλεψε. Δὲν τοῦ ἅρπαξε τὰ παιδιά του; Ὅμως τὴν πίστη του δὲν τὴν κλόνισε. Δὲν τοῦ ἔσκισε τὸ σῶμα του; Ὅμως τὸ θησαυρὸ δὲν τὸν βρῆκε. Δὲν ὅπλισε ἐναντίον του τὴ γυναίκα του; Ὅμως τὸ στρατιώτη δὲν τὸν νίκησε. Δὲν ἔρριξε τόξα καὶ βέλη; Ὅμως τραύματα δὲ δέχθηκε. Ἔφερε μηχανήματα, ἀλλὰ τὸν πύργο δὲν τὸν τράνταξε· προκάλεσε κύματα, ἀλλὰ τὸ πλοῖο δὲν τὸ βύθισε.

Αὐτὸν τὸ νόμο τηρῆστε μου, σᾶς παρακαλῶ, καὶ σᾶς πιάνω τὰ γόνατά σας, ἂν ὄχι μὲ τὰ χέρια, ἀλλὰ μὲ τὴ διάθεσή μου, καὶ χύνω δάκρυα. Αὐτὸν τὸ νόμο τηρῆστε μου, καὶ κανένας δὲ σᾶς βλάπτει. Μὴ μακαρίζετε ποτὲ πλούσιο, μὴν ταλανίζετε ποτὲ κανένα, παρὰ μόνο αὐτὸν ποὺ ζεῖ μέσα στὴν ἁμαρτία. Μακαρίζετε αὐτὸν ποὺ ζεῖ μὲ δικαιοσύνη. Γιατὶ ὄχι ἡ φύση τῶν πραγμάτων, ἀλλ' ἡ γνώμη τῶν ἀνθρώπων κάνει καὶ τὸν ἕνα καὶ τὸν ἄλλο. Ποτὲ νὰ μὴ φοβηθεῖς τὰ ξίφη, ἂν δὲ σὲ κατηγορήσει ἡ συνείδησή σου· ποτὲ νὰ μὴ φοβηθεῖς στὸν πόλεμο, ἂν ἡ συνείδησή σου εἶναι καθαρή. Ποῦ εἶναι αὐτοὶ ποὺ ἔφυγαν, πές μου; Δὲν ὑποτάσσονταν ὅλοι; δὲν τοὺς ἔτρεμαν περισσότερο ὅσοι εἶχαν τὴν ἐξουσία; δὲν τοὺς κολάκευαν; Ἦρθε ὅμως ἡ ἁμαρτία καὶ ὅλα φανερώθηκαν. Οἱ ὑπηρέτες ἔγιναν δικαστές, καὶ οἱ κόλακες ἔγιναν δήμιοι. Ἐκεῖνοι ποὺ καταφιλοῦσαν τὰ χέρια του, αὐτοὶ τὸν τραβοῦσαν ἀπὸ τὴν ἐκκλησία· καὶ αὐτὸς ποὺ χθὲς φιλοῦσε τὸ χέρι, σήμερα εἶναι ἐχθρός του. Γιὰ ποιό λόγο; Γιατὶ οὔτε χθὲς τὸ φιλοῦσε μὲ εἰλικρίνεια. Ἦρθε λοιπὸν ὁ καιρὸς καὶ φανερώθηκαν τὰ προσωπεῖα. Δὲν καταφιλοῦσες χθὲς τὰ χέρια του καὶ τὸν ὀνόμαζες σωτήρα, καὶ κηδεμόνα καὶ εὐεργέτη; δὲν τοῦ ἔπλεκες ἄπειρα ἐγκώμια; Γιατὶ σήμερα τὸν κατηγορεῖς; Χθὲς ἦσουν ἐγκωμιαστὴς καὶ σήμερα εἶσαι κατήγορος; Χθὲς τὸν ἐπαινοῦσες καὶ σήμερα τὸν κατηγορεῖς; Ποιός εἶναι ὁ λόγος τῆς μεταβολῆς; ποιός εἶναι ὁ λόγος τῆς ἀλλαγῆς;.

5. Ἐγὼ ὅμως δὲν εἶμαι τέτοιος· ἀλλ', ἂν καὶ ἐπιβουλευόμουν ἀπ' αὐτόν, ἔγινα προστάτης του. Ἔπαθα ἄπειρα κακὰ καὶ δὲν τὰ

*γὰρ Δεσπότην τὸν ἐμαυτοῦ μιμοῦμαι, ὃς ἐν τῷ σταυρῷ ἔλεγεν· «ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν». Ταῦτα δὲ λέγω, ἵνα μὴ τῇ ὑπονοίᾳ τῶν πονηρῶν παραφθείρησθε. Πόσαι μεταβολαὶ γεγόνασιν, ἐξ οὗ τῆς πόλεως ἐπέστην, καὶ οὐδεὶς σωφρονίζεται; Οὐδεὶς δὲ ὅταν εἴπω, οὐ πάντων καταγινώσκω· μὴ γένοιτο. Οὐ γάρ ἐστι τὴν ἄρουραν ταύτην τὴν λιπαράν, δεξαμένην σπέρματα, μὴ καὶ στάχυν ἐνεγκεῖν· ἀλλ' ἐγὼ ἀκόρεστός εἰμι, οὐ βούλομαι ὀλίγους σωθῆναι, ἀλλὰ πάντας. Κἂν εἷς ἀπολειφθῇ ἀπολλύμενος, ἐγὼ ἀπόλλυμαι, καὶ οἶμαι τὸν ποιμένα ἐκεῖνον μιμεῖσθαι, ὃς ἐνενήκοντα ἐννέα εἶχε πρόβατα, καὶ ἐπὶ τὸ ἓν πεπλανημένον ἔδραμεν. Μέχρι πότε χρήματα; Μέχρι πότε ἄργυρος; Μέχρι πότε χρυσός; Μέχρι πότε οἶνος ἐκχεόμενος; Μέχρι πόται κολακεῖαι οἰκετῶν; Μέχρι πότε κρατῆρες ἐστεμμένοι; Μέχρι πότε συμπόσια σατανικά, καὶ διαβολικῆς γέμοντα ἐνεργείας;*

*Οὐκ οἶσθα, ὅτι ἀποδημία ὁ παρὼν βίος; Μὴ γὰρ πολίτης εἶ; Ὁδίτης εἶ. Συνῆκας τί εἶπον; Οὐκ εἶ πολίτης, ἀλλ' ὁδίτης εἶ καὶ ὁδοιπόρος. Μὴ εἴπῃς· ἔχω τήνδε τὴν πόλιν, καὶ ἔχω τήνδε. Οὐκ ἔχει οὐδεὶς πόλιν. Ἡ πόλις ἄνω ἐστί. Τὰ παρόντα ὁδός ἐστιν. Ὁδεύομεν τοίνυν καθ' ἡμέραν, ἕως ἡ φύσις ἐπιτρέχει. Ἔστι τις ἐν ὁδῷ χρήματα ἀποτιθέμενος· ἔστι τις ἐν ὁδῷ χρυσίον κατορύττων. Ὅταν οὖν εἰσέλθῃς εἰς πανδοχεῖον, εἰπέ μοι, τὸ πανδοχεῖον καλλωπίζεις; Οὐχί, ἀλλ' ἐσθίεις καὶ πίνεις, καὶ ἐπείγῃ ἐξελθεῖν. Πανδοχεῖόν ἐστιν ὁ παρὼν βίος. Εἰσήλθομεν, καταλύομεν τὸν παρόντα βίον· σπουδάζωμεν ἐξελθεῖν μετὰ καλῆς ἐλπίδος, μηδὲν ἀφῶμεν ὧδε, ἵνα μὴ ἀπολέσωμεν ἐκεῖ.*

*Ὅταν εἰσέλθῃς εἰς τὸ πανδοχεῖον, τί λέγεις τῷ παιδί; Βλέπε ποῦ ἀποτίθῃς τὰ πράγματα, μήτι καταλείπῃς ἐνταῦθα, ἵνα μή τι ἀπόληται, μήτε μικρόν, μήτε εὐτελές, ἵνα πάντα εἰς τὴν οἰκίαν ἀπενέγκωμεν. Οὕτω καὶ ἡμεῖς ἐν τῷ παρόντι βίῳ· βλέπωμεν*

ἀνταπέδωσα. Γιατὶ μιμοῦμαι τὸ δικό μου Κύριο, ὁ ὁποῖος ἐπάνω στὸ σταυρὸ ἔλεγε, «συγχώρησέ τους, γιατὶ δὲν ξέρουν τί κάνουν»[9]. Καὶ τὰ λέγω αὐτὰ γιὰ νὰ μὴ διαφθείρεστε ἀπὸ τὴν ὑποψία τῶν πονηρῶν. Πόσες μεταβολὲς ἔχουν γίνει ἀπὸ τότε ποὺ ἔγινα ἐπίσκοπος τῆς πόλης, καὶ κανεὶς δὲ σωφρονίζεται; Καὶ ὅταν λέγω κανείς, δὲν κατηγορῶ ὅλους –μακριὰ μιὰ τέτοια σκέψη. Γιατὶ δὲν εἶναι δυνατὸ ἡ γῆ αὐτὴ ἡ γόνιμη, ποὺ δέχθηκε σπέρματα, νὰ μὴ βγάλει στάχυα. Ἐγὼ ὅμως εἶμαι ἀχόρταγος, δὲ θέλω νὰ σωθοῦν λίγοι, ἀλλ' ὅλοι. Καὶ ἂν ἀκόμη ἕνας ἀπομείνει χαμένος, ἐγὼ χάνομαι, καὶ θεωρῶ σωστὸ νὰ μιμοῦμαι τὸν ποιμένα ἐκεῖνον, ποὺ εἶχε ἐνενήντα ἐννέα πρόβατα καὶ ἔτρεξε στὸ ἕνα τὸ πλανημένο. Μέχρι πότε τὰ χρήματα; μέχρι πότε ὁ ἄργυρος; μέχρι πότε τὸ κρασὶ ποὺ χύνεται; μέχρι πότε οἱ κολακεῖες τῶν ὑπηρετῶν; μέχρι πότε τὰ στεφανωμένα μὲ φύλλα ποτήρια; μέχρι πότε τὰ συμπόσια τὰ σατανικὰ τὰ γεμάτα ἀπὸ διαβολικὴ ἐνέργεια;

Δὲν ξέρεις πὼς ἡ παροῦσα ζωὴ εἶναι ἕνα ταξίδι; Μήπως εἶσαι πολίτης; Ὁδοιπόρος εἶσαι. Κατάλαβες τί εἶπα; Δὲν εἶσαι πολίτης, ἀλλὰ διαβάτης εἶσαι καὶ ὁδοιπόρος. Μὴν πεῖς, ἔχω αὐτὴ τὴν πόλη, καὶ ἔχω τὴν ἄλλη. Δὲν ἔχει κανεὶς πόλη. Ἡ πόλη εἶναι ἐπάνω. Τὰ παρόντα εἶναι δρόμος. Βαδίζουμε λοιπὸν κάθε ἡμέρα, ὅσο ἡ φύση συγκατατίθεται πρόθυμα. Κάποιος στὸ δρόμο ἀποθηκεύει χρήματα, κάποιος στὸ δρόμο κρύβει χρυσάφι μέσα στὸ χῶμα. Ὅταν λοιπὸν μπαίνεις σὲ πανδοχεῖο, πές μου, στολίζεις τὸ πανδοχεῖο; Ὄχι, ἀλλὰ τρώγεις καὶ πίνεις καὶ βιάζεσαι νὰ βγεῖς ἔξω. Πανδοχεῖο εἶναι ἡ παροῦσα ζωή. Μπήκαμε, διανύουμε τὴν παροῦσα ζωή. Ἂς φροντίζουμε νὰ βγοῦμε μὲ καλὴ ἐλπίδα, ἂς μὴν ἀφήσουμε τίποτε ἐδῶ, γιὰ νὰ μὴ χάσουμε ἐκεῖ.

Ὅταν μπεῖς στὸ πανδοχεῖο, τί λέγεις στὸ παιδί; Πρόσεχε ποῦ βάζεις τὰ πράγματα, μήπως ἀφήσεις κάτι ἐδῶ, γιὰ νὰ μὴ χαθεῖ κάτι, οὔτε μικρό, οὔτε ἀσήμαντο, γιὰ νὰ τὰ ἐπιστρέψουμε ὅλα στὸ σπίτι. Ἔτσι καὶ μεῖς στὴν παροῦσα ζωή. Ἂς βλέπουμε

9. Λουκᾶ 23,34.

*ὥσπερ πανδοχεῖον τὸν βίον, καὶ μηδὲν ὧδε καταλείπωμεν ἐν τῷ πανδοχείῳ, ἀλλὰ πάντα εἰς τὴν μητρόπολιν ἀπενέγκωμεν. Ὁδίτης εἶ καὶ ὁδοιπόρος, μᾶλλον δὲ καὶ ὁδίτου εὐτελέστερος. Καὶ πῶς; ἐγὼ λέγω. Ὁ ὁδίτης οἶδε τὸ πότε εἰσέρχεται εἰς τὸ πανδοχεῖον, καὶ πότε ἐκβαίνει· κύριος γάρ ἐστι τοῦ ἐξελθεῖν, ὥσπερ καὶ τοῦ εἰσελθεῖν· ἐγὼ δὲ εἰσερχόμενος εἰς τὸ πανδοχεῖον, τουτέστιν εἰς τὸν παρόντα βίον, πότε ἐξέρχομαι οὐκ οἶδα. Καὶ ἐνίοτε παρασκευάζομαι πολλοῦ χρόνου διατροφάς, καὶ ὁ Δεσπότης παραχρῆμα καλεῖ με· «ἄφρων, ἃ ἡτοίμασας, τίνι ἔσται; Τῇ νυκτὶ γὰρ ταύτῃ λαμβάνουσι τὴν ψυχήν σου». Ἄδηλος ἡ ἔξοδος, ἄστατος ἡ κτῆσις, μυρίοι κρημνοί, πανταχόθεν κύματα. Τί μαίνῃ περὶ τὰς σκιάς; Τί ἀφεὶς τὴν ἀλήθειαν κατατρέχεις ἐπὶ τὰς σκιάς;*

*6. Ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, συνεχῆ τὴν ὀδύνην ἐργαζόμενος, καὶ τὰ τραύματα καταστέλλων· καὶ οὐ διὰ τοὺς πεσόντας, ἀλλὰ διὰ τοὺς ἑστῶτας. Ἐκεῖνοι γὰρ ἀπῆλθον, καὶ τέλος ἔλαβον· οἱ δὲ ἑστῶτες ἐν ταῖς ἐκείνων συμφοραῖς ἀσφαλέστεροι γεγόνασι. Καὶ τί, φησί, ποιήσομεν; Ἓν μόνον ποίησον, μίσησον χρήματα, καὶ φίλει σου τὴν ζωήν. Ῥῖψον τὰ ὄντα, οὐ λέγω τὰ πάντα, ἀλλὰ τὰ περιττὰ περίκοψον. Τῶν ἀλλοτρίων μὴ ἐπιθύμει, τὴν χήραν μὴ γυμνώσῃς, τὸν ὀρφανὸν μὴ ἁρπάσῃς, τὴν οἰκίαν μὴ λάβῃς· οὐ λέγω πρόσωπα, ἀλλὰ πράγματα. Εἴ τινος δὲ ἐπιλαμβάνεται τὸ συνειδός, αὐτὸς αἴτιος, οὐχ ὁ ἐμὸς λόγος.*

*Τί ἁρπάζεις, ὅπου φθόνος; Ἅρπασον, ὅπου στέφανος. Μὴ ἅρπαζε τὴν γῆν, ἀλλὰ τὸν οὐρανόν. «Βιαστῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν». Τί ἁρπάζεις τὸν πένητα τὸν ἐγκαλοῦντα; Ἅρπασον τὸν Χριστὸν τὸν ἐπαινοῦντα. Εἶδες ἀγνωμοσύνην καὶ μανίαν; Ἁρπάζεις πένητα τὸν ἔχοντα ὀλίγον; Ὁ Χριστὸς λέγει· ἐμὲ ἅρπασον, χάριν σοι ἔχω τῆς ἁρπαγῆς· τὴν ἐμὴν βασιλείαν ἅρπασαι καὶ βίασαι. Τὴν κάτω βασι-*

σὰν πανδοχεῖο τὴ ζωή, καὶ ἂς μὴν ἐγκαταλείψουμε τίποτε ἐδῶ στὸ πανδοχεῖο, ἀλλὰ ἂς τὰ ἐπιστρέψουμε ὅλα στὴ μητρόπολη. Εἶσαι διαβάτης καὶ ὁδοιπόρος, ἢ καλύτερα καὶ πιὸ ἀσήμαντος ἀπὸ διαβάτης. Καὶ πῶς; ἐγὼ θὰ σοῦ τὸ πῶ. Ὁ διαβάτης ξέρει τὸ πότε μπαίνει στὸ πανδοχεῖο καὶ πότε βγαίνει, γιατὶ εἶναι κύριος τοῦ πότε θὰ βγεῖ, ὅπως καὶ τοῦ πότε θὰ μπεῖ. Ἐγὼ ὅμως, ὅταν μπαίνω στὸ πανδοχεῖο, δηλαδὴ στὴν παρούσα ζωή, δὲν ξέρω πότε βγαίνω. Καὶ μερικὲς φορὲς ἑτοιμάζω τροφὲς γιὰ πολὺ καιρό, καὶ ὁ Κύριος ἀμέσως μὲ καλεῖ· «Ἀνόητε, ἐκεῖνα ποὺ ἑτοίμασες ποιός θὰ τὰ πάρει; Αὐτὴ τὴ νύχτα παίρνουν τὴν ψυχή σου»[10]. Ἀβέβαιη ἡ ἔξοδος, ἄστατη ἡ κατοχὴ ἀγαθῶν, ἄπειροι γκρεμοί, ἀπὸ παντοῦ κύματα. Γιατί κάνεις σὰν τρελλὸς γιὰ τὶς σκιές; γιατί ἀφήνεις τὴν ἀλήθεια καὶ τρέχεις στὶς σκιές;

6. Αὐτὰ λέγω καὶ δὲ θὰ σταματήσω νὰ τὰ λέγω, προκαλώντας ἀδιάκοπο πόνο καὶ καταπραΰνοντας τὰ τραύματα, καὶ ὄχι γι' αὐτοὺς ποὺ ἔπεσαν, ἀλλὰ γι' αὐτοὺς ποὺ στέκονται ὄρθιοι. Γιατὶ ἐκεῖνοι ἔφυγαν καὶ τελείωσαν, ἐνῶ αὐτοὶ ποὺ στέκονται ἔγιναν πιὸ ἀσφαλισμένοι ἀπὸ τὶς συμφορὲς ἐκείνων. Καὶ τί, λέγει, νὰ κάνουμε; Ἕνα μόνο κάνε, μίσησε τὰ χρήματα καὶ ἀγάπα τὴ ζωή σου. Πέταξε τὰ ὑπάρχοντα· δὲ λέγω ὅλα, ἀλλὰ περίκοψε τὰ περιττά. Μὴν ἐπιθυμεῖς τὰ πράγματα τῶν ξένων, μὴν ἀπογυμνώσεις τὴ χείρα, μὴν κλέψεις τὸν ὀρφανό, μὴν πάρεις τὸ σπίτι τους· δὲν ἀναφέρω πρόσωπα, ἀλλὰ πράγματα. Ἂν κάποιον ὅμως τὸν κατακρίνει ἡ συνείδησή του, αὐτὸς εἶναι αἴτιος, ὄχι ὁ δικός μου λόγος.

Τί ἁρπάζεις ἐκεῖ ὅπου ὑπάρχει φθόνος; Ἅρπαξε ἐκεῖ ποὺ ὑπάρχει στεφάνι. Μὴν ἁρπάζεις τὴ γῆ, ἀλλὰ τὸν οὐρανό. «Ἡ βασιλεία τῶν οὐρανῶν ἀνήκει σ' ἐκβιαστές, καὶ ἐκβιαστὲς τὴν ἁρπάζουν»[11]. Τί ἁρπάζεις τὸ φτωχὸ ποὺ σὲ κατηγορεῖ; Ἅρπαξε τὸ Χριστὸ ποὺ σὲ ἐπαινεῖ. Εἶδες ἀχαριστία καὶ μανία; Ἁρπάζεις τὸ φτωχὸ ποὺ ἔχει λίγα; Ὁ Χριστὸς λέγει· ἅρπαξε ἐμένα, σοῦ χρεωστῶ χάρη γιὰ τὴν ἁρπαγή, τὴ δική μου βασιλεία ἅρπαξε καὶ βίασέ την. Ἂν θελήσεις ν' ἁρπάξεις τὴν ἐπίγεια βασιλεία,

10. Λουκᾶ 12,20. 11. Ματθ. 11,12.

*λείαν ἐὰν θελήσῃς ἁρπάσαι, μᾶλλον δὲ κἂν θελήσῃς ἐννοῆσαι, κολάζῃ· τὴν ἄνω δὲ ἐὰν μὴ ἁρπάσῃς, τότε κολάσῃ. Ὅπου τὰ βιωτικά, φθόνος· ὅπου δὲ τὰ πνευματικά, ἀγάπη. Ταῦτα μελέτα καθ' ἑκάστην ἡμέραν, καὶ μὴ πάλιν ἰδὼν μετὰ δύο ἡμέρας ἄλλον ὀχήματι φερόμενον, σηρικὸν περιβεβλημένον ἱμάτιον, κορυφούμενον, θορυβῇς, ταραχθῇς. Μὴ ἐπαίνει πλούσιον, ἀλλὰ τὸν ἐν δικαιοσύνῃ μόνον. Μὴ κάκιζε πένητα, ἀλλὰ μάθε τῶν πραγμάτων τὴν κρίσιν ἔχειν ὀρθὴν καὶ ἀδιάπτωτον.*

*Μὴ ἀπέχου Ἐκκλησίας· οὐδὲν γὰρ Ἐκκλησίας ἰσχυρότερον. Ἡ ἐλπίς σου ἡ Ἐκκλησία, ἡ σωτηρία σου ἡ Ἐκκλησία, ἡ καταφυγή σου ἡ Ἐκκλησία. Τοῦ οὐρανοῦ ὑψηλοτέρα ἐστί, τῆς γῆς πλατυτέρα ἐστίν. Οὐδέποτε γηρᾷ, ἀεὶ δὲ ἀκμάζει. Διὰ τοῦτο τὸ στερρὸν αὐτῆς καὶ ἀσάλευτον δηλοῦσα ἡ Γραφὴ ὄρος αὐτὴν καλεῖ· τὸ ἄφθορον, αὐτὴν καλεῖ παρθένον· τὸ πολυτελές, βασίλισσαν αὐτὴν καλεῖ· τὸ πολύγονον, στεῖραν αὐτὴν καλεῖ τίκτουσαν ἑπτά· μυρία ὀνόματα, ἵνα παραστήσῃ αὐτῆς τὴν εὐγένειαν.*

*Ὥσπερ γὰρ ὁ Δεσπότης αὐτῆς πολλὰ ὀνόματα ἔχει· καὶ πατὴρ καλεῖται, καὶ ὁδὸς καλεῖται, καὶ ζωὴ καλεῖται, καὶ φῶς καλεῖται, καὶ βραχίων καλεῖται, καὶ ἱλασμὸς καλεῖται, καὶ θεμέλιος καλεῖται, καὶ θύρα καλεῖται, καὶ ἀναμάρτητος καλεῖται, καὶ θησαυρὸς καλεῖται, καὶ κύριος καλεῖται, καὶ Θεὸς καλεῖται, καὶ υἱὸς καλεῖται, καὶ μονογενὴς καλεῖται, καὶ μορφὴ Θεοῦ, καὶ εἰκὼν Θεοῦ καλεῖται· μὴ ἀρκεῖ ἓν ὄνομα παραστῆσαι τὸ ὅλον; Οὐδαμῶς· ἀλλὰ διὰ τοῦτο μυρία ὀνόματα, ἵνα μάθωμέν τι περὶ Θεοῦ, κἂν μικρόν. Οὕτω δὴ καὶ ἡ Ἐκκλησία πολλὰ καλεῖται. Παρθένος λέγεται, καὶ μὴν πόρνη ἦν πρὸ τούτου· τὸ γὰρ θαυμα-*

ἢ καλύτερα καὶ ἂν ἀκόμη θελήσεις νὰ τὸ σκεφθεῖς, τιμωρεῖσαι, ἐνῶ τὴν οὐράνια ἂν δὲν τὴν ἁρπάξεις, τότε θὰ τιμωρηθεῖς. Ὅπου εἶναι τὰ βιοτικά, ὑπάρχει φθόνος, καὶ ὅπου τὰ πνευματικά, ὑπάρχει ἀγάπη. Αὐτὰ νὰ μελετᾶς κάθε μέρα καὶ ὅταν πάλι δεῖς μετὰ ἀπὸ δύο ἡμέρες ἄλλον νὰ φέρεται μὲ ὄχημα, νὰ φοράει μεταξωτὰ ροῦχα, νὰ ἀνεβαίνει ψηλά, νὰ μὴν ἀνησυχήσεις οὔτε νὰ ταραχθεῖς. Μὴν ἐπαινεῖς πλούσιο, ἀλλὰ μόνο αὐτὸν ποὺ ζεῖ μὲ δικαιοσύνη. Μὴν κακίζεις φτωχό, ἀλλὰ μάθε νὰ κρίνεις τὰ πράγματα ὀρθὰ καὶ ἀλάθητα.

Μὴν ἀπομακρύνεσαι ἀπὸ τὴν ἐκκλησία, γιατὶ τίποτε δὲν εἶναι πιὸ δυνατὸ ἀπὸ τὴν Ἐκκλησία. Ἡ ἐλπίδα σου εἶναι ἡ Ἐκκλησία, ἡ σωτηρία σου ἡ Ἐκκλησία, τὸ καταφύγιό σου ἡ Ἐκκλησία. Εἶναι πιὸ ψηλὴ ἀπὸ τὸν οὐρανό, εἶναι πιὸ πλατιὰ ἀπὸ τὴ γῆ. Ποτὲ δὲ γερνᾶ καὶ πάντοτε εἶναι νέα. Γι' αὐτὸ ἡ Γραφή, γιὰ νὰ δηλώσει τὴ στερρεότητα καὶ τὴ σταθερότητά της, τὴν ὀνομάζει ὄρος· γιὰ νὰ δηλώσει τὴν ἀφθαρσία της, τὴν ὀνομάζει παρθένο· γιὰ νὰ δηλώσει τὴν πολυτέλειά της, τὴν καλεῖ βασίλισσα· γιὰ νὰ δηλώσει τὴ συγγένειά της πρὸς τὸ Θεό, τὴν ὀνομάζει θυγατέρα· γιὰ νὰ δηλώσει τὴ μεγάλη γονιμότητά της, τὴν ὀνομάζει στείρα ποὺ γεννάει ἑπτά· γιὰ νὰ παραστήσει τὴν εὐγένεια της, χρησιμοποιεῖ χίλια ὀνόματα.

Γιατί, ὅπως ὁ Κύριός της ἔχει πολλὰ ὀνόματα· καὶ πατέρας ὀνομάζεται, καὶ ὁδὸς ὀνομάζεται, καὶ ζωὴ ὀνομάζεται, καὶ φῶς ὀνομάζεται, καὶ βραχίονας ὀνομάζεται, καὶ ἐξιλέωση ὀνομάζεται, καὶ θεμέλιο ὀνομάζεται, καὶ θύρα ὀνομάζεται, καὶ ἀναμάρτητος ὀνομάζεται, καὶ θησαυρὸς ὀνομάζεται, καὶ Κύριος ὀνομάζεται, καὶ Θεὸς ὀνομάζεται, καὶ Υἱὸς ὀνομάζεται, καὶ μονογενὴς ὀνομάζεται, καὶ μορφὴ Θεοῦ καὶ εἰκόνα Θεοῦ ὀνομάζεται. Μήπως ἀρκεῖ ἕνα ὄνομα νὰ παραστήσει τὸ ὅλον; Καθόλου. Ἀλλὰ γι' αὐτὸ ὑπάρχουν ἄπειρα ὀνόματα, γιὰ νὰ μάθουμε κάτι γιὰ τὸ Θεό, ἔστω καὶ μικρό. Ἔτσι ἀκριβῶς καὶ ἡ Ἐκκλησία ἔχει πολλὰ ὀνόματα. Παρθένος λέγεται, καὶ ὅμως ἦταν πόρνη πρὶν ἀπ' αὐτό· γιατὶ τὸ θαυμαστὸ τοῦ νυμφίου εἶναι ὅτι

στὸν τοῦ νυμφίου, ὅτι ἔλαβε πόρνην, καὶ ἐποίησε παρθένον. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων. Γάμος παρ' ἡμῖν παρθενίαν λύει, γάμος παρὰ Θεῷ παρθενίαν ἀνέστησεν. Παρ' ἡμῖν ἡ οὖσα παρθένος, γαμουμένη, οὐκ ἔστι παρθένος· παρὰ Χριστῷ ἡ οὖσα πόρνη, γαμουμένη, παρθένος γέγονεν.

7. Ἑρμηνευέτω ὁ αἱρετικὸς τοῦτο μόνον, ὁ περιεργαζόμενος τὴν ἄνω γέννησιν, καὶ λέγων· πῶς ἐγέννησεν ὁ πατήρ; Εἰπὲ αὐτῷ· πῶς ἡ Ἐκκλησία, πόρνη οὖσα, παρθένος ἐγένετο; Πῶς δὲ ἡ γεννήσασα, παρθένος ἔμεινε; «Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ», ὁ Παῦλός φησιν· «ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ». Ὢ σοφία καὶ σύνεσις. «Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ». Τί ἐστι τοῦτο; «Ζηλῶ», λέγει. Ζηλοῖς ὁ πνευματικός; Ζηλῶ γάρ, λέγει, ὡς ὁ Θεός· καὶ Θεὸς λοῖ; Ναί, ζηλοῖ, οὐ πάθει, ἀλλὰ ἀγάπῃ καὶ ζηλοτυπίᾳ. «Ζηλῶ ͻ ὑμᾶς Θεοῦ ζήλῳ». Εἴπω σοι, πῶς ζηλοῖ; Εἶδεν ὑπὸ δαιμόιν διαφθειρομένην τὴν γῆν, καὶ τὸν Υἱὸν αὐτοῦ ἐξέδωκε. Τὰ γαρ ρήματα ἐπὶ τοῦ Θεοῦ λεγόμενα οὐ τὴν αὐτὴνἔχει ἰσχύν· οἷον, ζηλεύει Θεός, ὀργίζεται Θεός, μετανοεῖ Θεός, μισεῖ Θεός. Τὰ ρήματα ταῦτα ἀνθρώπινα, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ.

Πῶς ζηλεύει Θεός; «Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ». Ὀργίζεται Θεός; «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με». Ὥστε καὶ καθεύδει Θεός; «Ἀνάστηθι, ἵνα τί ὑπνοῖς, Κύριε;». Μετανοεῖ Θεός; «Μετενόησα, ὅτι ἐποίησα τὸν ἄνθρωπον». Μισεῖ ὁ Θεός; «Τὰς ἑορτὰς ὑμῶν καὶ τὰς νεομηνίας μισεῖ ἡ ψυχή μου». Ἀλλὰ μὴ πρόσεχε τῇ εὐτελείᾳ τῶν λέξεων· ἀλλὰ λάβε θεοπρεπῆ τὰ νοήματα. Ζηλεύει ὁ Θεός, ἀγαπᾷ γάρ. Ὀργίζεται ὁ Θεός, οὐ πάθει, ἀλλὰ τιμωρίᾳ καὶ κολάσει. Ὑπνοῖ Θεός, οὐ καθεύδων, ἀλλὰ μακροθυμῶν. Ἔκλεγε τὰς λέξεις. Οὕτω καὶ ὅταν

---

12. Β' Κορ. 11,2.
13. Ψαλμ. 1,14.
14. Ψαλμ. 43,24.
15. Γεν. 6,7.

ἔλαβε πόρνη καὶ τὴν ἔκαμε παρθένο. Πὼ πὼ καινούργια καὶ παράδοξα πράγματα! Ὁ γάμος σ' ἐμᾶς καταργεῖ τὴν παρθενία, ὁ γάμος στὸ Θεὸ ἐπανόρθωσε τὴν παρθενία. Σ' ἐμᾶς αὐτὴ ποὺ εἶναι παρθένος ὅταν παντρεύεται, δὲν εἶναι παρθένος· στὸ Χριστὸ ἐκείνη ποὺ εἶναι πόρνη ὅταν παντρεύεται, γίνεται παρθένος.

7. Ἂς ἑρμηνεύσει ὁ αἱρετικὸς αὐτὸ μόνο, ἐκεῖνος ποὺ περιεργάζεται τὴν οὐράνια γέννηση καὶ λέγει, πῶς γέννησε ὁ Πατέρας; Πές του, πῶς ἡ Ἐκκλησία, ἐνῶ ἦταν πόρνη, ἔγινε παρθένος; καὶ πῶς αὐτὴ ποὺ γέννησε, ἔμεινε παρθένος; «Σᾶς ζηλεύω μὲ θεῖο ζῆλο», λέγει ὁ Παῦλος, «γιατὶ σᾶς ἀρραβώνιασα μὲ ἕναν ἄνδρα, γιὰ νὰ σᾶς παρουσιάσω σὰν παρθένο ἁγνὴ στὸ Χριστό»[12]. Πὼ πὼ σοφία καὶ σύνεση! «Σᾶς ζηλεύω μὲ θεῖο ζῆλο». Τί σημαίνει αὐτό; «Ζηλεύω», λέγει. Ζηλεύεις ἐσὺ ὁ πνευματικός; Ζηλεύω, λέγει, ὅπως ὁ Θεός. Καὶ ὁ Θεὸς ζηλεύει; Ναί, ζηλεύει, ὄχι ἀπὸ πάθος, ἀλλὰ ἀπὸ ἀγάπη καὶ ἀπὸ ζηλοτυπία. «Σᾶς ζηλεύω ὅπως ζηλεύει ὁ Θεός». Νὰ σοῦ πῶ, πῶς ζηλεύει; Εἶδε τὴ γῆ νὰ καταστρέφεται ἀπὸ τοὺς δαίμονες καὶ μᾶς ἔδωσε τὸν Υἱό του. Γιατὶ οἱ λέξεις ὅταν ἀναφέρονται στὸ Θεὸ δὲν ἔχουν τὴν ἴδια σημασία, ὅπως γιὰ παράδειγμα, ζηλεύει ὁ Θεός, ὀργίζεται ὁ Θεός, μετανοεῖ ὁ Θεός, μισεῖ ὁ Θεός. Οἱ λέξεις αὐτὲς εἶναι ἀνθρώπινες, ἀλλὰ τὰ νοήματά τους εἶναι θεοπρεπή.

Πῶς ζηλεύει ὁ Θεός; «Σᾶς ζηλεύω μὲ τὸ ζῆλο τοῦ Θεοῦ». Ὀργίζεται ὁ Θεός; «Κύριε, μὴ μὲ ἐλέγξεις ἐπάνω στὸ θυμό σου»[13]. Ὥστε καὶ κοιμᾶται ὁ Θεός; «Σήκω ἐπάνω, γιατὶ κοιμᾶσαι, Κύριε;»[14]. Μετανοεῖ ὁ Θεός; «Μετανόησα ποὺ δημιούργησα τὸν ἄνθρωπο»[15]. Μισεῖ ὁ Θεός; «Τὶς ἑορτές σας καὶ τὶς νουμηνίες σας τὶς μισεῖ ἡ ψυχή μου»[16]. Ὅμως μὴν προσέχεις στὴ μικρὴ ἀξία τῶν λέξεων, ἀλλὰ πάρε τὰ νοήματα ποὺ ταιριάζουν στὸ Θεό. Ζηλεύει ὁ Θεός, γιατὶ ἀγαπάει. Ὀργίζεται ὁ Θεός, ὄχι ἀπὸ πάθος, ἀλλὰ γιὰ ποινὴ καὶ τιμωρία. Κοιμᾶται ὁ Θεός, ὄχι κοιμώμενος, ἀλλὰ μακροθυμώντας. Ξεχώριζε τὶς λέξεις. Ἔτσι

16. Ἡσ. 1,14.

ἀκούσῃς, ὅτι γεννᾷ Θεός, μὴ τμῆσιν νόμιζε, ἀλλὰ τὸ ὁμοούσιον. Τὰ γὰρ ῥήματα ταῦτα πολλὰ παρ' ἡμῶν ἐχρήσατο ὁ Θεός, καὶ ἡμεῖς παρ' αὐτοῦ, ἵνα τιμηθῶμεν.

8. Συνῆκας τί εἶπον; Πρόσεχε μετὰ ἀκριβείας, ἀγαπητέ. Ὀνόματά ἐστι θεῖα, καὶ ὀνόματα ἀνθρώπινα. Ἔλαβε παρ' ἐμοῦ, καὶ ἔδωκέ μοι αὐτός. Δός μοι τὰ σά, καὶ λάβε τὰ ἐμά, λέγει. Τῶν ἐμῶν χρείαν ἔχεις· οὐκ ἐγὼ χρείαν ἔχω, ἀλλὰ σύ· ἐπειδὴ γὰρ ἡ οὐσία μου ἀκήρατός ἐστι, σὺ δὲ ἄνθρωπος εἶ, σώματι συμπεπλεγμένος, σωματικὰς ζητῶν καὶ λέξεις, ἵνα σύ, ὁ σώματι συμπεπλεγμένος, λαβὼν ἀπὸ τῶν παρὰ σοὶ γνωρίμων ῥημάτων, νοήσῃς τὰ ὑπερβαίνοντά σε νοήματα. Ποῖα ἔλαβε παρ' ἐμοῦ, ποῖα δὲ ἔδωκέ μοι ὀνόματα; Αὐτὸς Θεός ἐστι, καὶ ἐμὲ Θεὸν ἐκάλεσεν· ἐκεῖ φύσις πράγματος, ἐνταῦθα τιμὴ ὀνόματος. «Ἐγὼ εἶπα· θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες». Ῥήματά ἐστιν ἐνταῦθα, ἐκεῖ δὲ πραγμάτων φύσις. Ἐκάλεσέ με Θεόν, ἐτιμήθην γάρ. Ἐκλήθη αὐτὸς ἄνθρωπος, ἐκλήθη αὐτὸς θύρα, ἐκλήθη αὐτὸς πέτρα. Ταῦτα παρ' ἐμοῦ ἔλαβεν, ἐκεῖνα παρ' ἑαυτοῦ τὰ ῥήματά μοι ἔδωκε.

Διὰ τί ἐκλήθη ὁδός; Ἵνα μάθῃς, ὅτι δι' αὐτοῦ πρὸς τὸν Πατέρα ἀνερχόμεθα. Διὰ τί ἐκλήθη πέτρα; Ἵνα μάθῃς τὸ ἐπιτήδειον καὶ ἀσάλευτον τῆς πίστεως. Διὰ τί ἐκλήθη θεμέλιος; Ἵνα μάθῃς, ὅτι πάντα βαστάζει. Διὰ τί ἐκλήθη ῥίζα; Ἵνα μάθῃς, ὅτι ἐν αὐτῷ ἀνθοῦμεν. Διὰ τί ἐκλήθη ποιμήν; Ὅτι ἡμᾶς νέμει. Διὰ τί ἐκλήθη πρόβατον; Ὅτι ὑπὲρ ἡμῶν ἐτύθη, καὶ ἱλασμὸς ἐγένετο. Διὰ τί ἐκλήθη ζωή; Ὅτι νεκροὺς ὄντας ἡμᾶς ἀνέστησε. Διὰ τί ἐκλήθη βραχίων; Ὅτι ὁμοούσιός ἐστι τῷ Πατρί. Διὰ τί ἐκλήθη λόγος; Ὅτι ἀπὸ τοῦ Πατρὸς ἐτέχθη. Ὥσπερ γὰρ ὁ λόγος ὁ ἐμὸς ἀπὸ τῆς ψυχῆς μου γεννᾶται, οὕτω καὶ ὁ Υἱὸς ἀπὸ τοῦ Πα-

καὶ ὅταν ἀκούσεις ὅτι ὁ Θεὸς γεννάει νὰ μὴ νομίζεις διαίρεση, ἀλλὰ τὸ ὁμοούσιο. Γιατὶ τὶς λέξεις αὐτὲς πολλὲς τὶς χρησιμοποίησε ἀπὸ μᾶς ὁ Θεός, καὶ μεῖς ἀπ' αὐτόν, γιὰ νὰ τιμηθοῦμε.

8. Κατάλαβες τί εἶπα; Πρόσεχε μὲ ἀκρίβεια, ἀγαπητέ. Ὑπάρχουν ὀνόματα θεῖα καὶ ὀνόματα ἀνθρώπινα. Πῆρε ἀπὸ μένα καὶ μοῦ ἔδωσε αὐτός. Δῶσε μου τὰ δικά σου καὶ πάρε τὰ δικά μου, λέγει. Ἔχεις ἀνάγκη ἀπὸ τὰ δικά μου· δὲν ἔχω ἐγὼ ἀνάγκη, ἀλλὰ σύ. Ἐπειδὴ λοιπὸν ἡ οὐσία μου εἶναι ἀμόλυντη, ἐσὺ ὅμως εἶσαι ἄνθρωπος, συνδεόμενος μὲ σῶμα, ζητώντας καὶ σωματικὲς λέξεις, ὥστε σύ, ὁ συνδεδεμένος μὲ σῶμα, ἀφοῦ λάβεις ἀπὸ τὶς γνωστές σου λέξεὶς, νὰ κατανοήσεις τὰ νοήματα ποὺ ὑπερβαίνουν τὴ διάνοιά σου. Ποιά ὀνόματα πῆρε ἀπὸ μένα καὶ ποιά μοῦ ἔδωσε; Αὐτὸς εἶναι Θεὸς καὶ μένα μὲ ὀνόμασε Θεό· ἐκεῖ τὸ ὄνομα ἀνταποκρίνεται στὴ φύση τοῦ πράγματος, ἐδῶ εἶναι τιμητικό. «Ἐγὼ εἶπα· ὅλοι εἶστε θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[17]. Λέξεις εἶναι ἐδῶ, ἐκεῖ ὅμως ἡ φύση τῶν πραγμάτων. Μὲ ὀνόμασε θεό, γιατὶ μὲ τίμησε. Ὀνομάσθηκε αὐτὸς ἄνθρωπος, ὀνομάσθηκε αὐτὸς υἱὸς τοῦ ἀνθρώπου, ὀνομάσθηκε αὐτὸς ὁδός, ὀνομάσθηκε αὐτὸς θύρα, ὀνομάσθηκε αὐτὸς πέτρα. Αὐτὰ πῆρε ἀπὸ μένα, ἐνῶ ἐκεῖνα τὰ ὀνόματα μοῦ τὰ ἔδωσε ἀπὸ τὸν ἑαυτό του.

Γιατί ὀνομάσθηκε ὁδός; Γιὰ νὰ μάθεις ὅτι μ' αὐτὸν ἀνεβαίνουμε στὸν Πατέρα. Γιατί ὀνομάσθηκε πέτρα; Γιὰ νὰ μάθεις τὴ χρησιμότητα καὶ σταθερότητα τῆς πίστης. Γιατί ὀνομάσθηκε θεμέλιο; Γιὰ νὰ μάθεις ὅτι ὅλα τὰ βαστάζει. Γιατί ὀνομάσθηκε ρίζα; Γιὰ νὰ μάθεις ὅτι μέσα σ' αὐτὸν ἀνθίζουμε. Γιατί ὀνομάσθηκε ποιμένας; Ἐπειδὴ μᾶς βόσκει. Γιατί ὀνομάσθηκε πρόβατο; Ἐπειδὴ γιὰ χάρη μας θυσιάστηκε καὶ ἔγινε ἐξιλαστήριο θύμα. Γιατί ὀνομάσθηκε ζωή; Ἐπειδὴ μᾶς ἀνάστησε ἐνῶ ἤμασταν νεκροί. Γιατί ὀνομάσθηκε φῶς; Ἐπειδὴ μᾶς ἀπάλλαξε ἀπὸ τὸ σκοτάδι. Γιατί ὀνομάσθηκε βραχίονας; Ἐπειδὴ εἶναι ὁμοούσιος μὲ τὸν Πατέρα. Γιατί ὀνομάσθηκε Λόγος; Ἐπειδὴ γεννήθηκε ἀπὸ τὸν Πατέρα. Γιατί, ὅπως ὁ δικός μου ὁ λόγος

17. Ψαλμ. 81,6.

*τρὸς ἐτέχθη. Διὰ τί ἐκλήθη ἱμάτιον; Ὅτι ἐνδέδυμαι αὐτὸν βαπτισθείς. Διὰ τί ἐκλήθη τράπεζα; Ὅτι ἐσθίω αὐτὸν ἀπολαύσας τῶν μυστηρίων. Διὰ τί ἐκλήθη οἶκος; Ὅτι οἰκῶ ἐν αὐτῷ. Διὰ τί ἔνοικος; Ὅτι ναὸς αὐτοῦ γινόμεθα. Διὰ τί ἐκλήθη κεφαλή; Ὅτι μέλος αὐτοῦ κατέστην. Διὰ τί ἐκλήθη νυμφίος; Ὅτι νύμφην με ἡρμόσατο. Διὰ τί ἐκλήθη ἁγνός; Ὅτι παρθένον με ἔλαβε. Διὰ τί ἐκλήθη δεσπότης; Ὅτι δούλη αὐτοῦ εἰμι.*

*9. Ὅρα γὰρ τὴν Ἐκκλησία, ὅπερ ἔλεγον, ὅτι ποτὲ νύμφη ἐστί, ποτὲ θυγάτηρ ἐστί, ποτὲ παρθένος ἐστί, ποτὲ δούλη ἐστί, ποτὲ βασίλισσά ἐστι, ποτὲ στεῖρά ἐστι, ποτὲ ὄρος ἐστί, ποτὲ παράδεισός ἐστι, ποτὲ πολυτόκος ἐστί, ποτὲ κρίνον ἐστί, ποτὲ πηγή ἐστι, πάντα ἐστί. Διὰ τοῦτο ἀκούσας ταῦτα, μὴ νόμιζε σωματικὰ εἶναι, παρακαλῶ· ἀλλὰ σύντεινόν σου τὴν διάνοιαν· τὰ γὰρ σωματικὰ τοιαῦτα εἶναι οὐ δύναται. Οἷόν τι λέγω· τὸ ὄρος παρθένος οὐκ ἔστιν· ἡ παρθένος νύμφη οὐκ ἔστιν· ἡ βασίλισσα δούλη οὐκ ἔστιν· ἡ Ἐκκλησία πάντα ἐστί. Διὰ τί; Ὅτι οὐκ ἐν σώματι ταῦτα, ἀλλ' ἐν ψυχῇ. Ἐν μὲν γὰρ σώματι ταῦτα ἐστενοχώρηται· ἐν δὲ ψυχῇ πολὺ ἔχει τὸ πέλαγος. «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου». Βασίλισσα; Ἡ πεπατημένη, ἡ πτωχή, πῶς βασίλισσα ἐγένετο; Καὶ ποῦ ἀνέβη; Ἄνω παρέστη ἡ βασίλισσα αὐτή. Πῶς; Ἐπειδὴ ὁ βασιλεὺς ἐγένετο δοῦλος· οὐκ ἦν, ἀλλ' ἐγένετο.*

*Μάθε οὖν τὰ τῆς θεότητος, καὶ σοφίζου τὰ τῆς οἰκονομίας· μάθε τίς ἦν, καὶ τίς ἐγένετο διὰ σέ, καὶ μὴ σύγχεε τὰ πράγματα, μηδὲ τὴν ὑπόθεσιν τῆς φιλανθρωπίας ἀφορμὴν ποιοῦ βλασφημίας. Ὑψηλὸς ἦν, καὶ αὕτη ταπεινή· ὑψηλὸς οὐ τόπῳ, ἀλλὰ φύσει. Ἀκήρατος ἦν, ἀνώλεθρος ἡ οὐσία, ἄφθαρτος ἦν ἡ φύσις, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως*

γεννιέται ἀπὸ τὴν ψυχή μου, ἔτσι καὶ ὁ Υἱὸς γεννήθηκε ἀπὸ τὸν Πατέρα. Γιατί ὀνομάσθηκε ἔνδυμα; Ἐπειδὴ τὸν ντύθηκα ὅταν βαπτίσθηκα. Γιατί ὀνομάσθηκε τράπεζα; Ἐπειδὴ τὸν τρώγω ἀπολαμβάνοντας τὰ μυστήρια. Γιατί ὀνομάσθηκε οἶκος; Ἐπειδὴ κατοικῶ μέσα σ' αὐτόν. Γιατί ἔνοικος; Ἐπειδὴ γινόμαστε ναός του. Γιατί ὀνομάσθηκε κεφαλή; Ἐπειδὴ ἔγινα μέλος του. Γιατί ὀνομάσθηκε νυμφίος; Ἐπειδὴ μὲ πῆρε νύμφη. Γιατί ὀνομάσθηκε ἁγνός; Ἐπειδὴ μὲ ἔλαβε παρθένο. Γιατί ὀνομάσθηκε Κύριος; Ἐπειδὴ εἶμαι δούλη του.

9. Βλέπε λοιπὸν τὴν Ἐκκλησία, πράγμα ποὺ ἔλεγα, ὅτι ἄλλοτε εἶναι νύμφη, ἄλλοτε εἶναι θυγατέρα, ἄλλοτε εἶναι παρθένος, ἄλλοτε εἶναι δούλη, ἄλλοτε εἶναι βασίλισσα, ἄλλοτε εἶναι στείρα, ἄλλοτε εἶναι ὄρος, ἄλλοτε εἶναι παράδεισος, ἄλλοτε εἶναι πολυτόκος, ἄλλοτε εἶναι κρίνο, ἄλλοτε εἶναι πηγή, τὰ πάντα εἶναι. Γι' αὐτὸ ὅταν τὰ ἀκούσεις αὐτά, νὰ μὴν τὰ θεωρεῖς πὼς εἶναι σωματικά, σὲ παρακαλῶ, ἀλλὰ προσπάθησε νὰ καταλάβεις· γιατὶ τὰ σωματικὰ δὲν μποροῦν νὰ εἶναι τέτοια. Γιὰ παράδειγμα· τὸ ὄρος δὲν εἶναι παρθένος, ἡ παρθένος δὲν εἶναι νύμφη, ἡ βασίλισσα δὲν εἶναι δούλη, ἡ Ἐκκλησία εἶναι τὰ πάντα. Γιατί; Ἐπειδὴ αὐτὰ δὲ βρίσκονται σὲ σῶμα, ἀλλὰ σὲ ψυχή. Γιατὶ στὸ σῶμα αὐτὰ ἔχουν στενότητα χώρου, ἐνῶ στὴν ψυχὴ ἔχουν μεγάλη εὐρυχωρία. «Στάθηκε ἡ βασίλισσα στὰ δεξιά σου»[18]. Βασίλισσα; Ἡ καταπατημένη, ἡ φτωχή, πῶς ἔγινε βασίλισσα; καὶ ποῦ ἀνέβηκε; Στὸν οὐρανὸ στάθηκε ἡ βασίλισσα αὐτή. Πῶς; Ἐπειδὴ ὁ βασιλιὰς ἔγινε δοῦλος· δὲν ἦταν, ἀλλ' ἔγινε.

Μάθε λοιπὸν τὰ σχετικὰ μὲ τὴ θεότητα και ἐξέτασε μὲ σύνεση τὰ πράγματα τῆς θείας οἰκονομίας. Μάθε ποιός ἦταν καὶ ποιός ἔγινε γιὰ σένα, καὶ μὴ συγχέεις τὰ πράγματα, οὔτε τὴν ὑπόθεση τῆς φιλανθρωπίας νὰ τὴν κάνεις ἀφορμὴ βλασφημίας. Ἦταν ὑψηλὸς καὶ αὐτὴ ταπεινή· ὑψηλὸς ὄχι ὡς πρὸς τὸν τόπο, ἀλλ' ὡς πρὸς τὴ φύση. Ἦταν ἀμόλυντος, αἰώνια ἡ οὐσία του, ἦταν ἄφθαρτη ἡ φύση του, ἀκατανόητος, ἀόρατος, ἀκατάληπτος, ὑπῆρχε πάντοτε, ὑπῆρχε κατὰ τὸν ἴδιο τρόπο, ξεπερ-

18. Ψαλμ. 44,10.

*ῶν, ὑπερβαίνων ἀγγέλους, ἀνώτερος τῶν ἄνω δυνάμεων, νικῶν λογισμόν, ὑπερβαίνων διάνοιαν, ὀφθῆναι μὴ δυνάμενος, πιστευθῆναι δὲ μόνον. Ἄγγελοι ἔβλεπον καὶ ἔτρεμον, τὰ Χερουβὶμ τὰς πτέρυγας ἐπέβαλλον, πάντα ἐν φόβῳ. Ἐπέβλεπεν ἐπὶ τὴν γῆν, καὶ ἐποίει αὐτὴν τρέμειν· ἠπείλει τῇ θαλάσσῃ, καὶ ἐξήραινεν αὐτὴν ποταμοὺς ἐξ ἐρήμου· τὰ ὄρη ἔστησε σταθμῷ καὶ τὰς νάπας ζυγῷ. Πῶς εἴπω; Πῶς παραστήσω; Ἡ μεγαλωσύνη αὐτοῦ πέρας οὐκ ἔχει, ἡ σοφία αὐτοῦ ἀριθμὸν οὐκ ἔχει, τὰ κρίματα αὐτοῦ ἀνεξιχνίαστα, αἱ ὁδοὶ αὐτοῦ ἀνεξερεύνητοι. Ἀλλ' οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος.*

*Ἀλλὰ τί πάθω; Ἄνθρωπός εἰμι, καὶ ἀνθρωπικῶς διαλέγομαι· πηλίνην κέκτημα γλῶσσαν, συγγνώμην αἰτῶ παρὰ τοῦ Δεσπότου. Οὐ γὰρ ἐξ ἀπονοίας ταῖς λέξεσι ταύταις κέχρημαι, ἀλλὰ δι' ἀπορίαν τῆς ἀσθενείας καὶ τῆς φύσεως τῆς γλώττης τῆς ἡμετέρας. Ἵλεως ἔσο, Δέσποτα, οὐ γὰρ ἀπονοίᾳ κεχρημένος ταύτας λέγω τὰς λέξεις, ἀλλ' οὐκ ἔχω ἄλλας· οὐ μὴν οὐδὲ ἵσταμαι ἐν τῇ εὐτελείᾳ τῆς λέξεως, ἀλλὰ ἀναβαίνω τῷ πτερῷ τοῦ νοήματος. Ὁ τοσοῦτος καὶ τηλικοῦτος. Ταῦτα λέγω, ἵνα μὴ ταῖς λέξεσι παραμένων, μηδὲ τῇ πτωχείᾳ τῶν λεγομένων, μάθῃς καὶ αὐτὸς τοῦτο ποιεῖν. Τί θαυμάζεις, εἰ ἐγὼ τοῦτο ποιῶ, ὅπουγε καὶ αὐτός, ὅταν βούληταί τι παραστῆσαι ὑπερβαῖνον τὰ ἀνθρώπινα; Ἐπειδὴ ἀνθρώποις διαλέγεται, καὶ ἀνθρωπίναις κέχρηται εἰκόσιν, οὐκ ἀρκούσαις μὲν παραστῆσαι τὸ λεγόμενον, οὐδὲ δυναμέναις ὅλον τὸ μέτρον ἀγαγεῖν εἰς τὸ μέσον, ἀρκούσαις δὲ τῇ ἀσθενείᾳ τῶν ἀκουόντων.*

*10. Σύντεινον σαυτόν, μὴ ἀπόκαμνε δὲ τοῦ λόγου μηκυνομένου. Ὥσπερ γὰρ ὅταν φαίνηται, οὐχ ὅπερ ἐστὶ φαίνεται, οὐδὲ γυμνὴ ἡ οὐσία φαίνεται (οὐδεὶς γὰρ εἶδε Θεόν, αὐτὸ ὅ ἐστιν· τῇ γὰρ συγκαταβάσει καὶ τὰ Χερουβὶμ ἔτρεμεν· συγκατέβη, καὶ τὰ ὄρη καπνίζεται· συγκατέβη, καὶ ἡ θάλασσα ξηραίνεται· συγκα-*

νοῦσε τοὺς ἀγγέλους, ἀνώτερος ἀπὸ τὶς οὐράνιες δυνάμεις, νικοῦσε τὸ λογισμό μας, ξεπερνοῦσε τὴ σκέψη μας, ἀδύνατο νὰ τὸν δοῦμε, ἀλλὰ νὰ τὸν πιστέψουμε μόνο. Οἱ ἄγγελοι ἔβλεπαν καὶ ἔτρεμαν, τὰ χερουβὶμ ἅπλωναν τὶς πτέρυγές τους, ὅλα ἦταν γεμάτα φόβο. Ἔρριχνε ἕνα βλέμμα στὴ γῆ και τὴν ἔκανε νὰ τρέμει, ἀπειλοῦσε τὴ θάλασσα καὶ τὴν ξέραινε· ἔκανε ποταμοὺς νὰ τρέχουν στὴν ἔρημο, ἔθεσε ὅρια στὰ βουνὰ καὶ μέτρα στὰ φαράγγια. Πῶς νὰ τὰ πῶ; πῶς νὰ τὰ παραστήσω; Ἡ μεγαλωσύνη του δὲν ἔχει τέλος, ἡ σοφία του εἶναι ἄπειρη, οἱ κρίσεις του εἶναι ἀνεξιχνίαστες καὶ οἱ δρόμοι του ἀνεξερεύνητοι. Ἀλλ' αὐτὸς ὁ τόσο ὑψηλὸς καὶ τόσο μεγάλος, ἂν εἶναι ἀσφαλὲς νὰ τὸ πεῖ κανεὶς καὶ αὐτό, ὅτι δηλαδὴ εἶναι τόσο ὑψηλὸς καὶ τόσο μεγάλος.

Ἀλλὰ τί νὰ κάνω; ἄνθρωπος εἶμαι καὶ ἀνθρώπινα μιλάω· ἡ γλώσσα μου εἶναι ἀπὸ χῶμα, συγγνώμη ζητῶ ἀπὸ τὸν Κύριο. Γιατὶ δὲ χρησιμοποιῶ τὶς λέξεις αὐτὲς ἀπὸ ἀφροσύνη, ἀλλ' ἀπὸ ἀδυναμία τῆς δικῆς μας γλώσσας. Εὐσπλαχνίσου μου, Κύριε, γιατὶ δὲ λέγω τὶς λέξεις αὐτὲς ἀπὸ ἀφροσύνη, ἀλλὰ δὲν ἔχω ἄλλες· ὅμως δὲ σταματῶ στὴν εὐτέλεια τῆς λέξης, ἀλλ' ἀνεβαίνω μὲ τὰ φτερὰ τοῦ νοήματος. Ὁ τόσο ὑψηλὸς καὶ τόσο μεγάλος. Αὐτὰ τὰ λέγω γιὰ νὰ μάθεις καὶ σὺ ὁ ἴδιος νὰ κάνεις αὐτὸ χωρὶς νὰ παραμένεις στὶς λέξεις οὔτε στὴ φτώχεια τῶν λόγων. Γιατί θαυμάζεις, ἂν ἐγὼ κάνω αὐτό, τὴ στιγμὴ βέβαια ποὺ καὶ ὁ Θεός, ὅταν θέλει νὰ παραστήσει κάτι ποὺ ξεπερνάει τὰ ἀνθρώπινα, κάνει τὸ ἴδιο; Ἐπειδὴ μιλάει σ' ἀνθρώπους καὶ χρησιμοποιεῖ ἀνθρώπινες εἰκόνες, ποὺ δὲν ἀρκοῦν νὰ παραστήσουν τὸ λεγόμενο οὔτε μποροῦν νὰ παρουσιάσουν ὅλο τὸ μέτρο, ἀρκοῦν ὅμως στὴν ἀδυναμία τῶν ἀκροατῶν.

10. Συγκέντρωσε ὅλη τὴ δύναμή σου καὶ μὴν ἀποκάμεις, ἐπειδὴ ὁ λόγος παίρνει μάκρος. Γιατί, ὅπως ὅταν φαίνεται ὁ Θεός, δὲ φαίνεται αὐτὸ ποὺ εἶναι, οὔτε ἡ οὐσία του φαίνεται γυμνὴ (γιατὶ κανεὶς δὲν εἶδε τὸ Θεό, αὐτὸ ποὺ πραγματικὰ εἶναι· γιατὶ καὶ τὰ χερουβὶμ ἔτρεμαν μὲ τὴ συγκατάβασή του· συγκατέβηκε,

*τέβη, καὶ ὁ οὐρανὸς σαλεύεται· καὶ εἰ μὴ συγκατέβη, τίς ἂν ἤνεγκεν;) ὥσπερ οὖν οὐ φαίνεται ὅπερ ἐστίν, ἀλλ' ὃ δύναται ὁ ὁρῶν ἰδεῖν· διὰ τοῦτο ποτὲ μὲν παλαιὸς φαίνεται, ποτὲ δὲ νέος, ποτὲ δὲ ἐν πυρί, ποτὲ δὲ ἐν αὔρᾳ, ποτὲ δὲ ἐν ὕδατι, ποτὲ δὲ ἐν ὅπλοις, οὐ μεταβάλλων τὴν οὐσίαν, ἀλλὰ σχηματίζων τὴν ὄψιν πρὸς τὴν ποικιλίαν τῶν ὑποκειμένων. Οὕτω δὴ καὶ ὅταν βούληταί τι περὶ αὐτοῦ εἰπεῖν, ἀνθρωπίναις εἰκόσι κέχρηται. Οἷόν τι λέγω· ἀνέβη εἰς τὸ ὄρος, «καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς τὸ φῶς, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡσεὶ χιών». Παρήνοιξε, φησίν, ὀλίγον τῆς θεότητος, ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεόν, «καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν».*

*Προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ. Λέγει, «καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὰ ἱμάτια αὐτοῦ ὡς τὸ φῶς καὶ ἡ ὄψις ὡς ὁ ἥλιος». Ἐπειδὴ εἶπον, τοσοῦτος καὶ τηλικοῦτος καὶ εἶπον ἵλεώς μοι γενοῦ, Δέσποτα (οὐ γὰρ ἐναπομένω τῇ λέξει, ἀλλ' ἀπορῶ καὶ οὐκ ἔχω ἄλλην λέξιν συντιθεμένην), θέλω σε μαθεῖν, ὅτι ἀπὸ τῆς Γραφῆς τοῦτο ἐπαιδεύθην. Ἠθέλησεν οὖν δεῖξαι τὴν λαμπηδόνα αὐτοῦ ὁ εὐαγγελιστής, καὶ λέγει «ἔλαμψε». Πῶς ἔλαμψεν, εἰπέ μοι; Σφοδρῶς. Καὶ πῶς λέγεις; «Ὡς ὁ ἥλιος». «Ὡς ὁ ἥλιος», λέγεις; Ναί, διὰ τί; Διότι οὐκ ἔχω ἄλλο ἄστρον φαιδρότερον. Καὶ λευκὸς ἦν «ὡς χιών». Διὰ τί, «ὡς χιών»; Διότι οὐκ ἔχω ἄλλην ὕλην λευκοτέραν. Ὅτι γὰρ οὐχ οὕτως ἔλαμψεν, ἀπὸ τοῦ ἑξῆς δείκνυται. Καὶ ἔπεσον χαμαὶ οἱ μαθηταί. Εἰς ὡς ὁ ἥλιος ἔλαμψεν, οὐκ ἂν ἔπιπτον οἱ μαθηταί· ἥλιον γὰρ ἔβλεπον καθ' ἡμέραν, καὶ οὐκ ἔπιπτον· ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε καὶ ὑπὲρ τὴν χιόνα, διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα, κατέπεσον.*

*11. Εἰπέ μοι οὖν, ὦ εὐαγγελιστά, ὑπὲρ τὸν ἥλιον ἔλαμψε, καὶ σὺ λέγεις «ὡς ὁ ἥλιος»; Ναί· γνώριμόν σοι θέλων ποιῆσαι τὸ*

καὶ τὰ ὄρη καπνίζουν· συγκατάβηκε, καὶ ἡ θάλασσα ξεραίνεται· συγκατέβηκε, καὶ ὁ οὐρανὸς τραντάζεται· καὶ ἂν δὲ συγκατέβαινε, ποιός θὰ τὸν ἄντεχε;). Ἑπομένως δὲ φαίνεται ὅπως εἶναι, ἀλλὰ ὅπως μπορεῖ νὰ δεῖ ἐκεῖνος ποὺ τὸν βλέπει. Γι' αὐτὸ ἄλλοτε φαίνεται παλαιός, ἄλλοτε νέος, ἄλλοτε στὴ φωτιά, ἄλλοτε στὴν αὔρα, ἄλλοτε στὸ νερό, ἄλλοτε στὰ ὅπλα, χωρὶς νὰ μεταβάλλει τὴν οὐσία του, ἀλλὰ σχηματίζοντας τὴ μορφή του ἀνάλογα μὲ τὰ πρόσωπα. Ἔτσι ἀκριβῶς καὶ ὅταν θέλει νὰ πεῖ κάτι γιὰ τὸν ἑαυτό του χρησιμοποιεῖ ἀνθρώπινες εἰκόνες. Γιὰ παράδειγμα· ἀνέβηκε στὸ ὄρος «καὶ μεταμορφώθηκε μπροστά τους καὶ ἔλαμψε τὸ πρόσωπό του ὅπως τὸ φῶς, καὶ τὰ ἐνδύματά του ἔγιναν ἄσπρα σὰν τὸ χιόνι»[19]. Φανέρωσε, λέγει, λίγο ἀπὸ τὴ θεότητά του, ἔδειξε σ' αὐτοὺς τὸ Θεὸ ποὺ κατοικοῦσε μέσα του, «καὶ μεταμορφώθηκε μπροστά τους».

Προσέχετε μὲ ἀκρίβεια στὸ λόγο. Λέγει, «καὶ μεταμορφώθηκε μπροστά τους καὶ ἔλαμψαν τὰ ἐνδύματά του σὰν τὸ φῶς καὶ τὸ πρόσωπό του σὰν τὸν ἥλιο». Ἐπειδὴ εἶπα, τόσο ὑψηλὸς καὶ τόσο μεγάλος, καὶ ἐπειδὴ εἶπα, εὐσπλαχνίσου μου, Κύριε (γιατὶ δὲ μένω στὴ λέξη, ἀλλ' εἶμαι σὲ ἀμηχανία καὶ δὲν ἔχω ἄλλη λέξη κατάλληλη), θέλω νὰ μάθεις ὅτι ἀπὸ τὴ Γραφὴ τὸ διδάχθηκα αὐτό. Θέλησε λοιπὸν ὁ εὐαγγελιστὴς νὰ δείξει τὴ λαμπρότητά του καὶ λέγει, «ἔλαμψε». Πῶς ἔλαμψε, πές μου; Πολὺ δυνατά. Καὶ πῶς λέγεις; «Ὅπως ὁ ἥλιος». «Ὅπως ὁ ἥλιος», λέγεις; Ναί. Γιατί; Γιατὶ δὲν ἔχω ἄλλο ἄστρο φωτεινότερο. Καὶ ἦταν λευκὸς «ὅπως τὸ χιόνι». Γιατί «ὅπως τὸ χιόνι»; Γιατὶ δὲν ἔχω ἄλλη οὐσία λευκότερη. Ὅτι βέβαια δὲν ἔλαμψε τόσο μόνο, ἀποδεικνύεται ἀπὸ τὸ ἑπόμενο. Καὶ ἔπεσαν κάτω οἱ μαθητές. Ἂν ἔλαμπε ὅπως ὁ ἥλιος, δὲ θὰ ἔπεφταν οἱ μαθητές, γιατὶ ἥλιο ἔβλεπαν κάθε ἡμέρα καὶ δὲν ἔπεφταν· ἐπειδὴ ὅμως ἔλαμψε πιὸ πολὺ ἀπὸ τὸν ἥλιο καὶ πιὸ πολὺ ἀπὸ τὸ χιόνι, γι' αὐτό, ἐπειδὴ δὲν ἄντεχαν τὴ λάμψη, ἔπεσαν κάτω.

11. Πές μου λοιπόν, εὐαγγελιστή, ἔλαμψε πιὸ πολὺ ἀπὸ τὸν ἥλιο καὶ σὺ λέγεις, «ὅπως ὁ ἥλιος»; Ναί, θέλοντας νὰ σοῦ

19. Ματθ. 17,2.

*φῶς, οὐκ ἔχω ἄλλο ἄστρον μεῖζον, οὐκ ἔχω ἄλλην εἰκόνα τὴν ἐν τοῖς ἄστροις βασιλεύουσαν. Ταῦτα εἶπον, ἵνα μὴ τῇ εὐτελείᾳ τῆς λέξεως ἐναπομείνῃς. Ἔδειξά σοι τὸ πτῶμα τῶν μαθητῶν. Ἔπεσον χαμαί, καὶ ἐκαρώθησαν καὶ κατεχώννυντο. «Ἀνάστητε», λέγει, καὶ ἤγειρεν αὐτοὺς καὶ ἦσαν βεβαρημένοι. Τὴν γὰρ ὑπερβολὴν τῆς λαμπηδόνος οὐκ ἤνεγκαν, ἀλλὰ κάρος ἔλαβε τοὺς ὀφθαλμοὺς αὐτῶν· οὕτω τὸ φαινόμενον φῶς ὑπὲρ τὸν ἥλιον ἦν. Εἶπε δὲ ὁ εὐαγγελιστής, «ὡς ὁ ἥλιος» ἐπειδὴ τὸ ἄστρον τοῦτο γνώριμον ἡμῖν ἐστι, καὶ ἐν ὑπερβολῇ τῶν λοιπῶν ἄστρων ἁπάντων.*

*Ἀλλ' ὅπερ ἔλεγον, ὁ τοσοῦτος καὶ τηλικοῦτος ἐπεθύμησε πόρνης. Πόρνης ἐπεθύμει ὁ Θεός; Ναί, πόρνης· τῆς φύσεως ἡμετέρας λέγω. Πόρνης ἐπεθύμει ὁ Θεός; Καὶ ἄνθρωπος μέν, ἐὰν ἐπιθυμήσῃ πόρνης, καταδικάζεται, Θεὸς δὲ πόρνης ἐπιθυμεῖ; Καὶ πάνυ. Πάλιν ἄνθρωπος ἐπιθυμεῖ πόρνης, ἵνα γένηται πόρνος· Θεὸς δὲ ἐπιθυμεῖ πόρνης, ἵνα τὴν πόρνην παρθένον ἐργάσηται· ὥστε ἡ ἐπιθυμία τοῦ ἀνθρώπου, ἀπώλεια τῆς ἐπιθυμουμένης· ἡ δὲ ἐπιθυμία τοῦ Θεοῦ, σωτηρία τῇ ἐπιθυμουμένῃ. Ὁ τοσοῦτος καὶ τηλικοῦτος ἐπεθύμησε πόρνης; Καὶ τί; Ἵνα γένηται ὁ νυμφίος. Τί ποιεῖ; Οὐ πέμπει πρὸς αὐτὴν οὐδένα τῶν δούλων, οὐ πέμπει ἀρχάγγελον, οὐ πέμπει τὰ Χερουβίμ, οὐ πέμπει τὰ Σεραφίμ· ἀλλ' αὐτὸς παραγίνεται ὁ ἐρῶν. Πάλιν ἔρωτα ἀκούσας, μὴ αἰσθητὸν νόμιζε. Ἔκλεγε τὰ νοήματα ἀπὸ τῶν λέξεων, καθάπερ ἀρίστη μέλιττα ἐφιπταμένη τοῖς ἄνθεσι, καὶ τὸ κηρίον λαμβάνουσα, τὰς δὲ βοτάνας ἐῶσα.*

*Ἐπεθύμησε πόρνης· καὶ τί ποιεῖ; Οὐκ ἀνάγει αὐτὴν ἄνω· οὐ γὰρ ἐβούλετο πόρνην εἰς τὸν οὐρανὸν ἀγαγεῖν, ἀλλὰ καταβαίνει αὐτὸς κάτω. Ἐπειδὴ αὐτὴ οὐκ ἠδύνατο ἀναβῆναι ἄνω, αὐτὸς κατέβη κάτω. Πρὸς τὴν πόρνην ἔρχεται καὶ οὐκ αἰσχύνεται· ἔρχεται εἰς τὴν καλύβην αὐτῆς. Ὁρᾷ αὐτὴν μεθύουσαν. Καὶ πῶς ἔρχεται; Οὐ γυμνῇ τῇ οὐσίᾳ, ἀλλὰ γίνεται, ὅπερ ἦν ἡ πόρνη, οὐ*

κάμω γνωστὸ τὸ φῶς δὲν ἔχω ἄλλο ἄστρο μεγαλύτερο, δὲν ἔχω ἄλλη εἰκόνα ποὺ βασιλεύει στὰ ἄστρα. Τὰ εἶπα αὐτὰ γιὰ νὰ μὴ μείνεις στὴν ἀσήμαντη ἀξία τῆς λέξης. Σοῦ ἔδειξα τὸ πέσιμο τῶν μαθητῶν. Ἔπεσαν κάτω καὶ ζαλίστηκαν καὶ κάλυπταν τὸ πρόσωπό τους. «Σηκωθεῖτε», λέγει, καὶ τοὺς σήκωσε καὶ ἦταν ζαλισμένοι. Γιατὶ δὲν ἄντεχαν τὴν ὑπερβολικὴ λάμψη, ἀλλὰ νάρκη ἔπιασε τὰ μάτια τους. Ἔτσι τὸ φῶς ποὺ φαινόταν ἦταν πιὸ πολὺ ἀπὸ τὸν ἥλιο. Εἶπε ὅμως ὁ εὐαγγελιστής, «ὅπως ὁ ἥλιος», ἐπειδὴ τὸ ἄστρο αὐτὸ μᾶς εἶναι γνωστὸ καὶ ξεπερνάει ὅλα τὰ ὑπόλοιπα ἄστρα.

Ἀλλ' ὅμως, ὅπως ἔλεγα προηγουμένως, ὁ τόσο ὑψηλὸς καὶ τόσο μεγάλος ἐπιθύμησε πόρνη. Πόρνη ἐπιθύμησε ὁ Θεός; Ναί, πόρνη· ἐννοῶ τὴ δική μας φύση. Πόρνη ἐπιθυμοῦσε ὁ Θεός; Καὶ ὁ ἄνθρωπος βέβαια, ἂν ἐπιθυμήσει πόρνη, καταδικάζεται, ὁ Θεὸς ὅμως ἐπιθυμεῖ πόρνη; Καὶ πάρα πολύ. Ὁ ἄνθρωπος ἐξάλλου ἐπιθυμεῖ τὴν πόρνη γιὰ νὰ γίνει πόρνος, ἐνῶ ὁ Θεὸς ἐπιθυμεῖ πόρνη, γιὰ νὰ τὴν καταστήσει παρθένο. Ὥστε ἡ ἐπιθυμία τοῦ ἀνθρώπου εἶναι καταστροφὴ γι' αὐτὴν ποὺ ἐπιθυμεῖ, ἐνῶ ἡ ἐπιθυμία τοῦ Θεοῦ εἶναι σωτηρία γ' αὐτὴν ποὺ ἐπιθυμεῖ. Ὁ τόσο ὑψηλὸς καὶ τόσο μεγάλος ἐπιθύμησε τὴν πόρνη; Καὶ γιατί; Γιὰ νὰ γίνει νυμφίος. Τί κάνει; Δὲ στέλνει σ' αὐτὴν κανένα δοῦλο, δὲ στέλνει τὸν ἄγγελο στὴν πόρνη, δὲ στέλνει ἀρχάγγελο, δὲ στέλνει τὰ χερουβίμ, δὲ στέλνει τὰ σεραφίμ, ἀλλ' ἔρχεται ὁ ἴδιος ἐκεῖνος ποὺ τὴν ἐρωτεύεται. Ὅταν πάλι ἀκούσεις ἔρωτα, μὴ θεωρεῖς τὸ σωματικό. Ξεχώριζε τὰ νοήματα ἀπὸ τὶς λέξεις, ὅπως ἡ πολὺ καλὴ μέλισσα ποὺ πετάει στὰ ἄνθη καὶ παίρνει τὸ κερί, ἐνῶ ἀφήνει τὰ χορτάρια.

Ἐπεθύμησε τὴν πόρνη· καὶ τί κάνει; Δὲν τὴν ἀνεβάζει ψηλά, γιατὶ δὲν ἤθελε νὰ φέρει τὴν πόρνη στὸν οὐρανό, ἀλλὰ κατεβαίνει αὐτὸς κάτω. Ἔρχεται πρὸς τὴν πόρνη καὶ δὲν ντρέπεται· ἔρχεται στὴν καλύβα της. Τὴ βλέπει νὰ μεθάει. Καὶ πῶς ἔρχεται; Ὄχι μὲ γυμνὴ τὴν οὐσία, ἀλλὰ γίνεται, αὐτὸ ποὺ ἦταν ἡ πόρνη, ὄχι στὴ διάθεση, ἀλλὰ στὴ φύση γίνεται αὐτό, γιὰ νὰ

τῇ γνώμῃ ἀλλὰ τῇ φύσει γίνεται τοῦτο ἵνα μὴ ἰδοῦσα αὐτὸν πτοηθῇ, ἵνα μὴ ἀποπηδήσῃ, ἵνα μὴ φύγῃ. Ἔρχεται πρὸς τὴν πόρνην, καὶ γίνεται ἄνθρωπος. Καὶ πῶς γίνεται; Εἰς μήτραν κυοφορεῖται, αὔξεται κατὰ μικρὸν καὶ ἔρχεται τὴν ὁδὸν τῆς ἡλικίας τῆς ἐμῆς. Τίς; Ἡ οἰκονομία, οὐχ ἡ θεότης· ἡ τοῦ δούλου μορφή, οὐχ ἡ τοῦ Δεσπότου· ἡ σὰρξ ἡ ἐμή, οὐχ ἡ οὐσία ἐκείνου· αὔξεται κατὰ μικρόν, καὶ μίγνυται ἀνθρώποις· καίτοι εὑρίσκει αὐτὴ ἑλκῶν γέμουσαν, ἐκτεθηριωμένην, ὑπὸ δαιμόνων πεφορτισμένην· καὶ τί ποιεῖ; Προσέρχεται αὐτῇ. Εἶδεν ἐκείνη καὶ ἔφυγε.

Καλεῖ μάγους. Τί φοβεῖσθε; Οὔκ εἰμι κριτής, ἀλλ' ἰατρός· «οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον». Καλεῖ εὐθέως μάγους. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων. Αἱ ἀπαρχαὶ εὐθέως μάγοι. Κεῖται ἐν φάτνῃ ὁ τὴν οἰκουμένην βαστάζων, καὶ ἐσπαργάνωται ὁ πάντα περιέπων. Κεῖται ὁ ναός, καὶ ἐνοικεῖ ὁ Θεός. Καὶ ἔρχονται μάγοι, καὶ προσκυνοῦσιν εὐθέως· ἔρχεται τελώνης καὶ γίνεται εὐαγγελιστής· ἔρχεται πόρνη καὶ γίνεται παρθένος· ἔρχεται Χαναναία καὶ ἀπολαύει φιλανθρωπίας. Τοῦτο ἐρῶντος τὸ μὴ ἀπαιτῆσαι εὐθύνας ἁμαρτημάτων, ἀλλὰ συγχωρῆσαι παρανομήματα πλημμελημάτων. Καὶ τί ποιεῖ; Λαμβάνει αὐτήν, ἁρμόζεται αὐτήν. Καὶ τί αὐτῇ δίδωσι; Δακτύλιον. Ποῖον; Τὸ Πνεῦμα τὸ ἅγιον. Λέγει Παῦλος· «ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν Θεός, ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος». Πνεῦμα αὐτῇ δίδωσιν.

Εἶτά φησιν· οὐκ εἰς παράδεισόν σε ἐφύτευσα; Λέγει, ναί. Καὶ πῶς ἐξέπεσες ἐκεῖθεν; Ἦλθεν ὁ διάβολος καὶ ἔλαβέ με ἀπὸ τοῦ παραδείσου. Ἐφυτεύθης ἐν τῷ παραδείσῳ καὶ ἔβαλέ σε ἔξω· ἰδοὺ φυτεύω σε ἐν ἐμαυτῷ, ἐγὼ σε βαστάζω. Πῶς; Οὐ τολμᾷ ἐμοὶ προσελθεῖν. Οὐδὲ εἰς τὸν οὐρανόν σε ἀνάγω· ἀλλὰ μεῖζον ἐνταῦθα τοῦ οὐρανοῦ· ἐν ἐμαυτῷ τῷ Δεσπότῃ τοῦ οὐρα-

20. Ἰω. 12,47.

μὴν τὸν δεῖ καὶ τρομάξει, γιὰ νὰ μὴν ἀπομακρυνθεῖ, γιὰ νὰ μὴ φύγει. Ἔρχεται πρὸς τὴν πόρνη καὶ γίνεται ἄνθρωπος. Καὶ πῶς γίνεται; Σὲ μήτρα κυοφορεῖτε, μεγαλώνει σιγὰ –σιγά, καὶ βαδίζει τὸ δρόμο τῆς δικῆς μας ἡλικίας. Ποιός; Ἡ οἰκονομία, ὄχι ἡ θεότητα· ἡ μορφὴ τοῦ δούλου, ὄχι ἡ μορφὴ τοῦ Κυρίου· ἡ σάρκα ἡ δική μας, ὄχι ἡ δική του οὐσία. Μεγαλώνει σιγὰ – σιγὰ καὶ συναναστρέφεται μὲ τοὺς ἀνθρώπους. Ὅμως τὴ βρίσκει γεμάτη πληγές, ἐξαγριωμένη, φορτωμένη ἀπὸ δαίμονες· καὶ τί κάνει; Τὴν πλησιάζει. Ἐκείνη εἶδε καὶ ἔφυγε.

Καλεῖ μάγους. Τί φοβάστε; Δὲν εἶμαι κριτής, ἀλλὰ ἰατρός. «Δὲν ἦρθα γιὰ νὰ κρίνω τὸν κόσμο, ἀλλὰ γιὰ νὰ σώσω τὸν κόσμο»[20]. Καλεῖ ἀμέσως μάγους. Πὼ πὼ καινούργια καὶ παράδοξα πράγματα! Οἱ ἀπαρχὲς ἀμέσως εἶναι μάγοι. Βρίσκεται σὲ φάτνη αὐτὸς ποὺ βαστάζει τὴν οἰκουμένη καὶ εἶναι στὰ σπάργανα αὐτὸς ποὺ φροντίζει γιὰ ὅλα. Εἶναι ξαπλωμένος ὁ ναὸς καὶ κατοικεῖ μέσα του ὁ Θεός. Καὶ ἔρχονται οἱ μάγοι καὶ τὸν προσκυνοῦν ἀμέσως· ἔρχεται ὁ τελώνης καὶ γίνεται εὐαγγελιστής· ἔρχεται ἡ πόρνη καὶ γίνεται παρθένος· ἔρχεται ἡ Χαναναία καὶ ἀπολαμβάνει τὴ φιλανθρωπία του. Αὐτὸ εἶναι γνώρισμα τοῦ ἐραστῆ, τὸ νὰ μὴν ἀπαιτήσει εὐθύνες γιὰ τὰ ἁμαρτήματα, ἀλλὰ νὰ συγχωρήσει τὰ παράνομα σφάλματα. Καὶ τί κάνει; Τὴν παίρνει, τὴν ἀρραβωνιάζεται. Καὶ τί δίνει σ' αὐτή; Δαχτυλίδι. Ποιό; Τὸ Πνεῦμα τὸ ἅγιο. Λέγει ὁ Παῦλος· «ἐκεῖνος ὅμως ποὺ μᾶς στερεώνει μαζὶ μὲ σᾶς εἶναι ὁ Θεός, ὁ ὁποῖος καὶ μᾶς σφράγισε καὶ μᾶς ἔδωσε τὸν ἀρραβώνα τοῦ Πνεύματος»[21]. Πνεῦμα δίνει σ' αὐτήν.

Ἔπειτα λέγει· δὲ σὲ φύτεψα σὲ παράδεισο; Ἀπαντάει, ναί. Καὶ πῶς ἐξέπεσες ἀπὸ ἐκεῖ; Ἦρθε ὁ διάβολος καὶ μὲ πῆρε ἀπὸ τὸν παράδεισο. Φυτεύθηκες στὸν παράδεισο καὶ σὲ ἔβαλε ἔξω· νά, σὲ φυτεύω μέσα μου, ἐγὼ σὲ βαστάζω. Πῶς; Δὲν τολμάει νὰ μὲ πλησιάσει. Οὔτε στὸν οὐρανὸ σὲ ἀνεβάζω, ἀλλὰ ἐδῶ εἶναι ἀνώτερα ἀπὸ τὸν οὐρανό· σὲ βαστάζω μέσα μου ἐγὼ ὁ Κύριος τοῦ οὐρανοῦ. Ὁ ποιμένας βαστάζει καὶ ὁ λύκος δὲν ἔρ-

21. Β' Κορ. 1,21–22.

*νοῦ βαστάζω σε. Ποιμὴν βαστάζει καὶ ὁ λύκος οὐκέτι ἔρχεται· μᾶλλον δὲ ἀφῶ αὐτὸν καὶ προσελθεῖν. Καὶ βαστάζει τὴν ἡμετέραν φύσιν· καὶ προσέρχεται ὁ διάβολος καὶ ἡττᾶται. Ἐφύτευσά σε ἐν ἐμαυτῷ. Διὰ τοῦτο λέγει «ἐγὼ ἡ ρίζα, ὑμεῖς τὰ κλήματα»· καὶ ἐφύτευσεν αὐτὴν ἐν ἑαυτῷ. Καὶ τί λοιπόν; Ἀλλὰ ἁμαρτωλός εἰμι, φησί, καὶ ἀκάθαρτος. Μή σοι μελέτω, ἰατρός εἰμι. Οἶδα τὸ σκεῦος τὸ ἐμόν, οἶδα πῶς διεστράφη. Πήλινον ἦν πρὸ τούτου καὶ διεστράφη. Ἀναπλάττω αὐτὸ διὰ λουτροῦ παλιγγενεσίας καὶ παραδίδωμι αὐτὸ τῷ πυρί.*

*Ὅρα γάρ· ἔλαβε χοῦν ἀπὸ τῆς γῆς καὶ ἐποίησε τὸν ἄνθρωπον· ἔπλασε αὐτόν. Ἦλθεν ὁ διάβολος, διέστρεψεν αὐτόν. Ἦλθεν αὐτός, ἔλαβε πάλιν, ἀνεφύρασεν αὐτόν, ἀνεχώνευσεν αὐτὸν ἐν τῷ βαπτίσματι, ἀλλ' οὐκ ἀφῆκεν αὐτῷ πήλινον εἶναι τὸ σῶμα, ἀλλ' ἐποίησεν αὐτὸ ὀστράκινον. Παρέδωκε τὸν πηλὸν τῷ πυρὶ τοῦ Πνεύματος· «αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί»· ἐν ὕδατι, ἵνα ἀναπλασθῇ· ἐν πυρί, ἵνα στερεωθῇ. Διὰ τοῦτο ὁ προφήτης ἄνωθεν προαγορεύων ἔλεγεν «ὡς σκεύη ὀστράκινα, ἃ ἕκαστος κέκτηται· ἔστι γὰρ σκεύη κεραμέως ἐκεῖνα, ἃ ἐργάζεται ὁ κεραμεὺς ἐν τῷ τροχῷ· ἀλλὰ τὰ σκεύη τοῦ κεραμέως πήλινα, τὰ δὲ ἡμέτερα ὀστράκινα. Προαναφωνῶν οὖν τὴν διὰ τοῦ βαπτίσματος ἀναχώνευσιν, «ὡς σκεύη», φησί, «κεραμέως συντρίψεις αὐτούς». Ἀναπλάττει, λέγει, καὶ χωνεύει. Καταβαίνω εἰς τὸ βάπτισμα καὶ ἀναπλάττεταί μου τὸ σχῆμα καὶ ἀναχωνεύει τοῦ Πνεύματος τὸ πῦρ, καὶ γίνεται ὀστράκινον.*

*Ὅτι δὲ οὐ κόμπος τὰ ρήματα, ἄκουσον τοῦ Ἰώβ· «ἐποίησε δὲ ἡμᾶς πηλόν»· ὁ δὲ Παῦλος, «ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν». Ἀλλὰ βλέπε ὀστράκου ἰσχύν. Οὐ γὰρ πυρὶ ὤπτηται, ἀλλὰ Πνεύματι. Πῶς ὀστράκινον; «Πεν-*

22. Ἰω. 15,5.
23. Ματθ. 3,11.

χεται πιά, ἢ καλύτερα θὰ τὸν ἀφήσω νὰ πλησιάσει. Καὶ βαστάζει τὴ δική μας φύση, πλησιάζει ὁ διάβολος καὶ νικιέται. Σὲ φύτεψα μέσα μου. Γι' αὐτὸ λέγει, «ἐγὼ εἶμαι ἡ ρίζα, ἐσεῖς τὰ κλήματα»[22], καὶ φύτεψε αὐτὴν μέσα του. Καὶ τί λοιπόν; Εἶμαι ὅμως ἁμαρτωλός, λέγει, καὶ ἀκάθαρτος. Μὴ σὲ μέλει, ἰατρὸς εἶμαι. Ξέρω τὸ δικό μου σκεῦος, ξέρω πῶς καταστράφηκε. Πήλινο ἦταν πρὶν ἀπ' αὐτό, καὶ καταστράφηκε. Τὸ πλάθω πάλι ἀπὸ τὴν ἀρχὴ μὲ τὸ λουτρὸ τῆς ἀναγέννησης καὶ τὸ παραδίνω στὴ φωτιά.

Πρόσεχε λοιπόν· ἔλαβε χῶμα ἀπὸ τὴ γῆ καὶ ἔκαμε τὸν ἄνθρωπο· τὸν ἔπλασε. Ἦρθε ὁ διάβολος, τὸν κατέστρεψε. Ἦρθε αὐτός, τὸν πῆρε πάλι, τὸν ξαναζύμωσε, τὸν ξαναχώνευσε στὸ βάπτισμα, ἀλλὰ δὲν ἄφησε νὰ εἶναι τὸ σῶμα του πήλινο, ἀλλὰ τὸ ἔκαμε ὀστράκινο. Παρέδωσε τὸν πηλὸ στὴ φωτιὰ τοῦ Πνεύματος. «Αὐτὸς θὰ σᾶς βαπτίσει σὲ Πνεῦμα ἅγιο καὶ σὲ φωτιά»[23]· σὲ νερὸ γιὰ νὰ πλασθεῖ πάλι, σὲ φωτιὰ γιὰ νὰ στερεωθεῖ. Γι' αὐτὸ ὁ προφήτης ἀπὸ τὴν ἀρχὴ προφητεύοντας ἔλεγε, «σὰν σκεύη ἀγγειοπλάστη θὰ τοὺς συντρίψεις»[24]. Δὲν εἶπε, 'σὰν σκεύη ὀστράκινα', ποὺ ὁ καθένας τὰ ἔχει, γιατὶ σκεύη ἀγγειοπλάστη εἶναι ἐκεῖνα ποὺ ὁ ἀγγειοπλάστης κατασκευάζει στὸν τροχό. Ἀλλὰ τὰ σκεύη τοῦ ἀγγειοπλάστη εἶναι πήλινα, ἐνῶ τὰ δικά μας ὀστράκινα. Προαναγγέλοντας λοιπὸν τὴν ξαναχώνευση μὲ τὸ βάπτισμα λέγει, «σὰν σκεύη ἀγγειοπλάστη θὰ τοὺς συντρίψεις». Ξαναπλάθει, λέγει, καὶ χωνεύει. Βυθίζομαι στὸ βάπτισμα, καὶ ξαναπλάθεται τὸ σῶμα μου, καὶ τὸ ξαναχωνεύει ἡ φωτιὰ τοῦ Πνεύματος καὶ γίνεται ὀστράκινο.

Καὶ ὅτι δὲν εἶναι κομπορρημοσύνη τὰ λόγια αὐτά, ἄκουσε τὸν Ἰώβ· «μᾶς ἔκαμες ἀπὸ πηλό»[25]. Καὶ ὁ Παῦλος· «ἔχουμε τὸ θησαυρὸ αὐτὸν μέσα σὲ ὀστράκινα σκεύη»[26]. Ἀλλὰ βλέπε τὴ δύναμη τοῦ ὄστρακου. Γιατὶ δὲν ψήνεται στὴ φωτιά, ἀλλὰ στὸ Πνεῦμα. Πῶς εἶναι ὀστράκινο; «Πέντε φορὲς μὲ κτύπησαν ἀπὸ

24. Ψαλμ. 2,9.
25. Ἰὼβ 10,9.
26. Β' Κορ. 4,7.

*τάκις τεσσαράκοντα παρὰ μία ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην», καὶ τὸ ὀστράκινον σκεῦος οὐ κατεκλάσθη. «Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα». Ἐν τῷ βυθῷ πεποίηκεν, καὶ τὸ ὀστράκινον οὐ διελύθη. Ἐναυάγησε καὶ ὁ θησαυρὸς οὐκ ἀπώλετο. Τὸ πλοῖον ὑποβρύχιον καὶ ὁ φόρτος ἔπλευσεν. «Ἔχοντες δὲ τὸν θησαυρόν». Ποῖον θησαυρόν; Πνεύματος χορηγίαν, δικαιοσύνην, ἁγιασμόν, ἀπολύτρωσιν. Ποῖον; Εἰπέ μοι. «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἔγειραι καὶ περιπάτει. Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός. Σοὶ λέγω, τὸ πονηρὸν πνεῦμα ἄπελθε ἀπ' αὐτοῦ».*

*12. Εἶδες θησαυρὸν βασιλικῶν θησαυρῶν λαμπρότερον; Τί γὰρ τοιοῦτον δύναται ποιήσειν μαργαρίτης βασιλέως, οἷον ῥήματα ἀποστόλου; Ἐπίθες μυρία διαδήματα νεκρῶν καὶ οὐκ ἐγείρεται, ἓν δὲ ῥῆμα ἐξῆλθεν ἀποστόλου καὶ στασιάζουσαν τὴν φύσιν ἐπανήγαγε καὶ πρὸς τὸ ἀρχαῖον ἀποκατέστησεν. «Ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον». Ὢ θησαυρὸς οὐ τηρούμενος μόνον, ἀλλὰ καὶ τηρῶν τὸν οἶκον, ἔνθα ἀπόκειται. Συνῆκας τί εἶπον; Οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες, ὅταν ἔχωσι θησαυρούς, μεγάλους οἴκους κατασκευάζουσιν, οἷον τοίχους, μοχλούς, θύρας, φύλακας, κλεῖθρα, ἵνα τηρηθῇ ὁ θησαυρός· ὁ Χριστὸς δὲ τοὐναντίον ἐποίησεν· οὐκ ἐν λιθίνῳ, ἀλλ' ἐν ὀστρακίνῳ σκεύει τὸν θησαυρὸν ἔθηκεν. Εἰ μέγας ὁ θησαυρός, διὰ τί τὸ σκεῦος ἀσθενές; Ἀλλὰ μὴν διὰ τοῦτο ἀσθενὲς τὸ σκεῦος, ἐπειδὴ μέγας ὁ θησαυρός· οὐ γὰρ τηρεῖται ὑπὸ τοῦ σκεύους, ἀλλ' αὐτὸς τηρεῖ τὸ σκεῦος.*

*Τίθημι ἐγὼ τὸν θησαυρόν, τίς δύναται λοιπὸν κλέψαι; Ἦλθεν ὁ διάβολος, ἦλθεν ἡ οἰκουμένη, ἦλθον μυρίοι, καὶ τὸν θησαυρὸν οὐκ ἔκλεψαν. Ἐμαστίχθη, καὶ ὁ θησαυρὸς οὐ προεδόθη. Κατεποντίσθη εἰς θάλασσαν καὶ ναυάγιον οὐκ ἐποίησεν. Ἀπέθανε καὶ ὁ θησαυρὸς μένει. Ἔδωκε τοίνυν τὸν ἀρραβῶνα.*

27. Β' Κορ. 11,24–25.

σαράντα παρὰ μία μαστιγώσεις, τρεῖς φορὲς μὲ ράβδισαν, μιὰ φορὰ μὲ λιθοβόλησαν»[27], καὶ τὸ ὀστράκινο αὐτὸ σκεῦος δὲν ἔσπασε. «Ἕνα εἰκοσιτετράωρο ἔμεινα στὸ βυθό». Ἔμεινε στὸ βυθό, καὶ τὸ ὀστράκινο σῶμα δὲ διαλύθηκε. Ναυάγησε, καὶ ὁ θησαυρὸς δὲ χάθηκε. Τὸ πλοῖο βυθίστηκε καὶ τὸ φορτίο ἐπέπλευσε. «Ἔχουμε τὸ θησαυρό». Ποιό θησαυρό; Τὴ χορηγία τοῦ Πνεύματος, τὴ δικαιοσύνη, τὸν ἁγιασμό, τὴν ἀπολύτρωση. Ποιόν; πές μου. «Στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, σήκω καὶ περπάτησε. Αἰνέα, σὲ θεραπεύει ὁ Ἰησοῦς Χριστός. Σὲ σένα λέγω, τὸ πονηρὸ πνεῦμα, φύγε ἀπ' αὐτόν»[28].

12. Εἶδες θησαυρὸ λαμπρότερο ἀπὸ τοὺς βασιλικοὺς θησαυρούς; Γιατὶ τί μπορεῖ νὰ κάνει τέτοιο τὸ μαργαριτάρι τοῦ βασιλιᾶ, ὅπως τὰ λόγια τοῦ Ἀποστόλου; Βάλε πάνω στοὺς νεκροὺς ἄπειρα διαδήματα, καὶ δὲν ἀνασταίνεταιι κανείς, ἕνας ὅμως λόγος βγῆκε ἀπὸ τὸ στόμα τοῦ ἀποστόλου καὶ ἐπανέφερε τὴν ἐπαναστατημένη φύση καὶ τὴν ἀποκατέστησε στὴν παλαιά της τάξη. «Ἔχοντας ὅμως τὸ θησαυρὸ αὐτόν». Πώ–πὼ θησαυρός, ποὺ δὲ φυλάγεται μόνο, ἀλλὰ καὶ ποὺ φυλάσσει τὸ σπίτι στὸ ὁποῖο ἔχει τοποθετηθεῖ! Κατάλαβες τί εἶπα; Οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες ὅταν ἔχουν θησαυροὺς κατασκευάζουν μεγάλα οἰκοδομήματα, ὅπως τοίχους, μοχλούς, θύρες, φύλακες, κλειδαριές, γιὰ νὰ φυλαχθεῖ ὁ θησαυρός· ὁ Χριστὸς ὅμως ἔκαμε τὸ ἀντίθετο· ἔβαλε τὸ θησαυρὸ ὄχι σὲ λίθινο, ἀλλὰ σὲ ὀστράκινο σκεῦος. Ἂν ὁ θησαυρὸς εἶναι μεγάλος, γιατί τὸ σκεῦος εἶναι ἀδύνατο; Ἀλλὰ γι' αὐτὸ ἀκριβῶς εἶναι ἀδύνατο τὸ σκεῦος, ἐπειδὴ μεγάλος εἶναι ὁ θησαυρός· γιατὶ δὲ φυλάσσεται ἀπὸ τὸ σκεῦος, ἀλλὰ αὐτὸς φυλάσσει τὸ σκεῦος.

Θέτω ἐγὼ τὸ θησαυρό, καὶ ποιός μπορεῖ νὰ τὸν κλέψει πλέον; Ἦρθε ὁ διάβολος, ἦρθε ἡ οἰκουμένη, ἦρθαν ἄπειροι, καὶ τὸ θησαυρὸ δὲν τὸν ἔκλεψαν. Μαστιγώθηκε, καὶ ὁ θησαυρὸς δὲν προδόθηκε. Καταποντίσθηκε στὴ θάλασσα, καὶ δὲ ναυάγησε. Πέθανε, καὶ ὁ θησαυρὸς μένει. Ἔδωσε λοιπὸν τὸν ἀρραβώνα. Ποῦ εἶναι αὐτοὶ ποὺ βλασφημοῦν τὴν ἀξία τοῦ

28. Πράξ. 3,6 . 9,34 . 16,18.

*Ποῦ εἰσιν οἱ τοῦ Πνεύματος τὴν ἀξίαν βλασφημοῦντες; Προσέχετε. «Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν Θεός, ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος». Ἴστε πάντες ὑμεῖς, ὅτι ὁ ἀρραβὼν μέρος ἐστὶ μικρὸν τοῦ παντός· ὅπως ἄκουε. Ἀπέρχεταί τις ἀγοράσαι οἰκίαν πολλῆς τιμῆς καὶ λέγει· δός μοι ἀρραβῶνα, ἵνα θαρρῶ. Ἀπέρχεταί τις γυναῖκα ἀγαγέσθαι, προῖκα συντίθησι καὶ πράγματα καὶ λέγει· δός μοι ἀρραβῶηνα. Πρόσχες· καὶ ἐν πράσει δούλου ἀρραβών, καὶ ἐν πᾶσι τοῖς συναλλάγμασιν ἀρραβών.*

*Ἐπεὶ οὖν ὁ Χριστὸς συνάλλαγμα μεθ' ἡμῶν ἐποίει (καὶ γὰρ ὡς νύμφην με ἔμελλε λαμβάνειν) καὶ προῖκά μοι γράφει, οὐ χρημάτων, ἀλλ' αἵματος. Προῖκα δέ μοι ταύτην γράφει τῶν ἀγαθῶν τὴν ἀντίδοσιν «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Ἔγραψε τοίνυν εἰς τὴν προῖκα ἀθανασίαν, αἶνον μετὰ ἀγγέλων, ἀπαλλαγὴν θανάτου, ἐλευθερίαν ἁμαρτίας, κληρονομίαν βασιλείας (πολὺς ὁ πλοῦτος), δικαιοσύνην, ἁγιασμόν, ἀπαλλαγὴν τῶν παρόντων, εὕρεσιν τῶν μελλόντων. Μεγάλη μοι ἦν ἡ προῖξ. Πρόσχες μετὰ ἀκριβείας· βλέπε τί ποιεῖ. Ἦλθε λαβεῖν τὴν πόρνην, λέγω γὰρ αὐτήν, ὡς ἦν ἀκάθαρτος, ἵνα μάθῃς τοῦ νυμφίου τὸν ἔρωτα. Ἦλθεν, ἔλαβέ με, γράφει μοι προῖκα. Λέγει· δίδωμί σοι πλοῦτος τὸν ἐμόν. Πῶς; Ἀπώλεσας, λέγει, παράδεισον; Λάβε αὐτόν. Ἀπώλεσας, λέγει τὸ εὐειδές; Λάβε αὐτό. Λάβε ταῦτα πάντα. Ἀλλ' ἡ προῖξ μου οὐκ ἐδόθη μοι ὧδε.*

*13. Πρόσεχε, διὰ τοῦτο εἰς τὴν προῖκα ταύτην προλέγει· ἔγραψέ μοι ἐν τῇ προικὶ ἀνάστασιν σωμάτων, ἀφθαρσίαν. Οὐ γὰρ ἀκολουθεῖ πάντως τῇ ἀναστάσει ἡ ἀφθαρσία, ἀλλὰ δύο ἦν ταῦτα. Καὶ γὰρ πολλοὶ ἀνέστησαν, καὶ πάλιν ἔπεσον, ὥσπερ ὁ Λάζαρος καὶ τὰ σώματα τῶν ἁγίων. Ἀλλ' οὗτος οὐχ οὕτως, ἀλλ' ἀνάστασιν, ἀφθαρσίαν, τὴν μετὰ ἀγγέλων χορείαν, τὴν τοῦ*

---

29. Β' Κορ. 1,21–22.

Πνεύματος; Προσέχετε. «Ἐκεῖνος ποὺ μᾶς στερεώνει μαζὶ μὲ σᾶς στὸ Χριστὸ εἶναι ὁ Θεός, ὁ ὁποῖος καὶ μᾶς ἔδωσε τὸν ἀρραβώνα τοῦ Πνεύματος»[29]. Γνωρίζετε ὅλοι ἐσεῖς ὅτι ὁ ἀρραβώνας εἶναι ἕνα μικρὸ μέρος τοῦ ὅλου· μὲ ποιὸ τρόπο ἄκου. Πηγαίνει κάποιος ν' ἀγοράσει ἕνα σπίτι μεγάλης ἀξίας καὶ λέγει· δός μου ἀρραβώνα γιὰ νὰ ἔχω ἐμπιστοσύνη. Πηγαίνει κάποιος νὰ πάρει γυναίκα, συμφωνεῖ τὴν προίκα καὶ τὰ πράγματα, καὶ λέγει· δός μου ἀρραβώνα. Πρόσεξε· καὶ στὴν ἀγορὰ δούλου ὑπάρχει ἀρραβώνας, καὶ σὲ ὅλες τὶς συναλλαγὲς ὑπάρχει ἀρραβώνας.

Ἐπειδὴ λοιπὸν ὁ Χριστὸς ἔκανε συναλλαγὴ μαζί μας (καθόσον ἐπρόκειτο νὰ μὲ πάρει σὰν νύμφη), μοῦ γράφει καὶ προίκα, ὄχι χρήματα, ἀλλὰ αἷμα. Μοῦ γράφει αὐτὴν τὴν προίκα, τὴν ἀνταπόδοση τῶν ἀγαθῶν, «τὰ ὁποῖα μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ νοῦς ἀνθρώπου δὲ συνέλαβε»[30]. Ἔγραψε λοιπὸν στὴν προίκα τὴν ἀθανασία, τὸν ὕμνο μαζὶ μὲ τοὺς ἀγγέλους, τὴν ἀπαλλαγὴ ἀπὸ τὸ θάνατο, τὴν ἐλευθερία ἀπὸ τὴν ἁμαρτία, τὴν κληρονομία τῆς βασιλείας (εἶναι μεγάλος ὁ πλοῦτος), τὴ δικαιοσύνη, τὸν ἁγιασμό, τὴν ἀπαλλαγὴ ἀπὸ τὰ παρόντα ἀγαθά, τὴν ἀνεύρεση τῶν μελλοντικῶν. Ἦταν μεγάλη γιὰ μένα ἡ προίκα. Πρόσεξε καλά· βλέπε τί κάνει. Ἦρθε νὰ πάρει τὴν πόρνη, καὶ τὴ λέγω ἔτσι ἐπειδὴ ἦταν ἀκάθαρτη, γιὰ νὰ μάθεις τὸν ἔρωτα τοῦ νυμφίου. Ἦρθε, μὲ πῆρε, μοῦ γράφει προίκα. Λέγει· σοῦ δίνω τὸ δικό μου πλοῦτο. Πῶς; Ἔχασες, λέγει, τὸν παράδεισο; πάρε τον. Ἔχασες, λέγει, τὴν ὀμορφιά σου; πάρε την. Πάρε ὅλα αὐτά. Ἀλλὰ ἡ προίκα μου δὲ μοῦ δόθηκε ἐδῶ.

13. Πρόσεχε, γι' αὐτὸ προλέγει στὴν προίκα αὐτή. Μοῦ ἔγραψε στὴν προίκα τὴν ἀνάσταση τῶν σωμάτων, τὴν ἀφθαρσία. Γιατὶ δὲν ἀκολουθεῖ ὁπωσδήποτε στὴν ἀνάσταση ἡ ἀφθαρσία, ἀλλ' αὐτὰ εἶναι δύο πράγματα. Γιατὶ βέβαια πολλοὶ ἀναστήθηκαν, ἀλλὰ πάλι πέθαιναν, ὅπως ὁ Λάζαρος καὶ τὰ σώματα τῶν ἁγίων. Ὁ Χριστὸς ὅμως ὄχι ἔτσι, ἀλλ' ἔγραψε τὴν ἀνάσταση, τὴν ἀφθαρσία, τὴν κατάταξη μαζὶ μὲ τὸ χορὸ τῶν ἀγγέλων, τὴ

30. Α' Κορ. 2,9.

*Υἱοῦ ἀπάντησιν ἐν νεφέλαις καὶ τὸ «οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα», τὴν ἀπαλλαγὴν τοῦ θανάτου, τὴν ἐλευθερίαν τῆς ἁμαρτίας, τὸν καταποντισμὸν τῆς τελευτῆς. Ποῖον ἐκεῖνον; «Ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Ἀγαθά μοι δίδως, ἃ οὐκ οἶδα; Λέγει, ναί· ὧδε ἁρμόζω, ὧδέ με φίλει. Εἰς τί οὐ δίδως μοι τὴν προῖκα ὧδε; Ὅταν ἔλθῃς πρὸς τὸν Πατέρα μου, ὅταν ἔλθῃς εἰς τὰς βασιλικὰς αὐλάς. Ἐγὼ πρὸς σὲ ἦλθον, μὴ γὰρ σὺ πρὸς μέ; Ἦλθον οὐχ ἵνα μείνῃς, ἀλλ' ἵνα λάβω σε καὶ ἀνέλθω. Μὴ ζήτει ὧδε τὴν προῖκα· πάντα ἐν ἐλπίδι, πάντα ἐν πίστει. Καὶ οὐδέν μοι δίδως ἐνταῦθα; Λέγει· λάβε ἀρραβῶνα, ἵνα μοι πιστεύσῃς περὶ τοῦ μέλλοντος· λάβε ὑπόβολα, λάβε καὶ μνῆστρα. Διὰ τοῦτο Παῦλος λέγει, «ἡρμοσάμην γὰρ ὑμᾶς».*

*Ὡς μνῆστρα ἔδωκεν ἡμῖν τὰ παρόντα ὁ Θεός· μνῆστρά ἐστι τὰ παρόντα, ἀρραβών ἐστιν· ἡ προῖξ ὅλη ἐκεῖ μένει. Πῶς; Ἐγὼ λέγω· ὧδε γηρῶ, ἐκεῖ οὐ γηρῶ· ὧδε θνήσκω, ἐκεῖ οὐ θνήσκω· ὧδε λυποῦμαι, ἐκεῖ οὐ λυποῦμαι· ὧδε πενία, καὶ νόσος, καὶ ἐπιβουλαί, ἐκεῖ οὐδὲν τοιοῦτον· ὧδε σκότος, καὶ φῶς, ἐκεῖ φῶς μόνον· ὧδε ἐπιβουλή, ἐκεῖ ἐλευθερία· ὧδε νόσος, ἐκεῖ ὑγίεια· ὧδε ζωὴ ἔχουσα τέλος, ἐκεῖ ζωὴ οὐκ ἔχουσα τέλος· ὧδε ἁμαρτία, ἐκεῖ δικαιοσύνη, ἁμαρτία δὲ οὐδαμοῦ· ὧδε φθόνος, ἐκεῖ οὐδὲν τοιοῦτον. Δός μοι, φησίν, ταῦτα. Ἀνάμενε, ἵνα καὶ οἱ σύνδουλοί σου σωθῶσιν, ἀνάμενε. «Ὁ βεβαιῶν ἡμᾶς καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα». Ποῖον ἀρραβῶνα; Τὸ Πνεῦμα τὸ ἅγιον, τοῦ Πνεύματος τὴν χορηγίαν.*

*Ἀλλὰ λέγω περὶ τοῦ Πνεύματος. Ἔδωκε τοῖς ἀποστόλοις τὸν δακτύλιον, εἰπών· λάβετε καὶ δότε πᾶσιν. Ὁ δακτύλιος μερίζεται; Μερίζεται καὶ οὐ διαιρεῖται· μερίζεται καὶ οὐκ ἀναλίσκεται. Μάθε Πνεύματος χορηγίαν· ἔλαβε Πέτρος, ἔλαβε καὶ*

31. Α΄ Θεσ. 4,17.

συνάντηση τοῦ Υἱοῦ στὰ σύννεφα καὶ τὸ «ἔτσι θὰ εἴμαστε πάντοτε μὲ τὸν Κύριο»[31], τὴν ἀπαλλαγὴ ἀπὸ τὸ θάνατο, τὴν ἐλευθερία ἀπὸ τὴν ἁμαρτία, τὸν καταποντισμὸ τοῦ τέλους. Καὶ ποιά εἶναι ἐκεῖνα; «Ἐκεῖνα ποὺ μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ νοῦς ἀνθρώπου δὲ συνέλαβε, τὰ ὁποῖα ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν». Μοῦ δίνεις, λεγει, ἀγαθὰ ποὺ δὲν τὰ ξέρω; Ναί· ἐδῶ σὲ ἀρραβωνιάζομαι, ἐδῶ ἀγάπα με. Γιατὶ δὲ μοῦ δίνεις τὴν προίκα ἐδῶ; Ὅταν ἔρθεις στὸν Πατέρα μου, ὅταν ἔρθεις στὶς βασιλικὲς αὐλές. Ἐγὼ ἦρθα σὲ σένα, μήπως ἐσὺ ἦρθες σὲ μένα; Ἦρθα ὄχι γιὰ νὰ μείνεις, ἀλλὰ γιὰ νὰ σὲ πάρω καὶ νὰ ἀνεβῶ. Μὴ ζητᾶς ἐδῶ τὴν προίκα· ὅλα μὲ τὴν ἐλπίδα, ὅλα μὲ τὴν πίστη. Καὶ τίποτε, λέγει, δὲ μοῦ δίνεις ἐδῶ; Πάρε ἀρραβώνα γιὰ νὰ μὲ πιστέψεις γιὰ τὸ μέλλον· πάρε προγαμιαῖα δῶρα, πάρε καὶ τὰ δῶρα τοῦ ἀρραβώνα. Γι' αὐτὸ ὁ Παῦλος λέγει, «γιατὶ σᾶς ἀρραβώνιασα»[32].

Σὰν μνῆστρα μᾶς ἔδωσε ὁ Θεὸς τὰ παρόντα ἀγαθά· μνῆστρα εἶναι τὰ παρόντα, ἀρραβώνας εἶναι, ἡ προίκα ὅλη μένει ἐκεῖ. Πῶς; ἐγὼ λέγω· ἐδῶ γερνῶ, ἐκεῖ δὲ γερνῶ· ἐδῶ πεθαίνω, ἐκεῖ δὲν πεθαίνω· ἐδῶ λυποῦμαι, ἐκεῖ δὲ λυποῦμαι· ἐδῶ φτώχεια καὶ ἀρρώστια καὶ ἐπιβουλές, ἐκεῖ τίποτε τέτοιο· ἐδῶ σκοτάδι καὶ φῶς, ἐκεῖ φῶς μόνο· ἐδῶ ἐπιβουλή, ἐκεῖ ἐλευθερία· ἐδῶ ἀρρώστια, ἐκεῖ ὑγεία· ἐδῶ ζωὴ μὲ τέλος, ἐκεῖ ζωὴ χωρὶς τέλος· ἐδῶ ἁμαρτία, ἐκεῖ δικαιοσύνη καὶ ἁμαρτία πουθενά· ἐδῶ φθόνος, ἐκεῖ τίποτε τέτοιο. Δός μου, λέγει, αὐτὰ τὰ ἀγαθά. Περίμενε, γιὰ νὰ σωθοῦν καὶ οἱ συνάνθρωποί σου, περίμενε. «Ἐκεῖνος ποὺ μᾶς στερεώνει εἶναι ὁ Θεὸς καὶ ὁ ὁποῖος μᾶς ἔδωσε τὸν ἀρραβώνα». Ποιόν ἀρραβώνα; Τὸ Πνεῦμα τὸ ἅγιο, τὴ χορηγία τοῦ Πνεύματος.

Ἀλλ' ἂς μιλήσω γιὰ τὸ Πνεῦμα. Ἔδωσε στοὺς Ἀποστόλους τὸ δακτυλίδι λέγοντας, λέβετε καὶ δῶστε σὲ ὅλους. Μοιράζεται τὸ δακτυλίδι; Μοιράζεται, ἀλλὰ δὲ διαιρεῖται· μοιράζεται, ἀλλὰ δὲν ξοδεύεται. Μάθε τὴ χορηγία τοῦ Πνεύματος· ἔλαβε ὁ Πέτρος, ἔλαβε καὶ ὁ Παῦλος Πνεῦμα ἅγιο. Περιῆλθε τὴν

32. Β' Κορ. 11,2.

*Παῦλος Πνεῦμα ἅγιον. Περιῆλθε τὴν οἰκουμένην, ἁμαρτωλοὺς ἀπήλλαττεν ἁμαρτημάτων, χωλοὺς διώρθου, γυμνοὺς ἐνέδυε, νεκροὺς ἤγειρε, λεπροὺς ἐκαθάριζε, διάβολον ἐπεστόμιζε, δαίμονας ἀπέπνιγε, τῷ Θεῷ διελέγετο, Ἐκκλησίαν ἐφύτευσε, ναοὺς κατέσκαψε, βωμοὺς ἀνέτρεψε, τὴν κακίαν ἔλυσε, τὴν ἀρετὴν ἐφύτευσε, τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε.*

*14. Ταῦτα πάντα ἦμεν. Ἀρραβὼν ἐπλήρωσε τὴν οἰκουμένην ἅπασαν. Ἅπασαν δὲ ὅταν εἴπω, λέγω, ὅσην ἥλιος ἐφορᾷ γῆν, θάλασσαν, νήσους, ὄρη, νάπας καὶ βουνούς. Περιῆλθε καθάπερ ὑπόπτερος ὁ Παῦλος ἑνὶ στόματι παλαίων, ὁ σκηνοποιός, ὁ σμίλην μεταχειριζόμενος καὶ δέρματα ῥάπτων· καὶ αὕτη ἡ τέχνη κώλυμα τῇ ἀρετῇ οὐκ ἐγένετο, ἀλλ᾽ ὁ σκηνοποιὸς δαιμόνων ἰσχυρότερος, ὁ ἄστομος φιλοσόφων φιλοσοφώτερος. Πόθεν; Ἔλαβε τὸν ἀρραβῶνα, ἐβάσταζε τὸν δακτύλιον καὶ περιέφερεν. Ἔβλεπον πάντες, ὅτι βασιλεὺς ἡρμόσατο τὴν φύσιν ἡμῶν· εἶδεν ὁ δαίμων, καὶ ἀνεχώρει· εἶδε τὸν ἀρραβῶνα καὶ ἔτρεμε καὶ ὑπεχώρει· ἱμάτια ἔβλεπε καὶ ἐδραπέτευεν. Ὢ δύναμις Πνεύματος· οὐ ψυχῇ ἔδωκε τὴν ἐξουσίαν, οὐ σώματι, ἀλλὰ καὶ ἱματίῳ· οὐχ ἱματίῳ, ἀλλὰ καὶ σκιᾷ. Περιήει ὁ Πέτρος καὶ ἡ σκιὰ αὐτοῦ νόσους ἐφυγάδευε καὶ δαίμονας ἀπήλαυνε καὶ νεκροὺς ἤγειρεν. Περιήει ὁ Παῦλος τὴν οἰκουμένην, τὰς ἀκάνθας ἀνατέμνων τῆς ἀσεβείας, τὰ σπέρματα καταβάλλων τῆς εὐσεβείας, καθάπερ ἀροτὴρ ἄριστος τὸ ἄροτρον ἔχων τῆς διδασκαλίας.*

*Καὶ πρὸς τίνας ἦλθε; Πρὸς Θρᾷκας, πρὸς Σκύθας, πρὸς Ἰνδούς, πρὸς Μαύρους, πρὸς Σαρδονίους, πρὸς Γότθους, πρὸς θηρία ἄγρια καὶ μετέβαλε πάντα. Πόθεν; Ἀπὸ τοῦ ἀρραβῶνος. Πῶς διήρκεσεν; Ἀπὸ τῆς τοῦ Πνεύματος χάριτος. Ἰδιώτης, γυμνός, ἀνυπόδετος· ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος. Διὰ τοῦτο λέγει· «καὶ πρὸς ταῦτα τίς ἱκανός; Ἀλλ᾽ ἡ ἱκανότης ἡμῶν*

33. Β΄ Κορ. 2,16.

οἰκουμένη, ἁμαρτωλοὺς ἀπάλλασσε ἀπὸ τὰ ἁμαρτήματα, χωλοὺς θεράπευε, γυμνοὺς ἔντυνε, νεκροὺς ἀνάσταινε, λεπροὺς καθάριζε, διάβολο ἀποστόμωνε, δαίμονες ἔπνιγε, μὲ τὸ Θεὸ συνομιλοῦσε, Ἐκκλησία φύτεψε, ναοὺς γκρέμισε, βωμοὺς ἀνέτρεψε, τὴν κακία διέλυσε, τὴν ἀρετὴ φύτεψε, τοὺς ἀνθρώπους ἔκαμε ἀγγέλους.

14. Ὅλα αὐτὰ ἤμασταν πρίν. Ὁ ἀρραβώνας γέμισε ὁλόκληρη τὴν οἰκουμένη. Καὶ ὅταν πῶ ὁλόκληρη, ἐννοῶ, ὅση γῆ ἐπιβλέπει ὁ ἥλιος, θάλασσα, νησιά, ὄρη, φαράγγια καὶ βουνά. Περιῆλθε ὅλη τὴν οἰκουμένη σὰν φτερωτὸς ὁ Παῦλος, παλεύοντας μὲ ἕνα στόμα, ὁ σκηνοποιός, αὐτὸς ποὺ μεταχειριζόταν φαλτσέτα καὶ ἔρραβε δέρματα. Καὶ αὐτὴ ἡ τέχνη δὲ ἔγινε ἐμπόδιο στὴν ἀρετή, ἀλλ᾽ ὁ σκηνοποιὸς ἦταν πιὸ δυνατὸς ἀπὸ τοὺς δαίμονες, ὁ ἄφωνος πιὸ φιλόσοφος ἀπὸ τοὺς φιλοσόφους. Ἀπὸ ποῦ; Ἔλαβε τὸν ἀρραβώνα, κρατοῦσε τὸ δακτυλίδι καὶ τὸ περιέφερε. Ἔβλεπαν ὅλοι ὅτι βασιλιὰς ἀρραβωνιάστηκε τὴ δική μας φύση· εἶδε ὁ δαίμονας καὶ ἀναχωροῦσε, εἶδε τὸν ἀρραβώνα καὶ ἔτρεμε καὶ ὑποχωροῦσε· ἔβλεπε ἐνδύματα καὶ δραπέτευε. Πὼ πὼ δύναμη Πνεύματος! Ἔδωσε τὴν ἐξουσία ὄχι στὴν ψυχὴ οὔτε στὸ σῶμα μόνο, ἀλλὰ καὶ στὸ ἔνδυμα· καὶ ὄχι στὸ ἔνδυμα μόνο, ἀλλὰ καὶ στὴ σκιά. Περιερχόταν ὁ Πέτρος παντοῦ, καὶ ἡ σκιά του ἔδιωχνε ἀρρώστιες καὶ ἀπομάκρυνε δαίμονες καὶ ἀνάσταινε νεκρούς. Περιερχόταν ὁ Παῦλος τὴν οἰκουμένη γιὰ νὰ ξερριζώσει τὰ ἀγκάθια τῆς ἀσέβειας, νὰ φυτέψει τὰ σπέρματα τῆς εὐσέβειας, ἔχοντας σὰν ἄριστος γεωργὸς τὸ ἄροτρο τῆς διδασκαλίας.

Καὶ σὲ ποιούς πῆγε; Στοὺς Θράκες, στοὺς Σκύθες, στοὺς Ἰνδούς, στοὺς Μαύρους, στοὺς Σαρδονίους, στοὺς Γότθους, στὰ ἄγρια θηρία, καὶ τὰ ἄλλαξε ὅλα. Ἀπὸ ποῦ; Ἀπὸ τὸν ἀρραβώνα. Πῶς ἄντεξε; Μὲ τὴ χάρη τοῦ Πνεύματος. Πολίτης ἁπλός, γυμνός, ξυπόλυτος, αὐτὸς ποὺ ἔδωσε καὶ τὸν ἀρραβώνα τοῦ Πνεύματος. Γι᾽ αὐτὸ λέγει· «Καὶ ποιός εἶναι ἱκανὸς γιὰ ὅλα αὐτά;»[33]. «Ἀλλὰ ἡ ἱκανότητά μας προέρχεται ἀπὸ τὸ Θεό, ὁ

*ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ Πνεύματος». Ἴδε τί τὸ Πνεῦμα ἐποίησεν· εὗρε τὴν γῆν δαιμόνων γέμουσαν καὶ ἐποίησεν αὐτὴν οὐρανόν. Μὴ γὰρ τὰ παρόντα ἐννοῆτε· ἀλλὰ ἀναλάβετε τῷ λογισμῷ αὐτά. Τότε ἦν θρῆνος, τότε πανταχοῦ βωμοί, πανταχοῦ καπνός, πανταχοῦ κνῖσαι, πανταχοῦ πορνεῖαι, πανταχοῦ τελεταί, πανταχοῦ θυσίαι, πανταχοῦ δαίμονες βακχεύοντες, πανταχοῦ ἀκρόπολις τοῦ διαβόλου, πανταχοῦ πορνεία στεφανουμένη· καὶ εἷς ἦν ὁ Παῦλος.*

*Πῶς οὐ κατεποντίσθη; Πῶς οὐ διεσπάσθη; Πῶς ἤνοιξε τὸ στόμα; Εἰσῆλθεν εἰς Θηβαΐδα καὶ αἰχμαλώτους ἔλαβεν. Εἰσῆλθεν εἰς τὰς βασιλικὰς αὐλάς, καὶ τὸν βασιλέα μαθητὴν ἐποίησεν. Εἰσῆλθεν εἰς τὸ δικαστήριον καὶ λέγει αὐτῷ ὁ δικαστής· «παρ' ὀλίγον με πείθεις Χριστιανὸν γενέσθαι»· καὶ ὁ δικαστὴς μαθητὴς ἐγένετο. Εἰσῆλθεν εἰς τὸ δεσμωτήριον καὶ τὸν δεσμοφύλακα ἔλαβεν. Ἀπῆλθεν εἰς βαρβάρων νῆσον καὶ τὴν ἔχιν διδάσκαλον ἐποίησεν. Ἀπῆλθεν εἰς τὸν δῆμον τῶν Ρωμαίων καὶ τὴν σύγκλητον ἀπέσπασεν. Ἀπῆλθεν εἰς ποταμούς, ἀπῆλθεν εἰς ἐρήμους τόπους πανταχοῦ τῆς οἰκουμένης. Οὐ γῆ, οὐ θάλασσα ἄμοιρος αὐτοῦ ἐστι τῶν κατορθωμάτων· ἔδωκε γὰρ τὸν ἀρραβῶνα τοῦ δακτυλίου, καὶ δοὺς τὸν ἀρραβῶνα, λέγει· τὰ μὲν ἤδη δίδωμί σοι, τὰ δὲ ἐπαγγέλλομαι. Διὰ τοῦτο λέγει αὐτῇ ὁ προφήτης· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ». Οὐχ ἱμάτιον λέγει, ἀλλ' ἀρετήν. Διὰ τοῦτο ἡ Γραφὴ ἀλλαχοῦ λέγει· «πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου»; Ὥστε οὐκ ἔνδυμα λέγει, ἀλλὰ τὴν πορνείαν καὶ τὴν ρυπαρὰν πρᾶξιν καὶ ἀκάθαρτον.*

*Ὥσπερ οὖν τὰ ρυπαρὰ ἱμάτια, ἁμαρτία· οὕτω τὰ διάχρυσα, ἀρετή. Ἀλλὰ τὸ ἱμάτιον τοῦτο τοῦ βασιλέως ἦν· αὐτὸς αὐτῇ καὶ ἱμάτιον ἔδωκεν· γυμνὴ γὰρ ἦν, γυμνὴ καὶ ἀσχημονοῦσα.*

34. Β' Κορ. 3,5–6.

ὁποῖος μᾶς ἔκαμε ἱκανοὺς νὰ γίνουμε ὑπηρέτες νέας διαθήκης, ὄχι γραπτοῦ νόμου, ἀλλὰ τοῦ Πνεύματος»[34]. Δὲς τί ἔκαμε τὸ Πνεῦμα· βρῆκε τὴ γῆ γεμάτη δαίμονες καὶ τὴν ἔκαμε οὐρανό. Μὴ βάζετε στὸ νοῦ σας τά παρόντα, ἀλλὰ φέρτε στὸ νοῦ σας αὐτά. Τότε ἦταν θρῆνος, τότε παντοῦ ὑπῆρχαν βωμοί, παντοῦ καπνός, παντοῦ κνίσες, παντοῦ πορνεῖες, παντοῦ τελετές, παντοῦ θυσίες, παντοῦ δαίμονες μανιασμένοι, παντοῦ ἀκρόπολη τοῦ διαβόλου, παντοῦ πορνεία ξακουστή· καὶ ὁ Παῦλος ἦταν ἕνας.

Πῶς δὲν καταποντίσθηκε; πῶς δὲ διαλύθηκε; πῶς ἄνοιξε τὸ στόμα του; Μπῆκε στὴ Θηβαΐδα καὶ συνέλαβε αἰχμαλώτους. Μπῆκε στὶς βασιλικὲς αὐλὲς καὶ τὸ βασιλιὰ τὸν ἔκαμε μαθητή του. Μπῆκε στὸ δικαστήριο καὶ τοῦ λέγει ὁ δικαστής, «κοντεύεις νὰ μὲ πείσεις νὰ γίνω χριστιανός»[35]· καὶ ὁ δικαστὴς ἔγινε μαθητής. Μπῆκε στὴ φυλακὴ καὶ πῆρε μαζί του τὸ δεσμοφύλακα. Πῆγε σὲ νησὶ τῶν βαρβάρων, καὶ ἔκαμε τὴν ὀχιὰ διδάσκαλο. Πῆγε στὴν πόλη τῶν Ρωμαίων, καὶ ἀπέσπασε τὴ σύγκλητο. Πῆγε σὲ ποταμούς, πῆγε σὲ ἔρημους τόπους, σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Οὔτε ἡ γῆ, οὔτε ἡ θάλασσα στερήθηκαν τὰ κατορθώματά του· γιατὶ ἔδωσε τὸ δακτυλίδι τοῦ ἀρραβώνα, καὶ ἀφοῦ ἔδωσε τὸν ἀρραβώνα λέγει· αὐτὰ σοῦ τὰ δίνω τώρα, τὰ ἄλλα τὰ ὑπόσχομαι. Γι' αὐτὸ ὁ προφήτης τῆς λέγει, «στάθηκε ἡ βασίλισσα στὰ δεξιά σου μὲ φόρεμα χρυσοΰφαντο»[36]. Δὲν ἐννοεῖ τὸ φόρεμα, ἀλλὰ τὴν ἀρετή. Γι' αὐτὸ ἡ Γραφὴ σὲ ἄλλο σημεῖο λέγει, «πῶς μπῆκες ἐδῶ χωρὶς νὰ ἔχεις ἔνδυμα γάμου;»[37]. Ἐπομένως δὲν ἐννοεῖ τὸ ἔνδυμα, ἀλλὰ τὴν πορνεία καὶ τὴν αἰσχρὴ καὶ ἀκάθαρτη πράξη.

Ὅπως λοιπὸν τὰ ἀκάθαρτα ἐνδύματα εἶναι ἡ ἁμαρτία, ἔτσι καὶ τὰ χρυσοΰφαντα εἶναι ἡ ἀρετή. Ἀλλὰ τὸ ἔνδυμα αὐτὸ ἦταν τοῦ βασιλιᾶ· αὐτὸς τῆς ἔδωσε καὶ ἔνδυμα, γιατὶ ἦταν γυ-

35. Πράξ. 26,28.
36. Ψαλμ. 44,10.
37. Ματθ. 22,12.

«Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ». Οὐχ ἱμάτια λέγει, ἀλλ' ἀρετήν· οὐκ εἶπεν, ἐν χρυσῷ. Πρόσεχε· καὶ αὐτὴ ἡ λέξις πολλὴν ἔχει εὐγένειαν νοημάτων. Οὐκ εἶπε, ἐν χρυσῷ, ἀλλά, «διαχρύσῳ». Ἄκουε συνετῶς. Τὸ χρυσοῦν ἱμάτιον, ὅλον ἐστὶ χρυσοῦν· τὸ δὲ διάχρυσον, μέρη μὲν ἔχει χρυσᾶ, μέρη δὲ σηρικά. Διὰ τί οὖν μὴ χρυσοῦν ἱμάτιον εἶπε φορεῖν τὴν νύμφην, ἀλλὰ διάχρυσον; Πρόσεχε ἀκριβῶς· τὴν πολιτείαν λέγει τῆς Ἐκκλησίας, τὴν ποικίλην. Ἐπειδὴ γὰρ οὐ πάντες βίου ἑνός ἐσμεν, ἀλλ' ὁ μὲν παρθενίαν, ὁ δὲ χηρείαν, ὁ δὲ εὐσέβειαν ἀσκεῖ· ἱμάτιον τῆς Ἐκκλησίας ἡ πολιτεία τῆς Ἐκκλησίας.

15. Ἐπειδὴ οὖν ᾔδει ὁ Δεσπότης ἡμῶν, ὅτι ἂν μίαν ὁδὸν τέμῃ, πολλοὶ ἔχουσιν ὀκνῆσαι, ποικίλας ἔτεμεν ὁδούς. Οὐ δύνασαι διὰ παρθενίας εἰσελθεῖν; Εἴσελθε διὰ μονογαμίας. Οὐ δύνασαι διὰ μονογαμίας; Κἂν διὰ δευτερογαμίας. Οὐ δύνασαι διὰ σωφροσύνης εἰσελθεῖν; Εἴσελθε δι' ἐλεημοσύνης. Οὐ δύνασαι δι' ἐλεημοσύνης; Εἴσελθε διὰ νηστείας. Οὐ δύνασαι ταύτην; Δεῦρο ἐκείνην. Οὐ δύνασαι ἐκείνην; Δεῦρο ταύτην. Διὰ τοῦτο οὐκ ἔδειξε τὸ ἱμάτιον χρυσοῦν, ἀλλὰ διάχρυσον. Ἢ σηρική ἐστιν, ἢ πορφυρᾶ ἐστιν, ἢ χρυσᾶ ἐστιν. Οὐ δύνασαι εἶναι χρυσοῦς; Γενοῦ σηρικός. Δέχομαί σε, μόνον ἐν τῷ ἱματίῳ. Διὰ τοῦτο καὶ Παῦλος· «εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους». Οὐ δύνασαι εἶναι ὁ λίθος τίμιος; Γενοῦ χρυσός. Οὐ δύνασαι εἶναι χρυσός; Γενοῦ ἄργυρος, μόνον ἐν θεμελίῳ. Καὶ πάλιν ἀλλαχοῦ «ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης καὶ ἄλλη δόξα ἀστέρων». Οὐ δύνασαι εἶναι ἥλιος; Γενοῦ σελήνη. Οὐ δύνασαι εἶναι σελήνη; Γενοῦ ἀστήρ. Οὐ δύνασαι εἶναι μέγας ἀστήρ; Γενοῦ κἂν μικρός, μόνον ἐν τῷ οὐρανῷ.

Οὐ δύνασαι εἶναι παρθένος; Γάμησον μετὰ σωφροσύνης,

38. Α' Κορ. 3,12.

μνή, γυμνὴ καὶ ἀδιάντροπη. «Στάθηκε ἡ βασίλισσα στὰ δεξιά σου μὲ ἔνδυμα χρυσοΰφαντο». Δὲν ἐννοεῖ τὰ ἐνδύματα, ἀλλὰ τὴν ἀρετή· δὲν εἶπε, μὲ ἔνδυμα χρυσό. Πρόσεχε καὶ αὐτὴ ἡ λέξη ἔχει πολὺ εὐγενικὰ νοήματα. Δὲν εἶπε, μὲ χρυσό, ἀλλὰ «μὲ χρυσοΰφαντο». Ἄκου προσεκτικά. Τὸ χρυσὸ ἔνδυμα εἶναι ὁλόκληρο χρυσό, ἐνῶ τὸ χρυσοΰφαντο ἔχει κάποια μέρη χρυσὰ καὶ ἄλλα μεταξωτά. Γιατὶ λοιπὸν δὲν εἶπε ὅτι ἡ νύμφη φοράει χρυσὸ ἔνδυμα, ἀλλὰ χρυσοΰφαντο; Πρόσεχε καλά. Τὴν πολιτεία ἐννοεῖ τῆς Ἐκκλησίας, τὴν πολύμορφη. Ἐπειδὴ δηλαδὴ δὲν ἔχουμε ὅλοι τὸν ἴδιο τρόπο ζωῆς, ἀλλ' ἕνας ἀσκεῖ τὴν παρθενία, ἄλλος τὴ χηρεία καὶ ἄλλος τὴν εὐσέβεια. Ἔνδυμα τῆς Ἐκκλησίας εἶναι ἡ πολιτεία τῆς Ἐκκλησίας.

15 Ἐπειδὴ λοιπὸν γνώριζε ὁ Κύριός μας, ὅτι, ἂν χαράξει ἕνα δρόμο, πολλοὶ μπορεῖ νὰ διστάσουν, χάραξε διαφορετικοὺς δρόμους. Δὲν μπορεῖς νὰ μπεῖς μὲ τὴν παρθενία; Μπὲς μὲ ἕνα μόνο γάμο. Δὲν μπορεῖς μὲ ἕνα μόνο γάμο; Τουλάχιστο μὲ δεύτερο γάμο. Δὲν μπορεῖς νὰ μπεῖς μὲ τὴν ἐγκράτεια; Μπὲς μὲ τὴν ἐλεημοσύνη. Δὲν μπορεῖς μὲ τὴν ἐλεημοσύνη; Μπὲς μὲ τὴ νηστεία. Δὲν μπορεῖς μ' αὐτὸ τὸ δρόμο; Ἔλα μ' ἐκεῖνον. Δὲν μπορεῖς μ' ἐκεῖνον; Ἔλα μ' αὐτόν. Γι' αὐτὸ δὲν ἔδειξε τὸ ἔνδυμα χρυσό, ἀλλὰ χρυσοΰφαντο. Ἢ εἶναι μεταξωτό, ἢ εἶναι πορφυρὰ ἢ εἶναι χρυσά. Δὲν μπορεῖς νὰ εἶσαι χρυσός; Γίνε μεταξωτός. Σὲ δέχομαι μόνο μὲ τὸ ἔνδυμα. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «ἂν κανεὶς κτίζει ἐπάνω στὸ θεμέλιο αὐτὸ χρυσάφι, ἀσήμι, πολύτιμους λίθους»[38]. Δὲν μπορεῖς νὰ εἶσαι ὁ πολύτιμος λίθος; Γίνε χρυσάφι. Δὲν μπορεῖς νὰ εἶσαι χρυσάφι; Γίνε ἀσήμι, μόνο νὰ εἶσαι ἐπάνω στὸ θεμέλιο. Καὶ πάλι ἀλλοῦ λέγει· «ἄλλη εἶναι ἡ λαμπρότητα τοῦ ἥλιου καὶ ἄλλη ἡ λαμπρότητα τῆς σελήνης καὶ ἄλλη ἡ λαμπρότητα τῶν ἀστεριῶν»[39]. Δὲν μπορεῖς νὰ εἶσαι ἥλιος; Γίνε σελήνη. Δὲν μπορεῖς νὰ εἶσαι σελήνη; Γίνε ἀστέρι. Δὲν μπορεῖς νὰ εἶσαι ἀστέρι; Γίνε τουλάχιστο μικρό, μόνο νὰ εἶσαι στὸν οὐρανό.

Δὲν μπορεῖς νὰ εἶσαι παρθένος; Παντρέψου μὲ σωφροσύ-

39. Α΄ Κορ. 15,41.

*μόνον ἐν τῇ Ἐκκλησίᾳ. Οὐ δύνασαι εἶναι ἀκτήμων; Ἐλέησον μόνον ἐν τῇ Ἐκκλησίᾳ, μόνον ἐν τῷ ἱματίῳ, μόνον ὑπὸ τὴν βασίλισσαν. Διάχρυσον τὸ ἱμάτιον, ποικίλον τὸ ἱμάτιον. Οὐκ ἀποκλείω σοι τὴν ὁδόν· ἡ ἀφθονία γὰρ τῶν ἀρετῶν εὔκολον ἐποίησε τὴν οἰκονομίαν τοῦ βασιλέως. «Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη». Ποικίλον ἐστὶν αὐτῆς τὸ ἱμάτιον· καὶ εἰ βούλει, ἀνάπτυξον τὸ βάθος τοῦ λόγου τοῦ εἰρημένου καὶ βλέπε τὸ ἱμάτιον τὸ διάχρυσον. Ἐνταῦθα μὲν γὰρ οἱ μὲν μονάζοντές εἰσιν, οἱ δὲ γάμον σεμνὸν ἀσκοῦσιν, οὐ πολὺ ἐκείνων ἀπολιμπανόμενοι· καὶ οἱ μὲν μονόγαμοι, αἱ δὲ χῆραι ἀνθοῦσαι. Διὰ τί παράδεισος; Διὰ τί ποικίλος; Ἔχων ἄνθη διάφορα καὶ δένδρα καὶ πολλοὺς τοὺς μαργαρίτας. Πολλοὶ οἱ ἀστέρες, ἀλλὰ εἷς ὁ ἥλιος. Πολλοὶ οἱ βίοι, ἀλλὰ εἷς ὁ παράδεισος· πολλοὶ οἱ ναοί, ἀλλὰ εἷς ὁ παράδεισος· πολλοὶ οἱ ναοί, ἀλλὰ μία ἡ μήτηρ. Τὸ μὲν σῶμα, τὸ δὲ ὀφθαλμοί, τὸ δὲ δάκτυλος, ἀλλὰ πάντες εἷς. Τὸ αὐτὸ γὰρ τὸ μικρὸν καὶ τὸ μέγα καὶ τὸ ἧττον. Ἡ παρθένος τῆς γεγαμημένης χρείαν ἔχει· καὶ γὰρ ἡ παρθένος ἀπὸ γάμου ἵνα μὴ καταφρονῇ γάμου. Ἡ παρθένος ρίζα τοῦ γάμου. Πάντα συνδεδεμένα, τὰ μικρὰ τοῖς μεγάλοις, καὶ τὰ μεγάλα τοῖς μικροῖς.*

*«Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη». Τὸ λοιπόν, «ἄκουσον, θύγατερ». Ὁ νυμφαγωγός φησιν ὡς μέλλεις ἐξέρχεσθαι πρὸς τὸν νυμφίον, ὑπερβαίνοντά σου τὴν οὐσίαν, ὑπερβαίνοντά σου τὴν φύσιν. Ἐγὼ νυμφαγωγός. «Ἄκουσον, θύγατερ». Εὐθέως ἐγίνετο ἡ γυνή; Ναί· οὐδὲν γὰρ σωματικόν. Καὶ γὰρ ὡς γυναῖκα ἡρμόσατο καὶ ὡς θυγατέρα φιλεῖ καὶ ὡς δούλης προνοεῖ καὶ ὡς παρθένον τηρεῖ καὶ ὡς παράδεισον τειχίζει καὶ ὡς μέλος περιέπει καὶ ὡς κεφαλὴ προνοεῖ καὶ ὡς ρίζα φυτεύει καὶ ὡς ποιμὴν*

---

40. Ψαλμ. 44,11.

νη, μόνο μέσα στὴν Ἐκκλησία. Δὲν μπορεῖς νὰ εἶσαι ἀκτήμονας; Κάμε ἐλεημοσύνη, μόνο μέσα στὴν Ἐκκλησία, μόνο μέσα στὸ ἔνδυμά της, μόνο κάτω ἀπὸ τὴ βασίλισσα. Χρυσοΰφαντο τὸ ἔνδυμα, ποικίλο τὸ ἔνδυμα. Δὲ σοῦ ἀποκλείω τὸ δρόμο, γιατὶ ἡ ἀφθονία τῶν ἀρετῶν ἔκαμε εὔκολη τὴν οἰκονομία τοῦ βασιλιᾶ. «Μὲ ἔνδυμα χρυσοΰφαντο ντυμένη, στολισμένη». Τὸ ἔνδυμά της εἶναι ποικίλο· καὶ ἂν θέλεις, ἐξέτασε τὸ βάθος τοῦ λόγου αὐτοῦ καὶ βλέπε τὸ ἔνδυμα τὸ χρυσοΰφαντο. Γιατὶ ἐδῶ ἄλλοι εἶναι μοναχοί, ἄλλοι ζοῦν γάμο σεμνό, χωρὶς νὰ ὑστεροῦν πολὺ ἀπὸ ἐκείνους· καὶ ἄλλοι μ' ἕνα γάμο, ἄλλες εἶναι χῆρες στὸ ἄνθος τῆς ἡλικίας τους. Γιατὶ παράδεισος; γιατὶ ποικίλος; Ἐπειδὴ ἔχει ἄνθη διάφορα καὶ δένδρα καὶ πολλὰ μαργαριτάρια. Πολλὰ εἶναι τὰ ἀστέρια, ἀλλὰ ἕνας ὁ ἥλιος. Πολλοὶ οἱ τρόποι ζωῆς, ἀλλὰ ἕνας ὁ παράδεισος. Πολλοὶ εἶναι οἱ ναοί, ἀλλὰ ἕνας ὁ παράδεισος· πολλοὶ οἱ ναοί, ἀλλὰ μία ἡ μητέρα. Τὸ ἕνα εἶναι τὸ σῶμα, τὸ ἄλλο τὰ μάτια, τὸ ἄλλο τὰ δάκτυλα, ἀλλὰ ὅλοι εἴμαστε ἕνας. Γιατὶ εἶναι τὸ ἴδιο τὸ μικρὸ καὶ τὸ μεγάλο καὶ τὸ ἐλάχιστο. Ἡ ἄγαμη γυναίκα χρειάζεται τὴν παντρεμένη, γιατὶ καὶ ἡ ἄγαμη ἀπὸ γάμο προέρχεται, γιὰ νὰ μὴν περιφρονεῖ τὸ γάμο. Ἡ παρθένος εἶναι ρίζα τοῦ γάμου. Ὅλα συνδέονται μεταξύ τους, τὰ μικρὰ μὲ τὰ μεγάλα καὶ τὰ μεγάλα μὲ τὰ μικρά.

«Στάθηκε ἡ βασίλισσα στὰ δεξιά σου, μὲ φόρεμα χρυσοΰφαντο ντυμένη, στολισμένη». Καὶ ἡ συνέχεια· «ἄκουσε, θυγατέρα»[40]. Ὁ παράνυμφος λέγει ὅτι πρόκειται νὰ βγεῖς σὲ συνάντηση τοῦ νυμφίου, ποὺ εἶναι ἀνώτερος ἀπὸ σένα στὴν οὐσία, ποὺ εἶναι ἀνώτερος ἀπὸ σένα στὴ φύση. Ἐγὼ εἶμαι παράνυμφος. «Ἄκουσε, θυγατέρα». Ἀμέσως ἔγινε ἡ γυναίκα; Ναί, γιατὶ τίποτε δὲν εἶναι σωματικό. Γιατὶ πραγματικὰ σὰν γυναίκα τὴν παντρεύτηκε, καὶ σὰν θυγατέρα τὴν ἀγαπάει, καὶ σὰν δούλη τὴ φροντίζει, καὶ σὰν παρθένο τὴ φυλάγει, καὶ σὰν κῆπο τὴν περιτειχίζει, καὶ σὰν μέλος τὴν περιποιεῖται, καὶ σὰν κεφαλὴ τὴ φροντίζει, καὶ σὰν ρίζα τὴ φυτεύει, καὶ σὰν ποιμένας τὴ βόσκει, καὶ σὰν νυμφίος τὴν παντρεύεται, καὶ σὰν ἐξιλαστήριο

*βόσκει καὶ ὡς νυμφίος ἁρμόζεται καὶ ὡς ἱλαστήριον συγχωρεῖ καὶ ὡς πρόβατον θύεται καὶ ὡς νυμφίος διατηρεῖ ἐν κάλλει καὶ ὡς ἀνὴρ προνοεῖ τῆς κηδεμονίας. Πολλὰ τὰ νοήματα, ἵνα κἂν μικροῦ μέρους τῆς οἰκονομίας ἀπολαύσωμεν.*

*«Ἄκουσον, θύγατερ, καὶ ἴδε», καὶ βλέπε τὰ γαμικὰ πράγματα καὶ πνευματικά. «Ἄκουσον, θύγατερ». Θυγάτηρ ἦν τῶν δαιμόνων αὐτὴ πρῶτον, θυγάτηρ τῆς γῆς, ἀναξία τῆς γῆς, καὶ νῦν γέγονε θυγάτηρ τοῦ βασιλέως. Τοῦτο δὲ ἠθέλησεν ὁ ἐρῶν αὐτῆς. Ὁ γὰρ ἐρῶν οὐκ ἐξετάζει τρόπον· ὁ ἔρως οὐ βλέπει ἀμορφίαν· διὰ τοῦτο δὲ καλεῖται ἔρως, ὅτι πολλάκις καὶ ἄμορφον φιλεῖ. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἄμορφον εἶδεν (οὐ γὰρ ἂν αὐτὴν εἴποιμι εὔμορφον) καὶ ἠράσθη καὶ ποιεῖ αὐτὴν νέαν, μὴ ἔχουσαν σπῖλον ἢ ρυτίδα. Ὢ νυμφίου καλλωπίζοντος ἀμορφίαν νύμφης. «Ἄκουσον θύγατερ, ἄκουσον καὶ ἴδε». Δύο λέγει «ἄκουσον» καὶ «βλέπε» τὰ δύο ἀπὸ σοῦ, τὰ μὲν ὀφθαλμοῖς, τὰ δὲ τῇ ἀκοῇ. Ἐπεὶ οὖν ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν· εἰ καί τινες ὀξύτερον προεῖδον, ἀνεμενέτωσαν τοὺς ἀσθενεστέρους· καὶ ὑμᾶς ἐπαινῶ προλαβόντας καὶ ἐκείνους συγγινώσκω ἀκολουθοῦσιν· ἐπειδὴ ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν (τί ἐστιν ἐν ἀκοῇ; Ἐν πίστει «ἡ γὰρ πίστις ἐξ ἀκοῆς»· ἐν πίστει, οὐν ἐν ἀπολαύσει, οὐκ ἐν πείρᾳ πάσῃ), προεῖπον, ὅτι εἰς δύο μέρη διεῖλε τὴν προῖκα αὐτῆς καὶ τὰ μὲν ἔδωκεν αὐτῇ ἀντὶ ἀρραβῶνος, τὰ δὲ ἐπηγγείλατο αὐτῇ εἰς τὸ μέλλον.*

*Τί αὐτῇ ἔδωκεν; Ἔδωκεν αὐτῇ ἁμαρτημάτων συγχώρησιν, κολάσεως ἄφεσιν, δικαιοσύνην, ἁγιασμόν, ἀπολύτρωσιν, σῶμα δεσποτικόν, τράπεζαν θείαν, πνευματικήν, νεκρῶν ἀνάστασιν. Ταῦτα γὰρ πάντα εἶχον οἱ ἀπόστολοι. Οὐκοῦν τὰ μὲν ἔδωκεν, τὰ δὲ ἐπηγγείλατο· καὶ τὰ μὲν ἐν πείρᾳ ἦν καὶ ἀπολαύσει, τὰ δὲ ἐν ἐλπίδι καὶ ἐν πίστει. Καὶ ἄκουε. Τί ἔδωκε; Τὸ βάπτισμα, τὴν θυσίαν. Ταῦτα ἐν πείρᾳ· βλέπε δέ. Τί ἐπηγγείλατο;*

θύμα συγχωρεῖ, καὶ σὰν πρόβατο θυσιάζεται, καὶ σὰν νυμφίος τὴ διατηρεῖ ὄμορφη, καὶ σὰν ἄνδρας φροντίζει γιὰ τὴν κηδεμονία της. Πολλὰ εἶναι τὰ νοήματα, γιὰ ν' ἀπολαύσουμε ἔστω καὶ ἕνα μικρὸ μέρος τῆς οἰκονομίας τοῦ Θεοῦ.

«Ἄκουσε, θυγατέρα, καὶ δές», καὶ βλέπε τὰ ζητήματα τοῦ γάμου καὶ τὰ πνευματικὰ πράγματα. «Ἄκουσε, θυγατέρα». Αὐτὴ ἦταν θυγατέρα τῶν δαιμόνων πρῶτα, θυγατέρα τῆς γῆς, ἀνάξια τῆς γῆς, καὶ τώρα ἔγινε θυγατέρα τοῦ βασιλιᾶ. Καὶ τὸ θέλησε αὐτὸ ὁ ἐραστής της. Γιατὶ ὁ ἐραστὴς δὲν ἐξετάζει τὸν τρόπο. Ὁ ἔρωτας δὲ βλέπει τὴν ἀσχήμια· γι' αὐτὸ καὶ ὀνομάζεται ἔρωτας, γιατὶ πολλὲς φορὲς ἀγαπάει καὶ τὴν ἄσχημη. Ἔτσι ἔκαμε καὶ ὁ Χριστός. Εἶδε τὴν ἄσχημη (γιατὶ δὲ θὰ μποροῦσα νὰ τὴν πῶ ὄμορφη), καὶ τὴν ἐρωτεύθηκε, καὶ τὴν κάνει νέα, χωρὶς νὰ ἔχει κηλίδα ἢ ρυτίδα. Πὼ πὼ νυμφίος ποὺ ὀμορφαίνει τὴν ἀσχήμια τῆς νύμφης! «Ἄκουσε, θυγατέρα, ἄκουσε καὶ δές». Δυὸ πράγματα λέγει, «ἄκουσε» καὶ «βλέπε», καὶ τὰ δυὸ ἀπὸ σένα· τὸ ἕνα ἀναφέρεται στὰ μάτια καὶ τὸ ἄλλο στὴν ἀκοή. Ἐπειδὴ λοιπὸν τὴν προίκα της τὴν ἄκουε –ἂν καὶ μερικοὶ προεῖδαν πιὸ γρήγορα, ἂς περιμένουν καὶ τοὺς ἀσθενέστερους· καὶ σᾶς ποὺ προλάβατε σᾶς ἐπαινῶ καὶ αὐτοὺς ποὺ ἀκολουθοῦν τοὺς συγχωρῶ–, ἐπειδὴ τὴν προίκα της τὴν ἄκουε (τί σημαίνει τὴν ἄκουε; Τὴν πίστευε «γιατὶ ἡ πίστη προέρχεται ἀπὸ τὴν ἀκοή»[41]· τὴν πίστευε, δὲν τὴν ἀπολάμβανε, οὔτε τὴ δοκίμαζε πλήρως), εἶπα προηγουμένως ὅτι σὲ δύο μέρη χώρισε τὴν προίκα της, καὶ τὸ ἕνα τῆς τὸ ἔδωσε ἀντὶ γιὰ ἀρραβώνα, ἐνῶ τὸ ἄλλο τῆς τὸ ὑποσχέθηκε γιὰ τὸ μέλλον.

Τί τῆς ἔδωσε; Τῆς ἔδωσε τὴ συγχώρηση τῶν ἁμαρτημάτων, τὴν ἀπαλλαγὴ ἀπὸ τὴν τιμωρία, τὴ δικαιοσύνη, τὸν ἁγιασμό, τὴν ἀπολύτρωση, τὸ σῶμα τοῦ Κυρίου, τὴν τράπεζα τὴ θεία, τὴν πνευματική, τὴν ἀνάσταση τῶν νεκρῶν. Γιατὶ ὅλα αὐτὰ τὰ εἶχαν οἱ Ἀπόστολοι. Λοιπὸν ἄλλα ἔδωσε καὶ ἄλλα ὑποσχέθηκε· καὶ ἄλλα τὰ δοκίμαζε καὶ τὰ ἀπολάμβανε, καὶ ἄλλα τὰ ἔλπιζε καὶ τὰ πίστευε. Καὶ ἄκου. Τί ἔδωσε; Τὸ βάπτισμα, τὴ

41. Ρωμ. 10,17.

*Ἀνάστασιν, σωμάτων ἀφθαρσίαν, τὴν μετὰ ἀγγέλων ἕνωσιν, τὴν μετὰ ἀρχαγγέλων χορείαν, τὴν μετ᾽ αὐτοῦ πολιτείαν, τὴν ζωὴν τὴν ἀκήρατον, τὰ ἀγαθά, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».*

*16. Σύνετε τὸ λεγόμενον, μὴ ἀπολέσητε αὐτό· διὰ τοῦτο κάμνω, ἵνα νοήσητε. Εἰς δύο οὖν ἦν αὐτῆς ἡ προῖξ διῃρημένη, εἰς τὰ παρόντα καὶ εἰς τὰ μέλλοντα· εἰς τὰ ὁρώμενα καὶ εἰς τὰ ἀκουόμενα· εἰς τὰ δεδομένα καὶ εἰς τὰ πιστευόμενα· εἰς τὰ ἐν πείρᾳ, καὶ εἰς τὰ ἐν ἀπολαύσει· εἰς τὰ ἐν τῇ παρούσῃ ζωῇ, καὶ εἰς τὰ μετὰ τὴν ἀνάστασιν. Ταῦτα βλέπεις, ἐκεῖνα ἀκούεις. Βλέπε οὖν, τί λέγει αὐτῇ, ἵνα μὴ νομίσῃ, ὅτι ταῦτα μόνον ἔλαβε· καίτοι μεγάλα ἦν καὶ ἀπόρρητα καὶ πᾶσα διάνοιαν ὑπερβαίνοντα. «Ἄκουσον, θύγατερ, καὶ ἴδε»· ἄκουσον ἐκεῖνα καὶ βλέπε ταῦτα· ἵνα μὴ λέγῃς, πάλιν ἐπ᾽ ἐλπίδι; Πάλιν ἐν πίστει; Πάλιν ἐν τῷ μέλλοντι; Καὶ βλέπε· τὰ μὲν δίδωμι, τὰ δὲ ἐπαγγέλλομαι· ἐκεῖνα μὲν οὖν ἐν ἐλπίδι, ταῦτα δὲ λάβε ἐνέχυρα, ταῦτα λάβε ἀρραβῶνα, ταῦτα λάβε εἰς ἀπόδειξιν. Ἐπαγγέλλομαί σοι βασιλείαν· πίστευε ἀπὸ τῶν παρόντων, πίστευέ μοι.*

*Βασιλείαν μοι ἐπαγγέλλῃ; Ναί. Τὸ μεῖζόν σοι ἔδωκα, τὸν Δεσπότην τῆς βασιλείας «ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἀφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν· πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Ἀνάστασιν δίδως σωμάτων; Ναί. Τὸ μεῖζόν σοι ἔδωκα. Ποῖον; Ἀπαλλαγῆναι ἁμαρτίας. Πῶς τὸ μεῖζον; Ὅτι τὸν θάνατον ἡ ἁμαρτία ἔτεκεν. Τὴν μητέρα ἔσφαξα καὶ τὸν υἱὸν οὐ σφάζω; Τὴν ῥίζαν ἐξήρανα καὶ τὸν καρπὸν οὐκ ἀναιρῶ; «Ἄκουσον θύγατερ, καὶ ἴδε». Τί ἴδω; Νεκροὺς ἐγειρομένους, λεπροὺς καθαιρομένους, χαλινουμένην θά-*

42. Α΄ Κορ. 2,9.

θυσία. Αὐτὰ τὰ δοκίμαζε. Καὶ βλέπε. Τί ὑποσχέθηκε; Τὴν ἀνάσταση, τὴν ἀφθαρσία τῶν σωμάτων, τὴν ἕνωση μὲ τοὺς ἀγγέλους, τὴ χορεία μὲ τοὺς ἀρχαγγέλους, τὴ συναναστροφὴ μαζί του, τὴ ζωὴ τὴν ἀμόλυντη, τὰ ἀγαθά, «τὰ ὁποῖα μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ ἀνθρώπινος νοῦς δὲν τὰ συνέλαβε, τὰ ὁποῖα ὁ Θεὸς τὰ ἑτοίμασε γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν»[42].

16. Βάλτε αὐτὸ ποὺ λέγω καλὰ στὸ μυαλό σας, μὴν τὸ χάσετε· γι' αὐτὸ κουράζομαι, γιὰ νὰ τὸ καταλάβετε. Ἡ προίκα της λοιπὸν ἦταν χωρισμένη σὲ δύο, στὰ παρόντα καὶ στὰ μελλοντικά, σ' αὐτὰ ποὺ βλέπονται καὶ σ' ἐκεῖνα ποὺ ἀκούονται, σ' αὐτὰ ποὺ δόθηκαν καὶ σ' ἐκεῖνα ποὺ πιστεύονται, σ' αὐτὰ ποὺ δοκιμάζονται καὶ σ' ἐκεῖνα ποὺ θ' ἀπολαμβάνονται, στὰ ἀγαθὰ τῆς παρούσας ζωῆς καὶ στὰ ἀγαθὰ μετὰ τὴν ἀνάσταση. Αὐτὰ τὰ βλέπεις, ἐκεῖνα τὰ ἀκοῦς. Πρόσεχε λοιπὸν τί τῆς λέγει, γιὰ νὰ μὴ νομίσει πὼς αὐτὰ μόνο ἔλαβε, μολονότι βέβαια ἦταν μεγάλα καὶ ἀπόρρητα καὶ ἀνώτερα ἀπὸ κάθε σκέψη. «Ἄκουσε, θυγατέρα, καὶ δές»· ἄκουσε ἐκεῖνα καὶ βλέπε αὐτά, γιὰ νὰ μὴ λέγεις, πάλι μὲ τὴν ἐλπίδα; πάλι μὲ τὴν πίστη; πάλι στὸ μέλλον; Καὶ βλέπε· ἄλλα σοῦ δίνω, ἄλλα σοῦ ὑπόσχομαι· ἐκεῖνα λοιπὸν νὰ τὰ ἐλπίζεις, ἐνῶ αὐτὰ πάρε τα ἐγγύηση, αὐτὰ πάρε τα ἀρραβῶνα, αὐτὰ πάρε τα γιὰ ἀπόδειξη. Σοῦ ὑπόσχομαι τὴ βασιλεία· πιστεύε ἀπὸ τὰ παρόντα, πίστευε σὲ μένα.

Μοῦ ὑπόσχεται τὴ βασιλεία; Ναί. Τὸ μεγαλύτερο σοῦ τὸ ἔδωσα, τὸν Κύριο τῆς βασιλείας, «αὐτὸς ποὺ δὲ λυπήθηκε τὸν Υἱό του, ἀλλὰ τὸν παρέδωσε σὲ θάνατο γιὰ χάρη ὅλων μας, πῶς δὲ θὰ μᾶς χαρίσει μαζὶ μ' αὐτὸν τὰ πάντα;»[43]. Δίνεις τὴν ἀνάσταση τῶν σωμάτων; Ναί. Τὸ μεγαλύτερο σοῦ ἔδωσα. Ποιό; Τὴν ἀπαλλαγὴ ἀπὸ τὴν ἁμαρτία. Πῶς εἶναι τὸ μεγαλύτερο; Γιατὶ ἡ ἁμαρτία γέννησε τὸ θάνατο. Ἔσφαξα τὴ μητέρα, καὶ δὲ θὰ σφάξω τὸν υἱό της; Ξέρανα τὴ ρίζα, καὶ δὲ θὰ καταστρέψω τὸν καρπό; «Ἄκουσε, θυγατέρα, καὶ δές». Τί νὰ δῶ; Τοὺς νεκροὺς νὰ ἀνασταίνονται, τοὺς λεπροὺς νὰ καθαρίζονται, τὴ θάλασσα νὰ ἡμερώνει, τὸν παραλυτικὸ νὰ θεραπεύεται, τὸν

43. Ρωμ. 8,32.

*λασσαν, παραλυτικὸν σφιγγόμενον, παράδεισον ἀνοιγόμενον, ἄρτους πηγάζοντας, ἁμαρτήματα λυόμενα, χωλὸν πηδῶντα, λῃστὴν παραδείσου πολίτην γενόμενον, τελώνην εὐαγγελιστὴν γενόμενον, παρθένου σεμνοτέραν τὴν πόρνην. «Ἄκουσον καὶ ἴδε». Ἄκουσον ἐκεῖνα καὶ βλέπε ταῦτα. Ἀπὸ τῶν παρόντων λάβε ἀπόδειξιν· καὶ περὶ ἐκείνων ἔδωκά σοι ἐνέχυρα· ταῦτα ἐκείνων ἀμείνω. Καὶ τί θέλεις λέγειν; Ταῦτα ἐμά.*

*«Ἄκουσον θύγατερ, καὶ ἴδε». Ταῦτα ἡ προῖξ· τί εἰσφέρει ἡ νύμφη; Ἴδωμεν. Καὶ σὺ εἰσένεγκε. Τί ποτε, ἵνα μὴ ᾖς ἄπροικος. Ἐγὼ τί ἔχω, φησίν, εἰσενεγκεῖν ἀπὸ βωμῶν, ἀπὸ κνίσης, ἀπὸ δαιμόνων; Τί ἔχω εἰσενεγκεῖν; Τί; Γνώμην καὶ πίστιν. «Ἄκουσον θύγατερ, καὶ ἴδε». Καὶ τί θέλεις ποιήσω; «Ἐπιλάθου τοῦ λαοῦ σου». Ποίου λαοῦ; Τῶν δαιμόνων, τῶν εἰδώλων, τοῦ καπνοῦ, τῆς κνίσης, τοῦ αἵματος. «Καὶ ἴδε καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου πατρός σου». Ἄφες τὸν πατέρα καὶ δεῦρο πρός με. Ἐγὼ τὸν πατέρα ἀφῆκα, καὶ ἦλθον πρὸς σέ, καὶ σὺ οὐκ ἀφίῃς τὸν σὸν πατέρα; Ἀλλὰ τὸ ἀφῆκα ἐπὶ τοῦ υἱοῦ, μὴ ἐγκατάλειψιν νόμιζε. Συγκατέβην, ᾠκονόμηκα, σάρκα ἀνέλαβον. Τοῦτο νυμφίου, τοῦτο νύμφης, ἵνα καταλείψῃ τοὺς γονέας, καὶ ἀλλήλοις ἁρμοσώμεθα. «Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου». Καὶ τί μοι δίδως ἐὰν ἐπιλάθωμαι; «Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Ἔχεις ἐραστὴν τὸν Δεσπότην. Ἂν ἐκεῖνον ἐραστὴν ἔχῃς, τὰ ἐκείνου καὶ ἔχεις· ἐὰν δυνηθῆτε συνιδεῖν τὸ λεγόμενον· λεπτὸν γάρ ἐστι τὸ νόημα καὶ βούλομαι ἀπορράψαι Ἰουδαίων τὴν γλῶτταν.*

*Ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν· ἄν τε γὰρ ἀκούῃ τις, ἄν τε μὴ ἀκούῃ, ἐγὼ σκάπτω, ἐγὼ ἀροτριῶ. «Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Κάλλος ἐν-*

παράδεισο νὰ ἀνοίγεται, τοὺς ἄρτους νὰ πολλαπλασιάζονται, τὰ ἁμαρτήματα νὰ συγχωροῦνται, τὸ χωλὸ νὰ πηδάει, τὸ ληστὴ νὰ γίνεται πολίτης τοῦ παραδείσου, τὸν τελώνη νὰ γίνεται εὐαγγελιστής, τὴν πόρνη σεμνότερη ἀπὸ τὴν παρθένο. «Ἄκουσε καὶ δές». Ἄκουσε ἐκεῖνα καὶ βλέπε αὐτά. Ἀπὸ τὰ παρόντα πάρε ἀπόδειξη· καὶ γιὰ ἐκεῖνα σοῦ ἔδωσα ἐγγυήσεις· αὐτὰ θὰ εἶναι καλύτερα ἀπὸ τὰ παρόντα. Καὶ τί θέλεις νὰ λέγω; Αὐτὰ εἶναι δικά μου.

«Ἄκουσε, θυγατέρα, καὶ δές». Αὐτὰ εἶναι ἡ προίκα. Τί προσφέρει ἡ νύμφη; Ἂς δοῦμε. Καὶ σὺ πρόσφερε. Κάτι τέλος πάντων, γιὰ νὰ μὴν εἶσαι χωρὶς προίκα. Ἐγὼ τί μπορῶ, λέγει, νὰ προσφέρω ἀπὸ τοὺς βωμούς, ἀπὸ τὴν κνίσα, ἀπὸ τοὺς δαίμονες; τί μπορῶ νὰ προσφέρω; Τί; Διάθεση καὶ πίστη. «Ἄκουσε, θυγατέρα, καὶ δές». Καὶ τί θέλεις νὰ κάμω; «Ξέχασε τὸ λαό σου». Ποιό λαό; Τοὺς δαίμονες, τὰ εἴδωλα, τὸν καπνό, τὴν κνίσα, τὸ αἷμα. «Καὶ δὲς καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι». Ἄφησε τὸν πατέρα σου καὶ ἔλα σὲ μένα. Ἐγὼ ἄφησα τὸν Πατέρα μου καὶ ἦρθα σὲ σένα, καὶ σὺ δὲν ἀφήνεις τὸ δικό σου πατέρα; Ἀλλὰ τὸ «ἄφησα» στὴν περίπτωση τοῦ Υἱοῦ μὴν τὸ θεωρεῖς ἐγκατάλειψη. Ἔδειξα συγκατάβαση, προνόησα, ἔλαβα σάρκα. Αὐτὸ εἶναι γνώρισμα τοῦ νυμφίου, αὐτὸ τῆς νύμφης, γιὰ νὰ ἐγκαταλείψει τοὺς γονεῖς, καὶ νὰ ἑνωθοῦμε ὁ ἕνας μὲ τὸν ἄλλο. «Ἄκουσε, θυγατέρα, καὶ δὲς καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι». Καὶ τί μοῦ δίνεις ἂν ξεχάσω; «Τότε ὁ βασιλιὰς θὰ ἐπιθυμήσει τὴν ὀμορφιά σου»[44]. Ἔχεις ἐραστὴ τὸν Κύριο. Ἂν ἔχεις αὐτὸν ἐραστή, ἔχεις καὶ τὰ δικά του. Εἴθε νὰ μπορέσετε νὰ καταλάβετε τὸ λεγόμενο, γιατὶ τὸ νόημά του εἶναι λεπτὸ καὶ θέλω νὰ κλείσω τὸ στόμα τῶν Ἰουδαίων.

Ἀλλὰ δῶστε, σᾶς παρακαλῶ, πιὸ μεγάλη προσοχή· γιατὶ εἴτε ἀκούει κανεὶς εἴτε δὲν ἀκούει, ἐγὼ σκάβω, ἐγὼ ὀργώνω. «Ἄκουσε, θυγατέρα, καὶ δὲς καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι, καὶ τότε θὰ ἐπιθυμήσει ὁ βασιλιὰς τὴν ὀμορ-

44. Ψαλμ. 44,12.

*ταῦθα τὸ αἰσθητὸν λέγει ὁ Ἰουδαῖος, οὐχὶ τὸ νοητόν, ἀλλὰ τὸ σωματικόν.*

*17. Πρόσχες, μάθωμεν τί ἐστι σωματικὸν κάλλος καὶ τί ἐστι νοητόν. Ἔστι ψυχή, ἔστι σῶμα, δύο οὐσίαι εἰσίν· ἔστι κάλλος σώματος καὶ ἔστι κάλλος ψυχῆς. Τί ἐστι κάλλος σώματος; Ὀφρὺς ἐκτεταμένη, ὀφθαλμὸς μειδιῶν, παρειὰ ἐρυθραινομένη, χείλη φοινικίζοντα, τράχηλος ἀνεστηκώς, κόμη κραδαινομένη, δάκτυλοι εὐμήκεις, ἡλικία ἀνεστηκυῖα, λευκότης ἐπανθοῦσα. Τοῦτο τὸ κάλλος τὸ σωματικὸν ἀπὸ φύσεως γίνεται, ἢ ἀπὸ προαιρέσεως; Ὡμολόγηται, ὅτι ἀπὸ φύσεως. Πρόσεχε ἵνα μάθῃς φιλοσόφων νοήματα. Τοῦτο τὸ κάλλος, τὸ τῆς ὄψεως, τὸ τοῦ ὀφθαλμοῦ, τὸ τῆς κόμης, τὸ τοῦ μετώπου, φύσεως γίνεται, ἢ ἀπὸ προαιρέσεως; Εὔδηλον ὅτι ἀπὸ φύσεως γίνεται. Ἡ γὰρ ἄμορφος, κἂν μυρία φιλοκαλήσῃ, εὔμορφος γενέσθαι οὐ δύναται κατὰ τὸ σῶμα· τὰ γὰρ τῆς φύσεως ἀκίνητα, ὅροις πεπέδηται, μὴ μεταβαίνοντα. Ἡ τοίνυν καλή, ἀεὶ καλή, κἂν ἔχῃ φιλοκαλίαν· ἡ δὲ ἄμορφος εὔμορφον ποιῆσαι οὐ δύναται, οὐδὲ ἡ εὔμορφος ἄμορφον. Διὰ τί; Ἐπειδὴ φύσεώς ἐστι ταῦτα. Εἶδες οὖν σωματικὸν κάλλος;*

*Ἄγωμεν ἔσω εἰς τὴν ψυχήν· ἡ δούλη πρὸς τὴν δέσποιναν. Πρὸς τὴν ψυχὴν ἄγωμεν. Βλέπε ἐκεῖνο κάλλος, μᾶλλον δὲ ἄκουε ἐκεῖνο· οὐ γὰρ δύνασαι αὐτὸ ἰδεῖν· ἀόρατον γάρ ἐστιν. Ἄκουε ἐκεῖνο τὸ κάλλος. Τί οὖν ἐστι κάλλος ψυχῆς; Σωφροσύνη, ἐπιείκεια, ἐλεημοσύνη, ἀγάπη, φιλαδελφία, φιλοστοργία, ὑπακοὴ Θεοῦ, νόμου πλήρωσις, δικαιοσύνη, συντριβὴ διανοίας. Ταῦτα κάλλη ψυχῆς. Ταῦτα τοίνυν οὐκ ἔστι φύσεως, ἀλλὰ προαιρέσεως. Καὶ ὁ μὴ ἔχων, δύναται ταῦτα λαβεῖν, ὁ δὲ ἔχων, ἐὰν ῥᾳθυμήσῃ, ἀπώλεσεν. Ὥσπερ γὰρ ἔλεγον ἐπὶ τοῦ σώματος, ὅτι ἡ ἄμορφος εὔμορφος γενέσθαι οὐ δύναται, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς τὸ ἐναντίον λέγω, ὅτι ἡ ἄμορφος ψυχὴ εὔμορφος γενέσθαι δύναται. Τί γὰρ ἀμορφότερον τῆς ψυχῆς Παύλου, ὅτε βλάσφημος ἦν καὶ ὑβριστής; τί δὲ εὐμορφότερον αὐτοῦ, ὅτε ἔλεγε, «τὸν*

φιά σου». Ὀμορφιὰ ἐδῶ ὁ Ἰουδαῖος ἐννοεῖ τὴν αἰσθητή, ὄχι τὴν πνευματική, ἀλλὰ τὴ σωματική.

17. Πρόσεχε, ἂς μάθουμε τί εἶναι ἡ σωματικὴ ὀμορφιὰ καὶ τί εἶναι ἡ νοητή. Ὑπάρχει ἡ ψυχή, ὑπάρχει τὸ σῶμα, δύο οὐσίες ὑπάρχουν. Ὑπάρχει ὀμορφιὰ τοῦ σώματος καὶ ὑπάρχει ὀμορφιὰ τῆς ψυχῆς. Τί εἶναι ἡ ὀμορφιὰ τοῦς σώματος; Φρύδι ἁπλωμένο, μάτι γελαστό, μάγουλο κόκκινο, χείλη πορφυρά, λαιμὸς ὄρθιος, μαλλιὰ κυματιστά, δάκτυλα μακριά, σῶμα ὄρθιο, λευκὸ χρῶμα ἔντονο. Αὐτὴ ἡ ὀμορφιὰ ἡ σωματικὴ γίνεται ἀπὸ τὴ φύση ἢ ἀπὸ τὴν προαίρεση; Εἶναι γενικὰ ἀποδεκτὸ πὼς ἀπὸ τὴ φύση γίνεται. Πρόσεχε γιὰ νὰ μάθεις φιλοσοφικὲς σκέψεις. Αὐτὴ ἡ ὀμορφιά, τοῦ προσώπου, τοῦ ματιοῦ, τῶν μαλλιῶν, τοῦ μετώπου γίνεται ἀπὸ τὴ φύση ἢ ἀπὸ τὴν προαίρεση; Εἶναι ὁλοφάνερο πὼς γίνεται ἀπὸ τὴ φύση. Γιατὶ ἡ ἄσχημη, καὶ ἂν ἀκόμη καλλωπισθεῖ ἄπειρες φορές, δὲν μπορεῖ νὰ γίνει ὄμορφη στὸ σῶμα, ἀφοῦ τὰ ἔργα τῆς φύσης εἶναι ἀκίνητα, δεμένα μὲ νόμους, δὲν ἀλλάζουν. Ἡ ὄμορφη λοιπὸν εἶναι πάντοτε ὄμορφη, ἔστω καὶ ἂν δὲν καλλωπίζεται· ἡ ἄσχημη ὅμως δὲν μπορεῖ νὰ κάμει κάτι ὄμορφο, οὔτε ἡ ὄμορφη ἄσχημο. Γιατί; Ἐπειδὴ αὐτὰ ἀνήκουν στὴ φύση. Εἶδες λοιπὸν τὴ σωματικὴ ὀμορφιά;

Ἂς ἔρθουμε μέσα στὴν ψυχή· ἡ δούλη στὴν κυρία. Στὴν ψυχὴ ἂς ἔρθουμε. Βλέπε ἐκείνη τὴν ὀμορφιά, ἢ καλύτερα ἄκου την, γιατὶ δὲν μπορεῖς νὰ τὴν δεῖς, ἀφοῦ εἶναι ἀόρατη. Ἄκου ἐκείνη τὴν ὀμορφιά. Ποιὰ εἶναι λοιπὸν ἡ ὀμορφιὰ τῆς ψυχῆς; Ἡ σωφροσύνη, ἡ ἐπιείκεια, ἡ ἐλεημοσύνη τοῦ νόμου, ἡ δικαιοσύνη, ἡ συντριβὴ τοῦ νοῦ. Αὐτὰ εἶναι οἱ ὀμορφιὲς τῆς ψυχῆς. Αὐτὰ λοιπὸν δὲν ἀνήκουν στὴ φύση, ἀλλὰ στὴν προαίρεση. Καὶ αὐτὸς ποὺ δὲν τὰ ἔχει μπορεῖ νὰ τὰ λάβει, ἐνῶ ἐκεῖνος ποὺ τὰ ἔχει ἂν ἀδιαφορήσει, τὰ ἔχασε. Γιατί, ὅπως ἔλεγα γιὰ τὸ σῶμα, ὅτι δηλαδὴ ἡ ἄσχημη δὲν μπορεῖ νὰ γίνει ὄμορφη, ἔτσι καὶ γιὰ τὴν ψυχὴ τὸ ἀντίθετο λέγω, ὅτι δηλαδὴ ἡ ἄσχημη ψυχὴ μπορεῖ νὰ γίνει ὄμορφη. Γιατὶ τί ὑπῆρχε πιὸ ἄσχημο ἀπὸ τὴν ψυχὴ τοῦ Παύλου ὅταν ἦταν βλάσφημος καὶ ὑβριστής, καὶ τί πιὸ ὄμορφο

ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα»; Τί ἀμορφότερον τῆς ψυχῆς τοῦ λῃστοῦ; Τί δὲ εὐμορφότερον αὐτοῦ ἐγένετο, ὅτε ὑπήκουσν, «ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»; Τί ἀμορφότερον τοῦ τελώνου, ὅτε ἥρπασε; Τί δὲ εὐμορφότερον, ὅτε τὴν οἰκείαν ἔδωκε γνώμην;

Ὁρᾷς ὅτι τὴν εὐμορφίαν τοῦ σώματος οὐ δύνασαι μεταλλάσσειν. Οὐ γάρ ἐστι προαιρέσεως, ἀλλὰ φύσεως. Ἡ δὲ τῆς ψυχῆς εὐμορφία ἐκ τῆς προαιρέσεως ἡμῖν πορίζεται. Ἔλαβες τοὺς ὅρους. Ποίους; Ὅτι τὸ κάλλος τῆς ψυχῆς ἀπὸ ὑπακοῆς τοῦ Θεοῦ. Ἐὰν γὰρ ὑπακούσῃ τῷ Θεῷ ἡ ἄμορφος ψυχή, ἀποτίθεται τὴν ἀμορφία, καὶ γίνεται εὔμορφος. «Σαῦλε, Σαῦλε, τί με διώκεις; Ὁ δέ, καὶ τίς εἶ, Κύριε; Ἐγώ εἰμι Ἰησοῦς». Καὶ ὑπήκουσε καὶ ἡ ὑπακοὴ τὴν ἄμορφον ψυχὴν εὔμορφον ἐποίησε. Πάλιν τῷ τελώνῃ λέγει, «δεῦρο, ἀκολούθει μοι». Καὶ ἀνέστη ὁ τελώνης καὶ ἐγένετο ἀπόστολος· ἡ ἄμορφος ψυχὴ ἐγένετο εὔμορφος. Πόθεν; Ἀπὸ ὑπακοῆς. Πάλιν τοῖς ἁλιεῦσι λέγει, «δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων», καὶ ἀπὸ τῆς ὑπακοῆς ἐγένετο εὔμορφος αὐτῶν ἡ διάνοια.

Ἴδωμεν ὧδε ποῖον λέγει κάλλος. «Ἄκουσον θύγατερ, καὶ ἴδε καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου». Ποῖον κάλλος ἐπιθυμήσει; Τὸ ψυχικόν. Πόθεν; Ὅτι ἐπελάθετο. Λέγει, «ἄκουσον οὖν καὶ ἐπιλάθου». Ταῦτα προαιρέσεώς ἐστιν. «Ἄκουσον», εἶπεν. Ἄμορφος ἀκούει καὶ ἡ ἀμορφία αὕτη οὐ λύεται ἡ τοῦ σώματος. Εἰπὲ τῇ ἁμαρτωλῷ, ἄκουσον καὶ εἰ ὑπακούσει, βλέπε οἷα ἡ εὐμορφία. Ἐπεὶ οὖν ἡ ἀμορφία τῆς νύμφης οὐκ ἦν φυσική, ἀλλὰ προαιρετικὴ (οὐ γὰρ ἤκουσε τοῦ Θεοῦ, ἀλλὰ πα-

45. Β' Τιμ. 4.7.
46. Λουκᾶ 23,43.
47. Πράξ. 9,4–5.

ἀπ' αὐτὸν ὅταν ἔλεγε, «τὸν ἀγώνα τὸν καλὸ ἀγωνίσθηκα, τὸ δρόμο τελείωσα, τὴν πίστη τήρησα»[45]; Τί πιὸ ἄσχημο ἀπὸ τὴν ψυχὴ τοῦ ληστῆ; καὶ τί ἔγινε πιὸ ὄμορφο ἀπ' αὐτόν, ὅταν ἄκουσε, «ἀλήθεια σοῦ λέγω, σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο»[46]; Τί πιὸ ἄσχημο ἀπὸ τὸν τελώνη ὅταν ἔκλεβε; καὶ τί πιὸ ὄμορφο ὅταν ἔδωσε τὴ δική του διάθεση;


Βλέπεις πὼς τὴν ὀμορφιὰ τοῦ σώματος δὲν μπορεῖς νὰ τὴν ἀλλάξεις. Γιατὶ δὲν ἐξαρτᾶται ἀπὸ τὴν προαίρεση, ἀλλὰ ἀπὸ τὴ φύση. Ἡ ὀμορφιὰ ὅμως τῆς ψυχῆς ἀποκτᾶται ἀπὸ τὴν προαίρεση. Ἔλαβες τοὺς νόμους. Ποιούς; Ὅτι ἡ ὀμορφιὰ τῆς ψυχῆς προέρχεται ἀπὸ τὴν ὑπακοὴ στὸ Θεό. Γιατί, ἂν ἡ ἄσχημη ψυχὴ ὑπακούσει στὸ Θεό, ἀποβάλλει τὴν ἀσχήμια της καὶ γίνεται ὄμορφη. «Σαῦλε, Σαῦλε, γιατὶ μὲ καταδιώκεις; Καὶ εἶπε, ποιός εἶσαι, Κύριε; Ἐγὼ εἶμαι ὁ Ἰησοῦς»[47]. Καὶ ὑπάκουσε, καὶ ἡ ὑπακοὴ ἔκαμε τὴν ἄσχημη ψυχὴ ὄμορφη. Πάλι στὸν τελώνη λέγει, «ἔλα, ἀκολούθα με»[48]. Καὶ ὁ τελώνης σηκώθηκε καὶ ἔγινε ἀπόστολος· ἡ ἄσχημη ψυχὴ ἔγινε ὄμορφη. Ἀπὸ ποῦ; Ἀπὸ τὴν ὑπακοή. Πάλι στοὺς ψαράδες λέγει, «ἐλᾶτε, ἀκολουθῆστε με, καὶ θὰ σᾶς κάνω νὰ γίνετε ψαράδες ἀνθρώπων»[49]· καὶ ἀπὸ τὴν ὑπακοὴ ἔγινε ὄμορφη ἡ ψυχή τους.

Ἂς δοῦμε ἐδῶ ποιὰ ὀμορφιὰ λέγει. «Ἄκουσε, θυγατέρα, καὶ δές, καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι, καὶ τότε ὁ βασιλιὰς θὰ ἐπιθυμήσει τὴν ὀμορφιά σου». Ποιά ὀμορφιὰ θὰ ἐπιθυμήσει; Τὴν ψυχική. Ἀπὸ ποῦ; Γιατὶ ξέχασε. Λέγει, «ἄκουσε λοιπὸν καὶ ξέχασε». Αὐτὰ ἀνήκουν στὴν προαίρεση. «Ἄκουσε», εἶπε. Ἡ ἄσχημη ἀκούει, καὶ ἡ σωματική της ἀσχήμια δὲ διορθώνεται. Πὲς στὴν ἁμαρτωλή, 'ἄκουσε', καὶ ἂν ὑπακούσει, βλέπε ποιὰ εἶναι ἡ ὀμορφιά της. Ἀφοῦ λοιπὸν ἡ ἀσχήμια τῆς νύμφης δὲν ἦταν φυσική, ἀλλὰ προαιρετικὴ (γιατὶ δὲν ἄκουσε τὸ Θεό, ἀλλὰ τὸν παράκουσε), γι' αὐτὸ τὴν ὁδηγεῖ μὲ

48. Ματθ. 8,9.
49. Ματθ. 4,19.

*ρέβη), διὰ τοῦτο ἑτέρῳ φαρμάκῳ ἄγει αὐτήν. Ἄμορφος τοίνυν ἐγένου, οὐκ ἀπὸ φύσεως, ἀλλὰ προαιρέσεως· καὶ εὔμορφος ἐγένου ἀπὸ ὑπακοῆς. «Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου».*


*Εἶτα ἵνα μάθῃς, ὅτι οὐδὲν λέγει αἰσθητόν, ἀκούων τὸ κάλλος, μὴ ὀφθαλμὸν νομίσῃς, μὴ ῥῖνα, μὴ στόμα, μηδὲ τράχηλον, ἀλλ' εὐλάβειαν, πίστιν, ἀγάπην, τὰ ἔνδον· «πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν». Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, τῷ δοτῆρι, ὅτι αὐτῷ πρέπει μόνῳ δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*



ἄλλο φάρμακο. Ἄσχημη λοιπὸν ἔγινες ὄχι ἀπὸ τὴ φύση, ἀλλὰ ἀπὸ τὴν προαίρεσή σου· καὶ ὄμορφη ἔγινες ἀπὸ τὴν ὑπακοή σου. «Ἄκουσε, θυγατέρα, καὶ δὲς καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι, καὶ τότε ὁ βασιλιὰς θὰ ἐπιθυμήσει τὴν ὀμορφιά σου».

Ἔπειτα γιὰ νὰ μάθεις, ὅτι δὲν ἐννοεῖ τίποτε τὸ αἰσθητό, ὅταν ἀκοῦς γιὰ τὴν ὀμορφιά, μὴ νομίσεις τὸ μάτι, οὔτε τὴ μύτη, οὔτε τὸ στόμα, οὔτε τὸ λαιμό, ἀλλὰ τὴν εὐλάβεια, τὴν πίστη, τὴν ἀγάπη, τὰ ἐσωτερικά μας κάλλη. «Γιατὶ ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ βασιλιᾶ προέρχεται ἀπὸ μέσα της»[50]. Καὶ γιὰ ὅλα αὐτὰ ἂς εὐχαριστήσουμε τὸ Θεό, τὸν εὐεργέτη, γιατὶ σ' αὐτὸν μόνο ἀνήκει ἡ δόξα, ἡ τιμή, ἡ δύναμη, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.


50. Ψαλμ. 44,14.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ Ο ΣΑΤΟΡΝΙΝΟΣ ΚΑΙ ΑΥΡΗΛΙΑΝΟΣ ΕΞΟΡΙΣΘΗΚΑΝ

### καὶ ὁ Γαϊνᾶς ἔφυγε ἀπὸ τὴν πόλη
### καὶ
### Περὶ φιλαργυρίας



## *ΟΜΙΛΙΑ*

## *ΟΤΕ ΣΑΤΟΡΝΙΝΟΣ ΚΑΙ ΑΥΡΗΛΙΑΝΟΣ ΕΞΩΡΙΣΘΗΣΑΝ*

*καὶ Γαϊνᾶς ἐξῆλθε τῆς πόλεως·*

*καὶ περὶ φιλαργυρίας*

*1. Πολὺν ἐσίγησα χρόνον, καὶ διὰ μακροῦ πάλιν πρὸς τὴν ὑμετέραν ἐπανῆλθον ἀγάπην· ἀλλ' οὐ ῥαθυμίᾳ τινὶ καὶ ὄκνῳ σώματος, ἀλλὰ τὰς ταραχὰς καταστέλλων, τὰ κύματα κοιμίζων, τὸν χειμῶνα διορθούμενος, τοὺς ναυαγοῦντας ἀνιμώμενος, τοὺς γινομένους ὑποβρυχίους πρὸς λιμένα καὶ γαλήνην χειραγωγῆσαι σπεύδων. Κοινὸς γάρ εἰμι πάντων πατήρ, καὶ οὐ τῶν ἑστώτων μόνον, ἀλλὰ καὶ τῶν πεπτωκότων φροντίζειν ἀναγκαῖον· οὐχὶ τῶν ἐξουρίας φερομένων, ἀλλὰ καὶ τῶν κλυδωνιζομένων· οὐχὶ τῶν ἐν ἀσφαλείᾳ, ἀλλὰ καὶ τῶν ἐν κινδύνοις. Διὰ δὴ ταῦτα τὸν παρελθόντα ἀπελείφθην ἐνδοὺς χρόνον περιιών, παρακαλῶν, δεόμενος, ἱκετεύων τοῖς κυρίοις λυθῆναι τὴν συμφοράν. Καὶ ἐπειδὴ τέλος ἔλαβεν ἐκεῖνα τὰ σκυθρωπά, πάλιν πρὸς ὑμᾶς ἐπανῆλθον τοὺς ἐν ἀσφαλείᾳ ὄντας, τοὺς μετὰ πολλῆς πλέοντας τῆς γαλήνης.*

*Πρὸς ἐκείνους ἀφικόμην ὥστε λῦσαι τὸν χειμῶνα· πρὸς ὑμᾶς ἐπανῆλθον, ὥστε μὴ γενέσθαι χειμῶνα. Πρὸς ἐκείνους ἀπῄειν, ἵνα ἀπαλλάξω τῶν λυπηρῶν· πρὸς ὑμᾶς παρεγενόμην,*



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ Ο ΣΑΤΟΡΝΙΝΟΣ ΚΑΙ Ο ΑΥΡΗΛΙΑΝΟΣ ΕΞΟΡΙΣΘΗΚΑΝ

καὶ ὁ Γαϊνᾶς ἔφυγε ἀπὸ τὴν πόλη·
καὶ περὶ φιλαργυρίας.

1. Πολὺ χρόνο σιώπησα καὶ ὕστερα ἀπὸ πολὺ καιρὸ ἐπέστρεψα πάλι στὴν ἀγάπη σας, ὄχι βέβαια ἀπὸ κάποια ἀδιαφορία καὶ ἀπὸ σωματικὴ ὀκνηρία, ἀλλὰ γιατὶ σταματοῦσα τὶς ταραχές, ἠρεμοῦσα τὰ κύματα, διόρθωνα τὴν τρικυμία, ἀνέσυρα τοὺς ναυαγούς, ἔτρεχα νὰ ὁδηγήσω ἐκείνους ποὺ βυθίζονταν σὲ λιμάνι καὶ μὲ γαλήνη. Γιατὶ εἶμαι κοινὸς πατέρας ὅλων καὶ πρέπει νὰ φροντίζω ὄχι μόνο γι' αὐτοὺς ποὺ στέκονται ὄρθιοι, ἀλλὰ καὶ γι' αὐτοὺς ποὺ ἔχουν πέσει· ὄχι γι' αὐτοὺς ποὺ εἶναι ἀσφαλεῖς, ἀλλὰ καὶ γι' αὐτοὺς ποὺ κινδυνεύουν. Γι' αὐτὸ ἀκριβῶς ἀναγκάσθηκα ν' ἀπουσιάσω τὸν προηγούμενο καιρό, γιατὶ ἔτρεχα παντοῦ, παρηγορώντας, παρακαλώντας, καὶ ἱκετεύοντας τοὺς ἄρχοντες, ὥστε νὰ διαλυθεῖ ἡ συμφορά. Καὶ ἀφοῦ ἔλαβαν τέλος ἐκεῖνα τὰ δυσάρεστα πράγματα, πάλι ἐπέστρεψα σὲ σᾶς ποὺ βρίσκεστε σὲ ἀσφάλεια, ποὺ ταξιδεύετε μὲ πολλὴ γαλήνη.

Σ' ἐκείνους πῆγα γιὰ νὰ λύσω τὴν τρικυμία, σὲ σᾶς ἐπέστρεψα γιὰ νὰ μὴ γίνει τρικυμία. Σ' ἐκείνους πῆγα γιὰ νὰ τοὺς ἀπαλλάξω ἀπὸ τὰ λυπηρά, σὲ σᾶς ἦρθα γιὰ νὰ μὴν πέσετε στὰ

*ἵνα μὴ περιπέσητε τοῖς σκυθρωποῖς. Ὥσπερ οὐχὶ τῶν ἑστώτων δεῖ φροντίζειν μόνον, ἀλλὰ καὶ τῶν πεπτωκότων, οὕτω πάλιν οὐχὶ τῶν πεπτωκότων μόνον, ἀλλὰ καὶ τῶν ἑστώτων· ἐκείνων μέν, ἵνα ἀναστῶσιν, τούτων δέ, ἵνα μὴ καταπέσωσιν· ἐκείνων μέν, ἵνα ἀπαλλαγῶσι τῶν κατεχόντων δεινῶν, τούτων δὲ ἵνα μὴ περιπέσωσι τοῖς προσδοκωμένοις λυπηροῖς. Οὐδὲν γὰρ βέβαιον, οὐδὲν ἀκίνητον τῶν ἀνθρωπίνων πραγμάτων, ἀλλὰ μιμεῖται θάλασσαν μαινομένην, καὶ καθ' ἑκάστην ἡμέραν ὠδίνει ναυάγια ξένα καὶ χαλεπά.*

*Πάντα θορύβων γέμει καὶ ταραχῆς· πάντα σκόπελοι καὶ κρημνοί· πάντα ὕφαλοι καὶ σπιλάδες· πάντα φόβοι, καὶ κίνδυνοι, καὶ ὑποψίαι, καὶ τρόμοι, καὶ ἀγωνίαι. Οὐδεὶς οὐδενὶ θαρρεῖ, τὸν πλησίον ἕκαστος δέδοικεν. Ἐκεῖνος πάρεστιν ὁ καιρὸς τάχα, ὃν ὁ προφήτης ὑπογράφων ἔλεγε· «μὴ πιστεύετε ἐν φίλοις καὶ ἐπὶ ἡγουμένοις μὴ ἐλπίζετε»· ἕκαστος ἀπὸ τοῦ πλησίον ἀφέξεσθε· «ἀπὸ τῆς συγκοίτου σου φύλαξον τοῦ ἀναθέσθαι αὐτῇ». Τί δήποτε; Ὅτι καιρὸς πονηρός ἐστιν, «ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύεται». Οὐκ ἔστι φίλος ἀσφαλής, οὐκ ἀδελφὸς βέβαιος. Ἀνήρηται τὸ τῆς ἀγάπης καλόν· ἐμφύλιος ἅπαντα κατέχει πόλεμος, ἐμφύλιος, καὶ οὔτε οὗτος δῆλος, ἀλλὰ συνεσκιασμένος. Μυρία πανταχοῦ προσωπεῖα. Πολλαὶ τῶν προβάτων αἱ δοραί, ἀναρίθμητοι πανταχοῦ κεκρυμμένοι λύκοι· καὶ ἀσφαλέστερον ἄν τις ἐν πολεμίοις μᾶλλον βιώσειεν, ἢ ἐν τοῖς δοκοῦσιν εἶναι φίλοις. Οἱ χθὲς θεραπεύοντες, οἱ κολακεύοντες, οἱ χεῖρας καταφιλοῦντες, ἀθρόον νῦν πολέμιοι ἀνεφάνησαν καὶ τὰ προσωπεῖα ῥίψαντες, κατηγόρων ἁπάντων πικρότεροι γεγόνασιν, ὑπὲρ ὧν πρώην χάριτας ὡμολόγουν, ὑπὲρ τούτων ἐγκαλοῦντες καὶ διαβάλλοντες.*

1. Μιχ. 7,5.

δυσάρεστα. Ὅπως ἀκριβῶς δὲν πρέπει νὰ φροντίζει κανεὶς μόνο γι' αὐτοὺς ποὺ στέκονται ὄρθιοι, ἀλλὰ καὶ γι' αὐτοὺς ποὺ ἔχουν πέσει, ἔτσι πάλι δὲν πρέπει νὰ φροντίζει μόνο γι' αὐτοὺς ποὺ ἔπεσαν, ἀλλὰ καὶ γι' αὐτοὺς ποὺ στέκονται ὄρθιοι· γιὰ ἐκείνους, ὥστε ν' ἀπαλλαγοῦν ἀπὸ τὰ δεινὰ ποὺ τοὺς κατέχουν, ἐνῶ γι' αὐτούς, ὥστε νὰ μὴν πέσουν στὰ προσδοκώμενα λυπηρά. Γιατὶ τίποτε δὲν εἶναι βέβαιο, τίποτε δὲν εἶναι ἀκίνητο ἀπὸ τὰ ἀνθρώπινα πράγματα, ἀλλὰ μιμοῦνται τὴ μανιασμένη θάλασσα καὶ καθημερινὰ γεννοῦν ναυάγια παράξενα καὶ φοβερά.

Ὅλα εἶναι γεμάτα θορύβους καὶ ταραχή· ὅλα σκόπελοι καὶ γκρεμοί· ὅλα ὕφαλοι καὶ βράχια· ὅλα φόβοι, καὶ κίνδυνοι, καὶ ὑποψίες, καὶ τρόμοι, καὶ ἀγωνίες. Κανένας δὲν ἔχει ἐμπιστοσύνη σὲ κανέναν, ἀλλ' ὁ καθένας φοβᾶται τὸν πλησίον του. Ἔφθασε ἴσως ἐκεῖνος ὁ καιρός, τὸν ὁποῖο περιγράφοντάς τον ὁ προφήτης, ἔλεγε· «μὴν ἔχετε ἐμπιστοσύνη στοὺς φίλους, καὶ μὴν ἐλπίζετε στοὺς ἄρχοντες»[1]· ὅλοι νὰ προφυλάσσεσθε ἀπὸ τὸν πλησίον σας· «ἀπὸ τὴ σύζυγό σου φυλάξου νὰ τὴν ἐμπιστευθεῖς». Γιατί ἄραγε; Γιατὶ ὁ καιρὸς εἶναι πονηρός· «γιατὶ κάθε ἀδελφὸς θὰ κλωτσήσει καὶ κάθε φίλος φέρεται μὲ δολιότητά»[2]. Δὲν ὑπάρχει φίλος σίγουρος, δὲν ὑπάρχει ἀδελφὸς βέβαιος. Ἐξαφανίστηκε τὸ καλὸ τῆς ἀγάπης· τὰ πάντα τὰ κατέχει ἐμφύλιος πόλεμος, ἐμφύλιος, καὶ ποὺ δὲν εἶναι φανερός, ἀλλὰ κρυφός. Ἄπειρα προσωπεῖα παντοῦ. Πολλὰ τὰ δέρματα τῶν προβάτων, ἀναρίθμητοι παντοῦ οἱ κρυμμένοι λύκοι καὶ θὰ μποροῦσε κανεὶς νὰ ζήσει πολὺ περισσότερο ἀσφαλέστερος ἀναμέσα σ' ἐχθρούς, παρὰ σ' αὐτοὺς ποὺ φαίνονται πὼς εἶναι φίλοι. Αὐτοὶ ποὺ χθὲς περιποιοῦνταν, αὐτοὶ ποὺ κολάκευαν, αὐτοὶ ποὺ φιλοῦσαν τὰ χέρια, ξαφνικὰ τώρα ἐμφανίσθηκαν ἐχθροὶ καί, ἀφοῦ ἔρριξαν τὰ προσωπεῖα τους, ἔγιναν πιὸ πικροὶ ἀπ' ὅλους τοὺς κατηγόρους, καὶ αὐτοὺς ποὺ πρὶν εὐγνωμονοῦσαν, αὐτοὺς τοὺς κατηγοροῦν καὶ τοὺς συκοφαντοῦν.

---

2. Ἱερ. 9,4.

*2. Τί οὖν πάντων αἴτιον; Τούτων ὁ τῶν χρημάτων ἔρως, ἡ περὶ τὴν φιλαργυρίαν μανία, τὸ νόσημα ἀνίατον, ἡ κάμινος ἡ μηδέποτε σβεννυμένη, ἡ τυραννὶς ἡ πανταχοῦ τῆς οἰκουμένης ἐκτεταμένη. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς ἃ πρότερον ἐλέγομεν, καὶ νῦν λέγοντες οὐ παυσόμεθα, καίτοι πολλοὶ πρώην ἡμῖν ἐνεκάλουν, καὶ ταῦτα ἔλεγον· οὐ παύῃ κατὰ τῶν πλουτούντων ὁπλιζόμενος τῇ γλώττῃ; Οὐ παύῃ συνεχῶς τοιούτοις πολεμῶν; Μὴ ἐγὼ τούτοις πολεμῶ; Μὴ ἐγὼ κατ' αὐτῶν ὁπλίζομαι; Οὐκ ἐγὼ μὲν ὑπὲρ αὐτῶν πάντα λέγω καὶ ποιῶ, αὐτοὶ δὲ κατ' αὐτῶν τὰ ξίφη ἠκόνησαν; Οὐκ ἔδειξε τῶν πραγμάτων ἡ πεῖρα, πῶς ἐγὼ μέν, ὁ ἐπιτιμῶν καὶ συνεχῶς ἐγκαλῶν, τὸ συμφέρον ἐζήτουν, πολέμιοι δὲ μᾶλλον ἐκεῖνοι, οἱ ἐπιτιμῶντες ταῦτα λέγουσιν ἡμῖν· «ἴδετε ἐπὶ τῶν πραγμάτων τὰ ῥήματα ἐξελθόντα τὰ ἡμέτερα.*

*Οὐκ ἀεὶ ἔλεγον, ὅτι δραπέτης ἐστὶν ὁ πλοῦτος ἀπὸ τούτου πρὸς ἐκεῖνον βαίνων; Καὶ εἴθε μετέβαινε μόνον, καὶ μὴ καὶ ἀπέκτεινεν· εἴθε μεθίστατο, καὶ μὴ καὶ ἀνῄρει. Νῦν δὲ καὶ ἐρήμους καταλιμπάνει τῆς αὐτοῦ προστασίας, καὶ τῷ ξίφει παραδίδωσι καὶ ἐπὶ τὸ βάραθρον ἄγει, προδότης ὢν χαλεπός, καὶ τούτοις μάλιστα πολεμῶν, τοῖς φιλοῦσιν αὐτόν. Δραπέτης ἐστὶν ἀγνώμων, ἀνδροφόνος ἀμείλικτος, θηρίον ἀτιθάσσευτον, κρυμνὸς πανταχόθεν ἀπότομος, σκόπελος διηνεκῶν κυμάτων γέμων, πέλαγος ὑπὸ μυρίων ἀνέμων διακοπτόμενον, τύραννος χαλεπῶς ἐπιτάττων, δεσπότης βαρβάρου τινὸς χαλεπώτερος, ἐχθρὸς ἄσπονδος, πολέμιος ἀκατάλλακτος, οὐδέποτε τὴν πρὸς τοὺς κεκτημένους αὐτὸν καταλύων ἔχθραν.*

*3. Ἀλλ' οὐχ ἡ πενία τοιοῦτον, ἀλλ' ἀπεναντίας τῶν εἰρημένων. Χωρίον γάρ ἐστιν ἄσυλον, λιμὴν γαληνός, ἀσφάλεια διηνεκής, τρυφὴ κινδύνων ἀπηλλαγμένη, ἡδονὴ εἰλικρινής, βίος ἀτάραχος, ζωὴ ἀκύμαντος, εὐπορία ἀκαταμάχητος, φιλοσοφίας μήτηρ, χαλινὸς ἀπονοίας, ἀναίρεσις κολάσεως, ῥίζα ταπεινο*

2. Ποιά λοιπὸν ἡ αἰτία γιὰ ὅλα; Ὁ ἔρωτάς τους γιὰ τὰ χρήματα, ἡ μανία γιὰ τὴ φιλαργυρία, ἡ ἀνίατη ἀρρώστια, τὸ καμίνι ποὺ δὲ σβήνει ποτέ, ἡ τυραννία ποὺ ἔχει ἁπλωθεῖ παντοῦ στὴν οἰκουμένη. Γι' αὐτὸ λοιπὸν καὶ μεῖς ἐκεῖνα ποὺ λέγαμε προηγουμένως, αὐτὰ δὲ θὰ σταματήσουμε νὰ τὰ λέμε καὶ τώρα, μολονότι πολλοὶ μᾶς κατηγοροῦσαν πρὶν καὶ ἔλεγαν αὐτά· δὲ σταματᾶς νὰ ὁπλίζεις τὴ γλώσσα σου ἐναντίον τῶν πλουσίων; δὲ σταματᾶς νὰ πολεμᾶς συνέχεια αὐτούς; Μήπως ἐγὼ τοὺς πολεμῶ; μήπως ἐγὼ ὁπλίζομαι ἐναντίον τους; Ἐγὼ δὲ λέγω καὶ δὲν κάνω τὰ πάντα γι' αὐτούς, ἐνῶ αὐτοὶ ἀκόνισαν τὰ ξίφη ἐναντίον τους; Δὲν ἔδειξε ἡ πεῖρα τῶν πραγμάτων πῶς ἐγώ, ποὺ τοὺς ἐλέγχω καὶ συνέχεια τοὺς κατηγορῶ, ζητοῦσα τὸ συμφέρον τους, καὶ πῶς ἐκεῖνοι μᾶλλον εἶναι ἐχθροί, ποὺ μᾶς ἐπιτιμοῦν ὅταν τὰ λέμε αὐτά; Δεῖτε τὰ λόγια μου ποὺ ἐπαληθεύτηκαν στὴν πράξη.

Δὲν ἔλεγα πάντοτε ὅτι ὁ πλοῦτος εἶναι δραπέτης, ἀφοῦ πηγαίνει ἀπὸ τὸν ἕνα στὸν ἄλλον; Καὶ εἴθε νὰ πήγαινε μόνο, καὶ νὰ μὴ σκότωνε· εἴθε νὰ ἔφευγε, καὶ νὰ μὴ φόνευε ἐπὶ πλέον. Τώρα ὅμως καὶ ἔρημους τοὺς ἀφήνει ἀπὸ τὴν προστασία του, καὶ στὸ ξίφος τοὺς παραδίνει, καὶ στὸ βάραθρο τοὺς ὁδηγεῖ, γιατὶ εἶναι προδότης φοβερὸς καὶ πολεμάει κυρίως αὐτοὺς ποὺ τὸν ἀγαποῦν. Εἶναι δραπέτης ἀχάριστος, ἀνθρωποκτόνος ἀμείλικτος, θηρίο ἀχαλίνωτο, γκρεμὸς ἀπὸ παντοῦ ἀπότομος, σκόπελος γεμάτος ἀπὸ διαρκὴ κύματα, πέλαγος ποὺ κτυπιέται ἀπὸ ἄπειρους ἀνέμους, τύραννος ποὺ μὲ φοβερὸ τρόπο προστάζει, κυρίαρχος πιὸ φοβερὸς ἀπὸ βάρβαρο, ἐχθρὸς ἄσπονδος, ἀντίπαλος ἀδιάλλακτος, ποὺ ποτὲ δὲ σταματάει τὴν ἔχθρα του γιὰ ἐκείνους ποὺ τὸν κατέχουν.

3. Ἡ φτώχεια ὅμως δὲν εἶναι τέτοιο πράγμα, ἀλλὰ τὸ ἀντίθετο ἀπ' αὐτὰ ποὺ λέχθηκαν. Γιατὶ εἶναι τόπος ἀπαραβίαστος, λιμάνι γαλήνιο, ἀσφάλεια παντοτινή, ἀπόλαυση ἀπαλλαγμένη ἀπὸ κινδύνους, ἡδονὴ πραγματική, βίος ἀτάραχος, ζωὴ χωρὶς κύματα, ἄνεση ἀκαταμάχητη, μητέρα τῆς φιλοσοφίας, χαλινάρι

φροσύνης. Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ταύτην φεύγοντες, ἐκείνην διώκετε τὴν πολεμίαν, τὴν ἀνδροφόνον, τὴν θηρίου παντὸς χαλεπωτέραν; Τοιοῦτον γὰρ ἡ φιλαργυρία· τοιοῦτον ἡ περὶ τὰ χρήματα μανία. Τί πολέμιον συγκατοικίζεις σαυτῷ διηνεκῆ διαπαντός; Τί τὸ θηρίον ἀγριαίνεις, ὃ τιθασσεύειν δέον; Καὶ πῶς ἂν γένοιτο, φησίν, χειροῆθες; Εἰ τῶν ἐμῶν ἀνάσχοισθε λόγων, κἂν νῦν ὅτε τὰ πτώματα ἔναυλα, ὅτε ἡ συμφορὰ ἀκμάζουσα, ὅτε πάντες ἐν θορύβῳ καὶ κατηφείᾳ. Πῶς οὖν τὸ θηρίον ἀπαλλαγῇ τοῦ θηρίον εἶναι; Δύναμαι γὰρ αὐτὸ μεταβάλλειν, ἐὰν ὑμεῖς θελήσητε· τοιαύτη γὰρ ἡ τῶν λόγων ἰσχύς. Πῶς ἂν οὖν μεταβληθείη τῆς θηριωδίας; Ἐὰν μάθωμεν, πῶς γίνεται χαλεπόν.

Πῶς οὖν γίνεται χαλεπόν; Ὥσπερ οἱ λέοντες, ὥσπερ αἱ παρδάλεις, ὥσπερ αἱ ἄρκτοι συγκλειόμεναι καὶ ἐν σκότῳ καθειργόμεναι διεγείρουσι τὸν θυμόν, αὔξουσι τὴν ὀργήν, οὕτω δὴ καὶ ὁ πλοῦτος συγκλειόμενος καὶ κατορυττόμενος λέοντος μᾶλλον ὠρύεται καὶ πάντοτε ἀνασοβεῖ· εἰ δὲ ἐξάγεις αὐτὸν ἐκ τοῦ σκότους καὶ διασπείρεις εἰς τὰς τῶν πενήτων γαστέρας, τὸ θηρίον γίνεται πρόβατον, ὁ ἐπίβουλος προστάτης, ὁ σκόπελος λιμήν, τὸ ναυάγιον γαλήνη. Ἐπεὶ καὶ ἐπὶ τῶν πλοίων τοῦτο ἂν ἴδοις· ὅταν ὑπὲρ ὄγκον ᾖ τὸ φορτίον, βαπτίζει τὸ σκάφος· ὅταν δὲ σύμμετρον, ἐξουρίας φέρεται. Τοῦτο δὴ καὶ ἐπὶ τῶν οἰκιῶν γίνεται τῶν ἡμετέρων· ὅταν ὑπὲρ τὴν χρείαν συναγάγῃς τὰ χρήματα, μικρὰ ἀνέμου προσβολή, καὶ ἡ τυχοῦσα τῶν ἀδοκήτων πραγμάτων περίστασις αὔτανδρον καταδύει τὸ σκάφος· εἰ δὲ τοσαῦτα ἀποθῇς, ὅσαπερ ἡ χρεία ἀπαιτεῖ, κἂν καταιγὶς ἐπέλθῃ, ῥᾳδίως διατρέχεις τὰ κύματα. Μὴ τοίνυν ἐπιθύμει τοῦ πλείονος, ἵνα μὴ τοῦ παντὸς ἐκπέσῃς· μηδὲ τὰ περιττὰ τῆς χρείας συνάγαγε, ἵνα μὴ τὰ πρὸς τὴν χρείαν ἀπολέσῃς· μηδὲ

τῆς ἀνοησίας, ἀναίρεση τῆς τιμωρίας, ρίζα τῆς ταπεινοφροσύνης. Γιὰ ποιό λοιπὸν λόγο, πές μου, ἀποφεύγοντας αὐτήν, ἐπιδιώκετε ἐκείνην ποὺ εἶναι ἐχθρός, τὴν ἀνθρωποκτόνο, τὴν πιὸ φοβερὴ ἀπὸ κάθε θηρίο; Γιατὶ τέτοια εἶναι ἡ φιλαργυρία, τέτοια εἶναι ἡ μανία γιὰ τὰ χρήματα. Γιατί παίρνεις συγκάτοικό σου ἕνα παντοτινὸ ἐχθρό; Γιατί ἐξαγριώνεις τὸ θηρίο, ποὺ ἔπρεπε νὰ τὸ ἐξημερώνεις; Καὶ πῶς θὰ μποροῦσε, λέγει, νὰ γίνει ἥμερο; Ἂν δεχθεῖτε τὰ δικά μου λόγια, τουλάχιστο τώρα ὅταν τὰ παραπτώματα ἠχοῦν στὰ αὐτιά σας, ὅταν ἡ συμφορὰ βρίσκεται στὴν πιὸ μεγάλη ἔνταση, ὅταν ὅλοι εἶναι κυριευμένοι ἀπὸ ἀνησυχία καὶ κατήφεια. Πῶς λοιπὸν τὸ θηρίο θὰ σταματήσει νὰ εἶναι θηρίο; Ἐγὼ βέβαια μπορῶ νὰ τὸ ἀλλάξω, ἂν ἐσεῖς θελήσετε· γιατὶ τέτοια εἶναι ἡ δύναμη τῶν λόγων. Πῶς λοιπὸν μπορεῖ ν' ἀλλάξει ἀπὸ τὴ θηρωδία του; Ἂν μάθουμε πῶς γίνεται φοβερό.

Πῶς λοιπὸν γίνεται φοβερό; Ὅπως τὰ λιοντάρια, ὅπως οἱ λεοπαρδάλεις, ὅπως οἱ ἀρκοῦδες, ὅταν περιορισθοῦν καὶ φυλακισθοῦν στὸ σκοτάδι, ἀνάβουν τὸ θυμό τους καὶ μεγαλώνουν τὴν ὀργή τους, ἔτσι ἀκριβῶς καὶ ὁ πλοῦτος, ὅταν κλεισθεῖ καὶ παραχωθεῖ, ὠρύεται πιὸ δυνατὰ ἀπὸ τὸ λιοντάρι καὶ ἐρεθίζει πάντοτε. Ἂν ὅμως τὸν βγάζεις ἀπὸ τὸ σκοτάδι καὶ τὸν διασκορπίζεις στὶς κοιλιὲς τῶν φτωχῶν, τὸ θηρίο γίνεται πρόβατο, ὁ ἐπίβουλος γίνεται προστάτης, ὁ σκόπελος λιμάνι, τὸ ναυάγιο γαλήνη. Καθόσον καὶ στὰ πλοῖα μπορεῖς νὰ τὸ δεῖς αὐτό· ὅταν τὸ φορτίο εἶναι ὑπέρογκο, βυθίζει τὸ σκάφος· ὅταν ὅμως εἶναι κανονικό, ταξιδεύει μὲ οὔριο ἄνεμο. Αὐτὸ ἀκριβῶς γίνεται καὶ στὰ σπίτια τὰ δικά μας· ὅταν συγκεντρώσεις χρήματα περισσότερα ἀπὸ τὴν ἀνάγκη σου, ἕνα μικρὸ φύσημα ἀνέμου καὶ ἡ τυχαία περίσταση ἀπὸ ἀπροσδόκητα πράγματα βυθίζει αὔτανδρο τὸ σκάφος· ἂν ὅμως ἀποθηκέψεις τόσα, ὅσα ἀκριβῶς ἀπαιτεῖ ἡ ἀνάγκη, καὶ ἂν ξεσπάσει καταιγίδα, εὔκολα διασχίζεις τὰ κύματα. Μὴν ἐπιθυμεῖς λοιπὸν τὸ περισσότερο γιὰ νὰ μὴν τὰ χάσεις ὅλα· οὔτε νὰ συγκεντρώσεις περισσότερα ἀπὸ τὴν ἀνάγκη σου,

*τοὺς νενομισμένους ὅρους ὑπέρβαινε, ἵνα μὴ τῶν ὄντων ἁπάντων ὁμοῦ γυμνωθῇς· ἀλλὰ περίκοπτε τὸ περιττόν, ἵνα ἐν τοῖς ἀναγκαίοις πλουτῇς.*

*Οὐχ ὁρᾷς, ὅτι καὶ γηπόνοι τὴν ἄμπελον περιτέμνουσιν, ὥστε τὴν δύναμιν ἅπασαν μὴ ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς κλήμασιν, ἀλλ' ἐν τῇ ῥίζῃ τοῦ φυτοῦ ἐπιδείκνυσθαι; Τοῦτο δὴ καὶ αὐτὸς ποίει· περίκοπτε τὰ φύλλα καὶ τὴν σπουδὴν ἅπασαν εἰς τὴν τῶν καρπῶν φορὰν ἀνάλισκε. Εἰ δὲ οὐ βούλει ἐν ταῖς εὐημερίαις, ἔλπιζε τὰς δυσημερίας· ἐν τῇ γαλήνῃ χειμῶνα προσδόκα· ἐν τῇ ὑγείᾳ νόσον ἀνάμενε· ἐν τῷ πλούτῳ πενίαν καὶ πτωχείαν ἔλπιζε. «Μνήσθητι», γάρ, φησί, «καιρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς, πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέρᾳ πλούτου». Ἂν γὰρ οὕτω διακείμενος ᾖς, τόν τε πλοῦτον μετὰ πολλῆς διοικήσεις τῆς σωφροσύνης, τήν πενίαν ἐπελθοῦσαν μετὰ πολλῆς οἴσεις τῆς ἀνδρείας. Τὸ μὲν γὰρ μὴ προσδοκηθὲν θορυβεῖ προσπεσὸν καὶ ταράττει, τὸ δὲ ἐλπισθὲν συμβὰν οὐ πολὺν ἐπάγει τὸν θόρυβον. Δύο δὴ ταῦτα κερδαίνεις τὰ καλά, τὸ μήτε μεθύειν καὶ παραπαίειν ἐπὶ τῆς εὐημερίας, μήτε θορυβεῖσθαι καὶ ταράττεσθαι ἐπὶ τῆς εἰς τὰ ἐναντία μεταβολῆς, μάλιστα μὲν εἰ μέλλεις ἀεὶ καραδοκεῖν τὰ ἐναντία· ἀρκεῖ γὰρ ἀντὶ τῆς πείρας ἡ προσδοκία.*

*Οἷόν τι λέγω. Πλουτεῖς; Ἔλπιζε πενίαν καθ' ἑκάστην ἡμέραν. Τίνος ἕνεκεν καὶ διὰ τί; Ὅτι τὰ μάλιστά σε ὠφελῆσαι δυνήσεται ἡ προσδοκία αὕτη. Ὁ γὰρ ἐλπίζων πενίαν, ἐν πλούτῳ ὢν οὐ τυφοῦται, οὐ χαυνοῦται, οὐ διαρρεῖ, οὐκ ἐφίεται τῶν ἀλλοτρίων· ὁ γὰρ τῆς προσδοκίας φόβος ἀντὶ παιδαγωγοῦ τινος παρὼν σωφρονίζει, καταστέλλει τὴν διάνοιαν, καὶ πονηρὰ βλαστήματα τὰ ἀπὸ τῆς φιλαργυρίας οὐκ ἀφίησι φυῆναι, ὥσπερ δρεπάνῃ τινὶ τῷ φόβῳ τῶν ἐναντίων κωλύων αὐτὰ καὶ περικόπτων.*

γιὰ νὰ μὴ χάσεις τὰ ἀπαραίτητα· οὔτε νὰ ξεπερνᾶς τὰ καθιερωμένα σύνορα, γιὰ νὰ μὴ στερηθεῖς ὅλα τὰ ὑπάρχοντά σου μαζί· ἀλλὰ νὰ περικόπτεις τὸ περιττό, γιὰ νὰ πλουτίζεις μὲ τὰ ἀναγκαῖα.

Δὲ βλέπεις ὅτι καὶ οἱ γεωργοὶ κλαδεύουν τὸ ἀμπέλι, γιὰ νὰ παρουσιάσει ὅλη τὴ δύναμή του ὄχι στὰ φύλλα καὶ στὰ κλήματα, ἀλλὰ στὴ ρίζα τοῦ φυτοῦ; Αὐτὸ λοιπὸν κάνε καὶ σύ· κόβε ὁλόγυρα τὰ φύλλα καὶ ξόδευε ὅλη τὴ φροντίδα σου στὴν εὐφορία τῶν καρπῶν. Ἂν ὅμως δὲ θέλεις στὶς καλὲς ἡμέρες, ἔλπιζε τὶς κακὲς ἡμέρες, στὴ γαλήνη περίμενε τρικυμία, στὴν ὑγεία ἀνάμενε ἀρρώστια, στὸν πλοῦτο ἔλπιζε στέρηση καὶ φτώχεια. «Θυμήσου», λέγει, «τὸν καιρὸ τῆς πείνας στὸν καιρὸ τῆς ἀφθονίας, τὴ φτώχεια καὶ τὴ στέρηση στὶς ἡμέρες τοῦ πλουτισμοῦ σου»[3]. Ἂν λοιπὸν συμπεριφέρεσαι ἔτσι, καὶ τὸν πλοῦτο θὰ διαχειρίζεσαι μὲ πολλὴ σωφροσύνη καὶ τὴ φτώχεια ὅταν ἔρθει θὰ τὴν ἀντέξεις μὲ μεγάλη γενναιότητα. Γιατὶ τὸ ἀπροσδόκητο, ὅταν συμβεῖ, προκαλεῖ ἀνησυχία καὶ ταράζει, ἐνῶ τὸ ἀναμενόμενο συμβὰν δὲ φέρνει πολλὴ ἀνησυχία. Δηλαδὴ κερδίζεις αὐτὰ τὰ δύο καλά, τὸ νὰ μὴ μεθᾶς δηλαδὴ καὶ νὰ μὴν ὀλισθαίνεις στὴν περίοδο τῆς εὐτυχίας, οὔτε ν' ἀνησυχεῖς καὶ νὰ ταράζεσαι στὴν ἀλλαγὴ πρὸς τὰ ἀντίθετα, καὶ πρὸ πάντων ἂν μάθεις πάντοτε νὰ περιμένεις τὰ ἀντίθετα· γιατὶ ἀρκεῖ ἀντὶ γιὰ τὴν πεῖρα ἡ προσδοκία.

Μὲ αὐτὸ ποὺ λέγω ἐννοῶ τὸ ἑξῆς· εἶσαι πλούσιος; περίμενε τὴ φτώχεια κάθε ἡμέρα. Γιὰ ποιό λόγο καὶ γιατί; Γιατὶ αὐτὴ ἡ προσδοκία μπορεῖ νὰ σὲ ὠφελήσει πάρα πολύ. Γιατὶ αὐτὸς ποὺ περιμένει τὴ φτώχεια, ἐνῶ εἶναι πλούσιος, δὲν ἀλαζονεύεται, δὲ ἀποχαυνώνεται, δὲν παραλύει, δὲν ἐπιθυμεῖ τὰ ξένα, ἐπειδὴ ὁ φόβος τῆς προσδοκίας εἶναι παρὼν καὶ σὰν κάποιος παιδαγωγὸς τὸν σωφρονίζει, συγκρατεῖ τὸ νοῦ του καὶ δὲν ἀφήνει νὰ φυτρώσουν τὰ πονηρὰ κλαδιὰ ποὺ προέρχονται ἀπὸ τὴ φιλαργυρία, ἐμποδίζοντας καὶ περικόβοντας αὐτὰ μὲ τὸ φόβο γιὰ τὰ ἀντίθετα σὰν μὲ κάποιο δρεπάνι.

3. Σοφ. Σειρ. 18,25.

*4. Ἐν μὲν οὖν τοῦτο μέγιστον ἀγαθὸν κερδανεῖς· ἕτερον δὲ οὐκ ἔλαττον τούτου, τὸ καὶ παραγενομένης αὐτῆς μὴ δεδοικέναι. Προλαμβανέτω τοίνυν ἡ προσδοκία τῶν θλιβερῶν, ἵνα μὴ παραγένηται ἡ πεῖρα τῶν λυπηρῶν· διὰ τοῦτο ἡ πεῖρα ἔρχεται, ἐπειδὴ ἡ προσδοκία οὐ πάρεστιν· ἐπεί, εἴγε ἐκείνη κατώρθου τὸν ἄνθρωπον, οὐ σφόδρα ταύτης ἔδει. Καὶ μάρτυς τούτου ἐπὶ τῶν Νινευϊτῶν Ἰωνᾶς ὁ προφήτης· ὡς ἐλπίζοντες ἐκεῖνοι τῇ τοῦ προφήτου προρρήσει ἀνηκέστῳ περιπεσεῖν συμφορᾷ, τῇ προσδοκίᾳ τῶν ἐλευσομένων κακῶν ἀπέστρεψαν τὴν ὀργήν· Ἰουδαῖοι δὲ μὴ πεισθέντες τῷ προφήτῃ λέγοντι τὴν ἅλωσιν Ἰερουσαλήμ, ὑπέστησαν τὰ δεινά. «Σοφὸς γὰρ φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ, ὁ δὲ ἄφρων μίγνυται πεποιθώς».*

*Ὁ ἐλπίζων γενέσθαι πένης, ἐν εὐημερίᾳ διάγων, οὐκ ἂν ταχέως γένηται πένης· ὁ γὰρ ἀπὸ τῆς προσδοκίας κερδᾶναι οὐκ ἠθέλησας, ἀπὸ τῆς πείρας τοῦτο μαθήσῃ καλῶς. Ἐν πλούτῳ τοίνυν ὤν, προσδόκα πενίαν· ἐν εὐημερίᾳ τυγχάνων, προσδόκα λιμόν· ἐν δόξῃ ὤν, ἔλπιζε ἀδοξίαν· ἐν ὑγείᾳ διάγων νόσον ἀνάμενε. Συνεχῶς ἐπισκέπτου τῶν ἀνθρωπίνων πραγμάτων τὴν φύσιν, τῶν ποταμίων ρευμάτων οὐδὲν ἄμεινον διακειμένην καὶ καπνοῦ εἰς ἀέρα διαλυομένου ὀξυρρεπεστέραν καὶ σκιᾶς παρατρεχούσης οὐδαμινωτέραν. Ἂν ταῦτα φιλοσοφῇς, οὔτε τὰ χρηστά σε φυσῆσαι δυνήσεται, οὔτε τὰ λυπηρὰ ταπεινῶσαι· ἂν παρόντων τῶν χρηστῶν μὴ σφόδρα τούτων ἀντέχῃ, οὐδὲ ἀπελθόντων ὀδυνηθήσῃ. Ἂν ἐθίσῃς τὴν διάνοιάν σου ἐν τῇ προσδοκίᾳ τῶν ἐναντίων, πολλάκις μὲν οὐδὲ παρέσονται τὰ ἐναντία, εἰ δὲ καὶ παραγένοιντο, οὐ σφόδρα σου καθάψονται.*

*5. Καὶ ἵνα μάθητε ὅτι οὐ στοχαζόμενος ταῦτα λέγω, παλαιάν*

4. Αὐτὸ λοιπὸν εἶναι τὸ ἕνα τὸ πάρα πολὺ μεγάλο ἀγαθὸ ποὺ θὰ κερδίσεις· καὶ τὸ ἄλλο ὄχι μικρότερο ἀπ' αὐτό, τὸ ὅτι καὶ ὅταν ἔρθει ἡ φτώχεια δὲ θὰ τὴ φοβᾶσαι. Ἂς προλαμβάνει λοιπὸν ἡ προσδοκία τῶν θλιβερῶν, γιὰ νὰ μὴν ἔρθει ἡ πείρα τῶν λυπηρῶν. Γι' αὐτὸ ἔρχεται ἡ πείρα, ἐπειδὴ δὲν ὑπάρχει ἡ προσδοκία· γιατί, ἂν αὐτὴ στήριζε τὸν ἄνθρωπο, δὲ θὰ χρειαζόταν πάρα πολὺ ἡ πείρα. Καὶ μάρτυρας γι' αὐτὸ στὴν περίπτωση τῶν Νινευΐτῶν εἶναι ὁ προφήτης Ἰωνᾶς. Ἐπειδὴ ἐκεῖνοι περίμεναν σύμφωνα μὲ τὴν πρόρρηση τοῦ προφήτη νὰ πέσουν σὲ ἀθεράπευτη συμφορά, μὲ τὴν προσδοκία τῶν κακῶν ποὺ θὰ ἔρχονταν, ἔδιωξαν τὴν ὀργή· οἱ Ἰουδαῖοι ὅμως, ἐπειδὴ δὲν πείσθηκαν στὸν προφήτη ποὺ προέλεγε τὴν ἅλωση τῆς Ἰερουσαλήμ, ὑπέφεραν τὰ δεινά. «Ὁ σοφὸς ἐπειδὴ φοβήθηκε, ξέφυγε ἀπὸ τὸν κακό, ὁ ἀνόητος ὅμως συναναστρέφεται τοὺ ἀσεβεῖς, ἐπειδὴ ἔχει αὐτοπεποίθηση»[4].

Αὐτὸς ποὺ περιμένει νὰ γίνει φτωχός, ἐνῶ ζεῖ μὲ εὐτυχία, δὲ θὰ γίνει γρήγορα φτωχός. Αὐτὸ δηλαδὴ ποὺ δὲ θέλησες νὰ κερδίσεις ἀπὸ τὴν προσδοκία, θὰ τὸ μάθεις καλὰ ἀπὸ τὴν πείρα. Ὅταν λοιπὸν εἶσαι μέσα σὲ πλοῦτο περίμενε τὴ φτώχεια, ὅταν βρίσκεσαι σὲ εὐτυχία περίμενε τὴν πείνα· ὅταν εἶσαι σὲ δόξα ἀνάμενε τὴν περιφρόνηση· ὅταν ζεῖς μὲ ὑγεία περίμενε τὴν ἀρρώστια. Συνέχεια νὰ ἐξετάζεις τὴ φύση τῶν ἀνθρώπινων πραγμάτων, ποὺ δὲν εἶναι καθόλου καλύτερη ἀπὸ τὰ ρεύματα τῶν ποταμῶν καὶ κινεῖται πιὸ γρήγορα ἀπὸ τὸν καπνὸ ποὺ διαλύεται στὸν ἀέρα, καὶ πιὸ ἀσήμαντη ἀπὸ τὴ σκιὰ ποὺ ἔρχεται καὶ φεύγει γρήγορα. Ἂν τὰ φιλοσοφεῖς αὐτά, οὔτε τὰ εὐχάριστα θὰ μπορέσουν νὰ σὲ κάνουν ἀλαζόνα, οὔτε τὰ λυπηρὰ νὰ σὲ ταπεινώσουν. Ἄν, ὅταν ὑπάρχουν τὰ εὐχάριστα, δὲν προσηλώνεσαι πάρα πολὺ σ' αὐτά, οὔτε ὅταν φύγουν θὰ πονέσεις. Ἂν συνηθίσεις τὴ σκέψη σου στὴν προσδοκία τῶν ἀντίθετων πραγμάτων, πολλὲς φορὲς οὔτε θὰ ἔρθουν τὰ ἀντίθετα, καὶ ἂν ὅμως ἔρθουν, δὲ θὰ δὲ στενοχωρήσουν πολύ.

5. Καὶ γιὰ νὰ μάθετε ὅτι αὐτὰ δὲν ἀποτελοῦν δικές μου σκέ-

4. Παροιμ. 14,16.

*τινα ἱστορίαν διηγήσασθαι ὑμῖν βούλομαι. Ἐγένετό τις ἀνὴρ θαυμαστὸς καὶ μέγας καὶ πανταχοῦ τῆς οἰκουμένης ἀοίδιμος, ὁ μακάριος Ἰώβ, ὁ τῆς εὐσεβείας ἀθλητής, ὁ στεφανίτης τῆς οἰκουμένης, ὁ διὰ πάντων τῶν ἄθλων ἐλθών, ὁ μυρία κατὰ τοῦ διαβόλου τρόπαια στήσας. Οὗτος ἐγένετο πλούσιος καὶ πένης, ἔνδοξος καὶ εὐκαταφρόνητος, πολύπαις καὶ ἄπαις· οὗτος ἐγένετο ἐν βασιλικαῖς αὐλαῖς, ἐγένετο δὲ καὶ ἐν κοπρίᾳ· οὗτος ἐγένετο ἐν λαμπρᾷ στολῇ καὶ μετ' ἐκείνην ἐν πληγῇ σκωλήκων· οὗτος μυρίας ἀπέλαυσε θεραπείας, καὶ μετὰ ταῦτα μυρίας ὑπέμεινεν ὕβρεις, οἰκετῶν ἐπανισταμένων, φίλων ὀνειδιζόντων, γυναικὸς ἐπιβουλευούσης. Πάντα αὐτῷ τὴν ἀρχὴν καθάπερ ἐκ πηγῶν ἐπέρρει, χρημάτων περιουσία, δυναστείας μέγεθος, δόξης περιβολή, εἰρήνη καὶ ἀσφάλεια, τιμαὶ καὶ θεραπεῖαι, καὶ σώματος ὑγίεια καὶ παίδων εὐκληρία, καὶ οὐδὲν ἦν ἐκεῖ λυπηρόν· παρῆν αὐτῷ πλοῦτος μετὰ ἀσφαλείας, καὶ εὐημερία ἀδιάπτωτος καὶ μάλα εἰκότως· ὁ Θεὸς γὰρ πανταχόθεν αὐτὸν ἐτείχιζεν.*

*Ἀλλ' ὕστερον πάντα ἐκεῖνα ἀπέπτη, καὶ μυρίοι χειμῶνες λοιπὸν ἐσκήνουν εἰς τὴν οἰκίαν ἐκείνου, καὶ πάντες ἐπάλληλοι καὶ συνεχεῖς καὶ μεθ' ὑπερβολῆς ἅπαντες. Τὰ γὰρ ὄντα αὐτῷ ἅπαντα ἀθρόον ἀνηρπάζετο· οἰκέται, παῖδες κατεχώννυντο βιαίῳ καὶ ἀώρῳ θανάτῳ, ἐπὶ τῆς τραπέζης καὶ τοῦ συμποσίου κατασφαγέντες, οὐ μαχαίρᾳ καὶ ξίφει, ἀλλὰ πνεύματι πονηρῷ τὴν οἰκίαν κατασείσαντι. Καὶ γυνὴ μετὰ ταῦτα ὥπλιζε τὰ ἑαυτῆς μηχανήματα καὶ τῷ δικαίῳ προσῆγε· καὶ οἰκέται καὶ φίλοι, οἱ μὲν ἐνέπτυον εἰς τὸ πρόσωπον, ὥς φησιν αὐτός, «ἀπὸ γὰρ προσώπου μου οὐκ ἐφείσαντο πτυέλου», οἱ δὲ ἐπέβαινον, καὶ τῆς οἰκίας ἐξεβάλλετο πάσης, καὶ ἐνδιαίτημα αὐτῷ ἦν ἡ κοπρία λοιπόν, καὶ πηγαὶ σκωλήκων ἔβρυον, πάντοθεν καὶ αἵματι καὶ*

ψεις, θέλω νὰ σᾶς διηγηθῶ κάποια παλαιὰ ἱστορία. Ὑπῆρξε ἕνας ἄνδρας θαυμαστὸς καὶ μεγάλος, καὶ παντοῦ στὴν οἰκουμένη ξακουστός, ὁ μακάριος Ἰώβ, ὁ ἀθλητὴς τῆς εὐσεβείας, ὁ νικητὴς τῆς οἰκουμένης, ποὺ πέρασε ἀπ' ὅλα τὰ ἀγωνίσματα, ποὺ ἔστησε ἄπειρα τρόπαια ἐναντίον τοῦ διαβόλου. Αὐτὸς ἔγινε πλούσιος καὶ φτωχός, ἔνδοξος καὶ περιφρονημένος, πολύτεκνος καὶ ἄτεκνος· αὐτὸς διέμεινε σὲ βασιλικὲς αὐλές, διέμεινε ὅμως καὶ στὴν κοπριά· αὐτὸς ἔζησε μὲ λαμπρὴ στολὴ καὶ ὕστερα μὲ πληγὲς ἀπὸ σκουλήκια· αὐτὸς ἀπόλαυσε ἄπειρες περιποιήσεις καὶ μετὰ ὑπέφερε ἄπειρες προσβολές, ὅταν οἱ δοῦλοι του στράφηκαν ἐναντίον ου, οἱ φίλοι του τὸν κατηγοροῦσαν καὶ ἡ γυναίκα του τὸν ἐπιβουλευόταν. Στὴν ἀρχὴ ὅλα τοῦ ἔτρεχαν σὰν ἀπὸ πηγές, ἀφθονία χρημάτων, δύναμη ἐξουσίας, περιβολὴ δόξας, εἰρήνη καὶ ἀσφάλεια, τιμὲς καὶ περιποιήσεις, ὑγεία σώματος καὶ καλὸς κλῆρος παιδιῶν, καὶ τίποτε δὲν ἦταν ἐκεῖ λυπηρό. Ὑπῆρχε σ' αὐτὸν πλοῦτος μὲ ἀσφάλεια, καὶ εὐτυχία ἀδιάκοπη, καὶ πολὺ εὔλογα· γιατὶ ὁ Θεὸς ἀπὸ παντοῦ τὸν ὀχύρωνε.

Ἀλλ' ὕστερα ὅλα ἐκεῖνα χάθηκαν, καὶ ἄπειρες τρικυμίες στὴ συνέχεια κατοικοῦσαν στὸ σπίτι του, καὶ ὅλες ἦταν διαδοχικὲς καὶ ἀδιάκοπες, καὶ μάλιστα ὑπερβολικὰ μεγάλες. Καθόσον ὅλα τὰ ὑπάρχοντά του διὰ μιᾶς ἁρπάζονταν· δοῦλοι, παιδιὰ θάπτονταν μὲ βίαιο καὶ πρόωρο θάνατο, ἀφοῦ κατασφάγηκαν ἐπάνω στὸ τραπέζι καὶ τὸ συμπόσιο, ὄχι ἀπὸ μαχαίρι καὶ ξίφος, ἀλλὰ ἀπὸ πνεῦμα πονηρὸ ποὺ ἔσεισε τὸ σπίτι. Καὶ ἡ γυναίκα του στὴ συνέχεια ἑτοίμαζε τὰ δικά της μηχανήματα καὶ τὰ ὁδηγοῦσε ἐναντίον τοῦ δικαίου. Καὶ δοῦλοι καὶ φίλοι, ἄλλοι τὸν ἔφτυναν στὸ πρόσωπο, ὅπως λέγει ὁ ἴδιος, «δὲ δίστασαν νὰ μὲ φτύσουν στὸ πρόσωπο»[5], ἐνῶ ἄλλοι προχωροῦσαν περισσότερο καὶ τὸν ἔδιωχναν ἀπὸ κάθε σπίτι· κατοικία του ἦταν πλέον ἡ κοπριά, ἀπ' ὅπου ἀνέβλυζαν πηγὲς ἀπὸ σκουλήκια, ἀπὸ παντοῦ ἔσταζε αἷμα καὶ πύο ἐκεῖνος ποὺ ἦταν διαμάντι, καὶ παίρνοντας ἕνα ὄστρακο ἔξινε τὸ πύο, καὶ γινόταν ἔτσι ὁ ἴδιος δήμιος τοῦ

5. Ἰὼβ 30,10.

ἰχῶρι κατερρεῖτο ὁ ἀδάμας καὶ λαβὼν ὄστρακον ἔξεε τοὺς ἰχῶρας, δήμιος αὐτὸς ἑαυτῷ γινόμενος· καὶ ὀδύναι ἐπάλληλοι καὶ βάσανοι ἀκαρτέρητοι καὶ νὺξ ἡμέρας χαλεπωτέρα, καὶ ἡμέρα νυκτὸς φρικωδεστέρα, ὥς φησιν· «ὡς ἂν κοιμηθῶ, λέγω, πότε ἡμέρα; Ὡς δ᾽ ἂν ἀναστῶ, λέγω πάλιν· πότε ἑσπέρα; Πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας μέχρι πρωΐ».

Καὶ πάντα κρημνοὶ καὶ σκόπελοι, καὶ ὁ μὲν παρακαλῶν οὐδείς, οἱ δὲ ἐπεμβαίνοντες μυρίοι· ἀλλ᾽ ὅμως ἐν χειμῶνι τοσούτῳ καὶ κύμασιν ὄντως ἀφορήτοις ἔστη πρὸς πάντα γενναῖος καὶ ἀπερίτρεπτος· τὸ δὲ αἴτιον τούτων τοῦτο ἦν, ὅπερ ἔφην, ὅτι, ὅταν ἐπλούτει, προσεδόκα πενίαν· ὅτε ὑγίαινε, νόσον ἀνέμενεν· ὅτε παίδων τοσούτων πατὴρ ἐγένετο καὶ ἄπαις ἀθρόον ἤλπιζεν ἔσεσθαι. Καὶ τοῦτον τὸν φόβον ἀεὶ παρ᾽ ἑαυτῷ ἀνείλιττε καὶ ταύτην τὴν ἀγωνίαν ἀεὶ ἔτρεφε, τῶν ἀνθρωπίνων πραγμάτων εἰδὼς τὴν φύσιν καὶ τὸ ἐπίκαιρον αὐτῶν λογιζόμενος. Διὸ καὶ ἔλεγε· «φόβος ὃν ἐφοβούμην ἦλθέ μοι καὶ ὃν ἐδεδοίκειν κίνδυνον συνήντησέ μοι». Ἀεὶ γὰρ τοῖς λογισμοῖς πρὸς αὐτὸν ἐβάδιζεν ἀναμένων αὐτόν, ἐλπίζων, καὶ προσδοκῶν· διὰ τοῦτο παραγενόμενος οὐκ ἐτάραξεν· «οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή». Οὐκ εἶπεν, 'οὐκ εἰρηνεύω, οὐδὲ ἡσυχάζω', ἀλλ', «οὐκ εἰρήνευσα», ἐν τῷ παρελθόντι χρόνῳ. Εἰ γὰρ καὶ τὰ πράγματα μέγα φρονεῖν παρεσκεύαζεν, ἀλλ᾽ ἡ προσδοκία τῶν λυπηρῶν οὐκ εἴα με ἡσυχάζειν. Εἰ καὶ ἡ ἄγαν εὐημερία τρυφᾶν ἐποίει, ἀλλ᾽ ἡ ἀγωνία τῶν ἐλπιζομένων τὴν ἄδειαν ἀπεδίωκεν· εἰ καὶ τὰ παρόντα ἀπολαύειν ἠνάγκαζεν, ἀλλ᾽ ἡ τῶν προσδοκωμένων φροντὶς ταύτην διέκοπτε.

6. Ἰὼβ 7,4.
7. Ἰὼβ 3,25.

ἑαυτοῦ του. Καὶ πόνοι διαδοχικοὶ τὸν συνόδευαν καὶ βάσανα ἀνυπόφορα, καὶ ἡ νύχτα ἦταν χειρότερη ἀπὸ τὴν ἡμέρα καὶ ἡ ἡμέρα σκληρότερη ἀπὸ τὴ νύχτα, ὅπως λέγει ὁ ἴδιος· ὅταν πέσω νὰ κοιμηθῶ, λέγω, πότε θὰ ἔρθει ἡ ἡμέρα; ὅταν ὅμως σηκωθῶ, λέγω πάλι, πότε θὰ ἔρθει τὸ βράδυ; Εἶμαι γεμάτος πόνους ἀπὸ τὸ βράδυ μέχρι τὸ πρωί»[6].

Καὶ ὅλα ἦταν γκρεμοὶ καὶ σκόπελοι, καὶ δὲν ὑπῆρχε κανεὶς νὰ τὸν παρηγορεῖ, ἐνῶ ἄπειροι ἦταν ἐκεῖνοι ποὺ τὸν κατέκριναν. Ἀλλ' ὅμως μέσα σὲ τόσο μεγάλη τρικυμία καὶ σὲ κύματα πραγματικὰ ἀφόρητα στάθηκε ἀπέναντι σὲ ὅλα γενναῖος καὶ ἀμετακίνητος. Καὶ ἡ αἰτία γι' αὐτὰ ἦταν ἐκεῖνο ποὺ εἶπα, τὸ ὅτι δηλαδὴ ὅταν ἦταν πλούσιος περίμενε τὴν φτώχεια, ὅταν ἦταν ὑγιὴς περίμενε τὴν ἀρρώστια, ὅταν ἔγινε πατέρας τόσων πολλῶν παιδιῶν, ἔλπιζε πὼς θὰ μείνει ξαφνικὰ καὶ χωρὶς παιδιά. Καὶ αὐτὸν τὸ φόβο πάντοτε τὸν ξετύλιγε μέσα του, καὶ αὐτὴ τὴν ἀγωνία πάντοτε τὴν ἔτρεφε, ἐπειδὴ γνώριζε τὴ φύση τῶν ἀνθρώπινων πραγμάτων καὶ ἐπειδὴ σκεπτόταν τὴν παροδικότητά τους. Γι' αὐτὸ καὶ ἔλεγε· «ὁ φόβος ποὺ φοβόμουν μοῦ ἦρθε καὶ ὁ κίνδυνος ποὺ εἶχα φοβηθεῖ μὲ συνάντησε»[7]. Πάντοτε δηλαδὴ πήγαινε μὲ τὶς σκέψεις του σ' αὐτὸν καὶ τὸν περίμενε, τὸν φοβόταν καὶ τὸν προσδοκοῦσε. Γι' αὐτὸ ὅταν ἦρθε δὲν τὸν τάραξε. «Οὔτε εἰρήνη, οὔτε ἡσυχία, οὔτε ἀνάπαυση εἶχα, ἀλλ' ἦρθε ἐναντίον μου ἡ ὀργή»[8]. Δὲν εἶπε, 'δὲν ἔχω εἰρήνη οὔτε ἡσυχία', ἀλλά, «δὲν εἶχα εἰρήνη», στὸν χρόνο ποὺ πέρασε. Γιατί, ἂν καὶ τὰ πράγματα μὲ ἔκαναν νὰ ὑπερηφανεύομαι, ἡ προσδοκία ὅμως τῶν λυπηρῶν δὲ μὲ ἄφηνε νὰ ἡσυχάζω. Ἂν καὶ ἡ ὑπερβολικὴ εὐημερία τὸν ἔκαμνε νὰ ζεῖ μὲ καλοπέραση, ἡ ἀγωνία ὅμως ἐκείνων ποὺ περίμενε ἔδιωχνε τὴν ἀσφάλεια. Ἂν καὶ τὰ παρόντα τὸν ἀνάγκαζαν νὰ ζεῖ μὲ ἀπολαύσεις, ἡ φροντίδα ὅμως γιὰ τὰ προσδοκώμενα τὶς σταματοῦσε.

---

8. Ἰὼβ 3,26.

*Διὰ τοῦτο ἅπερ ἐμελέτησεν ἐπὶ τῶν λογισμῶν, ταῦτα ἰδὼν ἐπὶ τῶν πραγμάτων συμβάντα γενναίως ἤνεγκε, τὰ πάλαι μελετηθέντα παλαίσματα, καὶ τὰ τῇ προσδοκίᾳ προειλημμένα, ταῦτα παρόντα βλέπων οὐκ ἐταράττετο. Ὅτι γὰρ οὐδὲ παρόντων τῶν χρηστῶν σφόδρα τούτων ἀντέχετο, ἄκουσον τί φησιν· «εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου γενομένου μοι, εἰ κατέταξα χρυσίον ἰσχύν μου, εἰ λίθῳ πολυτελεῖ ἐπεποίθησα, εἰ δὲ καὶ ἐπ᾽ ἀναριθμήτοιςἐθέμην χεῖρά μου». Τί λέγεις, ἄνθρωπε; Οὐκ εὐφραίνου τοῦ πλούτου περιρρέοντός σοι; Οὐδαμῶς, φησί. Τί δήποτε; Ὅτι ᾔδειν αὐτοῦ τὸ ἄστατον καὶ διαρρέον, ᾔδειν τὸ κτῆμα οὐ μόνιμον. «Καὶ ὁρῶ μέν», φησίν, «ἥλιον ἐπιφαύσκοντα, καὶ ἐκλείποντα, σελήνην δὲ φθίνουσαν· οὐ γὰρ ἐπ᾽ αὐτῶν ἐστιν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ τὰ κατ᾽ οὐρανὸν ἄστρα, καὶ διηνεκῶς λάμποντα δέχεταί τινα μεταβολήν, ἥλιος μὲν ἐκλείπων, σελήνην δὲ φθίνουσα, πῶς οὐκ ἐσχάτης ἀνοίας τὸ τὰ ἐπίγεια νομίζειν εἶναι μόνιμα καὶ πεπηγότα; Διὰ τοῦτο οὔτε παρόντων εὐφραίνετο λίαν, οὔτε ἀπελθόντων ἤλγησε χαλεπῶς, ἐπειδὴ καλῶς ᾔδει τὴν φύσιν αὐτῶν.*


*Ταῦτα δὲ καὶ ἡμεῖς ἀκούοντες, ἀγαπητοί, μὴ πενίᾳ πιεζώμεθα, μήτε πλούτῳ φυσώμεθα, ἀλλ᾽ ἐν τῇ τῶν πραγμάτων μεταβολῇ τὴν γνώμην ἀμετάβλητον διατηροῦντες, τὸν ἀπὸ τῆς φιλοσοφίας δρεψώμεθα καρπόν, ἵνα καὶ τῆς ἐνταῦθα ἡδονῆς ἀπολαύσωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.*

Γι' αὐτὸ ἐκεῖνα ποὺ μελέτησε στοὺς λογισμούς του, ὅταν τὰ εἶδε νὰ ἔχουν συμβεῖ στὴν πράξη, τὰ ὑπέφερε μὲ γενναιότητα· τοὺς ἀγῶνες ποὺ μελέτησε ἀπὸ πρὶν καὶ τοὺς εἶχε προλάβει μὲ τὴν προσδοκία του, ὅταν τοὺς ἔβλεπε πὼς εἶχαν ἔρθει, δὲν τὸν ἀνησυχοῦσαν. Τὸ ὅτι λοιπὸν δὲν προσηλωνόταν ὑπερβολικὰ στὰ εὐχάριστα ὅταν τὰ εἶχε, ἄκουσε τί λέγει· «ποτὲ δὲν ἔνιωσα εὐχαρίστηση γιὰ τὸν πολὺ πλοῦτο ποὺ ἀπόκτησα, ποτὲ δὲ λογάριασα τὴ δύναμή μου στὸ χρυσάφι, ποτὲ δὲ στήριξα τὴν ἐλπίδα μου στοὺς πολύτιμους λίθους, καὶ ποτὲ δὲν ἅπλωσα τὸ χέρι μου σ' ἀναρίθμητο πλοῦτο»[9]. Τί λέγεις, ἄνθρωπε; Δὲν ἔνιωθες εὐχαρίστηση ὅταν ὁ πλοῦτος σὲ περικύκλωνε; Καθόλου, λέγει. Γιατί λοιπόν; Γιατὶ γνώριζα πὼς εἶναι ἄστατος καὶ ἐξαφανίζεται, γνώριζα πὼς ἡ κατοχή του δὲν εἶναι μόνιμη. «Καὶ βλέπω βέβαια», λέγει, «τὸν ἥλιο νὰ ἀνατέλλει λαμπρὰ καὶ νὰ χάνεται, καὶ τὴ σελήνη νὰ ἐλαττώνεται· οὔτε σ' αὐτὰ δὲν ἀξίζει νὰ στηρίζεται κανεὶς»[10]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς: Ἂν τὰ οὐράνια ἄστρα, ἂν καὶ λάμπουν παντοτινά, παθαίνουν κάποια μεταβολή, γιατὶ ὁ ἥλιος χάνεται καὶ ἡ σελήνη ἐλαττώνεται, πῶς δὲν εἶναι ἀπόδειξη τῆς χειρότερης ἀνοησίας τὸ νὰ νομίζει κανεὶς πὼς τὰ ἐπίγεια εἶναι μόνιμα καὶ σταθερά; Γι' αὐτὸ οὔτε ὅταν τὰ εἶχε ἔνιωθε πολὺ μεγάλη εὐχαρίστηση, οὔτε ὅταν χάθηκαν πόνεσε σκληρά, ἐπειδὴ ἤξερε καλὰ τὴ φύση τους.

Ἀκούοντας ὅμως αὐτὰ καὶ μεῖς, ἀγαπητοί, νὰ μὴ στεναχωριέμαστε γιὰ τὴ φτώχεια, οὔτε νὰ ὑπερηφανευόμαστε ἀπὸ τὸν πλοῦτο, ἀλλὰ διατηρώντας τὴ σκέψη μας ἀμετάβλητη στὴν ἀλλαγὴ τῶν πραγμάτων, ἂς κερδίσουμε τὸν καρπὸ ἀπὸ τὴ φιλοσοφία, γιὰ ν' ἀπολαύσουμε καὶ τὴν ἐδῶ εὐχαρίστηση καὶ γιὰ νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι νὰ τὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Ἀμήν.

---

9. Ἰὼβ 31,24–25.
10. Ἰὼβ 31,26.



# ΟΜΙΛΙΑ

## ΕΚΦΩΝΗΘΕΙΣΑ
## ΣΤΟ ΜΑΡΤΥΡΙΟ ΤΗΣ ΠΑΛΑΙΑΣ ΠΕΤΡΑΣ

**ὅταν ἀπὸ τὴν κακοκαιρία συγκεντρώθηκαν λίγοι·
στὸ ὅτι πρέπει οἱ πιστοὶ νὰ συγκεντρώνονται συνέχεια
καὶ νὰ μὴν ἀπελπίζονται γιὰ τὴ σωτηρία τους ὅταν ἁμαρτάνουν,
ἀλλὰ νὰ δείχνουν μετάνοια**



# *ΟΜΙΛΙΑ*

## *ΛΕΧΘΕΙΣΑ ΕΝ ΤΩ ΜΑΡΤΥΡΙΩ ΤΩ ΕΠΙ ΤΗ ΠΑΛΑΙΑ ΠΕΤΡΑ*

*ὀλίγων συλλεγέντων διὰ τὸν χειμῶνα·*
*εἰς τὸ δεῖν συνεχῶς συνάγεσθαι καὶ μὴ ἀπαγορεύειν*
*τὴν σωτηρίαν ἐν ἁμαρτήμασιν ὄντας,*
*ἀλλὰ μετάνοιαν ἐπιδείκνυσθαι*

*1. Τί τοῦτο; τὴν πόλιν ἅπασαν παρεῖναι δέον σήμερον, οὐδὲ τὸ πολλοστὸν ἡμῖν ἀπήντησε τοῦ συλλόγου μέρος; Τάχα ὁ πηλὸς αἴτιος καὶ ὁ ὑετός; Ἄπαγε· οὐχ ὁ πηλός, ἀλλ' ἡ ῥᾴθυμος καὶ ἡ ἀναπεπτωκυῖα γνώμη. Τίνα γὰρ ἂν ἔχοιεν συγγνώμην οἱ ἀπολειφθέντες, ὅπου γε οἱ μὲν μάρτυρες καὶ αὐτῆς τῆς ζωῆς κατεφρόνησαν, αὐτοὶ δὲ ὑπὲρ τοῦ παραγενέσθαι οὐδὲ πηλοῦ κατετόλμησαν; Πῶς μακαρίσω τοὺς παραγενομένους ὑμᾶς; πῶς ταλανίσω τοὺς ἀπολειφθέντας ἐκείνους, διά τε τὴν ἀπόλειψιν, διά τε τὴν αἰτίαν τῆς ἀπολείψεως; Εὔδηλον γὰρ ὅτι βιωτικαῖς προσηλωμένοι φροντίσι καὶ τὸν ἅπαντα λυμαινόμενον τῶν χρημάτων ἔρωτα σφοδρότερον ἐν ἑαυτοῖς ἀνάπτοντες, τῆς καλῆς ταύτης ἀπελείφθησαν ἑορτῆς.*

*Ἀλλ' εἰ καὶ μὴ πάρεισιν, ἀναγκαῖον καὶ πρὸς ἀπόντας διαλεχθῆναι· εὔδηλον γὰρ ὅτι δι' ὑμῶν ταῦτα ἀκούσονται τῶν παρόν-*



# ΟΜΙΛΙΑ

## ΠΟΥ ΕΚΦΩΝΗΘΗΚΕ ΣΤΟ ΜΑΡΤΥΡΙΟ ΤΗΣ ΠΑΛΑΙΑΣ ΠΕΤΡΑΣ

ὅταν ἀπὸ τὴν κακοκαιρία συγκεντρώθηκαν λίγοι· στὸ ὅτι πρέπει οἱ πιστοὶ νὰ συγκεντρώνονται συνέχεια καὶ νὰ μὴν ἀπελπίζονται γιὰ τὴ σωτηρία τους ὅταν ἁμαρτάνουν, ἀλλὰ νὰ δείχνουν μετάνοια.

Τί εἶναι αὐτό; Ἐνῶ ἔπρεπε σήμερα νὰ βρίσκεται ἐδῶ ὁλόκληρη ἡ πόλη, δὲν παρουσιάσθηκε οὔτε ἕνα μικρὸ μέρος ἀπὸ τοὺς πιστούς; Μήπως ἡ λάσπη καὶ ἡ βροχὴ εἶναι ἡ αἰτία; Κάθε ἄλλο· δὲν εἶναι ἡ λάσπη, ἀλλὰ ἡ ἀδιάφορη καὶ ἡ νωθρὴ θέληση. Γιατὶ ποιὰ συγγνώμη μπορεῖ νὰ ἔχουν τὴ στιγμὴ ποὺ οἱ μάρτυρες περιφρόνησαν καὶ αὐτὴ τὴ ζωή τους, ἐνῶ αὐτοὶ δὲν ἀψήφισαν οὔτε τὴ λάσπη γιὰ νὰ ἔρθουν ἐδῶ; Πῶς νὰ μακαρίσω ἐσᾶς ποὺ ἤρθατε; Πῶς νὰ ταλανίσω ἐκείνους ποὺ ἀπουσίασαν, καὶ γιὰ τὴν ἀπουσία τους καὶ γιὰ τὴν αἰτία τῆς ἀπουσίας τους; Γιατὶ εἶναι ὁλοφάνερο πὼς ἀπουσίασαν ἀπὸ τὴν καλὴ αὐτὴ ἑορτή, ἐπειδὴ εἶναι προσηλωμένοι στὶς βιοτικὲς φροντίδες καὶ ἀνάβουν μέσα τους πιὸ δυνατὰ τὸν ἔρωτα γιὰ τὰ χρήματα ποὺ ὅλα τὰ καταστρέφει.

Ἀλλὰ παρ' ὅλο ποὺ δὲν εἶναι ἐδῶ, εἶναι ἀνάγκη νὰ μιλήσουμε καὶ στοὺς ἀπόντες, γιατὶ εἶναι ὁλοφάνερο πὼς θὰ τὰ

*των· μέχρι πότε τῶν χρημάτων ἡ λύσσα; μέχρι τίνος ἡ μηδέποτε σβεννυμένη κάμινος πάντα ἔπεισι καὶ καταφλέγει; οὐκ ἴστε ὅτι αὕτη ἡ φλὸξ ἐκεῖνον γεννᾷ τὸν σκώληκα τὸν ἰοβόλον; Εἰ δὲ καταφρονεῖς γεέννης καὶ οὐ διασείει σου τὴν διάνοιαν ταῦτα τὰ ρήματα διὰ τὸ μέλλειν ἔτι τὴν κόλασιν, κἂν τὰ παρόντα πειθέτω σε. Οὐκ ἔγνωτε οἷον τὸν καρπὸν ἡ φιλοχρηματία πρῴην ἐπεδείξατο; οὐ πρὸ τῶν ὀφθαλμῶν ὑμῶν ἐστι τὰ ὑπομνήματα; οὐκ ἔναυλος τῆς τοσαύτης καταστροφῆς ἡ ἀπόδειξις; Πᾶσα ἡ πόλις ἡμῖν τῶν λειψάνων τοῦ ναυαγίου ἐκείνου ἐμπέπλησται· καὶ ὅπουπερ ἂν ἀπέλθῃς, ὥσπερ πλοίου μεγάλου καταποντισθέντος, ὁ μὲν τὴν σανίδα, ὁ δὲ τὴν κώπην, ὁ δὲ τὸ ἱστίον, ὁ δὲ μέρος τι τῶν ἀγωγίμων διασώσαντες ἔχουσι καὶ περιφέρουσιν· οὕτω δὴ καὶ τοῦ πρῴην ἐντεῦθεν ἐπενεχθέντος σεισμοῦ, ὁ μὲν τὴν οἰκίαν, ὁ δὲ τοὺς ἀγρούς, ὁ δὲ τὰ ἀνδράποδα, ὁ δὲ τὸ ἀργύριον, ὁ δὲ τὸ χρυσίον διανειμάμενοι, πλατεῖαν τῆς συμφορᾶς τὴν ὄψιν εἰργάσαντο, καὶ πανταχοῦ τοῦ κλόνου τὰ ὑπομνήματα διασπαρῆναι παρεσκεύασαν.*

*Καὶ ὁ μὲν νύκτας ἀΰπνους διατελέσας καὶ μυρίους πόνους καὶ κινδύνους ὑπομείνας καὶ ἁμαρτήματα τοσαῦτα συναγαγὼν ἀπὸ τῆς τοιαύτης πλεονεξίας, ἄοικος, ἄπολις πρὸς τὴν ὑπερορίαν φυγὰς γέγονε, καὶ τῆς ἀναγκαίας ἀπορεῖ τροφῆς· καὶ καθ᾽ ἑκάστην ἡμέραν τὸν περὶ τῶν ἐσχάτων κίνδυνον ἐπικρεμάμενον ὁρᾷ, ξίφη καὶ δημίους καὶ βάραθρα φανταζόμενος, μυρίων θανάτων χαλεπωτέραν ζωὴν ζῶν· ἕτεροι δὲ τοῖς ἐκείνου κτήμασιν ἐντρυφῶσι, καὶ οἱ πρὸ τούτου κολακεύοντες αὐτόν, ἐπιβουλεύουσι νῦν. Ταῦτα οὖν οὐχ ἱκανὰ καὶ τὸν σφόδρα ἀναίσθητον σωφρονίζειν; Ἀλλὰ μετὰ τοσαύ-*

ἀκούσουν αὐτὰ ἀπὸ σᾶς τοὺς παρόντες. Μέχρι πότε θὰ κρατήσει ἡ μανία γιὰ τὰ χρήματα; Μέχρι πότε τὸ καμίνι ποὺ δὲ σβήνει ποτὲ θὰ ἔρχεται σὲ ὅλα καὶ θὰ τὰ κατακαίει; Δέ γνωρίζετε ὅτι αὐτὴ ἡ φλόγα γεννάει ἐκείνη τὴν ἄσβεστη φωτιά; ὅτι αὐτὸς ὁ πυρετὸς γεννάει ἐκεῖνο τὸ φαρμακερὸ σκουλήκι; Ἂν ὅμως περιφρονεῖς τὴ γέεννα καὶ δὲ σοῦ ταράζουν τὴν ψυχὴ αὐτὰ τὰ λόγια ἐπειδὴ ἡ τιμωρία ἀργεῖ ἀκόμη, τουλάχιστο ἂς σὲ πείσουν αὐτὰ ποὺ γίνονται τώρα[1]. Δὲ γνωρίσατε ποιόν καρπὸ φανέρωσε ἡ φιλοχρηματία προηγουμένως; δὲν εἶναι μπροστὰ στὰ μάτια σας τὰ παραδείγματα; δὲν εἶναι τυπωμένη στὴ μνήμη σας ἡ ἀπόδειξη τῆς τόσο μεγάλης καταστροφῆς; Ὅλη ἡ πόλη μας γέμισε ἀπὸ τὰ ὑπολείμματα τοῦ ναυαγίου ἐκείνου, καὶ ὅπου ἂν πᾶς, σὰν νὰ καταποντίσθηκε ἕνα μεγάλο πλοῖο, ὁ ἕνας τὴ σανίδα, ὁ ἄλλος τὸ κοπί, ὁ ἄλλος τὸ πανί, ὁ ἄλλος κάποιο μέρος ἀπὸ τὰ μεταφερόμενα ἀφοῦ διέσωσαν τὸ ἔχουν καὶ τὸ περιφέρουν. Ἔτσι ἀκριβῶς καὶ ὅταν ἀπὸ τὴν αἰτία αὐτὴ προηγήθηκε ὁ προηγούμενος σεισμός, ὁ ἕνας τὸ σπίτι, ὁ ἄλλος τὰ χωράφια, ὁ ἄλλος τὰ ζῶα, ὁ ἄλλος τὸ ἀσήμι, ὁ ἄλλος τὸ χρυσάφι ἀφοῦ μοίρασαν, πρόβαλαν μεγάλο τὸ θέαμα τῆς συμφορᾶς καὶ ἔκαμαν νὰ σκορπισθοῦν παντοῦ οἱ ἀναμνήσεις τοῦ κλονισμοῦ.

Καὶ ὁ ἕνας ἀφοῦ πέρασε νύχτες χωρίς ὕπνο καὶ ἄντεξε ἄπειρους κόπους καὶ κινδύνους καὶ ἀφοῦ μάζεψε τόσα πολλὰ ἁμαρτήματα ἀπὸ τὴν πλεονεξία του αὐτή, χωρὶς σπίτι, χωρὶς πόλη κατέφυγε στὴν ξένη χώρα καὶ δὲν ἔχει τὴν ἀπαραίτητη τροφή· καὶ βλέπει κάθε ἡμέρα νὰ ἀπειλεῖται ἐναντίον του ὁ κίνδυνος τοῦ θανάτου, καὶ φαντάζεται ξίφη καὶ δημίους καὶ βάραθρα, καὶ ζεῖ μιὰ ζωὴ χειρότερη ἀπὸ ἄπειρους θανάτους. Ἄλλοι ὅμως ἀπολαμβάνουν τὰ κτήματα του καὶ ἐκεῖνοι ποὺ τὸν κολάκευαν πρὶν ἀπ' αὐτὸ τώρα τὸν ἐπιβουλεύονται. Αὐτὰ λοιπὸν δὲν εἶναι ἀρκετὰ νὰ σωφρονίζουν καὶ τὸν ὑπερβολικὰ ἀναίσθητο; Ἀλλὰ ὕστερα ἀπὸ τόση συμφορά, ὕστερα ἀπὸ τόση τρικυμία, ὕστερα ἀπὸ τόση καταστροφή, ὕστερα ἀπὸ τόση καὶ τέτοια με-

1. Στὴ συνέχεια μιλάει γιὰ τὴν πτώση τοῦ Εὐτροπίου ποὺ ἔγινε πρὶν τριάντα ἡμέρες.

*τὴν πληγήν, μετὰ τοσοῦτον χειμῶνα, τὴν καταστροφήν, μετὰ τοσαύτην μεταβολὴν καὶ τηλικαύτην, τὴν πρὸ τῶν ὀφθαλμῶν φαινομένην, τὴν πρὸ τριάκοντα οὐδ' ὅλως γεγενημένην ἡμερῶν, πάλιν ταῦτα μαίνεσθε; καὶ ποίαν ἂν σχοίητε συγγνώμην, ἢ τίνα ἀπολογίαν; Καὶ οὐ μαίνεσθε μόνον, ἀλλ' οὐδὲ παραγίνεσθε, ἵνα αὐτὸ τοῦτο μάθητε.*

*Ὥσπερ γὰρ πρὸς παρόντας τοὺς ἀπόντας διαλέγομαι, πολλῇ τῇ ἀθυμίᾳ κεκαρωμένος, ὅτι οὐ τῷ φόβῳ τῶν μελλόντων, οὐ τῇ πείρᾳ τῶν παρόντων γίνονται βελτίους, ἀλλ' ἁρπάζοντες, πλεονεκτοῦντες, ὥσπερ ἔν τινι κοπρίᾳ σκώληκες, τῷ φορυτῷ τῶν φροντίδων τούτων ἀπειλημμένοι καὶ ἐγκατορωρυγμένοι, οὐδὲ ἅπαξ τῆς ἑβδομάδος παραγίνεσθαι σπουδάζουσιν, ἵνα κἂν αὐτὸ τοῦτο μάθωσιν ἔνθα εἰσίν. Ὥσπερ γὰρ οἱ φρενίτιδι κατεχόμενοι αὐτοὶ μὲν οὐκ ἂν δύναιντο συνιδεῖν ἐν οἷς εἰσιν, ἰατρῶν δὲ δέονται τῶν τῆς μανίας αὐτοὺς ἀπαλλαξόντων, οὕτω δὴ καὶ οἱ τῇ χαλεπῇ λύσσῃ τῶν χρημάτων κατεχόμενοι, ἑτέρων δέονται διδασκάλων, ἵνα κἂν ὅτι λυσσῶσι μάθωσι. Διὰ τοῦτο μάλιστα αὐτῶν δέομαι καὶ παρακαλῶ καὶ ἱκετεύω ἀπαντᾶν πρὸς ἡμᾶς, καὶ τὰ ἀπὸ τοῦ λόγου δέχεσθαι φάρμακα. Οὐκ ἔστι μοι σιδήριον ἠκονημένον, ἀλλ' ἔστι λόγος σιδήρου τομώτερος· οὐκ ἔστι πῦρ, οὐδὲ φάρμακον δάκνον, ἀλλ' ἔστι ῥήματα πυρὸς θερμότερα, καὶ ἀνώδυνον ἐπάγοντα τὴν ἰατρείαν.*

*2. Τίνος οὖν ἕνεκεν ἀποπηδᾷς, εἰπέ μοι, καὶ οὐδὲ τὴν αὐτὴν ἐπιδείκνυσαι περὶ τὴν ψυχὴν πρόνοιαν, ὅσην ἔχεις περὶ τὴν σάκρα φειδώ; Ἐκείνης μὲν γὰρ κακῶς διακειμένης καὶ χρήματα δαπανᾷς, κἂν δανείσασθαι δέῃ, πάντα ὑποθέμενος ἀναλίσκεις· καὶ ἰατροῖς, κἂν τεμεῖν βουληθῶσι, κἂν καῦσαι, μετὰ πολλῆς προθυμίας παρέχεις τὸ σῶμα ποιεῖν ὅπερ ἂν ἐθέλωσι· τῆς δὲ ψυχῆς πηγὰς σκωλήκων ἐχούσης, οὐκ ἀπαντᾷς ἀκουσόμενος, εἰπέ μοι, λόγου τὴν σηπεδόνα ἐκκαθάροντος, καὶ ταῦτα οὔτε χρήματα ἔχων κατα-*

ταβολή, ποὺ φαινεται μπροστὰ στὰ μάτια σας, ποὺ ἔγινε πρὶν ἀπὸ τριάντα μόλις ἡμέρες, πάλι ἔχετε μανία γι' αὐτά; Καὶ ποιὰ συγγνώμη ἢ ποιὰ δικαιολογία μπορεῖ νὰ ἔχετε; Καὶ ὄχι μόνο ἔχετε τὴ μανία, ἀλλὰ δὲν ἔρχεστε καὶ ἐδῶ γιὰ νὰ τὸ μάθετε αὐτό.

Γιατὶ μιλάω στοὺς ἀπόντες ὅπως στοὺς παρόντες, ζαλισμένος ἀπὸ τὴ μεγάλη στενοχώρια, καθόσον οὔτε μὲ τὸ φόβο γιὰ τὰ μελλοντικὰ οὔτε μὲ τὴν πεῖρα τῶν παρόντων γίνονται καλύτεροι, ἀλλὰ ἁρπάζο εἶναι πλεονέκτες, σὰν σκουλήκια σὲ κοπριά, εἶναι ἀποκλεισμένοι καὶ βαθειὰ θαμμένοι ἀπὸ τὶς πολλὲς αὐτὲς φροντίδες, καὶ οὔτε μιὰ φορὰ τὴν ἑβδομάδα δὲ φροντίζουν νὰ ἔρχονται ἐδῶ, γιὰ νὰ μάθουν τουλάχιστο αὐτό, ποῦ δηλαδὴ βρίσκονται. Γιατὶ ὅπως αὐτοὶ ποὺ κατέχονται ἀπὸ τρέλλα, οἱ ἴδιοι δὲν μποροῦν νὰ ἀντιληφθοῦν σὲ ποιὰ κατάσταση βρίσκονται, ἀλλὰ χρειάζονται τοὺς ἰατροὺς νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴ μανία, ἔτσι ἀκριβῶς καὶ αὐτοὶ ποὺ κατέχονται ἀπὸ τὴ φοβερὴ λύσσα γιὰ τὰ χρήματα, χρειάζονται ἄλλους διδασκάλους, γιὰ νὰ μάθουν τουλάχιστο πῶς ἔχουν λύσσα. Γι' αὐτὸ ἰδιαίτερα τοὺς ζητῶ καὶ τοὺς παρακαλῶ καὶ τοὺς ἱκετεύω νὰ μᾶς συναντοῦν καὶ νὰ δέχονται τὰ φάρμακα ἀπὸ τὸ λόγο. Δὲν ἔχω ἀκονισμένο μαχαίρι, ἀλλὰ ἔχω λόγο πιὸ κοφτερὸ ἀπὸ μαχαίρι· δὲν ἔχω φωτιά, οὔτε φάρμακο ἐνοχλητικό, ἀλλὰ ἔχω λόγια πιὸ θερμὰ ἀπὸ φωτιὰ καὶ ποὺ προκαλοῦν ἀνώδυνη τὴ θεραπεία.

2. Για ποιὸ λοιπὸν λόγο ἀπομακρύνεσαι, πές μου, καὶ δὲ δείχνεις τὴν ἴδια φροντίδα γιὰ τὴν ψυχή, ὅση μέριμνα ἔχεις γιὰ τὴ σάρκα σου; Γιατὶ ὅταν αὐτὴ βρίσκεται σὲ κακὴ κατάσταση καὶ χρήματα ξοδεύεις, ἔστω καὶ ἂν πρέπει νὰ τὰ δανεισθεῖς, ὅλα τὰ διαθέτεις καὶ τὰ δαπανᾶς· καὶ στοὺς ἰατρούς, καὶ ἂν ἀκόμη θελήσουν νὰ σὲ ἐγχειρίσουν, εἴτε νὰ σὲ καυτηριάσουν, μὲ μεγάλη προθυμία προσφέρεις τὸ σῶμα σου νὰ κάνουν αὐτὸ ποὺ θέλουν· ὅταν ὅμως ἡ ψυχὴ ἔχει πηγὲς ἀπὸ σκουλήκια, δὲν ἔρχεσαι ν' ἀκούσεις, πές μου, τὸ λόγο ποὺ καθαρίζει τὸ σάπισμα, τὴ στιγμὴ ποὺ οὔτε χρήματα θὰ πληρώσεις, οὔτε τόσο μεγάλο πόνο θὰ

*βαλεῖν, οὔτε τοσαύτην ὀδύνην ὑπομεῖναι, ἀλλ' ἐξέδωκας σεαυτὸν ἀπωλείᾳ παντελεῖ; καὶ ποῦ ταῦτα ἄξια συγγνώμης; Εἰ μὲν γὰρ ἔλεγον, ὁ πλεονεκτῶν, ὁ ἁρπάζων, ὁ πορνεύων, ὁ μοιχεύων μὴ ἀπαντάτω εἰς ἐκκλησίαν, καὶ ἤλαυνον καὶ ἐδίωκον ἅπαντας τοὺς ἐν ἁμαρτήμασι, μάλιστα μὲν οὐδὲ τότε ἦν τις ἀπολογία, ἔδει γὰρ ἐκκαθαρθέντα ἀπαντᾶν· νυνὶ δὲ οὐδὲ τοῦτο λέγω, ἀλλὰ κἂν πορνεύσῃς, κἂν μοιχεύσῃς, κἂν ἁρπάζῃς, κἂν πλεονεκτῇς, ἀπάντησον εἰς ἐκκλησίαν, ἵνα μάθῃς μηκέτι τοιαῦτα ποιεῖν· ἕλκω πάντας καὶ ἐπισπῶμαι καὶ τὰ δίκτυα τοῦ λόγου πανταχόθεν ἁπλώσας, οὐχὶ τοὺς ὑγιαίνοντας, ἀλλὰ καὶ τοὺς νοσοῦντας ἐνταῦθα ζωγρῆσαι ἐπιθυμῶ.*

*Ταῦτα λέγω καθ' ἑκάστην ἡμέραν· ἐλθὲ καὶ θεραπεύου μετ' ἐμοῦ· καὶ γὰρ ἐγὼ ἰατρεύων χρείαν ἔχω φαρμάκων· ἄνθρωπος γὰρ εἰμι καὶ τῆς αὐτῆς σοι φύσεως ὑποκείμενος πάθεσι, καὶ δέομαι ῥημάτων τῶν τὸν ἄτακτον δεσμὸν χαλινούντων· οὐδὲ ἀπράγμονα ζῶ βίον καὶ ἡσύχιον καὶ ἀτάραχον, ἀλλ' ἔχω καὶ αὐτὸς θορύβους ἐπιθυμίας καὶ ταραχὰς κυμάτων. Καὶ τί δεῖ λέγειν ἐμὲ καὶ τὸν δεῖνα, ὅπου γε ὁ τῶν οὐρανῶν ἀψάμενος Παῦλος καὶ αὐτὸς πολλῆς ἐδεῖτο τῆς θεραπείας; Καὶ τοῦτο αὐτὸ δῆλον ἡμῖν ἐποίησεν, ὅτι ἐδεῖτο, καὶ οὐδὲ αὐτὸς ἀπράγμονα ἔζη βίον, ἀλλὰ πολλὰ εἶχε παλαίσματα· διὸ καὶ ἔλεγεν· «ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Ὑπεπίαζε δὲ τὸ ἐξανιστάμενον, καὶ ἐδουλαγώγει τὸ ἀφηνιᾶσαι βουλόμενον· διὸ καὶ ἄλλοις παρῄνει λέγων· «ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ». Εἰ δὲ ὁ Παῦλος οὐκ ἀπέλαυε γαλήνης, ἀλλ' ὥσπερ οἱ πελάγει φερόμενοι, πολλὰ πανταχόθεν ἑώρα διεγειρόμενα κύματα· τίς*

---

2. Α' Κορ. 9,27.

ὑποφέρεις, ἀλλὰ παρέδωσες τὸν ἑαυτό σου στὴν ὁλοκληρωτικὴ καταστροφή; Καὶ πῶς θὰ θεωρηθοῦν αὐτὰ ἄξια γιὰ συγγνώμη; Γιατί, ἄν ἔλεγα ὁ πλεονέκτης, ὁ ἅρπαγας, ὁ πόρνος, ὁ μοιχός, νὰ μὴν ἔρχονται στὴν ἐκκλησία, καὶ ἂν ἀπομάκρυνα καὶ ἔδιωχνα ὅλους τοὺς ἁμαρτωλούς, ἀκόμη καὶ τότε δὲ θὰ ὑπῆρχε καμιὰ δικαιολογία, γιατὶ ἔπρεπε νὰ καθαρισθοῦν καὶ νὰ ἔρχονται. Τώρα ὅμως οὔτε αὐτὸ λέγω, ἀλλὰ εἴτε πορνεύσεις, εἴτε μοιχεύσεις, εἴτε ἁρπάζεις, εἴτε εἶσαι πλεονέκτης, ἔλα στὴν ἐκκλησία, γιὰ νὰ μάθεις νὰ μὴν κάνεις πιὰ τέτοια. Ὅλους τοὺς τραβῶ καὶ τοὺς προσελκείω, καὶ ἅπλωσα παντοῦ τὰ δίχτυα τοῦ λόγου ἐπιθυμώντας νὰ ψαρέψω ἐδῶ ὄχι τοὺς ὑγιεῖς ἀλλὰ τοὺς ἀρρώστους.

Αὐτὰ τὰ λέγω κάθε ἡμέρα. Ἔλα καὶ θεραπεύσου μαζὶ μὲ μένα, γιατὶ καὶ ἐγὼ ποὺ θεραπεύω ἔχω ἀνάγκη ἀπὸ φάρμακα, ἀφοῦ εἶμαι ἄνθρωπος καὶ ὑπόκειμαι στὰ ἴδια μὲ σένα πάθη καὶ ἔχω ἀνάγκη ἀπὸ τὰ λόγια ἐκεῖνα ποὺ χαλιναγωγοῦν τὸν ἄτακτο δεσμό. Οὔτε περνῶ μιὰ ζωὴ χωρὶς φροντίδες καὶ ἥσυχη καὶ ἀτάραχη, ἀλλὰ ἔχω καὶ ἐγὼ θορύβους ἐπιθυμίας καὶ ταραχὲς κυμάτων. Καὶ γιατί πρέπει νὰ μιλῶ γιὰ μένα και γιὰ τὸν τάδε, ὅταν καὶ ὁ Παῦλος ποὺ ἄγγιξε τοὺς οὐρανοὺς εἶχε ἀνάγκη καὶ αὐτὸς ἀπὸ πολλὴ θεραπεία; Καὶ αὐτὸ ἀκριβῶς μᾶς τὸ ἔκαμε φανερό, ὅτι δηλαδὴ εἶχε ἀνάγκη, καὶ οὔτε αὐτὸς περνοῦσε μιὰ ζωὴ χωρὶς φροντίδες, ἀλλ' εἶχε πολλοὺς ἀγῶνες. Γι' αὐτὸ καὶ ἔλεγε· «σκληραγωγῶ τὸ σῶμα μου καὶ τὸ μεταχειρίζομαι σὰν δοῦλο μήπως, ἐνῶ κήρυξα σ' ἄλλους, ἐγὼ ὁ ἴδιος γίνω ἀνάξιος»[2]. Σκληραγωγοῦσε αὐτὸ ποὺ ἤθελε νὰ ἐπαναστατήσει καὶ ὑποδούλωνε αὐτὸ ποὺ ἤθελε νὰ παρεκτραπεῖ. Γι' αὐτὸ καὶ συμβουλεύοντας ἄλλους ἔλεγε· «ὅποιος νομίζει πὼς στέκεται, ἂς προσέχει μήπως πέσει»[3]. Ἂν ὅμως ὁ Παῦλος δὲν ἀπολάμβανε γαλήνη, ἀλλὰ σὰν αὐτοὺς ποὺ ταξιδεύουν στὸ πέλαγος ἔβλεπε ἀπὸ παντοῦ νὰ σηκώνονται πολλὰ κύματα, ποιός θὰ τολμήσει

3. Α' Κορ. 10,12.

*τολμήσει λέγειν, ὅτι οὐ δεῖται διορθώσεως καὶ θεραπείας καὶ διηνεκοῦς ἀγρυπνίας;*

*Ἐλθὲ τοίνυν καὶ θεραπεύου μετ' ἐμοῦ τοῦ διδασκάλου. Εἰ δὲ ὑγιὴς εἶ, καὶ διὰ τοῦτο παραγίνου, ἵνα ὑγιέστερος γένῃ· ὁ γὰρ λόγος τούς τε ἔχοντας νοσήματα ἀπαλλάτει τῆς ἀρρωστίας, τούς τε οὐκ ἔχοντες ἀσφαλεστέρους καθίστησι, διορθωτικός τε ὢν τῶν γενομένων, καὶ προφυλακτικὸς τῶν οὐδέπω συμβάντων. Εἰ δὲ μὴ τοῦτο ἔχεις τὸ ἁμάρτημα, ἀλλ' ἕτερον ἔχεις· «τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;». Μὴ τοίνυν, ἐπειδὴ ἥμαρτες, αἰσχυνθῇς παραγενέσθαι, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ἀπάντησον. Οὐδεὶς γὰρ λέγει· ἐπειδὴ ἕλκος ἔχω, οὐκ ἐπιζητῶ τὸν ἰατρόν, ἀλλ' οὐδὲ καταδέχομαι φάρμακον· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα καὶ τοὺς ἰατρεύοντας καὶ τῶν φαρμάκων τὴν δύναμιν ἐπιζητεῖν ἀναγκαῖον.*

*Ἴσμεν γὰρ καὶ ἡμεῖς συγγινώσκειν, ἅτε καὶ αὐτοὶ ἑτέροις ἁμαρτήμασιν ὄντες ὑπεύθυνοι. Διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς οὐκ ἀγγέλους ἔδωκεν ἡμῖν διδασκάλους, οὐδὲ τὸν Γαβριὴλ ἄνωθεν κατενεγκὼν ἐπέστησεν αὐτοῦ ταῖς ἀγέλαις, ἀλλ' ἀπ' αὐτοῦ τοῦ ποιμνίου ἀναλαμβάνων τὸν ἀγελάρχην, ἵνα συγγνωμονικὸς ᾖ τοῖς ἀρχομένοις, καὶ τὴν οἰκείαν ἀσθένειαν ἐννοῶν, μὴ ἐπαίρηται κατὰ τῶν ποιμαινομένων, ἀλλ' ἔχῃ χαλινὸν καὶ ταπεινοφροσύνης ὑπόθεσιν τοῦ οἰκείου συνειδότος τὴν ἀνάγκην. Καὶ ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἄκουσον Παύλου ταῦτα γράφοντος καὶ φιλοσοφοῦντος· τοῖ γὰρ Ἑβραίοις ἐπιστέλλων, οὕτω ἔφη· «πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται, ὥστε προσφέρειν δῶρα καὶ θυσίας, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περικεῖται ἀσθένειαν· καὶ διὰ*

νὰ πεῖ, ὅτι δὲν ἔχει ἀνάγκη ἀπὸ διόρθωση καὶ θεραπεία καὶ παντοτινὴ ἐγρήγορση;

Ἔλα λοιπὸν γιὰ νὰ θεραπευθεῖς μαζὶ μὲ μένα τὸ διδάσκαλο. Καὶ ἂν εἶσαι ὑγιής, καὶ γι' αὐτὸ νὰ ἔρχεσαι, γιὰ νὰ γίνεις ὑγιέστερος. Γιατὶ ὁ λόγος καὶ αὐτοὺς ποὺ ἔχουν νοσήματα τοὺς θεραπεύει ἀπὸ τὴν ἀρρώστια, καὶ αὐτοὺς ποὺ δὲν ἔχουν τοὺς καθιστᾶ ἀσφαλέστερους, ἐπειδὴ διορθώνει ὅσα ἔγιναν καὶ προφυλάγει ἀπ' ὅσα δὲ συνέβηκαν ἀκόμη. Καὶ ἂν δὲν ἔχεις αὐτὸ τὸ ἁμάρτημα, ἔχεις ὅμως ἄλλο. «Ποιός μπορεῖ νὰ καυχηθεῖ πὼς ἔχει ἁγνὴ τὴν καρδιά του; ἢ ποιός μπορεῖ νὰ πεῖ μὲ θάρρος πὼς εἶναι καθαρὸς ἀπὸ ἁμαρτία;»[4]. Μὴν ντραπεῖς λοιπὸν νὰ ἔρθεις, γιατὶ ἁμάρτησες, ἀλλὰ γι' αὐτὸ ἀκριβῶς νὰ ἔρθεις. Γιατὶ κανεὶς δὲ λέγει, 'ἐπειδὴ ἔχω πληγή, δὲν ἀναζητῶ τὸν ἰατρό, καὶ οὔτε δέχομαι φάρμακο', ἀλλὰ γι' αὐτὸ ἀκριβῶς πιὸ πολὺ εἶναι ἀναγκαῖο νὰ ἀναζητάει τοὺς ἰατροὺς καὶ τὴ δύναμη τῶν φαρμάκων.

Γνωρίζουμε βέβαια καὶ μεῖς νὰ συγχωροῦμε, ἐπειδὴ καὶ οἱ ἴδιοι εἴμαστε ὑπεύθυνοι γιὰ ἄλλα ἁμαρτήματα. Γι' αὐτὸ λοιπὸν καὶ ὁ Θεὸς δὲ μᾶς ἔδωσε διδασκάλους τοὺς ἀγγέλους, οὔτε τὸν Γαβριὴλ τὸν κατέβασε ἀπὸ τὸν οὐρανὸ καὶ τὸν ὅρισε νὰ προστατεύει τὰ πρόβατά του, ἀλλ' ἀπὸ τὸ ἴδιο τὸ ποίμνιο παίρνει καὶ κάνει ποιμένες, ἀπὸ τὰ ἴδια τὰ πρόβατα κάνει τὸν ποιμενάρχη, γιὰ νὰ εἶναι συγχωρητικὸς στοὺς ἀρχομένους καὶ κατανοώντας τὴν ἀδυναμία του νὰ μὴν ὑπερηφανεύεται σ' αὐτοὺς ποὺ ποιμένει, ἀλλὰ νὰ ἔχει χαλινάρι καὶ ἀφορμὴ γιὰ ταπεινοφροσύνη τὴν ἀγάπη τῆς δικῆς του συνείδησης. Καὶ ὅτι δὲν εἶναι σκέψεις αὐτὰ τὰ λόγια, ἄκουσε τὸν Παῦλο ποὺ γράφει καὶ φιλοσοφεῖ αὐτά. Γράφοντας λοιπὸν στοὺς Ἑβραίους ἔλεγε αὐτά· « Γιατὶ κάθε ἀρχιερέας λαμβάνεται ἀπὸ ἀνθρώπους καὶ παίρνει τὸ ἀξίωμα του γιὰ τοὺς ἀνθρώπους, γιὰ νὰ προσφέρει δῶρα καὶ θυσίες, γιατὶ ἔχει τὴ δύναμη νὰ εἶναι ὑπομονητικὸς σ' ἐκείνους ποὺ βρίσκονται σὲ ἄγνοια καὶ πλάνη, ἀφοῦ καὶ αὐτὸς περιβάλλεται ἀπὸ ἀδυναμία· καὶ ἐξ αἰτίας αὐτῆς εἶναι ὑποχρεω-

4. Παροιμ. 20,9.

*ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν».*

*Εἶδες πῶς ἄριστα τὴν αἰτίαν ἡμῖν εἴρηκε, δι' ἣν οὐκ ἄγγελοι οὐδὲ ἀρχάγγελοι, ἀλλ' ἄνθρωποι ταῖς Ἐκκλησίαις ἐφεστήκασιν, ἵνα δύνωνται συναλγεῖν τοῖς ὁμογενέσι, τὸ τῶν οἰκείων ἁμαρτημάτων συνειδὸς μέγιστον διδασκάλιον ταπεινοφροσύνης ἔχοντες; Καὶ γὰρ καὶ αὐτὸς περίκειται, φησίν, ἀσθένειαν, καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν. Τοῦτο γοῦν καὶ νῦν γίνεται· καὶ γὰρ τῇ ἱερᾷ ταύτῃ τραπέζῃ παρεστῶτες καὶ τὴν φρικτὴν θυσίαν ἀναφέροντες, ὥσπερ ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων αἰτοῦμεν γενέσθαι συγχώρησιν, οὕτω καὶ ὑπὲρ τῶν ὑμετέρων αὐτῶν παρακαλοῦμεν καὶ δεόμεθα καὶ ἱκετεύομεν καὶ ὑπὲρ ἁπάντων τὴν θυσίαν ἀναφέρομεν...*

3. *Μή μοι τὸν πλεονέκτην καὶ τὸν γαστρὸς δοῦλον καὶ τὸν προδεδωκότα τῇ πονηρίᾳ τῆς φύσεως τὴν εὐγένειαν εἰς μέσον ἀγάγῃς, ἀλλὰ τοῦτον καὶ τοὺς κατ' ἐκεῖνον ἄνδρας, τοὺς τὸ ἀρχέτυπον διατηροῦντας, καὶ τὸν χαρακτῆρα τὸν βασιλικὸν οὐ λυμαινομένους, καὶ τότε εἴσῃ τί ποτέ ἐστιν ἄνθρωπος. Καὶ γὰρ καὶ οὗτος ἄνθρωπος ἦν, καὶ ἀπὸ γυναικὸς ἐτέχθη, καὶ γάλακτι ἐτράφη, καὶ γῆν ᾤκησε, καὶ ἀέρα ἀνέπνευσε, καὶ πάντα κοινὰ αὐτῷ ἦν πρὸς ἡμᾶς, κοινὰ τὰ τῆς φύσεως· ἀλλ' ἐπειδὴ τὰ τῆς προαιρέσεως ἐξαίρετα γέγονε, διὰ ταῦτα καὶ ταύτης χάριτος ἐξέλαμψε. Καίτοι οὐδὲ χρήματα αὐτῷ παρῆν, οὐ γένους περιφάνεια, οὐ πατρίδος μέγεθος, οὐ λόγων δεινότης, οὐ γλῶττα ἠκονημένη, οὐκ ἀνδραπόδων ἀγέλαι, οὐκ εὐνούχων ἑσμός, οὐκ οἰκία χρυσόροφος, οὐχ ἱμάτια σηρικά, οὐ τράπεζα τρυφὴν ἔχουσα, οὐκ ἄλλο τι τῶν δοκούντων εἶναι πολλοῖς*

5. Ἑβρ. 5,1–3.

μένος νὰ προσφέρει θυσίες γιὰ ἁμαρτίες καὶ γιὰ τὸν ἑαυτό του, ὅπως κάνει γιὰ τὸ λαό»[5].

Εἶδες πῶς μᾶς εἶπε πολὺ καλὰ τὴν αἰτία, γιὰ τὴν ὁποῖα οὔτε ἄγγελοι οὔτε ἀρχάγγελοι, ἀλλὰ ἄνθρωποι ὁρίσθηκαν προϊστάμενοι στὶς ἐκκλησίες, γιὰ νὰ μποροῦν νὰ συμπονοῦν μὲ τοὺς συνανθρώπους τους, ἔχοντας τὴ συνείδηση τῶν δικῶν τους ἁμαρτημάτων μέγιστη διδασκαλία ταπεινοφροσύνης; Γιατὶ πραγματικὰ καὶ αὐτὸς περιβάλλεται, λέγει, ἀπὸ ἀδυναμία καὶ ἐξ αἰτίας της εἶναι ὑποχρεωμένος νὰ προσφέρει θυσίες γιὰ ἁμαρτίες καὶ γιὰ τὸν ἑαυτό του, ὅπως γιὰ τὸ λαό. Αὐτὸ λοιπὸν καὶ τώρα γίνεται, γιατὶ στεκόμαστε κοντὰ στὴν ἱερὴ αὐτὴ τράπεζα καὶ προσφέρουμε τὴ φοβερὴ θυσία καὶ ὅπως γιὰ τὰ ἁμαρτήματα τοῦ λαοῦ ζητοῦμε νὰ συγχωρηθοῦν, ἔτσι καὶ γιὰ τὰ δικά μας παρακαλοῦμε καὶ προσευχόμαστε καὶ ἱκετεύουμε καὶ γιὰ ὅλους προσφέρουμε τὴ θυσία.

3. Μὴ μοῦ παρουσιάσεις τὸν πλεονέκτη καὶ τὸν κοιλιόδουλο καὶ αὐτὸν ποὺ ἔχει προδώσει στὴν πονηρία τὴν εὐγενικὴ καταγωγὴ τῆς φύσης του, ἀλλ' ἐκεῖνον[6] καὶ τοὺς ἄνδρες ποὺ ἦταν μαζί του, αὐτοὺς ποὺ διατηροῦν τὸ ἀρχέτυπο καὶ ποὺ δὲν καταστρέφουν τὸ βασιλικὸ χαρακτήρα τους, καὶ τότε θὰ μάθεις τί τέλος πάντων εἶναι ὁ ἄνθρωπος. Γιατὶ βέβαια καὶ ἐκεῖνος ἦταν ἄνθρωπος, καὶ γεννήθηκε ἀπὸ γυναίκα, καὶ τράφηκε μὲ γάλα, καὶ κατοίκησε στὴ γῆ, καὶ ἀνέπνευσε ἀέρα, καὶ ὅλα ἦταν σ' αὐτὸν κοινὰ μὲ μᾶς, κοινὴ ἡ φύση. Ἐπειδὴ ὅμως ἡ προαίρεσή του ὑπῆρξε ἐξαιρετική, γι' αὐτὸ καὶ ἔλαμψε μὲ τὴ χάρη τοῦ Θεοῦ. Ἂν καὶ δὲν εἶχε οὔτε χρήματα, οὔτε ὀνομαστὴ καταγωγή, οὔτε μεγάλη πατρίδα, οὔτε ἱκανότητα στὰ λόγια, οὔτε ἀκονισμένη γλώσσα, οὔτε κοπάδια ζῶα, οὔτε πλῆθος εὐνούχων, οὔτε σπίτι μὲ χρησὴ ὀροφή, οὔτε μεταξωτὰ ἐνδύματα, οὔτε τραπέζι μὲ ἀπολαύσεις, οὔτε κάτι ἄλλο ἀπ' αὐτὰ ποὺ φαίνονται στοὺς πολλοὺς πὼς εἶναι ἀξιοζήλευτα, ἀλλὰ τὴ χειρότερη φτώχεια –γιατὶ

6. Ἀναφέρεται στὸν προφήτη Ἠλία.

*μακαριστῶν, ἀλλὰ πενία ἡ ἐσχάτη· οὐδὲ γὰρ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, ἀλλὰ χήρας γυναικός, καὶ ταῦτα Σιδωνίας, προσαίτης ἐγίνετο, χεῖρα προτείνων, καὶ ἄρτον αἰτῶν· καὶ σπήλαιον ἦν αὐτῷ τὸ οἴκημα, καὶ δέρμα τὸ ἱμάτιον, καὶ ἡ τράπεζα γῆ, καὶ πρόγονοι ἄσημοί τε καὶ ἀνώνυμοι, καὶ πατρὶς εὐτελής, καὶ βίος ἀγροικώδης.*

*Ἀλλ' ὅμως οὐδὲν τούτων ἐγένετο κώλυμα τῷ ἀνδρὶ πρὸς εὐδοκίμησιν, ἀλλὰ καὶ βασιλέων ἁπάντων εὐπορώτερος ἦν, καὶ φιλοσόφων ἁπάντων καὶ ῥητόρων σοφώτερος, καὶ τῶν τὰ διαδήματα ἐχόντων περιφανέστερος, καὶ μᾶλλον εὐπατρίδης τῶν τὰς βασιλικὰς κεκτημένων πόλεις· τὴν γὰρ οἰκουμένην εἶχε πατρίδα, μᾶλλον δὲ καὶ αὐτὴ αὐτῷ μικρὰ πόλις ἦν, καὶ βοᾷ Παῦλος λέγων· «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος». Καὶ γὰρ εἰς τὴν ἄνω πόλιν ἐτέλει, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Διὰ τοῦτό σοι πένητα καὶ ἄγροικον παρήγαγον εὐδοκιμοῦντα, ἵνα μηδεμίαν ἔχῃς πρόφασιν. Εἰ μὲν γὰρ πλούσιον παρήγαγον καὶ σοφόν, ἠδύνασο λέγειν ὅτι δὴ ἐμὲ ἡ πενία καὶ ἡ ἀμαθία κωλύει γενέσθαι τοιοῦτον· νυνὶ δὲ εἰς οὐδεμίαν πρόφασιν τοιαύτην ἔχεις καταφυγεῖν· καὶ γὰρ καὶ πένης ἦν ἐκεῖνος, πάντων ἀνθρώπων πενέστερος, καὶ τὴν ἔρημον ᾤκει, καὶ ἐκ προγόνων ἄσημος καὶ ἐκ πατρίδος καὶ ἀπὸ τῶν ἄλλων ἁπάντων. Ἀλλ' ὅμως ὑπὲρ τὸν ἥλιον ἔλαμψε καὶ τότε καὶ νῦν, καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ἔπεισιν αὐτοῦ ἡ δόξα, καίτοι πρὸ τοσούτου χρόνου γεγονότος· ἀλλ' οὐκ ἔσβεσε τοῦ χρόνου τὸ πλῆθος αὐτοῦ τὴν μνήμην, καὶ μάλα εἰκότως.*

*Τοιοῦτον γὰρ ἡ ἀρετή, πρᾶγμα ἀθάνατον καὶ ὑπὲρ τὸν ἥλιον λάμπον. Ἀλλ', ὅπερ ἔφθην εἰπὼν (οὐ γὰρ δεῖ τῆς ὑποθέσεως ἐπιλαθέσθαι εἰς τὸ πέλαγος ἐξενεχθέντας τῶν ἐγκωμίων τοῦ προφή-*

οὔτε τὴν ἀπαραίτητη τροφὴ δὲν εἶχε, ἀλλὰ γινόταν ἐπαίτης σὲ χήρα γυναίκα, καὶ μάλιστα ἀπὸ τὴ Σιδώνα, ἁπλώνοντας τὸ χέρι καὶ ζητώντας ψωμί–, καὶ σπήλαιο τοῦ ἦταν τὸ σπίτι, καὶ δέρμα τὸ ἔνδυμα, καὶ ἡ γῆ τὸ τραπέζι, καὶ πρόγονοι ἄσημοι καὶ ἀνώνυμοι, καὶ πατρίδα ἀσήμαντη, καὶ ἡ ζωή του σὰν τοῦ ἀγροίκου.

Ἀλλ' ὅμως τίποτε ἀπ' αὐτὰ δὲν ἐμπόδισε τὸν ἄνδρα νὰ εὐδοκιμήσει, ἀλλὰ καὶ πιὸ πλούσιος ἀπ' ὅλους τοὺς βασιλεῖς ἦταν, καὶ πιὸ σοφὸς ἀπ' ὅλους τοὺς φιλοσόφους καὶ τοὺς ρήτορες, καὶ πιὸ ἔνδοξος ἀπ' αὐτοὺς ποὺ ἔχουν τὶς ἐξουσίες, καὶ πιὸ ἀριστοκράτης ἀπ' αὐτοὺς ἔχουν τὶς βασιλικὲς πόλεις. Γιατὶ εἶχε πατρίδα τὴν οἰκουμένη, ἢ καλύτερα καὶ αὐτὴ τοῦ ἦταν μικρὴ πόλη, καὶ φωνάζει ὁ Παῦλος λέγοντας· « περιπλανοῦνταν φορώντας δέρματα προβάτων καὶ δέρματα αἰγῶν, ἄνθρωποι γιὰ τοὺς ὁποίους δὲν ἦταν ἄξιος ὁ κόσμος»[7]. Γιατὶ πραγματικὰ ζοῦσε στὴν οὐράνια πόλη, ποὺ τεχνίτης καὶ δημιουργός της εἶναι ὁ Θεός. Γι' αὐτὸ σοῦ παρουσίασα ἕνα φτωχὸ καὶ ἀγροῖκο νὰ εὐδοκιμεῖ, γιὰ νὰ μὴν ἔχεις καμιὰ πρόφαση. Γιατί, ἂν σοῦ παρουσίαζα ἕναν πλούσιο καὶ σοφό, θὰ μποροῦσες νὰ πεῖς πὼς ἡ φτώχεια μου καὶ ἡ ἀμάθειά μου μὲ ἐμποδίζουν νὰ γίνω τέτοιος. Τώρα ὅμως δὲν μπορεῖς νὰ καταφύγεις σὲ καμιὰ τέτοια πρόφαση, γιατὶ καὶ φτωχὸς ἦταν ἐκεῖνος, πιὸ φτωχὸς ἀπ' ὅλους τοὺς ἀνθρώπους, καὶ στὴν ἔρημο κατοικοῦσε, καὶ ἀπὸ προγόνους ἦταν ἄσημος καθὼς καὶ ἀπὸ πατρίδα καὶ ἀπ' ὅλα τὰ ἄλλα. Ἀλλ' ὅμως ἔλαμψε πιὸ πολὺ ἀπὸ τὸν ἥλιο καὶ τότε καὶ τώρα, καὶ σὲ ὅση γῆ ρίχνει τὶς ἀκτίνες του ὁ ἥλιος σὲ τόση ἔφθασε ἡ δόξα του, ἂν καὶ ἔζησε πρὶν ἀπὸ τόσον πολὺ χρόνο. Ἀλλ' ὁ πολὺς χρόνος δὲν ἔσβησε τὴ μνήμη του, καὶ πολὺ εὔλογα.

Τέτοια λοιπὸν εἶναι ἡ ἀρετή, πράγμα ἀθάνατο, καὶ πιὸ λαμπρὸ ἀπὸ τὸν ἥλιο. Ἀλλά, πράγμα ποὺ εἶπα προηγουμένως (γιατὶ δὲν πρέπει νὰ ξεχάσουμε τὸ θέμα μας, καθὼς ἀνοιχτήκαμε στὸ πέλαγος τῶν ἐγκωμίων τοῦ προφήτη), καὶ αὐτὸς ἀποδεικνύ-

7. Ἑβρ. 11,37.

*του), καὶ οὗτος δείκνυσι τὰ ἐπὶ τοῦ Μωϋσέως εἰρημένα. Ἐπειδὴ γὰρ εἰκὸς ἦν ὑπὸ τῶν κατορθωμάτων αὐτὸν ἐπαρθέντα, οὐ σφόδρα εἶναι τοῖς πολλοῖς συγγνωμονικόν, ὅρα τί ποιεῖ ὁ Θεός· ἀφίησιν αὐτὸν γυμνωθῆναι τῆς παρ' αὐτοῦ χάριτος, ὥστε δειχθῆναι αὐτοῦ τὴν ἀσθένειαν· μᾶλλον δὲ πρότερον ἀναγκαῖον δεῖξαι πῶς οὐ σφόδρα ἦν συγγνωμονικός. Ἐπειδὴ γὰρ ἔκλεισε τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησεν ἄγονον, καὶ λιμὸς ἦν, λιμὸς ἁπάντων ὁ πικρότατος, καὶ ἀνάλωτο ὕδατα, καὶ ἐξηράνθη βοτάνη πᾶσα, καὶ ἐπέλιπον ποταμοί, καὶ φοβερὸν τῆς γῆς τὸ πρόσωπον ἦν, θάνατον ἀπειλοῦν, καὶ πάντα ὁ λιμὸς ἐπιὼν ἐπενέμετο, θάνατον ἐπάγων τὸν οἴκτιστον· οὐδὲ οὕτως ἐνεδίδου, ἀλλ' ἀπελθὼν ἐπὶ κορυφῆς ὄρους ἐκάθητο, τῇ χαλεπῇ ταύτῃ τηκεδόνι τῶν Ἰουδαίων τὸν δῆμον παραδούς.*

*Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς καὶ ἡ ἄφατος ἀγαθότης, οὐκ ἠνείχετο τῆς αὐστηρότητος ταύτης· ἀλλ' ἐπειδὴ αὐτὸς αὐτὸν οἴκοθεν παρακαλέσαι οὐκ ἠβουλήθη λῦσαι τὸ δεινόν, αὐτός τε αὖ πάλιν χωρὶς ἐκείνου τοῦτο ποιῆσαι οὐκ ἤθελεν, ὅρα τί γίνεται· πρότερον αὐτῷ κοινοῦται, καὶ τότε ἀφίησι τὸν ὑετόν. Εἶδες Θεοῦ καὶ ἐν τούτῳ ἀγαθότητα καὶ φιλανθρωπίαν καὶ εἰς τὸν ἅγιον τιμήν; Οὐδὲ γὰρ πρότερον ἀφῆκε τὰς ἡνίας τῶν ὄμβρων, ἕως ὅτε αὐτῷ διελέχθη καὶ εἶπε τὸ μέλλον ἔσεσθαι, καὶ κήρυκα αὐτὸν τῆς μελλούσης εὐπορίας ἀπέστειλεν. Ἐπειδὴ γὰρ δι' αὐτοῦ τὰ σκυθρωπὰ γέγονεν, ἠβουλήθη καὶ τῶν χρηστῶν αὐτὸν ἄγγελον γενέσθαι· καὶ καταγαγὼν ἀπὸ τοῦ ὄρους, ἔπεμψεν ἀπαγγέλλοντα πανταχοῦ τῆς γῆς ἐκείνης τὴν τῶν ὄμβρων παρουσίαν καὶ τὴν τοῦ λιμοῦ λύσιν. Ἀλλ' ὅμως κατενεχθέντος δὴ τοῦ ὑετοῦ, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τῆς εὐθηνίας ἐπανελθούσης, ἀγαγὼν τοὺς ἱερεῖς τοῦ Βάαλ τοὺς τετρακοσίους, καὶ τοὺς τετρακοσίους ὀγδοήκοντα, κατέσφαξε, καὶ χειμάρρους ἀφῆκεν αἱμάτων.*

ει ὅσα λέχθηκαν τὴν ἐποχὴ τοῦ Μωυσῆ. Ἐπειδὴ δηλαδὴ ἦταν φυσικὸ νὰ ὑπερηφανευθεῖ ἀπὸ τὰ κατορθώματά του καὶ νὰ μὴν εἶναι πολὺ ὑποχωρητικὸς στοὺς πολλούς, κοίταξε τί κάνει ὁ Θεός. Τὸν ἀφήνει νὰ γυμνωθεῖ ἀπὸ τὴ χάρη του, γιὰ νὰ φανεῖ ἡ δική του ἀδυναμία. Ἢ καλύτερα εἶναι ἀνάγκη νὰ δείξουμε πρῶτα πῶς δὲν ἦταν πολὺ συγχχωρητικός. Ὅταν λοιπὸν ἔκλεισε τὸν οὐρανὸ καὶ ἔκαμε ἄγονη τὴ γῆ, καὶ ἦταν πείνα, πείνα ἡ χειρότερη ἀπ' ὅλες, καὶ ἐξαντλήθηκαν τὰ νερά, καὶ ξεράθηκε κάθε χόρτο, καὶ στέρεψαν τὰ ποτάμια, καὶ ἦταν φοβερὴ ἡ ὄψη τῆς γῆς καὶ ἀπειλοῦσε θάνατο, καὶ ἡ πεῖνα ἐρχόταν καὶ τὰ ἔτρωγε ὅλα, προκαλώντας τὸν πιὸ οἰκτρὸ θάνατο, οὔτε ἔτσι ὑποχωροῦσε, ἀλλὰ φεύγοντας κάθισε πάνω στὴν κορυφὴ ἑνὸς ὄρους, παραδίνοντας τὸν ἰουδαϊκὸ λαὸ στὴ φοβερὴ αὐτὴ καταστροφή.

Ἀλλ' ὁ φιλάνθρωπος Θεὸς καὶ ἡ ἀνέκφραστη ἀγαθότητά του δὲν ἀνεχόταν τὴν αὐστηρότητα αὐτή, καὶ ἐπειδή αὐτὸς δὲ θέλησε νὰ τὸν παρακαλέσει ἀπὸ μόνος του γιὰ νὰ ἐξαλείψει τὸ κακό, καὶ ὁ Θεὸς ἀπὸ τὴν ἄλλη μεριὰ πάλι δὲν ἤθελε νὰ τὸ κάμει αὐτὸ χωρὶς ἐκεῖνον, πρόσεχε τί γίνεται· πρῶτα τὸ κάνει γνωστὸ σ' αὐτὸν καὶ ὕστερα ἀφήνει τὴ βροχή. Εἶδες καὶ σ' αὐτὸ τὴν ἀγαθότητα καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ τὴν τιμὴ στὸν ἅγιο; Γιατὶ δὲν ἄφησε πιὸ μπροστὰ τὰ χαλινάρια τῆς βροχῆς, μέχρι ποὺ μίλησε σ' αὐτὸν καὶ τοῦ εἶπε τί πρόκειται νὰ γίνει, καὶ τὸν ἔστειλε κήρυκα τῆς μελλοντικῆς εὐπορίας. Ἐπειδὴ δηλαδὴ μ' αὐτὸν ἔγιναν τὰ δυσάρεστα, θέλησε νὰ γίνει καὶ ἀγγελιοφόρος τῶν εὐχάριστων πραγμάτων, καί, ἀφοῦ τὸν κατέβασε ἀπὸ τὸ ὄρος, τὸν ἔστειλε ν' ἀναγγείλει παντοῦ στὴ γῆ ἐκείνη τὴν παρουσία τῶν βροχῶν καὶ τὴν ἐξάλειψη τῆς πείνας. Ἀλλ' ὅμως ὅταν πιὰ ἔπεσε ἡ βροχὴ καὶ σὲ πολὺ σύντομο χρονικὸ διάστημα ἦρθε ξανὰ ἡ ἀφθονία τῶν ἀγαθῶν, ὁδήγησε τοὺς ἱερεῖς τοῦ Βάαλ τοὺς τετρακόσιους καὶ τοὺς τετρακόσιους ὀγδόντα καὶ τοὺς κατέσφαξε καὶ ἄφησε νὰ τρέξουν ποτάμια ἀπὸ αἵματα[8].

8. Γιὰ τὰ σχετικὰ μὲ τὸν προφήτη Ἠλία βλ. Γ΄ Βασ. κεφ. 17–18.

4. *Τί οὖν ταῦτα πρὸς τὴν προκειμένην ὑπόθεσιν; Μὴ θορυβηθῇς, ἀγαπητέ· πρὸς γὰρ αὐτὸ βαδιοῦμαι λοιπὸν τὸ πέρας τῶν εἰρημένων. Ἐπειδὴ γὰρ τὴν λαμπάδα κατήνεγκεν ἐκείνην, καὶ τὴν νίκην ἤρατο, καὶ λαμπρὸν τὸ τρόπαιον ἔστησε, καὶ τὴν σφαγὴν τῶν ἱερέων εἰργάσατο, ἀπῄει χαίρων, καὶ μέγα φρονῶν ἐπὶ τοῖς γεγενημένοις. Ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ τοῦ Ἀχαάβ, πορνίδιον εὐτελὲς καὶ εὐκαταφρόνητον, λέγουσα· «τάδε ποιήσειάν μοι οἱ θεοί, καὶ τάδε προσθείησαν, ἐὰν μὴ θῶ τὴν ψηχήν σου αὔριον ὡς ἑνὸς τῶν ἱερέων τούτων. Καὶ ἐφοβήθη, καὶ ἔφυγεν ὁδὸν ἡμερῶν τεσσαράκοντα». Τί οὖν; ἡ οὐρανομήκης ἐκείνη ψυχή, ὁ τοῦ κόσμου παντὸς ὑπερορῶν, ὁ λιμοῦ τοσούτου καταφρονήσας, ὁ κλείσας τὸν οὐρανὸν καὶ ἀνοίξας, ὁ νῦν μὲν ὑετόν, νῦν δὲ λαμπάδα κατενεγκών, ὁ τὰς ἀνάγκας τῆς φύσεως καταπατήσας, ὁ ἀκατάπληκτος, ὁ πανταχοῦ θαρρῶν· οὗτος ἀθρόον, μετὰ τοσαῦτα κατορθώματα, μετὰ τηλικαύτην παρρησίαν, μιᾶς κόρης πορνευομένης ἀπειλὴν οὐκ ἤνεγκε τὴν διὰ ρημάτων, ἀλλὰ λοιπὸν φυγὰς καὶ ἄπολις γίνεται, καὶ δραπετεύει πρὸς τὴν ἔρημον, καὶ τεσσαράκοντα ἡμερῶν ὁδὸν ἀναχωρεῖ. Τί πότε ἄρα τὸ αἴτιον;*

*Ἐγύμνωσεν αὐτὸν ὁ Θεὸς τῆς χάριτος, καὶ ἐδείχθη τῆς φύσεως ἡ ἀσθένεια· ἔδειξε τὸν προφήτην, ἔδειξε καὶ τὸν ἄνθρωπον, ἵνα μάθωσιν, ὅτι καὶ τὰ γενόμενα τότε τῆς χάριτος γέγονεν ἔργον. Ταῦτα δὲ ἐποίει συγγνωμονικόν τε αὐτὸν κατασκευάζων τοῖς πολλοῖς, καὶ τὴν ἐκ τῶν κατορθωμάτων ἐγγινομένην ἀπόνοιαν ὑποτεμνόμενος καὶ κωλύων. Ὅτι γὰρ μεγάλα περὶ ἑαυτοῦ ἐφρόνει καὶ ἐφαντάζετο, καὶ τῶν ἄλλων ἁπάντων κατεξανίστατο, αὐτὸν ὑμῖν τοῦτον παρέξομαι μάρτυρα.*

*Ἐπειδὴ γὰρ ἦλθε πρὸς αὐτὸν ὁ Θεός, καὶ ἠρώτα τὴν αἰτίαν*

4. Τί σχέση λοιπὸν ἔχουν αὐτὰ μὲ τὴν παρούσα ὑπόθεση; Μὴν ἀνησυχήσεις, ἀγαπητέ, γιατὶ θὰ προχωρήσω στὴ συνέχεια στὸ σκοπὸ γιὰ τὸν ὁποῖο τὰ εἶπα αὐτά. Ὅταν δηλαδὴ κατέβασε ἐκείνη τὴ φωτιὰ καὶ κέρδισε τὴ νίκη καὶ ἔστησε λαμπρὸ τὸ τρόπαιο, καὶ ἔκαμε τὴ σφαγὴ τῶν ἱερέων, ἔφευγε χαρούμενος καὶ ὑπερήφανος γιὰ ὅσα εἶχαν γίνει. Ἔστειλε ἀνθρώπους σ' αὐτὸν ἡ γυναίκα τοῦ Ἀχαάβ, πορνίδιο ἀσήμαντο καὶ εὐκαταφρόνητο, καὶ τοῦ εἶπε · «αὐτὰ νὰ μοῦ κάμουν οἱ θεοὶ καὶ αὐτὰ νὰ μοῦ δώσουν, ἂν δὲν παραδώσω τὴ ζωή σου αὔριο σὲ θάνατο, σὰν τὴ ζωὴ ἑνὸς ἀπὸ τοὺς ἱερεῖς αὐτούς». «Καὶ φοβήθηκε καὶ ἔφυγε βαδίζοντας δρόμο σαράντα ἡμερῶν»[9]. Τί λοιπόν; Ἡ ψυχὴ ἐκείνη ποὺ ἔφθανε στὸν οὐρανό, αὐτὸς ποὺ παρέβλεπε ὅλο τὸν κόσμο, ποὺ περιφρόνησε τόσο μεγάλη πείνα καὶ ἐπαναστάτησε ἐναντίον βασιλιᾶ τόσο τυραννικοῦ, ποὺ ἔκλεισε καὶ ἄνοιξε τὸν οὐρανό, ποὺ τὴ μιὰ φορὰ κατέβασε βροχὴ καὶ τὴν ἄλλη φωτιά, ποὺ καταπάτησε τὶς ἀνάγκες τῆς φύσης, ὁ ἀπτόητος, ὁ θαρραλέος παντοῦ, αὐτὸς ξαφνικά, ὕστερα ἀπὸ τόσα κατορθώματα, ὕστερα ἀπὸ τέτοια παρρησία, δὲν ἄντεξε τὴν ἀπειλὴ μὲ λόγια μιᾶς κόρης πόρνης, ἀλλὰ τρέπεται μετὰ ἀπὸ ὅλα αὐτὰ σὲ φυγὴ καὶ γίνεται ἐξόριστος, δραπετεύει στὴν ἔρημο καὶ βαδίζει δρόμο σαράντα ἡμερῶν. Ἄραγε ποιά ἦταν ἡ αἰτία;

Ἀφαίρεσε ὁ Θεὸς τὴ χάρη του ἀπ' αὐτόν, καὶ φάνηκε ἡ ἀδυναμία τῆς φύσης· ἔδειξε τὸν προφήτη, ἔδειξε καὶ τὸν ἄνθρωπο, γιὰ νὰ μάθουν ὅτι καὶ αὐτὰ ποὺ ἔγιναν τότε ἦταν ἔργο τῆς χάρης. Καὶ τὰ ἔκανε αὐτὰ γιὰ νὰ τὸν καταστήσει συγχωρητικὸ στοὺς πολλούς, ἀφαιρώντας καὶ ἐμποδίζοντας τὸν ἐγωισμὸ ποὺ προέρχεται ἀπὸ τὰ κατορθώματα. Ὅτι λοιπὸν σκεπτόταν καὶ φανταζόταν μεγάλα πράγματα γιὰ τὸν ἑαυτό του, καὶ ὅτι ξεσηκωνόταν ἐναντίον τῶν ἄλλων ὅλων, θὰ σᾶς παρουσιάσω μάρτυρα αὐτὸν τὸν ἴδιο.

Ὅταν ἦρθε σ' αὐτὸν ὁ Θεὸς καὶ τὸν ἐρωτοῦσε γιὰ τὴν αἰ-

9. Γ' Βασ. 19,2-3.

*τῆς αὐτόθι διατριβῆς, λέγων, «τί σοι ὧδε, Ἠλία;» καί, «τί σοι ὧδε;» ἠρώτα, οὐ μαθεῖν θέλων, ἀλλὰ ἡμῖν ἐκκαλύψαι τὰ ἀπόρρητα τῆς διανοίας αὐτοῦ βουλόμενος· ἐπεὶ καὶ τὴν Χαναναίαν ὁ Χριστὸς ὅτε ἠρώτα, οὐχ ἵνα μάθῃ, ἀλλ' ἵνα ἡμᾶς διδάξῃ τὸν θησαυρὸν τὸν ἐναποκείμενον αὐτῇ τῆς πίστεως· ἐρωτᾷ τοίνυν αὐτόν, τί δήποτε ἀφιγμένος εἴη τοσαύτην ὁδόν, καὶ καταλιπὼν πόλεις καὶ δήμους, τὴν ἔρημον ἀσπάζεται, οὐχ ἵνα αὐτὸς μάθῃ· πῶς γὰρ ὁ πάντα εἰδώς; ἀλλ' ἵνα ἡμᾶς διδάξῃ διὰ τῆς ἀποκρίσεως ἐκείνου τὰ ἀπόρρητα τῆς διανοίας αὐτοῦ, καὶ ὅτι εἰκότως ἀφῆκεν αὐτὸν ὑπὸ τοῦ φόβου διασεισθῆναι καὶ εἰς δειλίαν ἐμπεσεῖν· ἀφῆκεν, οὐκ ὤθησε· συνεχώρησεν, οὐκ ἐνήργησεν, ἀλλ' ἐγύμνωσεν αὐτὸν μόνον, καὶ ἠλέγχθη· ἐπειδὴ οὖν εἶπεν, «τί σοι ὧδε, Ἠλία;», ἀκούσωμεν τί φησι· «τὰ θυσιαστήριά σου κατέσκαψαν, καὶ τοὺς προφήτας σου ἀπέκτειναν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου».*

*Ὁρᾷς ὅτι πάντας ἐνόμιζεν ἀπολωλέναι, καὶ μόνον αὐτὸν ὑπολελεῖφθαι, καὶ μετ' αὐτὸν οὐδένα εἶναι ἕτερον, ὅπερ αὐτὸν κατὰ μικρὸν εἰς ἀπόνοιαν ἀγαγεῖν ἠδύνατο. Διὰ δὴ τοῦτο ὁ Θεὸς τοῦτον ἐξαίρων αὐτοῦ τὸν λογισμὸν τὸν πεπλανημένον, φησί· «κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῷ Βάαλ». Ἐπεὶ οὖν καὶ ἡνίκα τὸν αὐχμὸν ἐπήγαγε, παρέμενεν ἐπιτείνων τὴν κόλασιν, καὶ μετὰ ταῦτα περὶ ἑαυτοῦ μεγάλα ἐφαντάζετο, ἅτε δὴ μόνος ὢν ἐπὶ τῆς γῆς τοιοῦτος· ἀφίησιν αὐτὸν αἰσθέσθαι τὴν οἰκείαν ἀσθένειαν, διδάσκων τὸ πλῆθος τῶν διασωθέντων, δι' ἀμφοτέρων τούτων καθαιρῶν αὐτοῦ τὴν διάνοιαν, καὶ πείθων μετριάζειν πανταχοῦ, καὶ συγγνωμικὸν εἶναι, καὶ τῷ ζήλῳ κεραννύναι φιλανθρωπίαν.*

10. Γ' Βασ. 19,13.

τία τῆς ἐκεῖ παραμονῆς του, λέγοντας, «γιατί βρίσκεσαι ἐδῶ, Ἠλία;» καί, «γιατὶ εἶσαι ἐδῶ;»[10] ἐρωτοῦσε ὄχι γιατὶ ἤθελε νὰ μάθει, ἀλλὰ γιατὶ ἤθελε νὰ μᾶς φανερώσει τὰ ἀπόρρητα τῆς ψυχῆς του –ἀφοῦ καὶ τὴ Χαναναία ὅταν τὴν ἐρωτοῦσε ὁ Χριστός, τὴν ἐρωτοῦσε ὄχι γιὰ νὰ μάθει, ἀλλὰ γιὰ νὰ μᾶς διδάξει τὸ θησαυρὸ τῆς πίστης ποὺ ἦταν κρυμμένος μέσα της. Τὸν ἐρωτᾶ λοιπόν, γιὰ ποιό λόγο ἔχει φθάσει τόσο μακριά, καὶ γιατί, ἀφήνοντας πόλεις καὶ λαούς, ἀναζητάει τὴν ἔρημο, ὄχι γιὰ νὰ μάθει αὐτός –γιατὶ πῶς θὰ μάθαινε αὐτὸς ποὺ τὰ γνωρίζει ὅλα;–, ἀλλὰ γιὰ νὰ μᾶς διδάξει μὲ τὴν ἀπάντηση ἐκείνου τὰ ἀπόρρητα τῆς ψυχῆς του καὶ ὅτι καλὰ τὸν ἄφησε νὰ κλονισθεῖ ἀπὸ τὸ φόβο καὶ νὰ πέσει στὴ δειλία. Τὸν ἄφησε, δὲν τὸν ἔσπρωξε· τοῦ τὸ ἐπέτρεψε, δὲν τὸ ἐνέργησε, ἀλλὰ τὸν γύμνωσε μόνο, καὶ ἀποκαλύφθηκε. Ὅταν λοιπὸν τοῦ εἶπε, «γιατί βρισκεσαι ἐδῶ, Ἠλία;», ἂς ἀκούσουμε τί λέγει· «κατέσκαψαν τὰ θυσιαστήριά σου καὶ σκότωσαν τοὺς προφῆτες σου· καὶ ἐγὼ ἔμεινα μόνος καὶ ζητοῦν τὴ ζωή μου»[11].

Βλέπεις ὅτι νόμιζε πὼς ὅλοι εἶχαν χαθεῖ καὶ πὼς αὐτὸς μόνο εἶχε μείνει καὶ πὼς κανεὶς ἄλλος δὲν ὑπῆρχε ὕστερα ἀπ' αὐτόν, πράγμα ποὺ μποροῦσε νὰ τὸν οδηγήσει σιγά–σιγά στὴν ἀλαζονεία. Γι' αὐτὸ ἀκριβῶς ὁ Θεός, γιὰ νὰ τοῦ βγάλει τὴν πλανημένη αὐτὴ σκέψη, τοῦ λέγει· «ἄφησα γιὰ μένα ἑπτὰ χιλιάδες ἄνδρες, ποὺ δὲν ἔκαμψαν τὸ γόνατο στὸ Βάαλ»[12]. Ἐπειδὴ λοιπὸν καὶ ὅταν ἔφερε τὴν ξηρασία ἐπέμενε νὰ μεγαλώνει τὴν τιμωρία, καὶ ἐπειδὴ ὕστερα ἀπ' αὐτὰ εἶχε μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό του, γιατὶ τάχα μόνο αὐτὸς βρισκόταν ἐπάνω στὴ γῆ θεοσεβής, τὸν ἀφήνει νὰ καταλάβει τὴ δική του ἀδυναμία, πληροφορώντας τον γιὰ τὸ πλῆθος ποὺ διασώθηκε, καὶ μὲ τὰ δύο αὐτὰ ταπεινώνοντας τὴν ψηχή του, καὶ πείθοντάς τον παντοῦ νὰ σκέπτεται μὲ μέτρο, νὰ εἶναι συγχωρητικὸς καὶ νὰ συνδυάζει τὴ φιλανθρωπία μὲ τὸ ζῆλο.

---

11. Γ' Βασ. 19,14.
12. Γ' Βασ. 19,18.

5. *Εἰ δὲ βούλει καὶ ἐπὶ τῆς Καινῆς αὐτὰ ταῦτα ἰδεῖν, πάλιν σοι τοὺς κορυφαίους καὶ πύργους καὶ προβόλους, καὶ τὰ κεφάλαια τῶν ἐν τῇ Καινῇ εἰς μέσον ἀγαγεῖν πειρασόμεθα. Ὥσπερ Μωϋσέα καὶ Ἠλίαν, οὕτω δὴ καὶ Πέτρον ἐπὶ τῆς Καινῆς δείκνυνται. Καθάπερ γὰρ τούτων ἑκάτερος, ὁ μὲν Αἰγυπτίου ἑνός, ὁ δὲ πόρνης μιᾶς ἀπειλὴν δείσαντες ἐφυγαδεύθησαν, οὕτω δὴ καὶ Πέτρος ἡ κρηπίς, ὁ θεμέλιος, ὁ στῦλος, μετὰ μυρία παραγγέλματα, μετὰ τὰ τοσαῦτα θαύματα, μετὰ τὴν τοσαύτην φιλοσοφίαν, οὐδὲ βασιλίδος, οὐδὲ ἀνδρός, ἀλλὰ θυρωροῦ κόρης ἀπειλὴν ἔδεισε· καὶ ἦν τοῦ προτέρου πολλῷ χαλεπώτερον. Οἱ μὲν γὰρ δείσαντες ἔφυγον μόνον, οὗτος δὲ καὶ πτῶμα ἔπεσε χαλεπώτατον, ὅπερ ἅπαντες ἴσασιν· ἐπειδὴ γὰρ ἐγυμνώθη τῆς χάριτος, ἐδείχθη καὶ ἡ τούτου ἀσθένεια, ἐρήμη γενομένη τῆς τοῦ Θεοῦ κηδεμονίας.*

*Ἀφῆκε δὲ ὁ Θεὸς αὐτὸν πεσεῖν, ἐπειδὴ καὶ τοῦτον ἔμελλεν ἄρχοντα ποιεῖν τῆς οἰκουμένης ἁπάσης, ἵνα τῶν οἰκείων ἀναμιμνησκόμενος πτωμάτων τῶν ἐφεξῆς γινομένων συγγινώσκῃ τοῖς ὑποσκλιζομένοις. Καὶ ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἄκουσον αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· «Σίμων, Σίμων, ποσάκις ἐζήτησεν ὁ σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. Καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου». Ταύτην μοι δὸς τὴν ἀμοιβήν, φησί, τῆς περὶ σὲ βοηθείας· εἰ γὰρ μὴ τῆς ἐμῆς ἀπέλαυες προνοίας, οὐκ ἂν ἤρκεσας καθ' ἑαυτὸν ἐνεγκεῖν ἐκείνου τὴν ἔφοδον. Ἐννοῶν τοίνυν τὰ σά, γίνου καὶ τοῖς ἄλλοις συγγνωμονικός· τὸ γάρ, «στήριξον», τοῦτό ἐστιν*

---

13. Βλ. Λουκᾶ 22,55–57.

5. Ἂν ὅμως θέλεις καὶ στὴν Καινὴ Διαθήκη νὰ δεῖς αὐτὰ τὰ ἴδια, πάλι θὰ προσπαθήσω νὰ σοῦ παρουσιάσω τοὺς κορυφαίους καὶ τοὺς πύργους καὶ τὰ φρούρια, καὶ τοὺς πιὸ σπουδαίους ἀπὸ τοὺς ἀναφερόμενους στὴν Καινὴ Διαθήκη. Ὅπως τὸ Μωυσῆ καὶ τὸν Ἠλία, ἔτσι στὴν Καινὴ παρουσιάζουν τὸν Παῦλο καὶ τὸν Πέτρο. Γιατί, ὅπως ὁ καθένας ἀπὸ τοὺς δύο πρώτους φοβήθηκαν τὴν ἀπειλὴ ἑνὸς Αἰγυπτίου ὁ ἕνας καὶ μιᾶς πόρνης ὁ ἄλλος καὶ ἔφυγαν, ἔτσι ἀκριβῶς καὶ ὁ Πέτρος, ἡ βάση, τὸ θεμέλιο, ὁ στύλος, ὕστερα ἀπὸ τὰ τόσα παραγγέλματα, ὕστερα ἀπὸ τὰ τόσα θαύματα, ὕστερα ἀπὸ τὴν τόση πίστη, δὲ φοβήθηκε τὴν ἀπειλὴ κάποιας βασίλισσας, οὔτε κάποιου ἄνδρα, ἀλλὰ μιᾶς κόρης θυρωροῦ· καὶ ἦταν πολὺ πιὸ φοβερὸ ἀπὸ τὸ προηγούμενο. Γιατὶ ἐκεῖνοι φοβήθηκαν καὶ ἔφυγαν μόνο, αὐτὸς ὅμως ἔπεσε καὶ σὲ παράπτωμα πάρα πολὺ φοβερό, ποὺ ὅλοι τὸ ξέρουν[13]. Ὅταν δηλαδὴ γυμνώθηκε ἀπὸ τὴ χάρη, φάνηκε καὶ ἡ δική του ἀδυναμία, γιατὶ στερήθηκε τὴν κηδεμονία τοῦ Θεοῦ.

Καὶ τὸν ἄφησε ὁ Θεὸς νὰ πέσει, ἐπειδὴ καὶ αὐτὸν ἐπρόκειτο νὰ τὸν κάμει ἄρχοντα ὁλόκληρης τῆς οἰκουμένης, ὥστε, ἐνθυμούμενος τὰ δικά του παραπτώματα, νὰ συγχωρεῖ στὸ ἑξῆς τὰ παραπτώματα ἐκείνων ποὺ πέφτουν στὴν ἁμαρτία. Καὶ ὅτι αὐτὰ δὲν εἶναι σκέψεις δικές μου, ἄκουσε τὸν ἴδιο τὸ Χριστὸ ποὺ λέγει· «Σίμων, Σίμων, πόσες φορὲς ζήτησε ὁ σατανᾶς νὰ σὲ κοσκινίσει ὅπως τὸ σιτάρι, καὶ ἐγὼ προσευχήθηκα γιὰ σένα γιὰ νὰ μὴ σὲ ἐγκαταλείψει ἡ πίστη σου· καὶ σύ, ὅταν ποτὲ ἐπιστρέψεις, στήριξε τοὺς ἀδελφούς σου»[14]. Αὐτὴ τὴν ἀμοιβὴ δός μου, λέγει, γιὰ τὴ βοήθειά μου σὲ σένα, γιατί, ἂν δὲν ἀπολάμβανες τὴ δική μου πρόνοια, δὲ θὰ μποροῦσες ἀπὸ μόνος σου νὰ ἀντέξεις τὴν ἐπίθεσή του. Κατανοώντας λοιπὸν τὰ δικά σου, νὰ γίνεσαι καὶ στοὺς ἄλλους συγχωρητικός· γιατὶ τό, «στήριξε», αὐτὸ σημαίνει. Ἐκείνους ποὺ κλονίζονται, στήριξέ τους, δεί-

14. Λουκᾶ 22,31–32.

*αἰνιττομένου· τοὺς σαλευομένους στήριξον συγκαταβαίνων, χεῖρα ὀρέγων, φιλανθρωπίαν ἐπιδεικνύμενος πολλήν.*

*Καὶ ὁ Παῦλος ὁ λέοντος παντὸς θρασύτερος ὤν, ἡ ἀκατάπληκτος ψυχή, τὸ αὐτὸ τοῦτο ἔπαθε. Καὶ ὅρα πῶς δείκνυσιν ἑαυτὸν συνεχῶς δεόμενον τῶν τῆς ταπεινοφροσύνης φαρμάκων· Κορινθίοις γὰρ ἐπιστέλλων φησίν· «οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς. Ἠλπίκαμεν δὲ ὅτι καὶ ρύσεται». Ἀπεγνώσθημεν, φησίν, οὐ προσεδοκήσαμεν ζήσεσθαι, ἀλλ' ἐν ἑαυτοῖς ἐλογισάμεθα, ὅτι πάντως ἀποθανούμεθα· τοῦτο γάρ ἐστιν, «αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν»· τοῦτο ἡμῖν τὰ πράγματα ἀπεκρίνατο, ὅτι ἀπολούμεθα πάντως.*

*Τίνος ἕνεκεν συνεχώρησε μέχρι τοσούτων κινδύνων ἐλθεῖν ἡμᾶς ὁ Θεός; «Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς», φησίν, «ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ἵνα μὴ μέγα φρονῶμεν, ἵνα μὴ ἐπαιρώμεθα τοῖς κατορθώμασιν, ὃ καὶ προϊὼν σαφέστερον λέγει, πάλιν οὕτω γράφων· ἐπειδὴ γὰρ εἶπε τὴν εἰς οὐρανὸν ἁρπαγήν, τὴν εἰς παράδεισον εἴσοδον, τὴν τῶν ἀπορρήτων ρημάτων ἐκείνων κοινωνίαν, ἐπήγαγε· «καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ»· τοὺς θλίβοντας ἐνταῦθα αἰνιττόμενος καὶ ἐπηρεάζοντας, καὶ εἰς δεσμωτήριον αὐ-*

---

15. Β' Κορ. 1,8–10.

χνοντας συγκατάβαση, ἁπλώνοντας τὸ χέρι, φανερώνοντας μεγάλη φιλανθρωπία.

Καὶ ὁ Παῦλος, αὐτὸς ποὺ ἦταν πιὸ θαρραλέος ἀπὸ κάθε λιοντάρι, ἡ ἀκατάβλητη ψυχή, ἔπαθε ἀκριβῶς τὸ ἴδιο. Καὶ πρόσεχε πῶς δείχνει τὸν ἑαυτό του νὰ ἔχει ἀνάγκη ἀπὸ τὰ φάρμακα τῆς ταπεινοφροσύνης. Γράφοντας λοιπὸν στοὺς Κορινθίους λέγει· «δὲ θέλω νὰ ἀγνοεῖτε, ἀδελφοί, τὴ θλίψη μας ποὺ μᾶς βρῆκε στὴν Ἀσία, γιατὶ νιώσαμε βάρος πολὺ μεγαλύτερο ἀπὸ τὶς δυνάμεις μας. Καὶ μάλιστα μᾶς φαινόταν πὼς εἴχαμε λάβει τὴν καταδίκη τοῦ θανάτου, γιὰ νὰ ἔχουμε τὴν πεποίθηση πὼς ὄχι στοὺς ἑαυτούς μας, ἀλλὰ στὸ Θεὸ ποὺ ἀνασταίνει τοὺς νεκρούς, ὁ ὁποῖος μᾶς ἔσωσε ἀπὸ τόσο μεγάλους θανάσιμους κινδύνους. Ἐλπίζουμε ὅμως ὅτι καὶ πάλι θὰ μᾶς σώσει»[15]. Ἀπελπισθήκαμε, λέγει, δὲν περιμέναμε νὰ ζήσουμε, ἀλλὰ μέσα μας σκεφθήκαμε ὅτι ὁπωσδήποτε θὰ πεθάνουμε. Γιατὶ αὐτὸ σημαίνει τό, «καὶ μάλιστα μᾶς φαινόταν πὼς εἴχαμε λάβει τὴν καταδίκη τοῦ θανάτου». Αὐτὸ μᾶς ἔδειξαν τὰ πράγματα, ὅτι δηλαδὴ θὰ χαθοῦμε ὁπωσδήποτε.

Γιὰ ποιό λόγο ὁ Θεὸς ἐπέτρεψε νὰ φθάσουμε σὲ τόσο μεγάλους κινδύνους; «Γιὰ νὰ μὴν ἔχουμε πεποίθηση στοὺς ἑαυτούς μας», λέγει, «ἀλλὰ στὸ Θεὸ ποὺ ἀνασταίνει τοὺς νεκρούς». Καὶ αὐτὸ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· νὰ μὴν ἔχουμε ἰδέα γιὰ τὸν ἑαυτό μας, νὰ μὴν ὑπερηφανευόμαστε γιὰ τὰ κατορθώματά μας. Αὐτὸ προχωρώντας τὸ λέγει καὶ πιὸ καθαρά, γράφοντας πάλι τὰ ἑξῆς. Ἀφοῦ δηλαδὴ ἀνέφερε τὴν ἁρπαγή του στὸν οὐρανό, τὴν εἴσοδό του στὸν παράδεισο, τὸ ἄκουσμα τῶν ἀπόρρητων ἐκείνων λόγων, πρόσθεσε· «καὶ γιὰ νὰ μὴν ὑπερηφανεύομαι γιὰ τὶς πολλὲς ἀποκαλύψεις, μοῦ δόθηκε ἕνα ἀγκάθι στὸ σῶμα, ἕνας ἄγγελος τοῦ σατανᾶ, γιὰ νὰ μὲ ραπίζει»[16]. Ἐδῶ ὑπονοεῖ ἐκείνους ποὺ τὸν στενοχωροῦσαν καὶ τὸν ἔβλαπταν καὶ τὸν ἔρριχναν στὴ φυλακή, γιατὶ τὸν καθένα ἀπ' αὐτοὺς τὸν ὀνομά-

16. Β' Κορ. 12,7.

*τὸν ἐμβάλλοντας· τούτων γὰρ ἕκαστον σατανᾶν καλεῖ. Συνεχωρήθην δὲ πειρασμούς, φησίν, ὑπομένειν, ἵνα ἡ ἀπόνοιά μου καταστέλλεται, καὶ μετριάζειν μάθω. Διὰ δὴ τοῦτο καὶ παρακαλέσας τὸν Θεόν, οὐκ ἔτυχον τῆς αἰτήσεως· ἀλλ' ἔμεινα διηνεκῶς ἐπιβουλευόμενος, φάρμακον ταπεινοφροσύνης τὴν θλῖψιν ἔχων.*

*Καὶ ὁ πρὸ τούτου δὲ βίος ὁ πρὸ τῆς ἐπιστροφῆς ἱκανὸς ἦν αὐτὸν σωφρονίσαι. Ὁ γὰρ παρὰ τοὺς πόδας Γαμαλιήλου καθήμενος, ὁ κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου ζῶν, ὁ ζηλωτὴς τῶν πατρικῶν παραδόσεων, ὁ τοὺς προφήτας ἀνελίττων καθ' ἑκάστην ἡμέραν, ὁ τῷ νόμῳ συντραφείς, οὗτος παραγενόμενον τὸν Χριστόν, καὶ θαύματα ἐργαζόμενον, καὶ ταῦτα διαλεγόμενον, καὶ τὰ ἀπὸ Γραφῶν παρατιθέντα καὶ ἀναστάντα ἐδίωκε, καὶ μυρίαις χερσὶ τὸν ἐκείνου μαθητὴν ἔβαλλε, καὶ ταῖς Ἐκκλησίαις ἐπολέμει, καὶ λύκου παντὸς θηριωδέστερος ἦν· καὶ ἕως ὅτε φῶς ἔλαμψεν ἄνωθεν, καὶ φωνὴ ἠνέχθη πρὸς τὴν ἀλήθειαν αὐτὸν ἕλκουσα, οἴκοθεν συνιδεῖν οὐκ ἠδυνήθη τὸ δέον.*

*Διὸ καὶ αὐτὸς συνεχῶς ἐπὶ τῶν ἐπιστολῶν ταῦτα στρέφει κάτω κύπτων καὶ ἐγκαλυπτόμενος ἐπὶ τοῖς ἤδη γεγενημένοις· καὶ Τιμοθέῳ δὲ γράφων ἔλεγε· «χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ». Καὶ πάλιν, «διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται ὁ Θεὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώ-*

17. Γαμαλιήλ· περίφημος Ἰουδαῖος νομοδιδάσκαλος. Μαθητής του ὑπῆρξε καὶ ὁ Παῦλος.

ζει σατανᾶ. Μοῦ ἐπέτρεψε ὁ Θεός, λέγει, νὰ ὑπομένω πειρασμούς, γιὰ νὰ συγκρατεῖται ὁ ἐγωισμός μου καὶ γιὰ νὰ μάθω νὰ ταπεινώνομαι. Γι' αὐτὸ ἀκριβῶς καὶ ὅταν παρακάλεσα τὸ Θεὸ δὲν ἱκανοποιήθηκε ἡ αἴτησή μου, ἀλλὰ συνέχισαν πάντοτε νὰ μὲ ἐπιβουλεύονται, ἔχοντας φάρμακο ταπεινοφροσύνης τὴ θλίψη.

Καὶ ἡ προηγούμενη ζωή του, πρὶν ἀπὸ τὴν ἐπιστροφή του στὸ Χριστό, μποροῦσε νὰ τὸν σωφρονίσει. Γιατὶ αὐτὸς ποὺ καθόταν στὰ πόδια τοῦ Γαμαλιήλ[17], αὐτὸς ποὺ ζοῦσε σύμφωνα μὲ τοὺς πατρικοὺς νόμους, ὁ ζηλωτὴς τῶν πατρικῶν παραδόσεων, αὐτὸς ποὺ καθημερινὰ διάβαζε και ἑρμήνευε τοὺς προφῆτες, αὐτὸς ποὺ τράφηκε μαζὶ μὲ τὸ νόμο, αὐτός, ὅταν ἦρθε ὁ Χριστὸς καὶ ἔκανε θαύματα καὶ μιλοῦσε αὐτὰ καὶ παρουσίαζε τὰ λόγια ἀπὸ τὶς Γραφὲς καὶ στὴ συνέχεια τὰ ἑρμήνευε, δὲν τὸν δέχθηκε, ἀλλὰ καὶ ὅταν σταυρώθηκε καὶ ἀναστήθηκε τὸν καταδίωκε, καὶ μὲ ἄπειρα χέρια ἔρριχνε πέτρες ἐναντίον τοῦ μαθητῆ του, καὶ πολεμοῦσε τὶς ἐκκλησίες καὶ ἦταν πιὸ ἄγριος ἀπὸ κάθε λύκο. Καὶ μέχρι ποὺ ἔλαμψε φῶς ἀπὸ τὸν οὐρανὸ καὶ ἀκούσθηκε φωνὴ ποὺ τὸν τραβοῦσε στὴν ἀλήθεια, δὲν μπόρεσε ἀπὸ μόνος του νὰ γνωρίσει τὸ σωστό.

Γι' αὐτὸ καὶ ὁ ἴδιος τὰ θυμᾶται αὐτὰ συνέχεια στὶς ἐπιστολές του, σκύβοντας κάτω καὶ νιώθοντας ντροπὴ γιὰ ὅσα εἶχαν γίνει πρίν. Καὶ στὸν Τιμόθεο γράφοντας ἔλεγε· «εὐχαριστῶ αὐτὸν ποὺ μοῦ ἔδωσε δύναμη, τὸ Χριστό, γιατὶ μὲ θεώρησε πιστὸ καὶ διόρισε στὴν ὑπηρεσία του ἐμένα, ἂν καὶ προηγουμένως ἤμουν βλάσφημος καὶ διώκτης καὶ ὑβριστής, ἀλλὰ ἐλεήθηκα, γιατὶ ἀπὸ ἄγνοια ἐνεργοῦσα μέσα στὴν ἀπιστία»[18]. Καὶ πάλι, «γι' αὐτὸ ἐλεήθηκα, γιὰ νὰ δείξει ὁ Θεὸς τὴ ὅλη μακροθυμία του πρῶτα σὲ μένα καὶ νὰ χρησιμεύσω ὡς πρότυπο σ' ἐκείνους ποὺ μελλοντικὰ θὰ πιστέψουν σ' αυτόν γιὰ νὰ ἀποκτήσουν τὴν αἰώνια ζωή»[19]. Ἐπίσης καὶ στοὺς Κορινθίους γράφο-

---

18. Α΄ Τιμ. 1,12–13.
19. Α΄ Τιμ. 1,16.

*νιον». Καὶ Κορινθίοις δὲ γράφων ἔλεγεν· «ὃς οὐκ εἰμι ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν».*

*6. Ταῦτα δὲ πάντα ἐγίνετο, καὶ ἠφίει αὐτοὺς ὁ Θεὸς γυμνοὺς τῆς αὐτοῦ χάριτος, ἵνα, ὅταν διδαχθῶσιν αὐτῶν τὴν ἀσθένειαν, καὶ πῶς οὐδὲν ἄνθρωπος ἀμοιρῶν τῆς ἄνωθεν ῥοπῆς, ἐπὶ τὸν δικαστικὸν ἀναβάντες θρόνον, καὶ δημαγωγοὶ γενόμενοι καὶ ἄρχοντες, πολλὴν τὴν φιλανθρωπίαν, πολλὴν τὴν συγκατάβασιν, πολλὴν τὴν συγγνώμην περὶ τοὺς ἀρχομένους ἐπιδείκνυνται. Διὸ καὶ γράφων ἔλεγε Γαλάταις· «ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς».*

*Ταῦτ' οὖν ἰδότες τούς τε ἀφηνιῶντας ἕλκωμεν, τοῖς τε ἁμαρτάνουσι συγγνωμονικοὶ γινώμεθα, πολλήν τε τὴν φιλανθρωπίαν ἐπιδειξώμεθα μετὰ τῶν τοῦ Θεοῦ νόμων, ἵνα καὶ αὐτοὶ πολλῆς ἀπολαύσωμεν τῆς συγγνώμης ἐν οἷς ἁμαρτάνομεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

20. Α' Κορ. 15,9.
21. Γαλ. 6,1.

ντας ἔλεγε· «ἐγὼ ποὺ δὲν εἶμαι ἄξιος νὰ ὀνομάζομαι ἀπόστολος, γιατὶ καταδίωξα τὴν Ἐκκλησία»[20].

6. Ὅλα ὅμως αὐτὰ γίνονταν καὶ τοὺς ἄφηνε αὐτοὺς ὁ Θεὸς γυμνοὺς ἀπὸ τὴ χάρη του, ὥστε, ὅταν μάθουν τὴν ἀδυναμία τους καὶ πῶς ὁ ἄνθρωπος δὲν εἶναι τίποτε χωρὶς τὴ βοήθεια τοῦ Θεοῦ καὶ ὅταν ἀνεβοῦν στὸ δικαστικὸ θρόνο καὶ γίνουν ἀρχηγοὶ καὶ ἄρχοντες, νὰ δείχνουν πολλὴ φιλανθρωπία, πολλὴ συγκατάβαση, πολλὴ συγγνώμη στοὺς πολίτες. Γι' αὐτὸ καὶ στοὺς Γαλάτες γράφοντας, ἔλεγε· «ἀδελφοί, ἂν παρασυρθεῖ κανείς σὲ κάποιο ἁμάρτημα, ἐσεῖς οἱ πνευματικοὶ νὰ τὸν διορθώνετε, καὶ νὰ προσέχεις τὸν ἑαυτό σου μήπως πέσεις καὶ σὺ σὲ πειρασμό»[21].

Γνωρίζοντας λοιπὸν αὐτὰ καὶ ἐκείνους ποὺ παρεκτρέπονται ἂς τοὺς προσελκείουμε καὶ σ' ἐκείνους ποὺ ἁμαρτάνουν ἂς γινόμαστε συγχωρητικοὶ καὶ ἂς ἐπιδείξουμε πολλὴ φιλανθρωπία μαζὶ μὲ τὴν τήρηση τῶν νόμων τοῦ Θεοῦ, ὥστε καὶ μεῖς οἱ ἴδιοι ν' ἀπολαύσουμε πολλὴ συγγνώμη σ' ἐκεῖνα ποὺ ἁμαρτάνουμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.


ΟΙ Ο
ΦΘΑΛ
ΜΟΙ
ΑΥΤΟ
ΕΠΙ
ΤΑ

# ΟΜΙΛΙΑ ΠΑΡΑΙΝΕΤΙΚΗ

### ΕΚΦΩΝΗΘΕΙΣΑ

## ΣΤΟ ΝΑΟ ΤΗΣ ΑΓΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ

### πρὸς ἐκείνους ποὺ ἀπουσίασαν, καὶ πρὸς ἀπόδειξη τῶν ἀγώνων καὶ τῶν κατορθωμάτων τοῦ μακάριου καὶ δίκαιου Ἰὼβ



# *ΟΜΙΛΙΑ ΠΑΡΑΙΝΕΤΙΚΗ*

## *ΛΕΧΘΕΙΣΑ ΕΝ ΤΩ ΝΑΩ ΤΗΣ ΑΓΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ*

*πρὸς τοὺς ἀπολειφθέντας· καὶ ἀπόδειξις περὶ τῶν ἀγώνων*
*καὶ ἄθλων τοῦ μακαρίου καὶ δικαίου Ἰώβ.*

*1. Ὅσῳ ἐλάττους τῶν εἰωθότων οἱ συνελθόντες, τοσούτῳ καὶ ἡμεῖς μείζονι χρησόμεθα τῇ προθυμίᾳ. Οὐδὲ γὰρ δίκαιον ἂν εἴη τῶν ἀπολειφθέντων τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν σπουδὴν λυμήνασθαι, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ δαψιλεστέραν παραθήσομεν τὴν τράπεζαν, ἵνα τῇ πείρᾳ μαθόντες τὴν ζημίαν οἱ μὴ παραγενόμενοι, σπουδαιότεροι λοιπὸν περὶ τὰς συνόδους γίνωνται ταύτας. Διὸ δὴ καὶ τὴν ὑμετέραν ἀγάπην παρακαλῶ προσέχειν τοῖς λεγομένοις· οὕτω γὰρ διπλοῦν ὑμῖν ἔσται τὸ κέρδος· τοῖς τε γὰρ ἀπολειφθεῖσι διαβιβάζοντες τὰ λεγόμενα, σπουδαιοτέρους αὐτοὺς ἐργάσεσθε, τήν τε ὑμετέραν ψυχὴν φιλοσοφωτέραν κατασκευάσετε. Καθάπερ γὰρ τῆς γῆς ἡ φύσις ἀμελουμένη μέν, βοτάνας ἐκφέρει πονηράς, συνεχῶς δὲ γεωργικῶν ἀπολαύουσα χειρῶν, ὥριμον δίδωσι τὸν καρπόν, οὕτω δὴ καὶ ἀνθρώπου ψυχή, ἡ μὲν ἐν ῥᾳθυμίᾳ κειμένη, πλημμελημάτων ἀκάνθας τίκτει, ἡ δε ἀπολαύουσα προνοίας, κομῶντα τῆς ἀρετῆς φέρει τὸν καρπόν. Διὸ καί τις σοφὸς παραινεῖ*



# ΟΜΙΛΙΑ ΠΑΡΑΙΝΕΤΙΚΗ

## ΠΟΥ ΕΚΦΩΝΗΘΗΚΕ ΣΤΟ ΝΑΟ ΤΗΣ ΑΓΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ

σ' αὐτοὺς ποὺ ἀπουσίασαν, καὶ γιὰ ν' ἀποδείξει τοὺς ἀγῶνες καὶ τὰ κατορθώματα τοῦ μακάριου καὶ δίκαιου Ἰώβ.

1. Ὅσο πιὸ λίγοι ἀπὸ τοὺς συνηθισμένους εἶναι αὐτοί ποὺ συγκεντρώθηκαν, τόσο πιὸ μεγάλη θὰ δείξω καὶ ἐγὼ τὴν προθυμία. Γιατὶ δὲ θὰ ἦταν δίκαιο ἡ ἀδιαφορία τῶν ἀπόντων νὰ καταστρέψει τὸ δικό μας ζῆλο, ἀλλὰ γι' αὐτὸ ἀκριβῶς θὰ παραθέσουμε καὶ πιὸ πλούσιο τὸ τραπέζι, ὥστε, ἀφοῦ μὲ τὴν πείρα μάθουν τὴ ζημία ἐκεῖνοι ποὺ δὲν ἦρθαν, νὰ γίνονται πιὸ πρόθυμοι στὸ ἑξῆς γιὰ τὶς συγκεντρώσεις αὐτές. Γι' αὐτὸ λοιπὸν παρακαλῶ καὶ τὴ δική σας ἀγάπη νὰ προσέχει στὰ λόγια μου, γιατὶ ἔτσι θὰ εἶναι διπλὸ τὸ κέρδος σὲ σᾶς. Καὶ τοὺς ἀπόντες δηλαδὴ θὰ τοὺς κάνετε πιὸ πρόθυμους, μεταφέροντας σ' αὐτοὺς τὰ λεγόμενα, καὶ τὴ δική σας ψυχὴ θὰ τὴν κάμετε πιὸ φιλόσοφη. Γιατί, ὅπως ἡ φύση τῆς γῆς ὅταν δὲν τὴ φροντίζει κανείς βγάζει ἄγρια χόρτα, ἐνῶ ὅταν ἀπολαμβάνει συνέχεια τὴν περιποίηση τῶν χεριῶν τοῦ γεωργοῦ παράγει ὠφέλιμο καρπό, ἔτσι ἀκριβῶς καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου, ἐκείνη ποὺ εἶναι ἀδιάφορη γεννάει ἀγκάθια ἁμαρτημάτων, ἐνῶ ἐκείνη ποὺ ἀπολαμβάνει φροντίδα παράγει πλούσιο τὸν καρπὸ τῆς ἀρετῆς. Γι' αὐτὸ καὶ κάποιος σοφὸς συμβουλεύει λέγοντας· «ὁ ἀσύνετος ἄνθρωπος

*λέγων· «ὥσπερ γεώργιον ἀνὴρ ἄφρων, καὶ ὥσπερ ἀμπελὼν ἀνὴρ ἐνδεὴς φρενῶν· ἐὰν ἀφῇς αὐτόν, χερσωθήσεται καὶ χορτομανήσει».*

*Ἵν' οὖν μὴ τοῦτο γίνηται νῦν, συνεχῶς τοῦ λόγου τὴν δρεπάνην μεταχειρίζομεν· κἂν μέν τι πονηρὸν βλαστάνῃ, διηνεκῶς ἐκκόπτομεν· ἂν δέ τι ὥριμον καὶ καρπὸν ἔχον, τρέφομέν τε καὶ ἀρδεύομεν, καὶ πρὸς ἀκμὴν ἄγομεν, συνεχῆ τὴν ἐπιμέλειαν ἐπιδεικνύμενοι. Διπλῆς γὰρ δεόμεθα προνοίας, μᾶλλον δὲ καὶ τριπλῆς· μιᾶς μέν, ἵνα ἀπαλλαγῶμεν κακίας, ἑτέρας δέ, ἵνα κτησώμεθα ἀρετήν· μετὰ δὲ ταῦτα, ἵνα τὴν κτηθεῖσαν διαφυλάξωμεν, ἔνθα καὶ πολλοῦ δεῖ μάλιστα πόνου· ἐπειδὴ καὶ ὁ πονηρὸς δαίμων ἐκεῖνος καὶ τοῖς ἡμετέροις βασκαίνων καλοῖς, τοῖς κατωρθωκόσιν ἐπιτίθεται μειζόνως· καὶ καθάπερ οἱ πειραταὶ καὶ καταποντισταὶ τὰ μὲν ἄμμον ἔχοντα πλοῖα παρατρέχουσιν, εἰ δέ που φόρτον ἴδοιεν ἔχοντα πολυτελῆ καὶ πλοῦτον ἐναποκείμενον, τούτοις ἐπιτίθενται, διατιτρῶντες κάτωθεν, προσβάλλοντες ἄνωθεν, πᾶσαν κινοῦντες μηχανήν, οὕτω δὴ καὶ ὁ διάβολος τοῖς μάλιστα πολλὴν συναγηοχόσι τὴν ἀρετὴν προσβάλλειν εἴωθεν καὶ φθονεῖν καὶ ἐπιβουλεύειν.*

*Τοσοῦτοι γοῦν ἦσαν ἄνθρωποι κατὰ τὴν οἰκουμένην ἐπὶ τοῦ Ἰώβ, καὶ πρὸς ἐκεῖνον μόνον ἀπεδύσατο, καὶ τὰ μηχανήματα αὐτοῦ πάντα ἐκίνησεν· ἀλλ' ὅμως οὐκ ἴσχυσε ποιῆσαι ναυάγιον, ἀλλὰ καὶ πολείονα τὸν φόρτον εἰργάσατο και μείζονα τὴν ἐμπρορίαν. Τοιοῦτον γὰρ ἡ ἀρετή· βαλλομένη δυνατωτέρα γίνεται, καὶ ἐπιβουλευομένη ἀσφαλεστέρα καθίσταται, ὃ δὴ καὶ ἐπὶ τοῦ μακαρίου γέγονεν ἐκείνου, ὅς, πανταχόθεν βαλλόμενος, ἀσφαλέστερος ἵστατο, καὶ μυρία βέλη δεχόμενος, οὐκ ἐνεδίδου, ἀλλ' ἐκένωσε μὲν τοῦ διαβόλου τὴν βελοθήκην, αὐτὸς δὲ οὐ κατέπεσεν οὐδὲ ὑπεσκελίσθη, ἀλλ' ὥσπερ ἄριστος κυβερνήτης, οὔτε μαινομένης τῆς θαλάττης καὶ τῶν*

ὁμοιάζει μὲ χωράφι καὶ ὁ φτωχὸς ἀπὸ μυαλὸ μὲ ἀμπέλι· ἂν τὸν ἀφήσεις ἀκαλλιέργητο, θὰ γίνει ἄγονος καὶ θὰ γεμίσει χόρτα»[1].

Γιὰ νὰ μὴ γίνεται λοιπὸν αὐτὸ τώρα, χρησιμοποιοῦμε συνέχεια τὸ δρεπάνι τοῦ λόγου. Καὶ ἂν φυτρώνει κάτι πονηρό, τὸ κόβουμε πάντοτε· ἂν ὅμως κάτι ὥριμο καὶ καρποφόρο, καὶ τὸ τρέφουμε καὶ τὸ ποτίζουμε καὶ προσφέροντας ἀδιάκοπη τὴ φροντίδα μας τὸ φέρνουμε στὴ μεγαλύτερη ἀνάπτυξή του. Γιατὶ ἔχουμε ἀνάγκη ἀπὸ διπλὴ φροντίδα, ἢ καλύτερα καὶ ἀπὸ τριπλή. Μία, γιὰ ν' ἀπαλλαγοῦμε ἀπὸ τὴν κακία· ἄλλη, γιὰ ν' ἀποκτήσουμε τὴν ἀρετή· καὶ ὕστερα, γιὰ νὰ διατηρήσουμε αὐτὴν ποὺ ἀποκτήσαμε, κι' ἐδῶ χρειάζεται πάρα πολὺς κόπος. Γιατὶ καὶ ὁ πονηρὸς ἐκεῖνος δαίμονας φθονεῖ τὰ δικά μας καλὰ καὶ ἐπιτίθεται περισσότερο σ' ἐκείνους ποὺ κατόρθωσαν τὴν ἀρετή. Καὶ ὅπως οἱ πειρατὲς καὶ ἐκεῖνοι ποὺ βυθίζουν τὰ πλοῖα παραβλέπουν αὐτὰ ποὺ ἔχουν ἄμμο, ἂν ὅμως δοῦν νὰ ἔχουν ἀκριβὸ φορτίο καὶ νὰ ὑπάρχει πλοῦτος μέσα τους, κάνουν σ' αὐτὰ ἐπίθεση καὶ τὰ τρυποῦν ἀπὸ κάτω, τὰ προσβάλλουν ἀπὸ τὸ ἐπάνω μέρος καὶ μεταχειρίζονται κάθε μέσο, ἔτσι ἀκριβῶς καὶ ὁ διάβολος συνηθίζει νὰ πολεμάει ἐκείνους ποὺ ἔχουν συγκεντρώσει σὲ πολὺ μεγάλο βαθμὸ τὴν ἀρετή, καὶ τοὺς φθονεῖ καὶ τοὺς ἐπιβουλεύται.

Τόσοι πολλοὶ λοιπὸν ἄνθρωποι ζοῦσαν στὴν οἰκουμένη τὴν ἐποχὴ τοῦ Ἰώβ, καὶ ὁ διάβολος ἐναντίον ἐκείνου μόνο ἀγωνίσθηκε καὶ κίνησε ὅλες τὶς μηχανές του. Ἀλλ' ὅμως δὲν μπόρεσε νὰ προκαλέσει ναυάγιο, ἀλλ' ἔκαμε καὶ τὸ φορτίο περισσότερο καὶ τὸ ἐμπόρευμα μεγαλύτερο. Γιατὶ τέτοια εἶναι ἡ ἀρετή· ὅταν τὴν κτυποῦν γίνεται πιὸ δυνατὴ καὶ ὅταν τὴν ἐπιβουλεύονται καθίσταται πιὸ ἀσφαλέστερη. Αὐτὸ ἀκριβῶς ἔγινε καὶ στὸ μακάριο ἐκεῖνον, πού, ἂν καὶ κτυπιόταν ἀπὸ παντοῦ, στεκόταν ἀσφαλέστερος, καὶ παρ' ὅλο ποὺ δεχόταν ἄπειρα βέλη δὲν ὑποχωροῦσε, ἀλλ' ἄδειασε τὴ βελοθήκη τοῦ διαβόλου, ἐνῶ αὐτὸς δὲν ἔπεσε οὔτε νικήθηκε, ἀλλὰ σὰν ἄριστος κυβερνήτης οὔτε ὅταν ἡ θάλασσα ἦταν μανιασμένη καὶ τὰ κύματα σηκώνο-

1. Παροιμ. 24,30–31.

*κυμάτων διεγειρομένων κατεποντίζετο, οὔτε γαλήνης οὔσης ῥᾳθυμότερος ἐγίνετο, ἀλλ' ἐν ἑκατέρᾳ τῇ τῶν καιρῶν διαφορᾷ ἴσην τὴν ἑαυτοῦ τέχνην διετήρησε, καὶ οὔτε πλοῦτος αὐτὸν ἐφύσησεν, οὔτε πενία ἐταπείνωσεν. Οὔτε τοίνυν κατὰ ῥοῦν τῶν πραγμάτων φερομένων ὕπτιος ἦν καὶ ἀναπεπτωκώς, οὔτε ὅλης σχεδὸν τῆς οἰκίας ἀνατραπείσης καὶ πανωλεθρίας γενομένης διεταράχθη καὶ τὴν ἀνδρείαν ἤλεγξε τὴν ἑαυτοῦ.*

*Ἀκουέτωσαν πλούσιοι, ἀκουέτωσαν πένητες· ἑκατέροις γὰρ τὸ διήγημα χρήσιμον· μᾶλλον δὲ πᾶσιν ἀνθρώποις ἡ ἱστορία λυσιτελής, καὶ τοῖς ἐν εὐημερίᾳ, καὶ τοῖς ἐν συμφοραῖς. Ἑκάτερα γὰρ τὰ ὅπλα μεταχειρίσας ὁ τῆς εὐσεβείας ἀγωνιστής , ὁ τῆς οἰκουμένης στεφανίτης, ἐν ἑκατέροις τὸ τρόπαιον ἔστησε, καὶ πρὸς πᾶν εἶδος πολέμου τοῦ δαίμονος ἐπελθόντος ἐκείνου, πρὸς ἅπαντα παρετάξατο, καὶ ἐν πᾶσιν ἀνεκηρύττετο· καὶ καθάπερ στρατιώτης γενναῖος καὶ εἰδὼς νυκτομαχεῖν καὶ δόρυ σείειν καὶ σφενδόναις καὶ ἀκοντίοις καὶ παντὶ τρόπῳ μάχης περιγίνεσθαι τῶν ἐναντίων καὶ πανταχοῦ κρατεῖν, οὕτω δὴ καὶ ὁ γενναῖος ἐκεῖνος ἅπαντα πειρασμὸν μετὰ πολλῆς ἤνεγκε τῆς ἀνδρείας, τὸν ἀπὸ πενίας, τὸν ἀπὸ λιμοῦ, τὸν ἀπὸ νόσου, τὸν ἐξ ὀδύνης, τὸν ἀπὸ τῆς τῶν παίδων ἀπωλείας, τὸν ἀπὸ τῶν φίλων, τὸν ἀπὸ τῶν ἐχθρῶν, τὸν ἀπὸ τῆς γυναικός, τὸν ἀπὸ τῶν οἰκετῶν. Οὐδὲ γὰρ ἦν ἀνθρωπίνη συμφορὰ ἣ μὴ εἰς τὸ σῶμα ἐξεκενώθη ἐκείνου. Ἀλλ' ὅμως ἁπάντων ὑπερηνέχθη τῶν δικτύων καὶ ὑψηλότερος γέγονε τῶν τοῦ διαβόλου καλάμων· καὶ τὸ δὴ θαυμαστότερον, ὅτι καὶ πάντα αὐτῷ ἐπῄει, καὶ πάντα μεθ' ὑπερβολῆς καὶ πάντα ὑφ' ἕν.*

2. *Μὴ γὰρ δὴ τοῦτο μόνον ἴδῃς, ὅτι τοσαῦτα ἔπαθεν, ἀλλὰ πρόσθες, ὅτι οὐδὲ κατὰ μικρὸν οὐδὲ ἐκ διαστήματος, ἀλλ' ὑφ' ἓν καὶ*

νταν ψηλὰ καταποντιζόταν, οὔτε ὅταν ἦταν γαλήνη γινόταν περισσότερο ἀδιάφορος. Ἀλλὰ καὶ στὶς δύο διαφορετικὲς περιστάσεις διατήρησε ὅμοια τὴν ἱκανότητά του, καὶ οὔτε ὁ πλοῦτος τὸν ἔκαμε φαντασμένο, οὔτε ἡ φτώχεια τὸν ἐξευτέλισε. Οὔτε λοιπὸν ὅταν τὰ πράγματα πήγαιναν καλὰ ἦταν ξαπλωμένος καὶ ἀδρανής, οὔτε ὅταν ὅλο σχεδὸν τὸ σπίτι του γκρεμίστηκε καὶ ἔγινε ἡ ὁλοκληρωτικὴ καταστροφὴ ταράχθηκε καὶ ἔχασε τὸ θάρρος του.

Ἂς ἀκοῦν οἱ πλούσιοι, ἂς ἀκοῦν οἱ φτωχοί, γιατὶ καὶ στοὺς δύο εἶναι ὠφέλιμη ἡ διήγηση. Ἢ καλύτερα σὲ ὅλους τοὺς ἀνθρώπους ἡ ἱστορία αὐτὴ εἶναι χρήσιμη, καὶ σ' ἐκείνους ποὺ ἔχουν εὐτυχία καὶ σ' ἐκείνους ποὺ βρίσκονται σὲ συμφορές. Γιατὶ καὶ τὰ δύο ὅπλα ἀφοῦ μεταχειρίσθηκε ὁ ἀγωνιστὴς τῆς εὐσέβειας, ὁ νικητὴς τῆς οἰκουμένης, ἔστησε τὸ τρόπαιο καὶ μὲ τὰ δύο, καὶ ἐνῶ ὁ δαίμονας ἐκεῖνος χρησιμοποίησε κάθε εἶδος πολέμου, πολέμησε σὲ ὅλα καὶ νικοῦσε σὲ ὅλα. Καὶ ὅπως ὁ γενναῖος στρατιώτης ποὺ ξέρει νὰ μάχεται τὴ νύχτα, νὰ μάχεται κοντὰ στὰ τείχη, νὰ μάχεται στὴ θάλασσα, νὰ πολεμάει στὴν ξηρὰ καὶ νὰ ρίχνει τὸ τόξο, καὶ νὰ χρησιμοποιεῖ τὸ δορυ, καὶ νὰ εἶναι ἀνώτερος ἀπὸ τοὺς ἀντιπάλους στὴ σφενδόνη καὶ στὸ ἀκόντιο καὶ σὲ κάθε εἶδος μάχης καὶ νὰ νικάει παντοῦ, ἔτσι ἀκριβῶς καὶ ὁ γενναῖος ἐκεῖνος ἄντεξε μὲ πολλὴ γενναιότητα κάθε δοκιμασία ποὺ προερχόταν ἀπὸ τὴ φτώχεια, ἀπὸ τὴν πείνα, ἀπὸ τὴν ἀρρώστια, ἀπὸ τὸν πόνο, ἀπὸ τὴν ἀπώλεια τῶν παιδιῶν, ἀπὸ τοὺς φίλους, ἀπὸ τοὺς ἐχθρούς, ἀπὸ τὴ γυναίκα του, ἀπὸ τοὺς ὑπηρέτες του. Γιατὶ δὲν ὑπῆρχε ἀνθρώπινη συμφορὰ ποὺ νὰ μὴν κτύπησε τὸ δικό του σῶμα. Ἀλλ' ὅμως πέρασε πάνω ἀπ' ὅλες τὶς παγίδες καὶ σηκώθηκε πιὸ ψηλὰ ἀπὸ τὰ δίχτυα τοῦ διαβόλου. Καὶ τὸ πιὸ θαυμαστὸ εἶναι ὅτι καὶ ὅλα ἔρχονταν ἐναντίον του, καὶ ὅλα σὲ ὑπερβολικὸ βαθμὸ καὶ ὅλα μαζί.

2. Νὰ μὴ δεῖς λοιπὸν μόνο αὐτό, ὅτι δηλαδὴ ἔπαθε τόσα πολλά, ἀλλὰ νὰ προσθέσεις ὅτι δὲν τὰ ἔπαθε σιγά–σιγὰ οὔτε

*ὁμοῦ. Οὐ μικρὰ δὲ αὕτη πειρασμῶν προσθήκη· τῶν μὲν γὰρ ἄλλων ἁπάντων ἀνθρώπων πρῶτον μὲν οὐδεὶς ἂν εὑρεθείη πάντα ὑπομείνας ὁμοῦ, ἀλλ' εἰ καὶ πενίᾳ παλαίει, ὅμως ὑγείας ἀπολαύει· εἰ δὲ καὶ πενίᾳ καὶ νόσῳ περιεπάρη, ἀλλὰ γυναικὸς πολλάκις ἀπέλαυσε παραμυθουμένης φέρειν τὰ δεινά, καὶ ἀντὶ λιμένος αὐτῷ γινομένης· εἰ δὲ μὴ γυναικὸς ἀπέλαυσε τοιαύτης, ἀλλ' οὐχ οὕτω συμβουλευούσης ὀλέθρια· εἰ δὲ καὶ οὕτω συμβουλευούσης ὀλέθρια, ἀλλ' οὐχὶ καὶ τοὺς παῖδας ἀθρόον ἀπώλεσεν ἅπαντας· εἰ δὲ καὶ ἀθρόον, ἀλλ' οὐ τοιούτῳ τρόπῳ τελευτῆς· εἰ δὲ καὶ τοιούτῳ τρόπῳ τελευτῆς, ἀλλὰ φίλους ἔσχε παρακαλοῦντας· εἰ δὲ οὐκ ἔσχε παρακαλοῦντας, ἀλλ' οὐχὶ καὶ οὕτως ἐπεμβαίνοντας· εἰ δὲ καὶ ἐπεμβαίνοντας, ἀλλ' οὐχὶ καὶ οἰκέτας ὀνειδίζοντας· εἰ δὲ καὶ ὀνειδίζοντας, ἀλλ' οὐχὶ καὶ εἰς τὸ πρόσωπον ἐπτύοντας· εἰ δὲ καὶ εἰς τὸ πρόσωπον ἐμπτύοντας, ἀλλ' οὐχὶ καὶ νόσῳ τοσαύτῃ περιεπάρη· εἰ δὲ καὶ νόσῳ περιεπάρη τοσαύτῃ, ἀλλὰ δωματίου καὶ σκέπης ἀπέλαυσε, καὶ οὐκ ἐπὶ τῆς κοπρίας ἐκάθητο· εἰ δὲ καὶ ἐπὶ κοπρίας ἐκάθητο, ἀλλ' ἔσχε τοὺς χεῖρα ὀρέγοντας, ἀλλ' οὐχὶ καὶ τοὺς ἐπεμβαίνοντας.*

*Οὗτος δὲ ἅπαντα ταῦτα ὑπήνεγκεν, καὶ τὸ δὴ θαυμαστότερον, ὃ προλαβὼν εἶπον, ὅτι καὶ ὁμοῦ πάντα, ὅπερ διπλασίονα καὶ τριπλασίονα ποιεῖ τὰ χαλεπὰ φαίνεσθαι, ὅταν μηδὲ τὴν ἐκ τῆς ἀνακωχῆς ἔχῃ παραμυθίαν ὁ ἀγωνιζόμενος, ἀλλὰ τῇ συνεχείᾳ τῆς ἐπαγωγῆς πλείων ὁ θόρυβος γίνηται καὶ μείζων ἡ ταραχή, ὅπερ ἐπὶ τούτου συνέβη. Τὴν μὲν γὰρ τῶν προβάτων ἀπώλειαν καὶ τὸν ἐμπρησμὸν διεδέχετο τῶν βοῶν ἡ ἁρπαγή, καὶ τὴν τούτων ἡ τῶν ὄνων ἀφαίρεσις, καὶ ταύτην ἡ τῶν καμήλων αἰχμαλωσία καὶ τῶν οἰκετῶν ἡ σφαγή, καὶ ταύτην ἡ τῶν παίδων ἀπώλεια καὶ ὁ φρι-*

κατὰ διαστήματα, ἀλλὰ ὅλα μαζὶ καὶ συγχρόνως. Καὶ δὲν εἶναι μικρὴ αὐτὴ ἡ προσθήκη. Γιατὶ ἀπ' ὅλους τοὺς ἄλλους ἀνθρώπους πρῶτα δὲ θὰ βρεθεῖ κανεὶς ποὺ νὰ τὰ ὑπέφερε ὅλα μαζί, ἀλλὰ ἂν καὶ παλεύει μὲ τὴ φτώχεια, ἔχει ὅμως ὑγεία· καὶ ἂν βασανίστηκε ἀπὸ φτώχεια καὶ ἀρρώστια, εἶχε ὅμως πολλὲς φορὲς γυναίκα ποὺ τὸν παρηγοροῦσε νὰ ὑποφέρει τὰ δεινὰ καὶ ποὺ τοῦ γινόταν λιμάνι· καὶ ἂν ἀκόμη δὲν εἶχε τέτοια γυναίκα, δὲν εἶχε ὅμως γυναίκα ποὺ συμβούλευε τόσο ὀλέθρια πράγματα· ἀλλὰ καὶ ἂν ἀκόμα εἶχε γυναίκα ποὺ τοῦ συμβούλευε τόσο ὀλέθρια πράγματα, δὲν ἔχασε ὅλα τὰ παιδιά του σὲ μιὰ στιγμή· καὶ ἂν τὰ ἔχασε σὲ μιὰ στιγμή, ὄχι ὅμως μὲ τέτοιον τρόπο θανάτου· καὶ ἂν μὲ τέτοιον τρόπο θανάτου, εἶχε ὅμως φίλους νὰ τὸν παρηγοροῦν· ἀλλὰ καὶ ἂν δὲν εἶχε φίλους νὰ τὸν παρηγοροῦν, τουλάχιστο δὲν εἶχε νὰ τὸν κατακρίνουν ἔτσι· καὶ ἂν εἶχε φίλους νὰ τὸν κατακρίνουν, δὲν εἶχε ὅμως ὑπηρέτες νὰ τὸν κατηγοροῦν· καὶ ἂν εἶχε ὑπηρέτες νὰ τὸν κατηγοροῦν, δὲν εἶχε ὅμως νὰ τὸν φτύνουν στὸ πρόσωπο· καὶ ἂν ἀκόμη εἶχε ὑπηρέτες νὰ τὸν φτύνουν στὸ πρόσωπό του, δὲ βασανίσθηκε ἀπὸ τόσο μεγάλη ἀρρώστια· ἀλλὰ καὶ ἂν βασανίσθηκε ἀπὸ τόση μεγάλη ἀρρώστια, εἶχε βέβαια δωμάτιο καὶ στέγη καὶ δὲν καθόταν ἐπάνω στὴν κοπριά· καὶ ἂν καθόταν στὴν κοπριά, εἶχε ὅμως αὐτοὺς ποὺ τοῦ ἅπλωναν τὸ χέρι· ἀλλὰ καὶ ἂν δὲν εἶχε αὐτοὺς ποὺ τοῦ ἅπλωναν τὸ χέρι, δὲν εἶχε τουλάχιστο καὶ αὐτοὺς ποὺ τὸν κατέκριναν.

Αὐτὸς ὅμως τὰ ὑπέφερε ὅλα αὐτά, καὶ τὸ πιὸ θαυμαστό, ποὺ τὸ εἶπα προηγουμένως, ὅτι τὰ ὑπέφερε καὶ ὅλα μαζί, πράγμα ποὺ κάνει τὰ δυσάρεστα νὰ φαίνονται διπλάσια καὶ τριπλάσια, ὅταν ἐκεῖνος ποὺ παλεύει οὔτε τὴν παρηγοριὰ ἀπὸ τὴ διακοπὴ δὲν ἔχει, ἀλλὰ μὲ τὴν ἀδιάκοπη συμφορὰ γίνεται περισσότερη ἡ σύγχυση καὶ μεγαλύτερη ἡ ταραχή, πράγμα ποὺ συνέβηκε καὶ σ' αὐτόν. Γιατὶ τὴν καταστροφὴ καὶ τὸ κάψιμο τῶν προβάτων ἀκολουθοῦσε ἡ ἁρπαγὴ τῶν βοδιῶν, καὶ τὴν ἁρπαγὴ αὐτῶν ἡ ἀφαίρεση τῶν ἡμιόνων, καὶ αὐτὴν ἡ αἰχμαλωσία τῶν

*κτὸς ἐκεῖνος καὶ καινὸς θάνατος, καὶ ὁ φρικωδέστερος τάφος (ὁ αὐτὸς γὰρ ὁμοῦ καὶ θάνατος καὶ τάφος ἐγίνετο), καὶ ἡ τράπεζα, ἣ νῦν μὲν ἑστιώμενα, νῦν δὲ κατακοπέντα δεξαμένη τὰ σώματα, καὶ αἱ φιάλαι καὶ τὰ ποτήρια μετὰ τοῦ οἴνου τὸ αἷμα ὑποδεχόμενα, καὶ τὰ κατακεκομμένα μέλη. Ἀλλὰ ὅμως τὴν χαλεπὴν ταύτην τραγῳδίαν ἕτερα χαλεπώτερα πάλιν αὐτὰ ἀναμένει, οὐδὲ μικρὸν ἀναπνεύσαντα. Ἐντεῦθεν γὰρ αἱ πηγαὶ τῶν σκωλήκων, οἱ τῶν ἰχώρων ῥύακες, ἡ ἐπὶ τῆς κοπρίας καθέδρα, τὸ ὄστρακον τὸ τὰς πλευρὰς καταξαῖνον, ἡ δυσωδία τῶν ἑλκῶν ἢ τὸν καινὸν ἐκεῖνον ἐπεισάγουσα λιμόν, καὶ ὁρωμένων οὐκ ἀφιεῖσα τῶν σιτίων ἅπτεσθαι, καὶ τοῦ λιμοῦ χαλεπωτέραν ἐντιθεῖσα τὴν ἀηδίαν· καὶ ταῦτα οὐκ ἐπὶ δύο καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατὸν ἡμέρας, ἀλλ᾽ ἐπὶ μησὶ πλείοσι.*

*Καὶ οὐδὲ ἐνταῦθα ἵστατο τὰ τῶν παλαισμάτων, ἀλλ᾽ ἐν τούτοις ὄντος αὐτοῦ καὶ ἀποτηγανιζομένου πάντοθεν, ἔνδοθεν, ἔξωθεν, ἐπῄει καὶ τὰ τῆς γυναικὸς μηχανήματα. Γίνεται τοῦ δαίμονος ὅπλον ἡ σύνοικος καὶ τοξεύει τὸν ἄνδρα, τὴν γλῶτταν δανείσασα τῷ διαβόλῳ, καὶ βάλλει τῶν εἰρημένων βέλη πικρότερα καὶ ὀλεθριώτερα. Καὶ οὐδὲ ἐνταῦθα τέλος ἐλάμβανε τὰ παλαίσματα, ἀλλ᾽ ἀρχὴ πάλιν καὶ προοίμια τῆς παρατάξεως ἦν. Ἐπειδὴ γὰρ οὐδὲν ἐντεῦθεν ἐγένετο πλέον τῷ διαβόλῳ, τῶν φίλων ὁ χορὸς παρεγένετο, ἐν προσωπείῳ συμπαθείας τὰ τῶν πολεμίων ἐπιδεικνύμενος, καὶ ἐνάλλονται κειμένῳ, καὶ ἀναξαίνουσι τὰ ἕλκη, ἀλλήλους διαδεχόμενοι καὶ μηδὲ χαλεπήν τινα χορείαν χορεύοντες.*

*Εἴπω καὶ τῆς νυκτὸς τὸν ἀφόρητον πειρασμόν, καὶ αὐτὸν καινὸν ὄντα καὶ παράδοξον; Τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις, κἂν μυρία πάσχωσι δεινά, κἂν δεσμωτήρια οἰκῶσι, κἂν ἀλυ-*

καμηλῶν καὶ ἡ σφαγὴ τῶν δούλων, καὶ αὐτὴν ἡ ἀπώλειά τῶν παιδιῶν του καὶ ὁ φοβερὸς ἐκεῖνος καὶ καινούργιος θάνατος, καὶ ὁ πιὸ φοβερὸς τάφος (γιατὶ ὁ ἴδιος ἦταν μαζὶ καὶ θάνατος καὶ τάφος), καὶ τὸ τραπέζι ποὺ ἐπάνω του πρῶτα ἔτρωγαν καὶ ὕστερα δέχθηκε κομματιασμένα τὰ σώματά τους, καὶ οἱ φιάλες καὶ τὰ ποτήρια ποὺ δέχονταν μαζὶ μὲ τὸ κρασὶ τὸ αἷμα καὶ τὰ κομματιασμένα μέλη τους. Ἀλλ' ὅμως τὴ φοβερὴ αὐτὴ τραγωδία περιμένουν πάλι ἄλλα πιὸ φοβερὰ αὐτὴ τὴ φορά, χωρὶς τὴν παραμικρὴ διακοπή. Γιατὶ ἀπὸ ἐδῶ προέρχονταν οἱ πηγὲς τῶν σκουληκιῶν, τὰ ρυάκια μὲ τὸ πύο, ἡ διαμονή του ἐπάνω στὴν κοπριά, τὸ ὄστρακο ποὺ ἔξυνε τὰ πλευρά του, ἡ δυσωδία ἀπὸ τίς πληγές του ποὺ τοῦ ἔφερνε τὴν πρωτάκουστη ἐκείνη πείνα, γιατὶ δὲν τὸν ἄφηνε ν' ἀγγίξει τὶς τροφὲς ποὺ ἔβλεπε καὶ τοῦ προκαλοῦσε ἀηδία χειρότερη ἀπὸ τὴν πείνα. Καὶ αὐτὰ γίνονταν ὄχι γιὰ δύο ἢ δέκα ἢ εἴκοσι ἢ ἑκατὸ ἡμέρες, ἀλλὰ γιὰ μῆνες πάρα πολλούς.

Καὶ οὔτε ἐδῶ σταμάτησαν οἱ ἀγῶνες του, ἀλλ', ἐνῶ βρισκόταν σ' αὐτοὺς καὶ βασανιζόταν ἀπὸ παντοῦ, ἀπὸ ἔξω, ἀπὸ μέσα, ἦρθαν καὶ τὰ τεχνάσματα τῆς γυναίκας του. Γιατὶ ἡ σύζυγός του γίνεται ὅπλο τοῦ δαίμονα καὶ τοξεύει τὸν ἄνδρα της, δανείζοντας τὴ γλώσσα της στὸ διάβολο, καὶ ρίχνει ἀπ' αὐτὰ ποὺ λέχθηκαν πιὸ φαρμακερὰ καὶ πιὸ ὀλέθρια βέλη. Καὶ οὔτε ἐδῶ τελείωναν οἱ ἀγῶνες του, ἀλλὰ ἦταν πάλι ἡ ἀρχὴ καὶ τὸ ξεκίνημα τῆς μάχης. Ἐπειδὴ δηλαδὴ δὲν ἐπικράτησε καθόλου ἀπὸ ἐδῶ ὁ διάβολος, ἦρθαν οἱ φίλοι του, φανερώνοντας μὲ προσωπεῖα συμπάθειας ἐχθρικὲς διαθέσεις, καὶ κατεξευτελίζουν τὸν κατάκοιτο καὶ ξύνουν πάλι τὶς πληγές του, ἀκολουθώντας ὁ ἕνας τὸν ἄλλο καὶ χωρὶς νὰ τὸν ἀφήνουν νὰ πάρει ἀναπνοὴ καὶ περικυκλώνοντάς τον πολὺ στενὰ καὶ χορεύοντας κάποιο φοβερὸ χορό.

Νὰ πῶ καὶ τὴν ἀφόρητη δοκιμασία τῆς νύχτας, ποὺ καὶ αὐτὴ ἦταν πρωτάκουστη καὶ παράξενη; Γιατὶ σὲ ὅλους τοὺς ἄλλους ἀνθρώπους, εἴτε ὑποφέρουν ἄπειρα δεινά, εἴτε βρίσκονται

σιν περικέωνται, κἂν συμφορὰς θρηνῶσι, κἂν λώβην σώματος ὑπομένωσι, κἂν πενίᾳ πιέζωνται, κἂν νόσῳ, κἂν πόνοις, κἂν ταλαιπωρίαις, ἀλλ' ὅμως ἐπελθοῦσα ἡ νὺξ φάρμακον ἐπάγει παραμυθίας, ἀφιεῖσα τῶν πόνων τὸ σῶμα, ἀνιεῖσα τῶν φροντίδων τὴν ψυχήν· ἐπὶ δὲ ἐκείνου τότε καὶ ὁ λιμὴν σκόπελος γέγονε, καὶ τὸ φάρμακον ἕλκος κατέστη, καὶ ἡ παραμυθία προσθήκη τις ἦν ὀδύνης χαλεπωτέρα, καὶ φοβερώτερος ὁ χειμὼν ἐγίνετο ἐν τῇ πᾶσιν ἀνθρώποις νυκτὶ παρεχούσῃ γαλήνην· καὶ ἔφευγε μὲν ὡς ἀπὸ κυμάτων τῆς ἡμέρας, διὰ τὰς ἀκαρτερήτους ὀδύνας ἐκείνας, εὕρισκε δὲ τρικυμίας καὶ στροβίλους καὶ ὑφάλους καὶ σπιλάδας, ὡς πάλιν τὰ ἐν τῇ ἡμέρᾳ κύματα ζητεῖν. Διὸ δὴ καὶ αὐτὸς τὸ καινὸν τοῦτο πάθος διηγούμενος, ἐβόα λέγων· «ἐὰν κοιμηθῶ, λέγω· πότε ἡμέρα; ἐὰν ἀναστῶ, λέγω· πότε ἑσπέρα;». Τίνος ἕνεκεν, εἰπέ μοι; ἐν μὲν γὰρ τῇ ἡμέρᾳ εἰκότως τὴν νύκτα ἐπιζητεῖς· ἑσπέραν γὰρ τὴν νύκτα καλεῖ, ἅτε ἀτέλειαν πᾶσι παρέχουσαν τῶν μεθημερινῶν κακῶν· ἐν νυκτὶ δὲ γενόμενος καὶ γαλήνῃ καὶ λήθῃ τῶν ὀδυνῶν ἐκείνων καὶ τῶν φροντίδων, τί πάλιν ἐπιζητεῖς τὴν ἡμέραν; Ὅτι μοι τῆς ἡμέρας χαλεπωτέρα ἡ νύξ· οὐ γὰρ ἀτέλειάν μοι παρέχει τῶν πόνων, ἀλλ' ἐπίτασιν καὶ θορύβους καὶ ταραχάς· καὶ τοῦτο αὐτὸ διηγούμενος ἔλεγε· «φοβεῖς με ἐν ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις». Καὶ γὰρ ἐξεδειματοῦτο, φοβερὰς ὄψεις ὁρῶν ἐπὶ τῆς νυκτός, καὶ φόβον ἀφόρητον ὑπομένων, ἔκστασίν τε πολλὴν καὶ κατάπληξιν.

3. Ἆρα οὐκ ἀπεκάμετε ἀκούοντες τὰς ἐπαλλήλους ταύτας συμφοράς; Ἀλλ' ἐκεῖνος οὐκ ἔκαμνε πάσχων. Διὸ δὴ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ἔτι μικρὸν ἀναμεῖναι· οὐδέπω γὰρ τὸ πᾶν εἰρήκαμεν, οὐδὲ τὴν ἑτέραν προσεθήκαμεν ὑπερβολήν. Μία μὲν γὰρ ἦν, ὅτι πάντα τὰ ἐν ἀνθρώποις κακὰ ἓν σῶμα ὑπέμεινεν· ἑτέρα δέ, ὅτι

2. Ἰὼβ 7,4.

στὶς φυλακές, εἴτε εἶναι ἀλυσοδεμένοι, εἴτε θρηνοῦν συμφορές, εἴτε ὑποφέρουν ἀπὸ λέπρα στὸ σῶμα τους εἴτε πιέζονται ἀπὸ φτώχεια ἢ ἀπὸ ἀρρώστια ἢ ἀπὸ κόπους ἢ ἀπὸ ταλαιπωρίες, ὅταν ἔρθει ἡ νύχτα τοὺς φέρνει φάρμακο παρηγοριᾶς, ἀφοῦ ἐλευθερώνει τὸ σῶμα ἀπὸ τοὺς κόπους καὶ χαλαρώνει τὴν ψυχὴ ἀπὸ τὶς φροντίδες, ἐνῶ στὴν περίπτωση τοῦ Ἰὼβ καὶ τὸ λιμάνι ἔγινε σκόπελος, καὶ τὸ φάρμακο μεταβλήθηκε σὲ πληγή, καὶ ἡ παρηγοριὰ ἦταν κάτι πιὸ φοβερὸ ἀπὸ τὸν πόνο, καὶ ἡ τρικυμία γινόταν χειρότερη στὴ διάρκεια τῆς νύχτας, ποὺ παρέχει γαλήνη σὲ ὅλους τοὺς ἀνθρώπους. Καὶ ἔφευγε ἀπὸ τὰ κύματα τῆς ἡμέρας, ἐξ αἰτίας τῶν ἀνυπόφορων ἐκείνων πόνων, ἀλλ' ἔβρισκε τρικυμίες καὶ στροβίλους καὶ ὑφάλους καὶ θύελλες, ὥστε νὰ ζητάει πάλι τὰ κύματα τῆς ἡμέρας. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ ἴδιος ὅταν διηγόταν τὸ πρωτάκουστο αὐτὸ πάθος φώναζε λέγοντας· «ἂν πέσω νὰ κοιμηθῶ, λέγω· πότε θὰ ἔρθει ἡ ἡμέρα; ἂν σηκωθῶ, λέγω· πότε θὰ ἔρθει τὸ βράδυ;»[2]. Πές μου, γιὰ ποιό λόγο; Γιατὶ ἀσφαλῶς εἶναι φυσικὸ στὴ διάρκεια τῆς ἡμέρας νὰ ζητᾶς τὴ νύχτα, γιατὶ βράδυ ὀνομάζει τὴ νύχτα, ἐπειδὴ μᾶς ἀπαλλάσσει ὅλους ἀπὸ τὰ καθημερινὰ κακά. Ἀλλὰ ἀφοῦ βρέθηκες στὴ νύχτα καὶ στὴ γαλήνη καὶ λησμονιὰ ἐκείνων τῶν πόνων καὶ τῶν φροντίδων, γιατί πάλι ζητᾶς τὴν ἡμέρα; Γιατὶ ἡ νύχτα μοῦ εἶναι χειρότερη ἀπὸ τὴν ἡμέρα, ἐπειδὴ δὲ μὲ ἀπαλλάσσει ἀπὸ τὰ βάσανα, ἀλλὰ κάνει πιὸ ἔντονη τὴ σύγχυση καὶ τὴν ταραχή μου. Καὶ ὅταν τὸ διηγόταν αὐτὸ ἔλεγε· «μὲ φοβερίζεις μὲ ὄνειρα καὶ μὲ τρομάζεις μὲ ἐφιάλτες»[3]. Γιατὶ πραγματικὰ κατατρόμαζε, βλέποντας φοβερὰ ὄνειρα τὴ νύχτα καὶ νιώθοντας ἀνυπόφορο φόβο καὶ πολλὴ σύγχυση καὶ κατάπληξη.

3. Ἄραγε δὲν κουραστήκατε ποὺ ἀκοῦτε τὶς ἀλλεπάλληλες αὐτές συμφορές; Ἀλλ' ἐκεῖνος ποὺ τὶς ἔπασχε δὲν κουραζόταν. Γι' αὐτὸ ἀκριβῶς παρακαλῶ τὴν ἀγάπη σας νὰ περιμένει λίγο ἀκόμη, γιατὶ δὲν τὰ εἴπαμε ἀκόμη ὅλα, οὔτε προσθέσαμε τὸ ἄλλο τὸ ὑπερβολικό. Γιατὶ τὸ ἕνα ἦταν, ὅτι ὅλα τὰ ἀνθρώπινα κακὰ τὰ ὑπέφερε ἕνα σῶμα· καὶ τὸ ἄλλο, ὅτι τὰ ὑπέφερε ὅλα

3. Ἰὼβ 7,14.

*πάντα ὁμοῦ, καὶ οὐδὲ τὴν τυχοῦσαν ἔσχεν ἀνακωχήν· βούλομαι δὲ καὶ τρίτην εἰπεῖν· τίς οὖν ἐστιν αὕτη; Ὅτι τῶν εἰρημένων ἕκαστον οὐ μόνον οὐχ ὁμοῦ ἐπῆλθεν, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς καὶ τῆς σφοδρότητος· ἥ τε γὰρ πενία πενίας ἁπάσης χαλεπωτέρα, ἥ τε νόσος, ἥ τε καθέδρα, ἥ τε τῶν παίδων ἀπώλεια, ἥ τε τῶν ὄντων ἁπάντων.*

*Σκόπει δέ· Ἀπώλεσέ τις τὰ ὄντα; ἀλλ' οὐχ οὕτως ὁλοσχερῶς, οὐδὲ τρόπῳ τοιούτῳ. Ἀπέβαλε παῖδας; ἀλλ' οὐδέποτε ὑφ' ἓν ἅπαντας, οὐδὲ τοσούτους, οὐδὲ τοιούτους. Νόσῳ περιέπεσεν· ἀλλ' οὐ τοιαύτῃ, ἀλλ' ἢ πυρετοῖς, ἢ λώβῃ, ἢ ἑτέρῳ τινὶ πάθει συνήθει. Ἐκείνη δὲ ἡ πληγὴ ξένη τις ἦν, καὶ τῷ πάσχοντι μόνῳ σαφής. Λόγος γὰρ οὐδεὶς παραστῆσαι δύναιτ' ἂν τὸ πικρὸν τῶν ἑλκῶν ἐκείνων καὶ τὸ τῶν τραυμάτων ὀδυνηρόν, ἀλλ' ἀρκεῖ μόνον τὸν ἐργασάμενον εἰπόντα καὶ τὸν ἄσχετον αὐτοῦ θυμόν, ἐνδείξασθαι τῆς πληγῆς τὸ μέγεθος; Καινὴ δὲ καὶ ἡ καθέδρα ἦν καὶ ξένη· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν πένης οὕτω ποτὲ καθεσθεὶς αἴθριος διὰ παντὸς τοῦ χρόνου, ὥσπερ ἐκεῖνος ὑπέμεινε, γυμνὸς ἱματίων, στέγης ἀπεστερημένος ἁπάσης, ἐπὶ τῆς κοπρίας ἡλκωμένος καθήμενος. Ἔσχε τις γυναῖκα πονηρὰν πολλάκις, ἀλλ' οὐδενὶ οὐδέποτε ἐγένετο οὕτω πονηρά, ὡς ἐν τοιαύτῃ συμφορᾷ ἐπιτίθεσθαι τῷ ἀνδρί, καὶ ξίφος ἀκονῆσαι κατὰ τῆς ἐκείνου ψυχῆς, καὶ συμβουλεῦσαι τοιαύτας συμβουλάς. Καὶ τὸ τῶν φίλων δὲ ξένον, καὶ τὸ τῶν οἰκετῶν· καὶ τὸ τοῦ λιμοῦ δὲ καινότερον πάλιν, ὅτι παρακειμένης οὐκ ἀπεγεύετο τῆς τραπέζης.*

*Εἴπω καὶ τετάρτην ὑπερβολήν; τὸν πλοῦτον λέγω τὸν ἔμπροσθεν καὶ τὴν εὐημερίαν. Ὁ μὲν γὰρ ἐξ ἀρχῆς ἐν πενίᾳ ζήσας, εὐκολώτερον ἂν ταύτην ἤνεγκεν, ἅτε μελετήσας τὸ πάθος, ὁ δὲ ἐξ*

μαζί καὶ δὲν εἶχε οὔτε τὴν παραμικρὴ ἀνακωχή. Θέλω ὅμως νὰ πῶ καὶ ἕνα τρίτο. Ποιό λοιπον εἶναι αὐτό; Ὅτι τὸ καθένα ἀπ' αὐτὰ ποὺ λέχθηκαν ὄχι μόνο δὲν ἦρθε μαζὶ μὲ τὰ ἄλλα, ἀλλὰ ἦρθε καὶ μὲ μεγάλη ὑπερβολὴ καὶ δύναμη. Γιατὶ καὶ ἡ φτώχεια ἦταν χειρότερη ἀπὸ κάθε φτώχεια, καθὼς καὶ ἡ ἀρρώστια, καὶ ὁ τόπος ποὺ καθόταν, καὶ ἡ ἀπώλεια τῶν παιδιῶν καὶ ὅλων τῶν ὑπαρχόντων του.

Πρόσεχε ὅμως. Ἔχασε κάποιος τὰ ὑπάρχοντά του; Δὲν τὰ ἔχασε ὅμως τόσο ὁλοκληρωτικά, οὔτε μὲ τέτοιο τρόπο. Ἔχασε τὰ παιδιά του; Ποτὲ ὅμως ὅλα μαζί, οὔτε τόσα πολλά, οὔτε τέτοια παιδιά. Ἔπεσε σὲ ἀρρώστια; Ὄχι ὅμως σὲ τέτοια, ἀλλὰ ἢ σὲ πυρετὸ ἢ σὲ λέπρα ἢ σὲ κάποιο ἄλλο πάθος συνηθισμένο. Ἐκείνη ὅμως ἡ συμφορὰ ἦταν παράξενη καὶ μόνο σ' αυτὸν ποὺ τὴν ἔπασχε ἦταν φανερή. Γιατὶ κανεὶς λόγος δὲ θὰ μποροῦσε νὰ παραστήσει τὴν πίκρα ποὺ προκαλοῦσαν οἱ πληγὲς ἐκεῖνες καὶ τὴν ὀδύνη ἀπὸ τὰ τραύματα, ἀλλ' εἶναι ἀρκετὸ μόνο νὰ πεῖ κανεὶς αὐτὸν ποὺ τὰ προξένησε καὶ τὸν ἀσυγκράτητο θυμό του γιὰ νὰ παρουσιάσει τὸ μέγεθος τῆς συμφορᾶς. Καὶ ὁ τόπος ποὺ καθόταν ἦταν πρωτάκουστος καὶ παράξενος, γιατὶ δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει κανένας φτωχὸς ποὺ νὰ κάθισε ποτὲ στὸ ὕπαιθρο τόσο πολὺν καιρό, ὅπως ἔμεινε ἐκεῖνος, γυμνὸς ἀπὸ ἐνδύματα, στερημένος ἀπὸ κάθε στέγη, καθισμένος γεμάτος πληγὲς ἐπάνω στὴν κοπριά. Πολλὲς φορὲς ὁ ἄνθρωπος εἶχε κακὴ γυναίκα, ἀλλὰ σὲ κανένα δὲν ὑπῆρξε ποτέ τόσο κακή, ὥστε σὲ τέτοια συμφορὰ νὰ ἐπιτίθεται στὸν ἄνδρα της, ἀκονίζοντας καὶ τὸ ξίφος ἐναντίον τῆς ψυχῆς του καὶ συμβουλεύοντάς τον μὲ τέτοιες συμβουλές. Καὶ ἡ συμπεριφορὰ τῶν φίλων του ἦταν παράξενη, καθὼς καὶ τῶν δούλων του. Καὶ ἡ πείνα του ἐξάλλου ἦταν τὸ πιὸ παράξενο, γιατί, ἂν καὶ ἦταν μπροστά του τὸ τραπέζι, δὲ δοκίμαζε τὰ φαγητά.

Νὰ πῶ καὶ τέταρτο ὑπερβολικὸ κακό; Ἐννοῶ τὸν πλοῦτο ποὺ εἶχε πρὶν καὶ τὴν εὐημερία. Γιατὶ ἐκεῖνος ποὺ ἀπὸ τὴν ἀρχὴ ἔζησε σὲ φτώχεια θὰ τὴν ἄντεχε πιὸ εὔκολα, ἐπειδὴ συνήθισε

*εὐημερίας τοσαύτης κατενεχθείς, διὰ τὸ ἀγύμναστον καὶ ἀμελέτητον καὶ χαλεπωτέραν ὑπομένειν εἰκὸς τὴν αἴσθησιν, καὶ πικροτέραν τὴν ὀδύνην, καὶ μείζονα τὴν ταραχήν. Ἔστι καὶ πέμπτην εἰπεῖν· ποίαν δὴ ταύτην; Ὅτι τῶν μὲν ἄλλων ἕκαστος ἀνθρώπων πολλὰ συνειδὼς ἑαυτῷ πονηρά, τὴν αἰτίαν οἶδεν ὧν πάσχει· οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν· ἐκεῖνος δὲ οὐδὲ τοῦτο εἶχε λογίσασθαι, ὅτι πλημμελημάτων καὶ ἁμαρτημάτων ἔτινε δίκας, ὃ μάλιστα αὐτοῦ τὸν λογισμὸν ἐθορύβει. Ὅτε μὲν γὰρ εἰς τὸν βίον εἶδε τὸν ἑαυτοῦ, καὶ τὸ συνειδὸς ὑπὲρ τὸν ἥλιον λάμπον, καὶ τῶν κατορθωμάτων τὸ πλῆθος, ᾔδει ὅτι στεφάνων καὶ βραβείων καὶ μυρίων ἐπάθλων ἄξιος ἦν· ὅτε δὲ εἰς τὸ σῶμα καὶ τὰ ἕλκη καὶ τὰ συμβεβηκότα ἅπαντα, τῶν τὰ ἔσχατα τετολμηκότων ὁρῶν ἑαυτὸν χαλεπώτερα πάσχοντα, οὐδὲ τὴν αἰτίαν εὕρισκεν εἰπεῖν δι' ἣν ταῦτα ἔπασχε· διὸ δὴ ἐπὶ τὸ ἀκατάληπτον τῆς τοῦ Θεοῦ οἰκονομίας καταφυγών, ἔλεγεν· «ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο». Καὶ τὴν γυναῖκα δὲ ἐπιστομίζων ἐκ τῶν ἐγχωρούντων, καὶ λογισμὸν συνέθηκε τὴν εὐλάβειαν αὐτοῦ σφόδρα ἐπιδεικνύμενον, λέγων οὕτως· «εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;».*

*Εἴπω καὶ ἑτέραν ὑπερβολὴν μάλιστα στεφανοῦσαν καὶ ἀνακηρύττουσαν τὸν ἀθλητὴν ἐκεῖνον, καὶ δεικνύουσαν αὐτοῦ ὑψηλὴν καὶ τῶν οὐρανῶν ἁπτομένην ψυχήν; Τίς οὖν ἐστιν αὕτη; Ἡ ἀπὸ τοῦ χρόνου διαφορά· πρὸ γὰρ τῆς χάριτος καὶ πρὸ τοῦ νόμου γενόμενος, τοιαῦτα ἐφιλοσόφησεν. Οὐ μικρὸν δὲ τοῦτο, ἀλλὰ καὶ μυρίους δυνάμενον πλέξαι στεφάνους. Τῶν γὰρ αὐτῶν κατορθωμάτων οὐχ οἱ αὐτοὶ κεῖνται μισθοί, ὅταν ὁ μὲν ἐν τοῖς ἀνωτέροις χρόνοις ταῦτα κατωρθωκὼς ᾖ, ὁ δὲ ἐν τοῖς ἐσχάτοις, ἀλλὰ πολλῷ μείζους τῷ προτέρῳ. Οὐ γὰρ ἦν ἴσον, παραγινομένου τοῦ Χριστοῦ καὶ*

4. Ἰὼβ 1,21.

τὸ πάθος, ἐνῶ ἐκεῖνος ποὺ κατέπεσε ἀπὸ τόσο μεγάλη εὐημερία, ἐπειδὴ εἶναι ἀγύμναστος καὶ ἀσυνήθιστος, εἶναι φυσικὸ νὰ νιώθει τὴ φτώχεια πιὸ φοβερή, καὶ τὸν πόνο πιὸ πικρό, καὶ τὴν ταραχὴ πιὸ μεγάλη. Μπορῶ νὰ πῶ καὶ πέμπτο; Ποιό λοιπὸν εἶναι αὐτό; Ὅτι κάθε ἄλλος ἄνθρωπος, ἐπειδὴ ἀναγνωρίζει πολλὲς ἁμαρτίες στὸν ἑαυτό του, ξέρει τὴν αιτία αὐτῶν ποὺ πάσχει· καὶ αὐτὸ δὲν εἶναι μικρὸ γιὰ παρηγοριά. Ὁ Ἰὼβ ὅμως οὔτε αὐτὸ μποροῦσε νὰ σκεφθεῖ, ὅτι δηλαδὴ τιμωροῦνταν γιὰ τὰ παραπτώματα καὶ τὶς ἁμαρτίες του, πράγμα ποὺ τάραζε πάρα πολὺ τὴ σκέψη του. Γιατί, ὅταν ἐξέτασε τὴ δική του ζωή, καὶ εἶδε ὅτι ἡ συνείδησή του ἔλαμπε περισσότερο ἀπὸ τὸν ἥλιο, καθὼς καὶ τὸ πλῆθος τῶν κατορθωμάτων του, διαπίστωσε ὅτι ἦταν ἄξιος γιὰ στεφάνια καὶ βραβεῖα καὶ ἄπειρα ἔπαθλα· ὅταν ὅμως πρόσεξε τὸ σῶμα του καὶ τὶς πληγὲς καὶ ὅλα ὅσα συνέβηκαν, βλέποντας τὸν ἑαυτὸ νὰ ὑποφέρει χειρότερα ἀπ' αὐτοὺς ποὺ εἶχαν διαπράξει τὰ χειρότερα πράγματα, οὔτε τὴν αἰτία ἔβρισκε νὰ πεῖ γιὰ τὴν ὁποία τὰ πάθαινε αὐτά. Γι' αὐτὸ ἀκριβῶς καταφεύγοντας στὸ ἀκατάληπτο τῆς οἰκονομίας τοῦ Θεοῦ ἔλεγε· «ὅπως φάνηκε καλὸ στὸν Κύριο, ἔτσι καὶ ἔγινε»[4]. Καὶ ἀποστομώνοντας τὴ γυναίκα του ἀπ' αὐτὰ ποὺ μποροῦσε, ἔκαμε κάποια σκέψη ποὺ δείχνει τὴν ὑπερβολικὴ εὐλάβειά του, λέγοντας τὰ ἑξῆς· «ἂν τὰ ἀγαθὰ τὰ δεχθήκαμε ἀπὸ τὸν Κύριο, δὲ θὰ ὑποφέρουμε καὶ τὰ κακά;»[5].

Νὰ πῶ καὶ ἄλλο ὑπερβολικὸ πράγμα ποὺ ἰδιαίτερα στεφανώνει καὶ ἀνακηρύσσει νικητὴ τὸν ἀθλητὴ ἐκεῖνον καὶ δείχνει πὼς ἡ ψηχή του εἶναι ὑψηλὴ καὶ ὅτι ἀγγίζει τοὺς οὐρανούς; Ποιό λοιπὸν εἶναι αὐτό; Ἡ διαφορὰ ἀπὸ τὸ χρόνο. Γιατί, παρ' ὅλο ποὺ ἔζησε πρὶν ἀπὸ τὴ χάρη καὶ πρὶν ἀπὸ τὸ νόμο, φιλοσόφησε τέτοια πράγματα. Καὶ δὲν ἦταν μικρὸ αὐτό, ἀλλ' εἶχε τὴ δύναμη νὰ πλέξει ἄπειρα στεφάνια. Γιατὶ γιὰ τὰ ἴδια κατορθώματα δὲν ὑπάρχουν οἱ ἴδιοι μισθοί, ὅταν ὁ ἕνας τὰ ἔχει ἐπιτύχει στὰ παλαιότερα χρόνια καὶ ὁ ἄλλος στὰ τελευταῖα, ἀλλὰ πολὺ μεγαλύτεροι γιὰ τὸν πρῶτο. Γιατὶ δὲν ἦταν τὸ ἴδιο νὰ πιστεύει

5. Ἰὼβ 2,10.

*τοσαῦτα ἐπιδειξαμένου καὶ παραινέσαντος καὶ συμβουλεύσαντος φιλοσοφεῖν, καὶ πρὸ τῆς παρουσίας αὐτοῦ καὶ πρὸ νόμου καὶ πρὸ προφητῶν τοιαῦτα ἐπιδείκνυσθαι. Διὰ δὴ τοῦτο καὶ παραγενόμενος πλείονα ἀρετῆς προσθήκην ἐπιζητεῖ, λέγων· «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὅσῳ γὰρ πλείων ἡ διδασκαλία γέγονε, τοσούτῳ δικαιότερα καὶ πλείονα ἔθετο μέτρα ἀρετῆς.*

*Ἀλλ᾽ οὗτος οὐ διδασκαλίας ἀπολαύσας, οὐ γράμμασιν ἐντυχών, οὐ βιβλίοις, οὐχ ἑτέρους θεασάμενος, οὐκ εἰς τὸν ἔμπροσθεν χρόνον ἀναδραμεῖν ἔχων καὶ τοὺς κατωρθωκότας ἐννοῆσαι· οὐδέπω γὰρ ἦν γραφή, ἡ ἱστορία τὰ γεγενημένα παραδιδοῦσα· ἀλλ᾽ ἐν ἀτριβεῖ τῇ ὁδῷ, ἐν ἀπλώτῳ τῇ θαλάττῃ, ἐν ζόφῳ τοσούτῳ κακίας, μόνος καὶ πρῶτος ἐκεῖνος τότε ταύτην φιλοσοφίας ἔτεμε τὴν ὁδόν, τῷ κεφαλαίῳ τῶν ἀγαθῶν μεθ᾽ ὑπερβολῆς ἄκρος ἀποδειχθείς. Μέγιστον μὲν γὰρ καὶ τὸ τὰ ἐλάττονα μέρη τῆς ἀρετῆς κατορθοῦν, πολλῷ δὲ μεῖζον τὸ ἐν τῷ ἀκροτάτῳ πάντων ἀκρότατον εἶναι· ὅτι δὲ τὸ πάντων ἀκρότατον ἡ ὑπομονή, οὐδεὶς ἀντερεῖ. Ταῦτα γοῦν καὶ αὐτὸς ὁ διάβολος εἰδώς, ἔλεγε· «δέρμα ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· οὐ μὴν δὲ ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι τῆς σαρκὸς αὐτοῦ». Ὅθεν δῆλον ὅτι πάντων ἀκρότατον τοῦτο τὸ κατόρθωμα, καὶ νεανικῆς τινος καὶ σιδηρᾶς δεόμενον ψυχῆς.*

*4. Εἶδες αὐτὸν ἐν τοῖς πειρασμοῖς, ὅσον ἰδεῖν σοι δυνατὸν ἦν; τὴν γὰρ ἀκρίβειαν οὐδὲ αὐτὸς ὁ λόγος παραστῆσαι ἴσχυσεν. Ὀδύνην γὰρ καὶ βασάνους καὶ ἀθυμίας τυραννίδα καὶ τὴν ἐκ τῶν τοσούτων νιφάδων ἐγγινομένην ταραχὴν οὐδεμία λόγου δύναμις ἐρ-*

---

6. Ματθ. 5,20.

κανεὶς ἀφοῦ ἦρθε ὁ Χριστὸς καὶ φανέρωσε τόσα πολλὰ καὶ ἔδωσε τόσες παραινέσεις καὶ συμβουλές, καὶ νὰ παρουσιάζει τέτοια κατορθώματα πρὶν τὴν ἔλευσή του καὶ πρὶν ἀπὸ τὸ νόμο καὶ πρὶν ἀπὸ τοὺς προφῆτες. Γι' αὐτὸ ἀκριβῶς καὶ ὅταν ἦρθε ζητάει περισσότερη αὔξηση τῆς ἀρετῆς λέγοντας· «ἂν ἡ ἀρετή σας δὲν ξεπεράσει τὴν ἀρετὴ τῶν γραμματέων καὶ Φαρισαίων, δὲ θὰ μπεῖτε στὴ βασιλεία τῶν οὐρανῶν»[6]. Ὅσο περισσότερο δηλαδὴ αὐξήθηκε ἡ διδασκαλία, τόσο πιὸ δίκαια καὶ πιὸ πολλὰ καθόρισε τὰ κριτήρια τῆς ἀρετῆς.

Ἀλλ' αὐτὸς χωρίς ν' ἀκούσει διδασκαλία, χωρὶς νὰ συναντήσει γράμματα καὶ βιβλία, χωρὶς νὰ δεῖ ἄλλους, χωρὶς νὰ μπορεῖ νὰ ἀνατρέξει τὸν προηγούμενο χρόνο καὶ νὰ ἔχει στὸ νοῦ του αὐτοὺς ποὺ κατόρθωσαν τὴν ἀρετή –γιατὶ δὲν ὑπῆρχε ἀκόμη ἡ γραφὴ ἢ ἡ ἱστορία γιὰ νὰ διδάξει αὐτὰ ποὺ συνέβηκαν–, ἀλλὰ σὲ ἀπάτητο δρόμο, σὲ ἄπλευστη θάλασσα, σὲ τόσο μεγάλο σκοτάδι κακίας, μόνος καί πρῶτος αὐτὸς ἄνοιξε τότε αὐτὸν τὸ δρόμο τῆς ἐγκαρτέρησης καὶ ἀποδείχθηκε πάρα πολὺ μεγάλος στὸ σπουδαιότερο ἀπὸ τὰ ἀγαθά. Γιατὶ εἶναι μέγιστο πράγμα τὸ νὰ κατορθώνει κανεὶς καὶ τὰ μικρότερα μέρη τῆς ἀρετῆς, ἀλλὰ εἶναι πολὺ μεγαλύτερο τὸ νὰ εἶναι ἄριστος στὴν πιὸ μεγάλη κορυφὴ ὅλων. Καὶ ὅτι ἡ πιὸ μεγάλη κορυφὴ ὅλων εἶναι ἡ ὑπομονὴ κανεὶς δὲ θὰ ἔχει ἀντίρρηση. Αὐτὰ λοιπὸν γνωρίζοντας καὶ ὁ ἴδιος ὁ διάβολος ἔλεγε· «θὰ δώσει κανείς ἄλλο δέρμα γιὰ νὰ σώσει τὸ δέρμα του, καὶ ὅλα ὅσα ἔχει ὁ ἄνθρωπος θὰ τὰ δώσει γιὰ νὰ διατηρήσει τὴ ζωή του· ἅπλωσε ὅμως τὸ χέρι σου καὶ κτύπησε τὸ σῶμα του»[7]. Ἑπομένως εἶναι φανερὸ ὅτι αὐτὸ τὸ κατόρθωμα εἶναι τὸ πιὸ ὑψηλὸ ἀπ' ὅλα, καὶ ὅτι χρειάζεται κάποια δυνατὴ καὶ ἄκαμπτη ψυχή.

4. Εἶδες αὐτὸν στὶς δοκιμασίες, ὅσο σοῦ ἦταν δυνατὸ νὰ δεῖς; Γιατὶ τὴν ἀκρίβεια οὔτε αὐτὸς ὁ λόγος μπόρεσε νὰ παραστήσει. Καθόσον τὸν πόνο καὶ τὰ βάσανα καὶ τὴν τυραννία τῆς στενοχώριας καὶ τὴν ταραχὴ ποὺ γεννιέται ἀπὸ τόσο πολλές

7. Ἰὼβ 2,4–5.

*μηνεῦσαι δύναται τοῖς ἀκηκοόσιν, ὡς αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα. Φέρε σοι οὖν δείξω πάλιν αὐτὸν (οὐδὲ γὰρ τοῦτο μικρόν, ἀλλὰ καὶ σφόδρα φιλοσοφωτάτης δεόμενον ψυχῆς) ἐν πλούτῳ καὶ ἐν εὐημερίᾳ πολλὴν ἐπιδεικνύμενον φιλοσοφίαν. Τίς οὖν ἦν πλούσιος ὤν; Κοινὸς ἁπάντων λιμήν, κοινὸς ἁπάντων πατήρ, κοινὸς ἰατρός, μᾶλλον δὲ καὶ ἰατροῦ μείζων· ἄκουσον γοῦν αὐτοῦ λέγοντος· «Ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, ποῦς δὲ χωλῶν». Ὁρᾷς πῶς ἰατροῦ μείζων, ἀντὶ τῆς φύσεως τοῖς πεπηρωμένοις ἐγίνετο; καὶ ἅπερ οὐκ ἴσχυσαν ἰατροὶ τῇ τέχνῃ διορθῶσαι, ταῦτα αὐτὸς ἀνεκτᾶτο τῇ παρακλήσει, διὰ τὴν πολλὴν εἰς αὐτοὺς πρόνοιαν ἀντὶ τῶν μελῶν αὐτοῖς γινόμενος. Ὥσπερ γὰρ ὑγιεῖς καὶ ἀρτίποδες καὶ βλέποντες, οὕτω διέκειντο οἱ τὰ μέλη ταῦτα κεκολοβωμένοι, οὐκ αἰσθανόμενοι τῆς χωλείας οὐδὲ τῆς πηρώσεως διὰ τὴν πολλὴν τούτου πρόνοιαν.*

*Διὰ δὴ τοῦτο οὐδὲ εἶπεν, ὅτι 'ἐγὼ παρεμυθούμην χωλοὺς καὶ τυφλούς', ἀλλά, «ποῦς αὐτῶν ἤμην καὶ ὀφθαλμός»· καὶ πάλιν, «ἐγὼ ἤμην πατὴρ ἀδυνάτων». Οὐδὲ ἐνταῦθα εἶπεν, 'παρεμυθούμην ὀρφανούς', ἀλλά, «πατὴρ ἤμην αὐτῶν», δηλῶν διὰ τούτου, ὅτι οὐδὲ αἴσθησιν ἠφίει γίνεσθαι τῆς ὀρφανίας, οὐδὲ φανῆναι τὸ δεινὸν συνεχώρει· καθάπερ ἐκεῖ τὴν πήρωσιν τῇ περιουσίᾳ τῆς προνοίας τῶν τὰ τοιαῦτα πεπονθότων, καὶ αὐτὴν τῶν δεινῶν ἀναιρῶν τὴν αἴσθησιν. Οὐ σώματα δὲ μόνον ἐθεράπευε κεκολοβωμένα, οὐδὲ ὀρφανίας διώρθου, τοῖς μὲν ἀντὶ μελῶν, τοῖς δὲ ἀντὶ γονέων γινόμένος, ἀλλὰ καὶ δικαστὴς αὐτοχειροτόνητος καθίστατο· μᾶλλον δὲ καὶ δικαστοῦ πλέον· «δίκην γάρ», φησίν, «ἣν οὐκ ᾔδειν, ἐξιχνίασα, καὶ συνέτριψα μύλας ἀδίκων, καὶ ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἐξήρπασα ἅρπαγμα». Τοῦτο δικαστοῦ πολὺ πλέον. Οἱ μὲν γὰρ δι-*

8. Ἰὼβ 29,15.

συμφορές δὲν μπορεῖ καμιὰ δύναμη τοῦ λόγου νὰ ἐξηγήσει στοὺς ἀκροατές, ὅπως μπορεῖ ἡ ἴδια ἡ πείρα τῶν πραγμάτων. Ἐμπρὸς λοιπὸν νὰ σοῦ δείξω πάλι αὐτὸν (γιατὶ οὔτε αὐτὸ εἶναι ἀσήμαντο, ἀλλὰ χρειάζεται μάλιστα πάρα πολὺ φιλόσοφη ψυχὴ) νὰ παρουσιάζει πολλὴ φιλοσοφία στὸν πλοῦτο καὶ τὴν εὐτυχία. Ποιός λοιπὸν ἦταν ὅταν ἦταν πλούσιος; Κοινὸ λιμάνι γιὰ ὅλους, κοινός πατέρας γιὰ ὅλους, κοινὸς ἰατρός, ἢ καλύτερα καὶ ἀνώτερος ἀπὸ ἰατρό. Ἄκουσε λοιπὸν αὐτὸν ποὺ λέγει· «ἤμουν τὸ μάτι τῶν τυφλῶν καὶ τὸ πόδι τῶν χωλῶν»[8]. Βλέπεις πῶς ἦταν ἀνώτερος ἀπὸ ἰατρὸ καὶ γινόταν ἀντικαταστάτης τῆς φύσης στοὺς ἀνάπηρους; Καὶ ἐκεῖνα ποὺ δὲν μπόρεσαν νὰ διορθώσουν μὲ τὴν τέχνη τους οἱ ἰατροί, αὐτὰ τὰ θεράπευε μὲ τὴν παρηγοριὰ καὶ ἀπὸ τὴν πολλὴ φροντίδα του γι' αὐτοὺς γινόταν ἀντικαταστάτης τῶν μελῶν τους. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἔχουν τὴν ὑγεία καὶ τὰ πόδια καὶ βλέπουν, ἔτσι ἦταν καὶ αὐτοὶ ποὺ ἦταν ἀνάπηροι σ' αὐτὰ τὰ μέλη καὶ δὲν καταλάβαιναν τὴν αναπηρία στὰ πόδια καὶ στὰ μάτια ἐξ αἰτίας τῆς μεγάλης του φροντίδας.

Γι' αὐτὸ ἀκριβῶς καὶ δὲν εἶπε ὅτι 'ἐγὼ παρηγοροῦσα τοὺς χωλοὺς καὶ τοὺς τυφλούς', ἀλλ' «ἤμουν τὸ πόδι καὶ τὸ μάτι τους». Καὶ πάλι· «ἐγὼ ἤμουν πατέρας τῶν ἀδυνάτων»[9]. Οὔτε ἐδῶ εἶπε, 'παρηγοροῦσα τοὺς ὀρφανούς', ἀλλ' «ἤμουν πατέρας τους», φανερώνοντας μ' αὐτὸ ὅτι δὲν ἄφηνε νὰ αἰσθανθοῦν τὴν ὀρφάνια τους, οὔτε ἐπέτρεπε νὰ φανεῖ τὸ κακό. Ὅπως ἐκεῖ μὲ τὴν ἄφθονη φροντίδα του θεράπευε τὴν ἀναπηρία ἐκείνων ποὺ ἔπαθαν αὐτά, ἔτσι ἐξαφάνιζε καὶ αὐτὴν τὴν αἴσθηση τῶν κακῶν. Καὶ ὄχι μόνο θεράπευε σώματα ἀνάπηρα, οὔτε μόνο διόρθωνε τὴν ὀρφάνια, μὲ τὸ νὰ γίνεται σ' ἄλλους ἀντικαταστάτης τῶν μελῶν τους καὶ σ' ἄλλους ἀντικαταστάτης τῶν γονέων τους, ἀλλὰ γινόταν καὶ δικαστής. «Ἐξέτασα», λέγει,«ξένες ὑποθέσεις γιὰ ν' ἀποδώσω δικαιοσύνη· ἔσπασα τὰ σαγόνια τῶν

9. Ἰὼβ 29,16.

κάζοντες κάθηνται ἀναμένοντες τοὺς ἠδικημένους, καὶ μετὰ τὴν ἐκείνων ἔντευξιν, τότε τὴν παρ' ἑαυτῶν παρέχουσι συμμαχίαν οἱ δοκιμώτατοι τῶν δικαζόντων· ὡς οἵ γε πολλοὶ οὐδὲ τοῦτο· οὗτος δὲ καὶ τοὺς δοκιμωτάτους ἐνίκησε, καὶ ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισεν. Οὐδὲ γὰρ ἀνέμενε τοὺς ἀδικουμένους ἐλθεῖν πρὸς αὐτόν, οὐδὲ μετὰ τὴν ἐκείνων ἔντευξιν ἐπῄει τῇ συμμαχίᾳ, ἀλλὰ αὐτὸς προλαμβάνων περίῃει ζητῶν τοὺς ἠδικημένους, καὶ οὐδὲ ἁπλῶς ζητῶν, ἀλλὰ μετὰ πολλῆς τῆς ἀγρυπνίας, μετὰ πολλῆς τῆς φροντίδος.

Καὶ τοῦτο εἴσῃ σαφῶς, τῆς λέξεως καταμαθὼν τὴν δύναμιν· οὐ γὰρ εἶπεν, 'ἐζήτησα', ἀλλά, «δίκην, ἣν οὐκ ᾔδειν, ἐξιχνίασα»· τουτέστιν, ἠρεύνησα, ριεργασάμην πολυπραγμονῶν, διετέλεσα πάντα κινῶν, ὥστε εὑρεῖν μή πού τις ἠδικημένος λανθάνῃ. Εἶδες τὴν ἄγρυπνον ψυχήν; ὅρα καὶ τὴν ἀνδρείαν καὶ τὴν σπουδήν· «καὶ συνέτριψα μύλας ἀδίκων». Τὸ δηκτικὸν αὐτό, τὴν δυναστείαν κατέλυσα, φησίν, ὥστε λοιπὸν καὶ εἰς ἑτέραν ἀδικίαν ἀχρήστους γενέσθαι. Ἀμφοτέρους τοίνυν κακῶς ἀπαλλάττων καὶ σωφρονεστέρους ποιῶν. Εἶτα τὴν εὐτονίαν καὶ τὴν καρτερίαν· «καὶ ἐκ μέσου ὀδόντων αὐτῶν ἐξήρπασα ἅρπαγα». Οὐ γὰρ ἀπεγίνωσκον οὐδὲ ἀπηγόρευον, εἰ καὶ τὸ πρᾶγμα προκατειλημμένον ἦν, ἀλλ' ἤδη καὶ τὸ καταποθὲν ἀνιμώμην, ποιμένος ἀρίστου τινὸς καὶ νήφοντος πρόνοιαν περὶ τοὺς συνδούλους ἐπιδεικνύμενος.

Τί δὲ ἡ ταπεινοφροσύνη; ἐννόησον γὰρ καὶ ἡλίκη· «εἰ δὲ καὶ ἐφαύλισα κρῖμα θεράποντός μου ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρός με. Τί γὰρ ποιήσω, ἐὰν ἐπισκοπήν μου ποίησηται ὁ Κύριος; πότερον οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν γαστρί, κἀκεῖνοι γεγόνασιν;». Εἶδες συντετριμμένην διάνοιαν καὶ τῶν ἀνθρώπων τὴ φύσιν ἐπισκε-

---

10. Ἰὼβ 29,16–17.

ἀδίκων καὶ ἀπὸ τὰ δόντια τους ἅρπαξα ὅσα εἶχαν ἁρπάξει»[10]. Αὐτὸ εἶναι πολὺ περισσότερο ἀπὸ δικαστής. Γιατὶ οἱ δικαστὲς κάθονται καὶ περιμένουν τοὺς ἀδικουμένους, καὶ μετὰ τὴ συνάντηση μ' αὐτοὺς οἱ πιὸ ἄξιοι ἀπὸ τοὺς δικαστὲς παρέχουν τὴ βοήθειά τους· γιατὶ βέβαια οἱ πολλοὶ οὔτε αὐτὸ κάνουν. Αὐτὸς ὅμως καὶ τοὺς πιὸ ἄξιους νίκησε καὶ κατὰ πολὺ τοὺς ξεπέρασε. Γιατὶ δὲν περίμενε αὐτοὺς ποὺ ἀδικοῦνταν νὰ ἔρθουν σ' αὐτὸν, οὔτε μετὰ τὴ συνάντηση μ' αὐτοὺς πρόσφερνε τὴ βοήθεια, ἀλλ' αὐτὸς προλαμβάνοντας τριγυρνοῦσε καὶ ἀναζητοῦσε τοὺς ἀδικημένους καὶ μὲ μεγάλη φροντίδα.

Καὶ αὐτὸ θὰ τὸ γνωρίσεις καλὰ, ἂν μάθεις τὴ δύναμη τῆς λέξης. Γιατὶ δὲν εἶπε, 'ἀναζήτησα', ἀλλά, «ἐξιχνίασα ξένες ὑποθέσεις γιὰ ν' ἀποδώσω δικαιοσύνη». Δηλαδή, ἐρεύνησα, ἐξέτασα μὲ πολὺ ἐνδιαφέρον, πολλές φορὲς μεταχειρίσθηκα τὰ πάντα, γιὰ νὰ βρῶ μήπως κάπου ξεφεύγει κάποιος ἀδικημένος. Εἶδες ἄγρυπνη ψυχή; Πρόσεχε καὶ τὴ γενναιότητα καὶ τὸ ἐνδιαφέρον του. «Καὶ ἔσπασα τὰ σαγόνια τῶν ἀδίκων». Τοὺς ἀχρήστεψα, λέγει, αὐτὴν τὴν ἱκανότητα νὰ δαγκώνουν, τὴ δύναμή τους, γιὰ νὰ γίνουν καὶ στὸ μέλλον ἀνίκανοι γιὰ ἄλλη ἀδικία. Ὠφελοῦσε λοιπὸν καὶ τοὺς δύο, ἀπαλλάσοντας τοὺς ἀδικημένους ἀπὸ τὴν κακομεταχείριση καὶ τοὺς ἀδίκους ἀπὸ τὸ νὰ βλάπτουν καὶ κάνοντας αὐτοὺς πιὸ συνετούς. Στὴ συνέχεια πρόσεχε τὴ δύναμη καὶ τὴν ὑπομονή του. «Καὶ μέσα ἀπὸ τὰ δόντια τους ἅρπαζα ὅσα εἶχαν ἁρπάξει». Δηλαδὴ δὲν ἀπελπιζόμουν οὔτε σταματοῦσα τὴν προσπάθειά μου, ἂν καὶ τὸ πράγμα τὸ εἶχαν ἁρπάξει πρίν, ἀλλὰ καὶ ἐκεῖνο ποὺ εἶχαν καταπιεῖ τὸ ἔβγαζα, φανερώνοντας γιὰ τοὺς συνανθρώπους μου τὴ φροντίδα ἑνὸς ἄριστου καὶ νηφάλιου ποιμένα.

Ἀλλὰ καὶ ἡ ταπεινοφροσύνη; Σκέψου δηλαδὴ πόσο μεγάλη ἦταν. «Ἂν καταπάτησα τὸ δίκαιο τοῦ ὑπηρέτη ἢ τῆς ὑπηρέτριάς μου, ὅταν εἶχαν διαφορὲς μαζί μου, τότε τί θὰ κάνω, ὅταν μὲ ἐπισκεφθεῖ ὁ Κύριος; Δὲν ἔλαβαν καὶ ἐκεῖνοι ὕπαρξη ὅπως καὶ ἐγὼ στὴν κοιλιὰ τῆς μητέρας μου;»[11]. Εἶδες ψυχὴ ποὺ εἶναι

11. Ἰὼβ 31,13–15.

πτομένην μετὰ ἀκριβείας καὶ εἰδυῖαν τί δοῦλος, τί ἐλεύθερος, τοῦτο τὸ ὑπὸ πολλῶν περιφερόμενον; Ταύτην γοῦν ἐκβαλὼν τὴν ἀνωμαλίαν, ἀπὸ τῆς ὁμοτιμίας τῆς κατὰ τὴν γέννησιν τὸν περὶ τῆς φιλοσοφίας εἰσάγει λόγον. Καὶ τὸ δὴ θαυμαστὸν αὐτοῦ, ὅτι ταῦτα ποιῶν, οὐδὲ ταπεινοφρονεῖν ἐνόμιζεν, ἀλλ' ὀφειλὴν πληροῦν. Διὸ καὶ λογισμὸν ἔθηκε τὸν ἅπαντας ἀνθρώπους πείθοντα, μηδὲν πλέον φρονεῖν τῶν οἰκετῶν, κἂν μυριάκις ὦσι δεσπόται. Τὰ γὰρ ὀνόματα ταῦτα, ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, ὀνόματα μέν ἐστι μόνον ψιλά, πραγμάτων ἔρημα· ἡ δὲ δουλεία ἐν ἁμαρτίᾳ, καὶ ἡ ἐλευθερία ἐν δικαιοσύνῃ ὁρίζεται.

Ἆρ' οὖν ταπεινὸς μὲν οὕτως, οὐχὶ δὲ ποθεινὸς καὶ ἐπέραστος; Ναὶ ἐπέραστος· καὶ σκόπει κἀνταῦθα τὴν ὑπερβολήν. Ὥσπερ γὰρ ἐν τοῖς δεινοῖς μετὰ πάσης σφοδρότητος τὰ ἐπενεχθέντα ἤνεγκεν, οὕτω καὶ ἐν τῇ εὐημερίᾳ τὴν ἀρετὴν ἑκάστην μετὰ πολλῆς κατώρθωσε τῆς περιουσίας, οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ πρὸς αὐτὸ τὸ ἄκρον ἀφικόμενος. «Εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου· Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; λίαν μου χρηστοῦ ὄντος». Ἐνταῦθα τὸν ἔρωτα διηγεῖται τῶν οἰκετῶν τὸν μανικόν, ὃν περὶ αὐτὸν εἶχον διακαεῖς αὐτοῦ καταστάντες ἐρασταί, ἀφ' ὧν αὐτὸς εἰς αὐτοὺς ἐπεδείκνυτο. Οὕτω γάρ, φησίν, ἐξεκρέμαντό μου, οὕτως ἀντείχοντο, οὕτως ἦσαν προσηλωμένοι, οὕτως ἐρῶντες, ὡς ἐπιθυμεῖν καὶ αὐτῶν ἐμπλησθῆναι τῶν σαρκῶν, καὶ καταπιεῖν καὶ καταφαγεῖν διὰ τὸ σφόδρα φιλεῖν καὶ ἐκκαίεσθαι.

5. Τί ἄν τις εἴποι τὴν τῶν χρημάτων ὑπεροψίαν; καὶ γὰρ καὶ τοῦτο μεθ' ὑπερβολῆς αὐτῷ κατώρθωτο. Οὐ γὰρ δὴ μόνον τῶν ἀλλοτρίων οὐκ ἐφίετο, ὅπερ πάσχουσιν οἱ πολλοὶ νῦν, ἀλλ' οὐδὲ τῶν οἰκείων, ἀλλὰ καὶ τῶν αὐτῶν ἠλλοτρίωτο μετὰ πάσης ὑπερ-

ταπεινὴ καὶ ποὺ ἐξετάζει μὲ ἀκρίβεια τὴ φύση τῶν ἀνθρώπων καὶ ποὺ γνωρίζει τί εἶναι δοῦλος καὶ τί ἐλεύθερος, αὐτὸ γιὰ τὸ ὁποῖο γίνεται τόσος λόγος ἀπὸ τοὺς πολλούς; Ἀφοῦ λοιπὸν ἀπομάκρυνε αὐτὸ τὸ ἐμπόδιο, ἀπὸ τὴν ἰσοτιμία κατὰ τὴ γέννηση εἰσάγει τὸ λόγο ποὺ ἔχει σχέση μὲ τὴ φιλοσοφία. Καὶ τὸ πιὸ θαυμαστὸ σ' αὐτὸν εἶναι τὸ ὅτι, κάνοντας αὐτὰ δὲ θεωροῦσε πὼς ἔδειχνε ταπεινοφροσύνη, ἀλλὰ πὼς ἐκπλήρωνε κάποια ὀφειλή. Γι' αὐτὸ καὶ διατύπωσε τὴ σκέψη ποὺ πείθει ὅλους τοὺς ἀνθρώπους, νὰ μὴ σκέπτονται τίποτε τὸ ἀνώτερο ἀπὸ τοὺς ὑπηρέτες, ἔστω καὶ ἂν εἶναι ἄπειρες φορὲς κύριοι. Γιατὶ τὰ ὀνόματα αὐτά, ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, εἶναι μόνο ὀνόματα ἁπλά, γυμνὰ ἀπὸ πράγματα, ἐνῶ ἡ δουλεία καθορίζεται στὴν ἁμαρτία καὶ ἡ ἐλευθερία στὴν ἀρετή.

Ἀφοῦ λοιπὸν ἦταν τόσο ταπεινός, δὲν ἦταν καὶ ποθητὸς καὶ ἀξιαγάπητος; Ναί, ἦταν ἀξιαγάπητος. Καὶ πρόσεχε καὶ ἐδῶ τὴν ὑπερβολή. Γιατί, ὅπως στὶς συμφορὲς μὲ κάθε ἀντοχὴ ὑπέμεινε αὐτὲς ποὺ τοῦ ἦρθαν, ἔτσι καὶ στὴν εὐτυχία κατόρθωσε μὲ τὸ παραπάνω κάθε ἀρετή, ὄχι ἁπλὰ καὶ τυχαῖα, ἀλλὰ φθάνοντας στὴν ἴδια τὴν κορυφή. «Μήπως δὲν εἶπαν πολλὲς φορὲς οἱ ὑπηρέτριές μου, ποιός θὰ μᾶς δώσει νὰ χορτάσουμε ἀπὸ τὶς σάρκες του; Γιατὶ ἤμουν καλὸς ἀπέναντί τους»[12]. Ἐδῶ μιλάει γιὰ τὸν παράφορο ἔρωτα τῶν ὑπηρετῶν, ποὺ εἶχαν γι' αὐτόν, ἀφοῦ ἔγιναν σφοδροὶ ἐραστές του, ἀπ' ὅσα ὁ ἴδιος ἔδειχνε σ' αὐτούς. Τόσο λοιπόν, λέγει, ἦταν ἀφοσιωμένοι σὲ μένα, τέτοια ἐξάρτηση εἶχαν, ἔτσι ἦταν προσηλωμένοι, τόσο μὲ ἀγαποῦσαν, ὥστε ἐπιθυμοῦσαν νὰ χορτάσουν καὶ ἀπ' αὐτὲς τὶς σάρκες μου, καὶ νὰ τὶς καταπιοῦν καὶ νὰ τὶς καταφάγουν ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀγάπης καὶ ἐπιθυμίας τους γιὰ μένα.

5. Ποιός μπορεῖ νὰ περιγράψει τὴν περιφρόνηση τῶν χρημάτων; Καθόσον καὶ αὐτὸ τὸ κατόρθωσε σὲ ὑπερβολικὸ βαθμό. Γιατὶ ὄχι μόνο δὲν ἐπιθυμοῦσε τὰ ξένα, πράγμα ποὺ παθαίνουν οἱ πολλοὶ τώρα, ἀλλὰ οὔτε τὰ δικά του, ποὺ καὶ αὐτὰ τὰ ἔδινε

12. Ἰὼβ 31,31.

*βολῆς· διὸ καὶ ἔλεγεν· «εἰ δὲ ηὐφράνθην πολλοῦ πλούτου γενομένου μοι, οὐδὲ λίθῳ πολυτελεῖ ἐπεποίθησα». Διὰ δὴ τοῦτο καὶ ἀφαιρεθέντων, μετὰ πολλῆς ἔφερε τῆς εὐκολίας τὴν ἀφαίρεσιν, καὶ παρόντων δαψιλῆ τὴν ἐλεημοσύνην εἰργάζετο, πᾶσι τὴν δεξιὰν ἁπλώσας, καὶ τὴν οἰκίαν ἀνοίξας. Οὐδὲ γάρ, ὃ πάσχουσιν οἱ πολλοὶ περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες τοὺς λαμβάνονας, ἐποίει οὗτος, ἀλλ', «ἡ θύρα μου», φησί, «παντὶ ἐθόντι ἀνέῳκτο. Ἀδύνατοι γάρ, ἥν ποτε εἶχον χρείαν, οὐκ ἀπέτυχον· ξένος δὲ οὐκ ἐξῆλθε τὴν θύραν μου κόλπῳ κενῷ». Εἶδες τὸ δαψιλές; εἶδες τὸ φιλάνθρωπον, τὸ χρηστόν, τὸ ταπεινόν;*

*Βούλει καὶ τὴν σωφροσύνην μαθεῖν; «Διαθήκην», φησίν, «ἐθέμην τοῖς ὀφθαλμοῖς μου τοῦ μὴ κατανοῆσαι εἰς παρθένον ἀλλοτρίαν». Ἃ μετὰ ταῦτα ἐλθὼν ὁ Χριστὸς ἐπέταξε, ταῦτα ἐκεῖνος διὰ τῶν πραγμάτων κατώρθου. Εἶδες αὐτὸν πλουτοῦντα, εἶδες πενόμενον, εἶδες ὑγιαίνοντα, εἶδες νοσοῦντα; εἶδες τῶν πραγμάτων αὐτῷ κατὰ ῥοῦν φερομένων; εἶδες αὐτὸν πάντων ἀφαιρεθέντα; εἶδες πρὸς παῖδας, πρὸς οἰκέτας, πρὸς ἀδικουμένους, πρὸς ὀρφανοὺς οἷον ἑαυτὸν παρεσκεύασεν; «Εἰ δὲ καὶ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν», φησί· τουτέστιν, οὐδὲ τὰς συνουσίας ταύτας ἐδίωκον τὰς τῶν γελωτοποιῶν. Καὶ τοῦτο δὲ σωφροσύνης οὐ μικρὸν σημεῖον. Πᾶσαν γὰρ ἀρετὴν ἐπῆλθε, καὶ τῶν οὐδὲν ἐχόντων ἀκριβέστερον διέκειτο τοσαῦτα περιβεβλημένος· οὐ γὰρ οὕτως ὁ μηδὲ ἔχων ἀπήλλακτο χρημάτων, ὡς ἐκεῖνος ὁ τοσαῦτα ἔχων. Πανταχοῦ γὰρ ἡ γνώμη ἐστὶν ἡ στεφανουμένη. Καὶ πρὸς αὐτὴν τῆς σωφροσύνης τὴν κορυφὴν ἀνέβη, καὶ πᾶσαν ἀρετὴν μετὰ τῆς προσηκούσης ἀκριβείας κατώρθου.*

---

13. Ἰὼβ 31,25.24
14. Ἰὼβ 31,32 · 34

στοὺς ἄλλους μὲ κάθε γενναιοδωρία. Γι' αὐτὸ καὶ ἔλεγε· «δὲ δοκίμασα ἀγαλλίαση γιὰ τὸ μεγάλο πλοῦτο μου, καὶ δὲ στήριξα τὴν ἐλπίδα μου στοὺς πολύτιμους λίθους»[13]. Γι' αὐτὸ ἀκριβῶς καὶ ὅταν τὰ στερήθηκε μὲ μεγάλη εὐκολία ὑπέφερε τὴ στέρηση, καὶ ὅταν τὰ εἶχε μὲ γενναιοδωρία ἔκαμνε τὴν ἐλεημοσύνη, ἀφοῦ σὲ ὅλους ἅπλωνε τὸ χέρι του καὶ ἄνοιγε τὸ σπίτι του. Οὔτε βέβαια ἔκανε αὐτὸς ἐκεῖνο ποὺ παθαίνουν οἱ πολλοί, ποὺ περιεργάζονται καὶ πολυεξετάζουν ἐκείνους ποὺ παίρνουν ἐλεημοσύνη, ἀλλὰ λέγει· «ἡ πόρτα τοῦ σπιτιοῦ μου ἦταν ἀνοιχτὴ στὸν καθένα ποὺ ἐρχόταν· οἱ φτωχοὶ ἱκανοποιοῦσαν ὅποια ἀνάγκη εἶχαν, καὶ ξένος δὲ βγῆκε ἀπὸ τὴν πόρτα μου μὲ ἀδειανὰ τὰ χέρια»[14]. Εἶδες τὴ γενναιοδωρία του; εἶδες τὴ φιλανθρωπία του, τὴν καλωσύνη, τὴν ταπεινοφροσύνη του;

Θέλεις νὰ μάθεις καὶ τὴν ἐγκράτειά του; «Συμβόλαιο», λέγει, «ἔκανα μὲ τὰ μάτια μου γιὰ νὰ μὴν παρατηρήσουν μὲ πονηρὴ ἐπιθυμία ξένη νεάνιδα»[15]. Ἐκεῖνα ποὺ διέταξε ὁ Χριστὸς ὅταν ἦρθε ἀργότερα, αὐτὰ τὰ κατόρθωνε ἐκεῖνος μὲ τὰ ἔργα. Τὸν εἶδες πλούσιο, τὸν εἶδες φτωχό, τὸν εἶδες ὑγιή, τὸν εἶδες ἄρρωστο; Τὸν εἶδες ὅταν τὰ πράγματα τοῦ πήγαιναν καλά; τὸν εἶδες ὅταν τὰ στερήθηκε ὅλα; Εἶδες πῶς συμπεριφέρθηκε στα παιδιά του, στοὺς ὑπηρέτες, στοὺς ἀδικημένους, στοὺς ὀρφανούς; «Ποτὲ δὲ βάδισα μὲ γελωτοποιούς», λέγει· δηλαδή, δὲ ἐπιδίωκα τὶς συναναστροφὲς τῶν γελωτοποιῶν. Καὶ αὐτὸ δὲ εἶναι μικρὴ ἀπόδειξη τῆς ἐγκράτειάς του. Κατόρθωσε λοιπὸ κάθε ἀρετὴ καὶ συμπεριφερόταν, παρ' ὅλο ποὺ εἶχε τόσα πολλά, πιὸ προσεκτικὰ ἀπ' αὐτοὺς ποὺ δὲν εἶχαν τίποτε. Γιατὶ ἐκεῖνος ποὺ δὲν εἶχε τίποτε δὲν ἦταν τόσο ἀπαλλαγμένος ἀπὸ τὰ χρήματα, ὅσο αὐτὸς ποὺ εἶχε τόσα πολλά. Γιατὶ παντοῦ ἡ διάθεση εἶναι ἐκείνη ποὺ στεφανώνεται. Καὶ στὴν ἴδια τὴν κορυφὴ τῆς σωφροσύνης ἀνέβηκε καὶ κάθε ἀρετὴ τὴν κατόρθωνε μὲ τὴν ἀκρίβεια ποὺ ταίριαζε.

---

15. Ἰὼβ 31,1.

*Ταῦτα ζήλου, ἀγαπητέ, ταῦτα μίμησαι, καὶ τὴν εἰκόνα ταύτην τὴν ὑπογραφεῖσαν ἀναλαβών, ἔμπηξον τῷ συνειδότι τῷ σῷ· κἂν ἐν ἀθυμίᾳ ᾖς, πρὸς αὐτὸν κατάφευγε, κἂν ἐν πλούτῳ, τὸ φάρμακον ἐντεῦθεν λάμβανε, ὥστε μήτε πτωχείᾳ βαπτισθῆναι, μήτε πλούτῳ φυσηθῆναι· κἂν παῖδας ἀποβάλῃς, ἔχεις ἐντεῦθεν τὴν παράκλησιν· τὴν γὰρ ὑπερβολήν ἐνταῦθα εὑρήσεις καὶ τῶν συμφορῶν καὶ τῆς καρτερίας· κἂν νόσῳ περιπέσῃς, ἐννόησον τὰς πηγὰς τῶν σκωλήκων, ἃς ἐπέζεσε ἡ ἐκείνου σάρξ, καὶ οἴσεις ἅπαντα πράως· κἂν φίλος ἐπιβουλεύσῃ, πάλιν τὸν ἅγιον εἰς μέσον ἄγε, καὶ περιέσῃ τοῦ πάθους· κἂν οἱ τυχόντες ἀποχρήσωνται, ἐννόησον ἅπερ ἔπασχε παρὰ τῶν οἰκετῶν, καὶ πολλὴν δέξῃ τὴν ἰατρείαν· κἂν πονηρά τις ὑπόληψίς σε περιλάβῃ, λόγισαι οἷα περὶ τούτου ἔλεγον, ὅτι οὐδέπω τῶν ἡμαρτημένων αὐτῷ ἔδωκεν ἀξίαν δίκην, καὶ οἷα ὠνείδιζον, καὶ περιέσῃ καὶ τούτου τοῦ πάθους.*

*Οὐ γὰρ ἔστιν, ὅπερ ἀρχόμενος εἶπον, συμφορὰ ἐν ἀνθρώποις, ἣν οὐχ ὑπέμεινεν ὁ παντὸς ἀδάμαντος οὗτος στερρότερος, λιμὸν καὶ πενίαν καὶ νόσον καὶ ἀποβολὴν παίδων καὶ ζημίαν τοσούτων χρημάτων ἀθρόον ὑπενεγκών· καὶ μετ᾽ ἐκεῖνο, ὅτι παρὰ γυναικὸς ἐπιβουλευθείς, παρὰ φίλων ἐπηρεασθείς, παρὰ οἰκετῶν πολεμηθείς, διὰ πάντων ἀπεδείκνυτο πέτρας ἁπάσης στερρότερος, καὶ ταῦτα πρὸ τοῦ νόμου καὶ τῆς χάριτος. Καὶ γὰρ οὐδὲ τὴν τυχοῦσαν ἕξομεν ἀπολογίαν, ὅταν ἡμεῖς οἱ μετὰ νόμων καὶ χάριν τοσαύτης ἀπολάυσαντες δωρεᾶς, ἔλαττον φέρωμεν τούτου τοῦ ἐν ἀρχῇ καὶ προοιμίοις τοῦ βίου τοῦ ἀνθρωπίνου τοσαύτην ἐπιδειξαμένου φιλοσοφίαν.*


*Ἵν᾽ οὖν καὶ παράκλησιν ἔχωμεν τῶν λυπηρῶν, καὶ διδασκα-*

Αὐτὰ νὰ ζηλεύεις, ἀγαπητέ, αὐτὰ νὰ μιμηθεῖς, καί, ἀφοῦ πάρεις αὐτὴ τὴν εἰκόνα ποὺ περιγράψαμε, κάρφωσέ την μέσα στὴ συνείδησή σου. Καὶ ἂν εἶσαι στενοχωρημένος, νὰ καταφεύγεις σ' αὐτόν· καὶ ἂν εἶσαι πλούσιος, ἀπὸ ἐδῶ νὰ παίρνεις τὸ φάρμακο, ὥστε οὔτε ἀπὸ τὴ φτώχεια νὰ καταποντισθεῖς, οὔτε ἀπὸ τὸν πλοῦτο νὰ ὑπερηφανευθεῖς· καὶ ἂν χάσεις τὰ παιδιά σου, ἔχεις ἀπὸ ἐδῶ τὴν παρηγοριά, γιατὶ ἐδῶ θὰ βρεῖς τὴν ὑπερβολὴ καὶ τῶν συμφορῶν καὶ τῆς καρτερίας. Καὶ ἂν πέσεις σὲ ἀρρώστια, σκέψου τὶς πηγές τῶν σκουληκιῶν, ποὺ γέμισε τὸ δικό του σῶμα, καὶ θὰ τὰ ὑποφέρεις ὅλα μὲ ἠρεμία. Καὶ ἂν φίλος θέλει νὰ σὲ βλάψει, θυμήσου πάλι τὸν ἅγιο αὐτόν, καὶ θὰ νικήσεις τὸ πάθος σου. Καὶ ἂν οἱ ὁποιοιδήποτε σὲ μεταχειρισθοῦν γιὰ ὠφέλειά τους, σκέψου αὐτὰ ποὺ πάθαινε ἀπὸ τοὺς ὑπηρέτες του, καὶ θὰ δεχθεῖς μεγάλη θεραπεία. Καὶ ἂν σὲ περιτυλίξει κάποια συκοφαντία, νὰ λογαριάσεις τί ἔλεγαν γι' αὐτόν, ὅτι δηλαδὴ δὲν τιμωρήθηκε ἀκόμη ὅπως ἄξιζε στὰ παραπτώματά του, καὶ τί τὸν κατηγοροῦσαν, καὶ τότε θὰ νικήσεις καὶ αὐτὸ τὸ πάθος.


Γιατὶ δὲν ὑπάρχει συμφορά στοὺς ἀνθρώπους, πράγμα ποὺ εἶπα ὅταν ἄρχιζα, ποὺ δὲν τὴν ὑπέφερε αὐτὸς ὁ πιὸ σκληρὸς ἀπὸ κάθε διαμάντι, ἀφοῦ ὑπέφερε μαζὶ πείνα καὶ φτώχεια καὶ ἀρρώστια καὶ θάνατο παιδιῶν καὶ ζημία τόσο πολλῶν χρημάτων. Καὶ ὕστερα ἀπ' αὐτό, ἂν καὶ τὸν ἐπιβουλεύθηκε ἡ γυναίκα του, ἂν καὶ τὸν ἔβρισαν οἱ φίλοι του, ἂν καὶ τὸν πολέμησαν οἱ ὑπηρέτες του, μὲ ὅλα ἀποδεικνυόταν πιὸ σταθερὸς ἀπὸ κάθε πέτρα, καὶ αὐτὰ συνέβαιναν πρὶν ἀπὸ τὸ νόμο καὶ τὴ χάρη. Πραγματικὰ δὲ θὰ ἔχουμε τὴν παραμικρὴ δικαιολογία, ὅταν ἐμεῖς, ποὺ ζήσαμε μετὰ τὸ νόμο καὶ τὴ χάρη καὶ ποὺ ἀπολαύσαμε τόσο μεγάλη δωρεά, δείχνουμε πιὸ μικρὴ ὑπομονὴ ἀπ' αὐτὸν ποὺ ἔδειξε τόσο μεγάλη πίστη στὴν ἀρχὴ καὶ τὸ ξεκίνημα τοῦ ἀνθρώπινου βίου.


Γιὰ νὰ ἔχουμε λοιπὸν παρηγοριὰ στὰ λυπηρὰ καὶ διδα-

*λίαν φιλοσοφίας ἀρίστης, ταῦτα ἐγγράψαντες οὕτως ἀναχωρῶμεν, καὶ ζηλῶμεν τὸν ἀθλητήν, καὶ μιμώμεθα αὐτοῦ τὰ παλαίσματα· ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*



σκαλία ἄριστης εὐσεβοῦς ζωῆς, ἂς φύγουμε γιὰ τὰ σπίτια μας ἀφοῦ πρῶτα τὰ γράψουμε αὐτὰ μέσα μας, καὶ ἂς γινόμαστε ζηλωτὲς τοῦ ἀθλητῆ, καὶ ἂς μιμούμαστε τοὺς ἀγῶνες του, γιὰ νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.





# ΟΜΙΛΙΑ

## ΕΚΦΩΝΗΘΕΙΣΑ
## ΣΤΟ ΝΑΟ ΤΗΣ ΑΓΙΑΣ ΕΙΡΗΝΗΣ

Τονίζοντας
ζῆλο τῶν παρόντων καὶ τὴν ἀδιαφορία τῶν ἀπόντων,
τὴν ἀξία τῆς ψαλμωδίας
καὶ ὅτι δὲν εἶναι καθόλου ἐμπόδιο στὶς γυναῖκες
ἡ φύση τους γιὰ τὸ δρόμο τῆς ἀρετῆς



# *ΟΜΙΛΙΑ*

## *ΛΕΧΘΕΙΣΑ ΕΝ ΤΩ ΝΑΩ ΤΗΣ ΑΓΙΑΣ ΕΙΡΗΝΗΣ*

*ὑπέρ τε τῆς σπουδῆς τῶν παρόντων καὶ ῥᾳθυμίας τῶν ἀπολειφθέντων, περὶ τοῦ ψάλλειν, καὶ περὶ τοῦ μηδὲν εἶναι κώλυμα γυναιξὶ τὴν φύσιν πρὸς τοὺς τῆς ἀρετῆς δρόμους.*

*1.* *Ὡς ἡδίστη ἡ τῶν Γραφῶν ἀνάγνωσις καὶ λειμῶνος παντὸς ἡδίων καὶ παραδείσου τερπνοτέρα καὶ μάλιστα ὅταν γνῶσις τῇ ἀναγνώσει πρόσκειται. Λειμὼν μὲν γὰρ καὶ ἀνθῶν κάλλη καὶ δένδρων κόμαι καὶ ῥόδον καὶ κιττὸς καὶ μυρίνη τέρπει τὴν ὄψιν καὶ ὀλίγων παρελθουσῶν ἡμερῶν μαραίνεται, Γραφῶν δὲ γνῶσις τειχίζει τὴν διάνοιαν, καθαίρει τὸ συνειδός, ἀνασπᾷ τὰ ἀνελεύθερα πάθη, φυτεύει τὴν ἀρετήν, μετάρσιον ποιεῖ τὸν λογισμόν, οὐκ ἀφίησι ταῖς ἀδοκήτοις τῶν πραγμάτων βαπτίζεσθαι περιστάσεσιν, ὑψηλοτέρους καθίστησι τῶν τοῦ διαβόλου βελῶν, πρὸς αὐτὸν μετοικίζει τὸν οὐρανόν, ἀπολύει τὴν ψυχὴν τῶν συνδέσμων τοῦ σώματος, κοῦφα ἐργάζεται τὰ πτερά, πᾶν ὅπερ ἂν εἴπῃ τις ἀγαθόν, εἰς τὴν τῶν ἀκροατῶν εἰσοικίζει διάνοιαν.*

*Διὸ καὶ τοὺς ἀπολιμπανομένους οὐ παύομαι ταλανίζων, καὶ τοὺς παραγενομένους μακαρίζων, ὅτι δὴ θησαυρὸν συλλέγετε ἀνά-*



# ΟΜΙΛΙΑ

## ΠΟΥ ΕΚΦΩΝΗΘΗΚΕ ΣΤΟ ΝΑΟ ΤΗΣ ΑΓΙΑΣ ΕΙΡΗΝΗΣ

για τὸ ζῆλο τῶν παρόντων καὶ τὴν ἀδιαφορία τῶν απόντων, καθὼς ἐπίσης καὶ γιὰ τὴν ψαλμωδία καὶ γιὰ τὸ ὅτι δὲν εἶναι καθόλου ἐμπόδιο στὶς γυναῖκες ἡ φύση τους γιὰ τὸ δρόμο τῆς ἀρετῆς.

1. Εἶναι πάρα πολὺ εὐχάριστη ἡ ἀνάγνωση τῶν Γραφῶν, καὶ πιὸ εὐχάριστη ἀπὸ κάθε λιβάδι καὶ πιὸ τερπνὴ ἀπὸ κῆπο, καὶ μάλιστα ὅταν μὲ τὴν ἀνάγνωση συνδέεται καὶ ἡ γνώση. Γιατὶ τὸ λιβάδι καὶ οἱ ὀμορφιὲς τῶν λουλουδιῶν καὶ τὰ φυλλώματα τῶν δένδρων καὶ τὸ τριαντάφυλλο καὶ ὁ κισσὸς καὶ ἡ μυρτιὰ τέρπουν τὴν ὅραση, ἀλλ' ὅταν περάσουν λίγες ἡμέρες μαραίνονται. Ἡ γνώση ὅμως τῶν Γραφῶν περιτειχίζει τὸ νοῦ, καθαρίζει τὴ συνείδηση, ξερριζώνει τὰ δουλικὰ πάθη, φυτεύει τὴν ἀρετή, ἐξυψώνει τὴ σκέψη, δὲν ἀφήνει νὰ βυθιζόμαστε στὶς ἀπροσδόκητες περιστάσεις τῶν πραγμάτων, μᾶς καθιστᾶ ἀπρόσβλητους ἀπὸ τὰ βέλη τοῦ διαβόλου, μᾶς μεταφέρει ἀπὸ τὴ γῆ στὸν οὐρανό, ἐλευθερώνει τὴν ψυχὴ ἀπὸ τὰ δεσμὰ τοῦ σώματος, κάνει ἐλαφρὰ τὰ φτερά μας, καὶ κάθε ἀγαθὸ ποὺ μπορεῖ νὰ ἀναφέρει κανεὶς τὸ βάζει νὰ κατοικήσει μέσα στὴν ψυχὴ τῶν ἀκροατῶν.

Γι' αὐτὸ δὲ σταματῶ νὰ ταλανίζω τοὺς ἀπόντες καὶ νὰ μακαρίζω τοὺς παρόντες, γιατὶ μαζεύετε θησαυρὸ ἀσύλητο καὶ

*λωτον καὶ πλοῦτον ἀδαπάνητον καὶ περιουσίαν φθόνον οὐκ ἔχουσαν, καὶ πολλῆς ἐμπλησθέντες τῆς εὐφροσύνης οἴκαδε ἀναχωρεῖτε. Οὐδὲν γὰρ οὕτως ἡδονὴν ποιεῖν δύναιτ' ἄν, ὡς συνειδὸς καθαρόν· γίνεται δὲ καθαρὸν συνειδός, κἂν μυρίοις ἁμαρτήμασιν ᾖ βεβαρημένον, ἀκροάσεως συνεχοῦς ἀπολαῦον. Οὐδὲ γὰρ τοῖς προτέροις προστίθησι πλημμελήμασιν, ἀλλὰ καὶ τὰ ὄντα δαπανᾷ, καὶ τὴν ψυχὴν ὀκνηροτέραν καθίστησι πρὸς τὸ τοῖς αὐτοῖς πάλιν ἐπιχειρεῖν πράγμασι.*

*Διὰ δὴ τοῦτο παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ταῦτα συνεχῶς ἐπᾴδειν τοῖς ἀπολιμπανομένοις, καὶ ταχέως αὐτοὺς πρὸς τὴν κοινὴν ἐπαναγαγεῖν μητέρα, καὶ κοινωνοὺς τῶν κερδῶν ποιεῖν τῶν πνευματικῶν· οὐ γὰρ μείωσίν τινα, ἀλλὰ πλεονασμὸν ἡ κοινωνία αὕτη κατασκευάζει. Ἀλλ', ὢ τῆς τῶν χρημάτων τυραννίδος, ἢ τοὺς πλείους ἀποβουκολεῖ τῶν ἀδελφῶν τῶν ἡμετέρων· οὐδὲν γάρ ἐστιν αὐτοὺς τὸ ἐντεῦθεν ἀπάγον, ἢ τὸ χαλεπὸν νόσημα ἐκεῖνο καὶ ἡ μηδέποτε σβεννυμένη κάμινος· αὕτη ἡ δέσποινα καὶ βαρβάρου πάσης βαρβαρικωτέρα, καὶ θηρίου χαλεπωτέρα, καὶ δαιμόνων ἀγριωτέρα, τοὺς αἰχμαλώτους λαμβάνουσα τοὺς ἑαυτῆς, περιφέρει νῦν κατὰ τὴν ἀγοράν, χαλεπὰ ἐπιτάττουσα ἐπιτάγματα, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι συγχωροῦσα τῶν ὀλεθρίων πόνων.*

*Ἀλλὰ τί ποιήσουσιν, ὅταν ἡμέρα παραγένηται ἡ φοβερά, ἡ ψῆφος ἡ ἀδέκαστος καὶ ὁ κριτὴς ὁ ἀπαραλόγιστος; ὅταν τὰ παραπετάσματα τῶν οὐρανῶν συνέλκηται, καὶ ὁ δῆμος τῶν ἀγγέλων μετὰ τοῦ δικάζοντος καταβαίνῃ; ὅταν πάντα γυμνὰ καὶ τετραχηλισμένα φαίνηται; οὔτε γὰρ ῥητόρων δεινότης τότε, οὐ χρημάτων περιουσία, οὐκ ἄλλο οὐδὲν τὸ δίκαιον διαφθεῖραι δυνήσεται. Ὅτε γὰρ ἀδέκαστος καὶ τὰ πάντα εἰδὼς σαφῶς, αὐτά τε τὰ ἁμαρτήματα πρὸ τῶν ὀφθαλμῶν ἵσταται, ὥσπερ ἐν εἰκόνι τινὶ ὑπογεγραμμένα· τότε οὐ βασιλεύς, οὐκ ἰδιώτης φαίνεται, οὐ πτωχός, οὐ πλούσιος, οὐ*

πλοῦτο ἀνεξάντλητο καὶ περιουσία ποὺ δὲν προκαλεῖ φθόνο, καί, ἀφοῦ γεμίσετε μὲ πολλὴ χαρά, ἐπιστρέφετε στὰ σπίτια σας. Γιατὶ τίποτε δὲν μπορεῖ νὰ προκαλέσει τόση εὐχαρίστηση, ὅσο ἡ καθαρὴ συνείδηση. Καὶ γίνεται καθαρὴ ἡ συνείδηση, καὶ ἂν ἀκόμη τὴ βαραίνουν ἄπειρα ἁμαρτήματα, ὅταν ἀδιάκοπα ἀκούει μὲ προσοχὴ τὸ λόγο τοῦ Θεοῦ. Γιατὶ δὲν προσθέτει τίποτε στὰ προηγούμενα ἁμαρτήματα, ἀλλὰ καὶ ἐκεῖνα ποὺ ὑπάρχουν τὰ ἐξαφανίζει, καὶ κάνει τὴν ψυχὴ πιὸ ὀκνηρὴ στὸ νὰ ἐπιχειρεῖ πάλι τὰ ἴδια πράγματα.

Γι' αὐτὸ ἀκριβῶς παρακαλῶ τὴν ἀγάπη σας νὰ τὰ ἐπαναλαμβάνετε αὐτὰ συνέχεια στοὺς ἀπόντες καὶ γρήγορα νὰ τοὺς ξαναφέρετε στὴν κοινὴ μητέρα καὶ νὰ τοὺς κάνετε συμμέτοχους στὰ πνευματικὰ κέρδη. Γιατὶ ἡ συμμετοχὴ αὐτὴ δὲν προκαλεῖ κάποια μείωση ἀλλὰ περίσσευμα. Ἀλλὰ πόσο τυραννικὴ εἶναι ἡ ἐξουσία τῶν χρημάτων, ποὺ ξεπλανεύει τοὺς περισσότερους ἀπὸ τοὺς ἀδελφούς μας, καθόσον δὲν ὑπάρχει τίποτε ποὺ νὰ τοὺς ἀπομακρύνει ἀπὸ ἐδῶ, παρὰ μόνο ἡ φοβερὴ αὐτὴ ἀρρώστια καὶ αὐτὸ τὸ καμίνι ποὺ δὲ σβήνει ποτέ. Ἡ βασίλισσα αὐτή, ποὺ εἶναι πιὸ βάναυση ἀπὸ κάθε βάρβαρη καὶ πιὸ φοβερὴ ἀπὸ θηρίο καὶ πιὸ ἄγρια ἀπὸ τοὺς δαίμονες, παίρνοντας τοὺς αἰχμαλώτους της τοὺς περιφέρει τώρα στὴν ἀγορά, προστάζοντας φοβερὰ πράγματα καὶ μὴν ἐπιτρέποντας οὔτε γιὰ λίγο ν' ἀναπνεύσουν ἀπὸ τοὺς ὀλέθριους κόπους.

Ἀλλὰ τί θὰ κάμουν, ὅταν θὰ ἔρθει ἡ φοβερὴ ἡμέρα, ἡ κρίση ἡ ἀδέκαστη καὶ ὁ κριτὴς ὁ ἀλάθητος; ὅταν τὰ παταπετάσματα τῶν οὐρανῶν θ' ἀνοίγουν καὶ τὸ πλῆθος τῶν ἀγγέλων θὰ κατεβαίνει μαζὶ μὲ τὸν κριτή; ὅταν ὅλα θὰ φαίνονται γυμνὰ καὶ καθαρά; Γιατὶ τότε οὔτε ἡ ἱκανότητα τῶν ρητόρων, οὔτε ἡ ἀφθονία τῶν χρημάτων, οὔτε τίποτε ἄλλο θὰ μπορέσει νὰ διαφθείρει τὸ δίκαιο. Ὅταν λοιπὸν ἔρθει ὁ ἀδέκαστος κριτὴς καὶ ἐκεῖνος ποὺ τὰ γνωρίζει ὅλα καλά, τὰ ἴδια τὰ ἁμαρτήματα στέκονται μπροστὰ στὰ μάτια του, σὰν ζωγραφισμένα σὲ κάποια εἰκόνα. Τότε οὔτε βασιλιάς, οὔτε ἁπλὸς πολίτης ξεχωρίζει,

*σοφός, οὐκ ἀμαθής, ἀλλὰ πάντα ταῦτα περιαιρεῖται τὰ προσωπεῖα, καὶ ἀπὸ τῆς τῶν πεπραγμένων ὄψεως ἕκαστος δείκνυται· οὐκ ἔστι διάδημα ἰδεῖν περικείμενον, οὐδὲ ἀλουργίδα περιβεβλημένον· οὐκ ἔστιν ἐπ' ὀχημάτων φερόμενον καὶ μυρίους ἔχοντα ῥαβδούχους τοὺς ἐπὶ τῆς ἀγορᾶς σοβοῦντας· ἀλλὰ πάντα ταῦτα ἐκποδών, καὶ γυμνὸς ἕκαστος εἰσάγεται τὴν ἀπὸ τῶν πράξεων, ἢ προδοσίας, ἢ σωτηρίας ἔχων ὑπόθεσιν· ὡς γὰρ ἂν ἕκαστα τούτων τύχῃ πεπραγμένα, οὕτως ἡ ψῆφος φέρεται.*

*Πολλὰ ὑμῖν ἀγαθὰ γένοιτο, ὅτι μετὰ τοσαύτης ἀκούετε τῶν ῥημάτων τούτων τῆς προθυμίας· ὁ γὰρ ἑκάστου στεναγμός, καὶ τὸ τύπτειν τὸ μέτωπον, τὸν καρπόν μοι τῶν σπερμάτων τούτων δείκνυσι. Διὰ ταῦτα ταλανίζω τοὺς ἀπολειφθέντας, ὅτι δυνάμενοι τοσαύτης ἀπολαύειν ἐπιμελείας, ἕλκεσιν ἐμφύρονται καὶ τραύμασι καθημερινοῖς, καὶ οὐδὲ ὅτι νοσοῦσιν ἴσασιν· ὅθεν αὐτοὺς καὶ ὑγιᾶναι δύσκολον. Τίς γὰρ αὐτοῖς διαλέξεται περὶ τούτων; αἱ γυναῖκες αἱ συνοικοῦσαι; ἀλλὰ μία φροντὶς ἐκείναις ὑπὲρ χρυσίων καὶ ἱματίων καὶ τῆς λοιπῆς πολυτελείας καὶ τῆς κατὰ τὴν οἰκίαν προνοίας ἐνοχλεῖν τοὺς συνοικοῦντας. Ἀλλ' οἱ οἰκέται; πῶς, οἱ μήτε παρρησίαν τινὰ κεκτημένοι, καὶ μίαν ἔχοντες καὶ αὐτοὶ σπουδὴν τὴν διακονίαν αὐτῶν ἀποπληροῦν; Ἀλλ' οἱ δικασταί; ἀλλ' οὐδενὸς ἑτέρου λόγος ἐκείνοις, ἢ τῆς τῶν πολιτικῶν πραγμάτων ἐπιμελείας. Ἀλλ' οἱ βασιλεῖς καὶ οἱ τὰ διαδήματα ἔχοντες; ἀλλὰ καὶ ἐκείνοις περὶ ἀρχῆς καὶ δυναστείας καὶ χρημάτων ἅπας ὁ πόνος, ἅπασα ἡ σπουδή. Ἀλλ' αὐτοὶ ἑαυτοῖς; πῶς οἱ μηδὲ ἀναπνεῖν ἔχοντες ἀπὸ τοῦ τῶν πραγμάτων ὄχλου, ἀλλὰ καὶ νύκτα καὶ ἡμέραν εἰς ταῦτα δαπανώμενοι;*

οὔτε φτωχός, οὔτε πλούσιος, οὔτε σοφός, οὔτε ἀμόρφωτος, ἀλλὰ ὅλα αὐτὰ τὰ προσωπεῖα πέφτουν καὶ ὁ καθένας παρουσιάζεται ἀπὸ τὴν ὄψη τῶν πράξεών του. Δὲν εἶναι δυνατὸ νὰ δοῦμε κάποιον νὰ ἔχει στέμμα, οὔτε νὰ φοράει βασιλικὴ πορφύρα· οὔτε μποροῦμε νὰ δοῦμε κάποιον νὰ φέρεται πάνω σὲ ὀχήματα καὶ νὰ ἔχει ἄπειρους ραβδούχους ποὺ περπατοῦν ὑπερήφανα στὴν ἀγορά. Ἀλλ' ὅλα αὐτὰ ἐξαφανίζονται καὶ ὁ καθένας παρουσιάζεται γυμνὸς ἔχοντας ἀπὸ τὶς πράξεις του τὴν προϋπόθεση ἢ τῆς καταδίκης ἢ τῆς σωτηρίας του. Γιατί, ὅποιες συμβεῖ νὰ εἶναι οἱ πράξεις του, ἔτσι θὰ βγεῖ καὶ ἡ ἀπόφαση.

Εὔχομαι νὰ σᾶς συμβοῦν πολλὰ ἀγαθά, ἐπειδὴ μὲ τόσο μεγάλη προθυμία ἀκοῦτε τὰ λόγια αὐτά· γιατὶ ὁ στεναγμὸς τοῦ καθενὸς καὶ τὸ κτύπημα στὸ μέτωπο μοῦ δείχνει τὸν καρπὸ αὐτῶν τῶν σπερμάτων. Γι' αὐτὰ ταλανίζω τοὺς ἀπόντες, γιατί, ἐνῶ μποροῦν ν' ἀπολαμβάνουν τόσο μεγάλη φροντίδα, ἀνακατεύονται μέσα στὶς θλίψεις καὶ τὶς καθημερινὲς πληγὲς καὶ δὲν ξέρουν ὅτι εἶναι ἄρρωστοι· γι' αὐτὸ καὶ εἶναι δύσκολο νὰ τοὺς θεταπεύσει κανείς. Ποιός θὰ συζητήσει μαζί τους γι' αὐτά; οἱ γυναῖκες ποὺ ζοῦν μαζί τους; Ἀλλ' αὐτὲς ἔχουν μιὰ φροντίδα, νὰ ἐνοχλοῦν αὐτοὺς μὲ τοὺς ὁποίους συζοῦν γιὰ χρυσὰ κοσμήματα καὶ ἐνδύματα καὶ γιὰ ὅλα τὰ πολυτελὴ πράγματα καὶ γιὰ τὴ φροντίδα τοῦ σπιτιοῦ. Μήπως οἱ ὑπηρέτες; μὰ πῶς μποροῦν αὐτοὶ ποὺ δὲν ἀπέκτησαν καθόλου θάρρος καὶ ποὺ ἔχουν καὶ οἱ ἴδιοι μιὰ φροντίδα, νὰ ἐκτελοῦν τὴν ὑπηρεσία τους; Μήπως οἱ δικαστές; Ἀλλὰ σ' αὐτοὺς δὲν ὑπάρχει σκέψη γιὰ τίποτε ἄλλο παρὰ μόνο γιὰ τὴ φροντίδα τῶν ὑποθέσεων τῆς πολιτείας. Μήπως οἱ βασιλεῖς καὶ αὐτοὶ ποὺ φοροῦν τὰ στέμματα; Ἀλλὰ καὶ σ' αὐτοὺς ὅλος ὁ κόπος καὶ ὅλο τὸ ἐνδιαφέρον εἶναι γιὰ τὴν ἐξουσία, τὴ βασιλεία καὶ τὰ χρήματα. Μήπως οἱ ἴδιοι μὲ τὸν ἑαυτό τους; Μὰ πῶς θὰ τὸ κατορθώσουν αὐτοὶ ποὺ δὲν μποροῦν ν' ἀναπνεύσουν ἀπὸ τὶς πολλὲς ἀσχολίες τους, ἀλλὰ νύχτα καὶ ἡμέρα φθείρονται σ' αὐτές;

Τίνος οὖν οὐκ ἂν εἶεν ἐλεεινότεροι οἱ μυρία μὲν δεχόμενοι τραύματα, ἐνταῦθα δὲ μὴ ἀπαντῶντες, ἔνθα δυνήσονται μαθεῖν, ὅτι, κἂν τραύματα ἔχωσι, δυνατὸν τούτων ἀπαλλαγῆναι καὶ ὑγείας τυχεῖν; Πότε οὖν οὗτοι τῆς ψυχῆς τῆς ἑαυτῶν ἐπιμελήσονται; Ἀγαπητὸν γὰρ τοὺς συνεχῶς εἰς ἐκκλησίαν ἀπαντῶντας καὶ διδασκαλίας ἀπολαύοντας πνευματικῆς καὶ τοσαύτης τυγχάνοντας ἐπιμελείας, δυνηθῆναι περιγενέσθαι καὶ χαλινῶσαι τὰς πονηρὰς ἐπιθυμίας, καὶ διαβλέψαι πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν.

2. Ἀλλὰ γὰρ ἵνα μὴ διαπαντὸς ἐκείνοις ἐγκαλοῦντες τῶν εἰωθότων ὑμᾶς ἀποστερήσωμεν, φέρε δὴ πάλιν τὴν συνήθη τράπεζαν ὑμῖν παραθῶμεν, καὶ αὐτοῦ τοῦ ψάλλειν τὸ κέρδος ὑμῖν διηγησώμεθα. Ἰδοὺ γὰρ ὁ ψαλμὸς ἐπεισελθὼν τὰς διαφόρους ἐκέρασε φωνάς, καὶ μίαν παναρμόνιον ᾠδὴν ἀνενεχθῆναι παρεσκεύασε, καὶ νέοι καὶ γέροντες, καὶ πλούσιοι καὶ πένητες, καὶ γυναῖκες καὶ ἄνδρες, καὶ δοῦλοι καὶ ἐλεύθεροι μίαν τινὰ μελῳδίαν ἀνηνέγκαμεν ἅπαντες. Εἰ γὰρ κιθαρῳδὸς τὰς διαφόρους νευρὰς τῇ τῆς τέχνης ἀκριβείᾳ κεράσας, τὰς πολλὰς μίαν ἐργάζεται μενούσας πολλάς, τί καινόν, εἰ ἡ τοῦ ψαλμοῦ καὶ τῆς ᾠδῆς τῆς πνευματικῆς δύναμις τὸ αὐτὸ τοῦτο εἰργάσατο; Οὐ γὰρ δὴ μόνον τοὺς παρόντας ἡμᾶς, ἀλλὰ καὶ τὸν τελευτήσαντα τοῖς ζῶσιν ἀνέμιξε· καὶ γὰρ ἐκεῖνος μεθ' ἡμῶν ἔψαλλεν ὁ μακάριος οὗτος προφήτης· καίτοι γε ἐν βασιλικαῖς αὐλαῖς οὐκ ἔνι τοῦτο, ἀλλὰ κάθηται μὲν ὁ τὸ διάδημα περικείμενος, παρεστήκασι δὲ παντες σιγῇ, καὶ ταῦτα ἐν μεγίσταις ὄντες ἀρχαῖς.

Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ φθέγγεται ὁ προφήτης, καὶ πάντες ἀποκρινόμεθα, καὶ πάντες συνεπηχοῦμεν· καὶ οὐκ ἔστι δοῦλον ἐνταῦθα ἰδεῖν οὐδὲ ἐλεύθερον, οὐδὲ πλούσιον καὶ πένητα, οὐδὲ ἄρχοντα καὶ ἰδιώτην, ἀλλ' ἐκποδὼν ἅπασα αὕτη ἡ τοῦ βίου ἀνωμαλία ἀπελήλαται, καὶ εἷς χορὸς ἐξ ἁπάντων συγκεκρότηται, καὶ

Ἀπὸ ποιόν λοιπὸν δὲ θὰ ἦταν πιὸ δυστυχισμένοι αὐτοὶ πού, ἂν καὶ δέχονται ἄπειρα τραύματα, δὲν ἔρχονται ὅμως ἐδῶ, ὅπου θὰ μπορέσουν νὰ μάθουν πώς, καὶ τραύματα ἂν ἔχουν, εἶναι δυνατὸ ν' ἀπαλλαγοῦν ἀπ' αὐτὰ καὶ νὰ βροῦν τὴν ὑγεία τους; Πότε λοιπὸν θὰ φροντίσουν αὐτοὶ γιὰ τὴ δική τους ψυχή; Γιατὶ εἶναι εὐχάριστο νὰ μπορέσουν αὐτοὶ ποὺ συνέχεια ἔρχονται στὴν ἐκκλησία καὶ ἀπολαμβάνουν διδασκαλία πνευματικὴ καὶ βρίσκουν τόσο μεγάλη φροντίδα νὰ νικήσουν καὶ νὰ χαλιναγωγήσουν τὶς πονηρὲς ἐπιθυμίες καὶ νὰ φροντίσουν προσεκτικὰ γιὰ τὴν ἄσκηση τῆς ἀρετῆς.

2. Ἀλλὰ γιὰ νὰ μὴ σᾶς στερήσουμε ἀπὸ τὰ συνηθισμένα, κατηγορώντας συνέχεια αὐτούς, ἐμπρὸς λοιπὸν ἂς σᾶς παραθέσουμε πάλι τὸ συνηθισμένο τραπέζι καὶ ἂς σᾶς περιγράψουμε τὸ κέρδος ἀπὸ τὴν ψαλμωδία. Νὰ λοιπὸν ὁ ψαλμὸς ἦρθε καὶ ἀνέμειξε τὶς διάφορες φωνές, καὶ ἔκαμε νὰ ὑψωθεῖ μία ἁρμονικότατη ᾠδή, καί, νέοι καὶ γέροντες, πλούσιοι καὶ φτωχοί, γυναῖκες καὶ ἄνδρες, δοῦλοι καὶ ἐλεύθεροι, ὅλοι προσφέραμε μία ψαλμωδία. Γιατί, ἂν ὁ κιθαρωδός, ἀφοῦ μὲ τὴν ἀκρίβεια τῆς τέχνης του συναρμολόγησε τὶς διάφορες χορδές, τὶς πολλὲς τὶς κάνει μία, ἐνῶ παραμένουν πολλές, τί τὸ πρωτάκουστο, ἂν ἡ δύναμη τοῦ ψαλμοῦ καὶ τῆς πνευματικῆς ᾠδῆς ἔκαμε ἀκριβῶς τὸ ἴδιο; Γιατὶ ὄχι μόνο ἐμᾶς τοὺς παρόντες, ἀλλὰ καὶ αὐτὸν ποὺ πέθανε τὸν ἀνέμειξε μὲ τοὺς ζωντανούς, ἀφοῦ μαζί μας ἔψαλλε καὶ ὁ μακάριος αὐτὸς προφήτης. Ὅμως στὶς βασιλικὲς αὐλὲς δὲν ὑπάρχει αὐτό, ἀλλὰ κάθεται ἐκεῖνος ποὺ φοράει τὸ στέμμα καὶ στέκονται δίπλα του ὅλοι σιωπηλά, καὶ μάλιστα καὶ αὐτοὶ ποὺ ἔχουν τὰ πολὺ μεγάλα ἀξιώματα.

Ἐδῶ ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλὰ μιλάει ὁ προφήτης καὶ ὅλοι ἀπαντοῦμε, καὶ ὅλοι τὸν συνοδεύουμε στὴν ψαλμωδία. Καὶ δὲν εἶναι δυνατὸ νὰ δοῦμε ἐδῶ δοῦλο οὔτε ἐλεύθερο, οὔτε πλούσιο καὶ φτωχό, οὔτε ἄρχοντα καὶ ἁπλὸ πολίτη, ἀλλὰ ἔχει ἀπομακρυνθεῖ πάρα πολὺ ὁλόκληρη αὐτὴ ἡ ἀνισότητα τῆς ζωῆς, καὶ ἔχει συγκροτηθεῖ ἕνας χορὸς ἀπ' ὅλους, καὶ ὑπάρχει

*ἰσηγορία πολλή, καὶ τὸν οὐρανὸν ἡ γῆ μιμεῖται. Τοσαύτη τῆς ἐκκλησίας ἡ εὐγένεια. Οὐδὲ γάρ ἐστιν εἰπεῖν, ὅτι ὁ μὲν δεσπότης μετὰ πολλῆς ψάλλει τῆς παρρησίας, ἐπιστομίζεται δὲ ὁ οἰκέτης· οὐδ' αὖ ὁ πλούσιος μὲν κινεῖ τὴν γλῶτταν, ἀφωνίᾳ δὲ ὁ πένης καταδικάζεται· οὐδ' αὖ ἀνὴρ μὲν παρρησιάζεται, γυνὴ δὲ σιγᾷ καὶ ἄφωνος ἕστηκεν· ἀλλὰ πάντες τῆς αὐτῆς ἰσοτιμίας ἀπολαύοντες, κοινὴν ἀναφέρομεν τὴν θυσίαν, κοινὴν τὴν προσφοράν· οὐδ' ἔχει τι πλεὸν οὗτος ἐκείνου, οὐδὲ ἐκεῖνος τούτου, ἀλλὰ πάντες ἐν τῇ αὐτῇ τιμῇ, καὶ φωνὴ μία ἐκ διαφόρων γλωττῶν πρὸς τὸν τῆς οἰκουμένης ἀναπέμπεται δημιουργόν.*

*Ἡ διαφορὰ δὲ οὐκ ἐν τῷ δούλῳ καὶ ἐν τῷ ἐλευθέρῳ, οὐκ ἐν τῷ πλουσίῳ καὶ ἐν τῷ πένητι, οὐκ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρί, ἀλλ' ἐν τῇ γνώμῃ, ἐν τῇ σπουδῇ καὶ τῇ ῥᾳθυμίᾳ, ἐν τῇ κακίᾳ καὶ τῇ ἀρετῇ. Οὕτω γὰρ καὶ πλούσιον ἐγὼ τὸν πένητα δύναμαι καλεῖν, καὶ πένητα τὸν πλούσιον, καὶ γυναῖκα τὸν ἄνδρα, καὶ ἄνδρα τὴν γυναῖκα, καὶ ἰδιώτην τὸν σοφόν, καὶ σοφόν τὸν ἰδιώτην, οὐ συγχέων τῶν πραγμάτων τὴν φύσιν, ἀλλὰ τὸν ἄριστον κανόνα εἰσάγων τὸν πάντα διορθούμενον. Καὶ πῶς ἂν γένοιτο, φησίν, ὁ ἀνὴρ γυνή, πῶς δὲ ἡ γυνὴ ἀνήρ; Οὐ τῆς φύσεως μεταβαλλομένης, ἀλλὰ τῆς προαιρέσεως. Ὅταν γὰρ ἴδω ἄνδρα χρυσοφοροῦντα, καλλωπιζόμενον, τὰς κόμας διατιθέντα, μύρων πνέοντα, μαλακῇ ἱματίων περιβολῇ καὶ βαδίσει θηλυνόμενον, τρυφῇ προσέχοντα, πῶς ἂν δυναίμην ἄνδρα καλέσαι τοῦτον τὸν τὴν εὐγένειαν τῆς φύσεως προδεδωκότα καὶ πρὸς τὸ θῆλυ μεθαρμοζόμενον; Εἰ γὰρ οὐδὲ γυναῖκα ταῦτα ποιοῦσαν ἐν τοῖς ζῶσιν ὁ Παῦλος ἀριθμεῖν οὐκ ἀξιοῖ, ἀλλ' ἐξορίζει τοῦ τῶν ἐμπνεόντων χοροῦ, καὶ μετὰ τῶν τεθνεώτων ἵστησι, λέγων, «ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν», πῶς ἂν ὁ ἀνὴρ εἰς τὴν*

ἰσότητα πολλή, καὶ ἡ γῆ μιμεῖται τὸν οὐρανό. Τόσο μεγάλη εἶναι ἡ εὐγένεια τῆς ἐκκλησίας. Οὔτε βέβαια μποροῦμε νὰ ποῦμε πὼς ὁ ἄρχοντας ψάλλει μὲ πολὺ θάρρος ἐνῶ ἐμποδίζεται ὁ ὑπηρέτης, οὔτε πάλι πὼς ὁ πλούσιος κινεῖ τὴ γλώσσα του ἐνῶ ὁ φτωχὸς καταδικάζεται νὰ μείνει ἄφωνος, οὔτε ἐπίσης πὼς ὁ ἄνδρας ψάλλει μὲ θάρρος ἐνῶ ἡ γυναίκα σιωπᾶ καὶ στέκεται ἄφωνη, ἀλλὰ ὅλοι μαζὶ ἀπολαμβάνοντας τὴν ἴδια ἰσότητα προσφέρουμε ὅλοι μαζὶ τὴ θυσία, ὅλοι μαζὶ τὴν προσφορά. Οὔτε ἔχει κάτι περισσότερο αὐτὸς ἀπὸ ἐκεῖνον, οὔτε ἐκεῖνος ἀπ' αὐτόν, ἀλλ' ὅλοι ἔχουμε τὴν ἴδια τιμὴ καὶ μιὰ φωνὴ ἀπὸ διάφορες γλῶσσες ὑψώνεται πρὸς τὸ δημιουργὸ τῆς οἰκουμένης.

Ἡ διαφορὰ δὲν ὑπάρχει στὸ δοῦλο καὶ στὸν ἐλεύθερο, οὔτε στὸν πλούσιο καὶ στὸ φτωχό, οὔτε στὴ γυναίκα καὶ τὸν ἄνδρα, ἀλλὰ στὴ διάθεση, στὸ ζῆλο καὶ τὴν ἀδιαφορία, στὴν κακία καὶ τὴν ἀρετή. Ἔτσι λοιπὸν μπορῶ καὶ ἐγὼ νὰ ὀνομάζω πλούσιο τὸ φτωχό, καὶ φτωχὸ τὸν πλούσιο, καὶ γυναίκα τὸν ἄνδρα, καὶ ἄνδρα τὴ γυναίκα, καὶ ἀνίδεο τὸ σοφό, καὶ σοφὸ τὸν ἀνίδεο, ὄχι γιατὶ δὲν ξεχωρίζω καλὰ τὴ φύση τῶν πραγμάτων, ἀλλὰ γιατὶ καθιερώνω τὸν ἄριστο κανόνα ποὺ ὅλα τὰ διορθώνει. Καὶ πῶς μπορεῖ νὰ γίνει, θὰ πεῖ κάποιος, ὁ ἄνδρας γυναίκα καὶ πῶς ἡ γυναίκα ἄνδρας; Ὄχι γιατὶ ἀλλάζει ἡ φύση, ἀλλὰ ἡ προαίρεση. Γιατί, ὅταν δῶ ἕναν ἄνδρα νὰ φοράει χρυσὰ κοσμήματα, νὰ στολίζεται, νὰ περιποιεῖται τὰ μαλλιά του, νὰ μυρίζει ἀρώματα, μὲ τὴ γυναικεία ἐνδυμασία καὶ μὲ τὸ βάδισμα νὰ φαίνεται θηλυπρεπής, νὰ προσέχει τὶς ἀπολαύσεις, πῶς θὰ μποροῦσα νὰ ὀνομάσω ἄνδρα αὐτὸν ποὺ πρόδωσε τὴν εὐγενικὴ καταγωγὴ τῆς φύσης του καὶ ποὺ στρέφεται πρὸς τὸ θηλυκὸ γένος; Ἂν λοιπὸν ὁ Παῦλος δὲ θεωρεῖ ἄξιο νὰ ἀριθμήσει ἀνάμεσα στοὺς ζωντανοὺς μία γυναίκα ποὺ κάνει αὐτά, ἀλλὰ τὴν ἀπομακρύνει ἀπὸ τὴν ὁμάδα τῶν ζωντανῶν καὶ τὴν τοποθετεῖ μαζὶ μὲ τοὺς νεκρούς, λέγοντας, «ἐκείνη ποὺ ζεῖ μὲ ἀπολαύσεις ἔχει πεθάνει»[1], πῶς θὰ συγκαταλεγόταν στὴν τάξη τῶν ἀνδρῶν ὁ ἄν-

1. Α' Τιμ. 5,6.

*τῶν ἀνδρῶν καταλεχθῇ τάξιν τοῦτα ποιῶν, ἅπερ γυνὴ πράττουσα καὶ τὸ ζῆν ἀπολώλεκε;*

*Τὸν γὰρ ἄνδρα μή μοι ἀπὸ τῆς χλανίδος δείξῃς, μηδὲ ἀπὸ τῆς ζώνης, μηδὲ ἀπὸ τοῦ σοβεῖν κατὰ τὴν οἰκίαν καὶ φοβερὸν εἶναι καὶ ἀπειλεῖν, ἀλλ' ἀπὸ τῆς κατὰ διάνοιαν φιλοσοφίας, ὅταν τῶν παθῶν κατέχῃ, ὅταν τῶν νοσημάτων τῆς ψυχῆς περιγίνηται, ὅταν ἄρχῃ τῆς οἰκίας αὐτοῦ τῆς ἔνδον, τῆς κατὰ ψυχὴν λέγω, καὶ μὴ ὑπὸ τῶν ἀτόπων λογισμῶν παρασύρηται· τοῦτο μάλιστα ἀνήρ. Ἂν δὲ μέθῃ καὶ κραιπάλῃ προσέχῃ, καὶ τὴν ἡμέραν δαπανᾷ καὶ ἀναλίσκῃ εἰς κώμους καὶ παροινίας, κηροῦ παντὸς μαλακώτερος ὑπὸ τοῦ πάθους γινόμενος, πῶς δυνήσομαι τὸν τοιοῦτον ἄνδρα καλεῖν, τὸν αἰχμάλωτον, τὸν δοῦλον τὸν ἀργυρώνητον, τὸν πᾶσιν ἐνδιδόντα τοῖς πάθεσι, τὸν κατακλώμενον, τὸν μαλακιζόμενον, τὸν θρυπτόμενον, τὸν ὑπὸ πάντων καταβαλλόμενον, τὸν οὐδὲ στῆναι ἐπὶ τῆς παρατάξεως δυνάμενον; Ἢ οὐκ ἴστε ὅτι οὐ πρὸς ἀνθρώπους ἡμῖν ὁμογενεῖς ἐστιν ὁ πόλεμος καὶ ἡ παράταξις, ἀλλὰ πρὸς τὰς ἀοράτους δυνάμεις, πρὸς τὰς τῶν δαιμόνων φάλαγγας, κατὰ τὸν μακάριον Παῦλον· «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας».*

3. *Τοῦτο γὰρ μάλιστα ἀνδρός. Ὁ τοίνυν ὡραϊζόμενος, ἀλλ' οὐ νεανιευόμενος, ὁ καλλωπιζόμενος, ἀλλ' οὐκ ἀνδριζόμενος, πῶς ἂν ἐπὶ τῆς παρατάξεως στῇ; ἢ πῶς ἂν ἀνὴρ κληθείη, γυναικὸς πάσης μαλακώτερον διακείμενος; Κατὰ δὴ τὸν αὐτὸν τρόπον, ὥσπερ τοῦτο οὐκ ἂν καλέσαιμι ἄνδρα, ἀλλὰ γυναικὸς μαλακώτερον, οὕτω καὶ τὴν γυναῖκα τὴν ἀνδριζομένην ἀνδρὸς παντὸς στερροτέραν, ἂν τὰ ὅπλα ἁρπάσασα τὰ πνευματικά, καὶ τὸν θώρακα ἐνδυσαμένη τῆς δικαιοσύνης, καὶ τὸ κράνος περιθεμένη τοῦ σωτηρίου, καὶ τὴν ἀσπίδα προβαλλομένη τῆς πίστεως, καὶ τὴν ζώνην ζωσαμένη τῆς*

δρας ποὺ κάνει αὐτά, τὰ ὁποῖα ὅταν τὰ κάμνει γυναίκα ἔχει χάσει ἀκόμη καὶ τὴ ζωή;

Γιατὶ μὴ μοῦ δείξεις τὸν ἄνδρα ἀπὸ τὸ χιτώνα του, οὔτε ἀπὸ τὴ ζώνη του, οὔτε ἀπὸ τὸ ὑπερήφανο βάδισμα στὸ σπίτι του, οὔτε ἀπὸ τὶς φοβέρες καὶ τίς ἀπειλές του, ἀλλ' ἀπὸ τὴ φιλοσοφική του σκέψη, ὅταν ἐξουσιάζει τὰ πάθη του, ὅταν νικάει τὶς ἀρρώστιες τῆς ψυχῆς, ὅταν ἐξουσιάζει τὸ σπίτι του ποὺ βρίσκεται μέσα του, δηλαδὴ τὴν ψυχή του, καὶ δὲν παρασύρεται ἀπὸ τὶς παράλογες σκέψεις· αὐτὸς πρὸ πάντων εἶναι ἄνδρας. Ἂν ὅμως εἶναι προσηλωμένος στὴ μέθη καὶ τὴν κραιπάλη, καὶ ἂν ξοδεύει τὴν ἡμέρα καὶ τὴ χρησιμοποιεῖ σὲ διασκεδάσεις καὶ οἰνοποσίες καὶ γίνεται ἀπὸ τὸ πάθος πιὸ μαλακὸς ἀπὸ τὸ κερί, πῶς θὰ μπορέσω αὐτὸν νὰ τὸν ὀνομάσω ἄνδρα, τὸν αἰχμάλωτο, τὸν ἀργυρώνητο δοῦλο, αὐτὸν ποὺ ὑποχωρεῖ σὲ ὅλα τὰ πάθη, τὸν παραλυμένο, τὸν ἀποχαυνωμένο, τὸν θηλυπρεπή, αὐτὸν ποὺ νικιέται ἀπὸ ὅλα, αὐτὸν ποὺ δὲν μπορεῖ νὰ σταθεῖ στὴν παράταξη τῆς μάχης; Ἢ δὲν ξέρετε ὅτι ὁ πόλεμος καὶ ἡ μάχη δὲ γίνεται μὲ ἀνθρώπους ὅμοιους μὲ μᾶς, ἀλλὰ μὲ τὶς ἀόρατες δυνάμεις, μὲ τὶς φάλαγγες τῶν δαιμόνων, σύμφωνα μὲ τὸ μακάριο Παῦλο· «ἡ πάλη μας δὲν εἶναι πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὶς ἀρχές, πρὸς τὶς ἐξουσίες»[2].

3. Αὐτὸ κυρίως εἶναι τὸ γνώρισμα τοῦ ἀνδρός. Ἐκεῖνος λοιπὸν ποὺ στολίζεται ἀλλὰ δὲ συμπεριφέρεται σὰν νέος, ἐκεῖνος ποὺ καλλωπίζεται ἀλλὰ δὲ συμπεριφέρεται σὰν ἄνδρας, πῶς θὰ σταθεῖ στὴ μάχη; ἢ πῶς θὰ ὀνομαμασθεῖ ἄνδρας, ὅταν συμπεριφέρεται πιὸ μαλθακὰ ἀπὸ κάθε γυναίκα; Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο ποὺ δὲν μπορῶ νὰ τὸν ὀνομάσω αὐτὸν ἄνδρα, ἀλλὰ πιὸ μαλθακὸ ἀπὸ γυναίκα, ἔτσι καὶ τὴ γυναίκα ποὺ συμπεριφέρεται σὰν ἄνδρας θὰ τὴν ὀνόμαζα πιὸ δυνατὴ ἀπὸ κάθε ἄνδρα, ἄν, ἁρπάζοντας τὰ πνευματικὰ ὅπλα καὶ φορώντας τὸ θώρακα τῆς δικαιοσύνης, φορώντας τὸ κράνος τῆς σωτηρίας καὶ προβάλλο-

2. Ἐφ. 6,12.

*ἀληθείας, καὶ τὴν μάχαιραν λαμβάνουσα τοῦ Πνεύματος, ἐπὶ τῆς παρατάξεως στῇ λάμπουσα ἀπὸ τῶν ὅπλων, ὑψηλοτέρα τῶν οὐρανῶν ἀπὸ τοῦ φρονήματος γινομένη, διαλύουσα τῶν δαιμόνων τὰς φάλαγγας, καθαιροῦσα τοῦ διαβόλου τὴν τυραννίδα, κατακεντοῦσα τὰ πάθη, πτώματα ἐργαζομένη τῶν ἐν τοῖς πολέμοις πυκνότερα, οὐκ ἀνθρώπων, ἀλλὰ λογισμῶν ἀτόπων.*

*Γυνὴ γὰρ καὶ ἀνὴρ ἐν μὲν τοῖς σωματικοῖς εἰσι διῃρημένοι, καὶ τῇ μὲν ἱστὸς καὶ ἠλακάτη καὶ καλαθίσκος καὶ τὸ οἰκουρεῖν καὶ θαλαμεύεσθαι καὶ παιδοτροφεῖν ἀφώρισται, ἀνδρὶ δὲ δικαστήρια καὶ βουλευτήρια καὶ ἀγορά, καὶ πόλεμοι καὶ μάχαι καὶ παρατάξεις· ἐπὶ δὲ τῶν παλαισμάτων τῆς εὐσεβείας κοινὸν τὸ στάδιον, κοινὰ τὰ παλαίσματα· ὁμοίως καὶ γυναῖκες ἀποδύονται, καὶ οὐκ ἐκβάλλονται τοῦ ἀγῶνος, ἀλλὰ καὶ παρατάσσονται καὶ στεφανοῦνται καὶ ἀναγορεύουονται, καὶ ἀριστείας ἔχουσιν ἔπαθλα καὶ βραβεῖα καὶ στεφάνους, καὶ τρόπαια δὲ παρ' ἐκείναις λαμπρά, καὶ νῖκαι συνεχεῖς καὶ ἐπάλληλοι.*

*Καὶ ἵνα μὴ κόμπον νομίσητε εἶναι ταυτὶ τὰ ῥήματα μηδὲ ψόφον ῥημάτων, ἀλλ' εἰδῆτε σαφῶς ὅτι οὐκ ἀνδρῶν μόνον εἰσὶν ἀνδρειότεραι γυναῖκες, ἀλλὰ καὶ πρὸς αὐτήν, ὡς εἰπεῖν, τῶν ἀγγέλων τὴν ἀπάθειαν κατὰ τὸ ἐγχωροῦν μεθορμίζονται, ἀγέσθω εἰς μέσον ἡ γυνὴ μὲν τὴν φύσιν, τῶν οὐρανῶν δὲ ἀψαμένη τῷ τόνῳ τῆς φιλοσοφίας, ἡ τῶν Μακκαβαίων μήτηρ, ἡ δὶς ἑπτὰ ἀναδησαμένη στεφάνους, καὶ ὃν βούλει στρατιώτην ἀριστέα, πολεμικώτατον, ἀνδρειότατον, μεγαλοψυχότατον, ἄγε εἰς μέσον τῷ λόγῳ, καὶ τοσοῦτον ὄψει τὴν γυναῖκα ὑψηλοτέραν, ὅσον τῆς γῆς ἀφεστήκασιν αἱ τῶν οὐρανῶν ἀψῖδες. Ὁ μὲν γὰρ στρατιώτης καὶ ἀριστεὺς μίαν δέ-*

ντας τὴν ἀσπίδα τῆς πίστης, ζώνοντας τὴ ζώνη τῆς ἀλήθειας καὶ παίρνοντας τὸ μαχαίρι τοῦ πνεύματος, σταθεῖ στὴν παράταξη τῆς μάχης, λάμποντας ἀπὸ τὰ ὅπλα καὶ γινόμενη ἀπὸ τὸ φρόνημά της πιὸ ὑψηλὴ ἀπὸ τοὺς οὐρανούς, διαλύοντας τὶς φάλαγγες τῶν δαιμόνων καὶ καταργώντας τὴν τυραννία τοῦ διαβόλου, κατακεντώντας τὰ πάθη καὶ προκαλώντας πτώματα πιὸ πολλὰ ἀπὸ τὰ πτώματα στοὺς πολέμους, ὄχι τῶν ἀνθρώπων ἀλλὰ τῶν παράλογων σκέψεων.

Γιατὶ ἡ γυναίκα καὶ ὁ ἄνδρας ξεχωρίζουν στὰ σωματικά· καὶ στὴ γυναίκα βέβαια ἔχει ὁρισθεῖ ὁ ἀργαλειὸς καὶ ἡ ρόκα καὶ τὸ καλαθάκι καὶ ἡ ζωὴ μέσα στὸ σπίτι καὶ τὸ δωμάτιο καὶ ἡ ἀνατροφὴ τῶν παιδιῶν, ἐνῶ στὸν ἄνδρα τὰ δικαστήρια καὶ τὰ βουλευτήρια καὶ ἡ ἀγορά, καθὼς καὶ οἱ πόλεμοι καὶ οἱ μάχες καὶ οἱ παρατάξεις. Ὅμως στοὺς ἀγῶνες τῆς εὐσέβειας τὸ στάδιο εἶναι κοινό, οἱ ἀγῶνες εἶναι κοινοί. Καὶ οἱ γυναῖκες ἀγωνίζονται τὸ ἴδιο καὶ δὲ διώχονται ἀπὸ τὸν ἀγώνα, ἀλλὰ καὶ παρατάσσονται καὶ στεφανώνονται καὶ ἀνακηρύσσονται νικήτριες, καὶ παίρνουν ἔπαθλα καὶ βραβεῖα καὶ στεφάνια γιὰ τὴ γενναιότητά τους, καὶ ὑπαρχουν σ' αὐτὲς τρόπαια λαμπρὰ καὶ νίκες ἀδιάκοπες καὶ ἀλλεπάλληλες.

Καὶ γιὰ νὰ μὴ νομίσετε πὼς αὐτὰ τὰ λόγια εἶναι μεγάλα καὶ κούφια λόγια, ἀλλὰ γιὰ νὰ γνωρίσετε καλὰ πὼς οἱ γυναῖκες δὲν εἶναι μόνο πιὸ γενναῖες ἀπὸ τοὺς ἄνδρες, ἀλλὰ καὶ σ' αὐτήν, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, τὴν ἀπάθεια τῶν ἀγγέλων φθάνουν, κατὰ τὸ δυνατό, ἂς παρουσιάσουμε σὰν παράδειγμα ἐκείνην, ποὺ ἦταν γυναῖκα στὴ φύση ἀλλὰ μὲ τὴ δύναμη τῆς πίστης ἄγγιξε τοὺς οὐρανούς, τὴ μητέρα τῶν Μακκαβαίων[3], ποὺ φόρεσε δεκατέσσερα στεφάνια, καὶ ὅποιον θέλεις στρατιώτη ἄριστο, τὸν πιὸ μαχητικό, τὸν πιὸ γενναῖο, τὸν πιὸ μεγαλόψυχο, φέρε τον σὰν παράδειγμα στὸ λόγο καὶ θὰ δεῖς τὴ γυναίκα τόσο ὑψηλότερη, ὅσο ἀπέχει ὁ θόλος τοῦ οὐρανοῦ ἀπὸ τὴ γῆ. Γιατὶ ὁ

3. Γιὰ τὸ μαρτύριο τῶν Μακκαβαίων καὶ τῆς μητέρας τους βλ. Β' Μακ. 7,1–42 καὶ Δ' Μακ. κεφ. 8–18. Στοὺς Μακκαβαίους καὶ τὴ μητέρα τους ὁ Χρυσόστομος ἀφιέρωσε τρεῖς ὁμιλίες (βλ. ΕΠΕ.τόμ. 36).

*δοικε πληγήν, καὶ τὴν σύντομον ἐξ αὐτῆς τελευτὴν μόνον· αὕτη δὲ ἑστήκει καθάπερ ὄρος μεταλλευομένη, καθ' ἕκαστον παιδίον χαλεπωτέρας ὑπομένουσα ὀδύνας ἐν τῇ ψυχῇ τῶν βασάνων ὧν ἐκεῖνοι ταῖς πλευραῖς ἐδέχοντο· καὶ γὰρ μήτηρ ἦν καὶ χήρα καὶ εἰς ἔσχατον ἐληλακυῖα γῆρας· ἴστε δὲ ταῦτα ὅσοι πατέρες ἐγένεσθε, καὶ ὅσαι παίδων ὠδῖνας ἐλύσατε, πῶς κέντρου παντός ἐστι χαλεπώτερα. Καὶ οὐδὲν οὕτω βέλος ὀξὺ δριμεῖαν ἐπάγει τοῖς τραυματιζομένοις ὀδύνη,ν ὡς τούτων ἕκαστον τὴν ἐκείνης κατεκέντει ψυχήν.*

*Ἐννόησον γὰρ ἡλίκον ἦν καθ' ἕκαστον τῶν παίδων ὁρᾶν σιδήρῳ καὶ πυρὶ σῶμα μεριζόμενον ἕν, καὶ μακροὺς τιθεμένους τοὺς διαύλους· πῶς ἑώρα, πῶς ἤκουε, πῶς ἐδέχετο τὴν κνῖσσαν τὴν ἀπὸ τῶν σωμάτων ἐκείνων, μυρίους θανάτους ἑκάστῳ τῶν παίδων ἐπαγομένους βλέπουσα. Ἀλλ' ἡ μὲν εἱστήκει καθάπερ πέτρα ἀκίνητος, οὐ σαλευομένη ὑπὸ τῶν κυμάτων, ἀλλὰ τὰ κύματα εἰς ἀφρὸν διαλύουσα, ὡς σίδηρος, ὡς ἀδάμας· μᾶλλον δέ, ὅπερ ἂν εἴπω, οὐκ ἔχω τῇ καρτερίᾳ τῆς γυναικὸς ἀξίαν ἐπιθεῖναι προσηγορίαν. Ταύτην οὖν γυναῖκα ἐροῦμεν ἢ ἄνδρα δὲ ὅλως, ἀλλ' οὐχὶ καὶ ἀνδρῶν αὐτῶν ὑψηλοτέραν ἐκ πολλῆς τῆς περιουσίας;*

*Τί δέ, ὅταν ἴδῃς ἑτέραν ἐκ πρώτης ἡλικίας ἐν ἁπαλῷ σώματι νύκτας ἀΰπνους διάγουσαν, ἡμέρας ἀσίτους, γαστρὸς ἐπιθυμίαν ἄγχουσαν, χρημάτων ἔρωτα χαμαὶ ῥίπτουσαν, νεκροῦσαν τὸ σῶμα, σταυροῦσαν τὴν σάρκα, οὐδὲν τὰ παρόντα ἡγουμένην, χαμαὶ βαδίζουσαν καὶ αὐτῶν ἁπτομένην τῶν ἁψίδων, καταπατοῦσαν δυναστείαν, καταγελῶσαν δόξης, διαπτύουσαν περιφάνειαν, ἀντὶ λεπτῆς ὀθόνης σάκκον περιβεβλημένην, κλοιὰ περικειμένην, σποδὸν ὑποστρωσαμένην, εὐνῇ τῷ ἐδάφει χρωμένην, καὶ μηδὲν πλέον αἰτου-*

στρατιώτης καὶ ὁ ἄριστος στὸν πόλεμο φοβᾶται ἕνα κτύπημα καὶ τὸ σύντομο ἀπ' αὐτὸ θάνατο μόνο, ἐνῶ αὐτὴ στεκόταν σὰν βουνὸ καὶ τὴν κατατρυποῦσαν, γιὰ κάθε παιδὶ ὑποφέροντας μέσα στὴν ψυχή της πιὸ φοβεροὺς πόνους ἀπὸ τὰ κτυπήματα ἐκεῖνα ποὺ δέχονταν στὰ πλευρά τους. Γιατὶ ἦταν μητέρα καὶ χήρα καὶ εἶχε φθάσει σὲ βαθιὰ γηρατειά· καὶ τὰ ξέρετε αὐτὰ ὅσοι γίνατε πατέρες καὶ ὅσες γεννήσατε παιδιά, πῶς εἶναι χειρότερα ἀπὸ κάθε αἰχμηρὸ ὄργανο. Καὶ κανένα αἰχμηρὸ βέλος δὲν προκαλεῖ στοὺς τραυματίες τόσο δυνατὸ πόνο, ὅσο τὸ καθένα ἀπ' αὐτὰ κατατρυποῦσε τὴν ψυχή της.

Σκέψου λοιπὸν πόσο μεγάλο πράγμα ἦταν νὰ βλέπει ἕνα ἕνα τὰ παιδιά της νὰ κομματιάζεται μὲ σίδερο καὶ φωτιὰ τὸ σῶμα τους καὶ τὰ βασανά της νὰ παρατείνοναι. Πῶς ἔβλεπε, πῶς ἄκουε, πῶς ἄντεχε τὴν κνίσσα ἀπὸ τὰ σώματά τους, βλέποντας νὰ συμβαίνουν ἄπειροι θάνατοι σὲ κάθε παιδί της. Ἀλλ' αὐτὴ στεκόταν σὰν πέτρα ἀκίνητη, χωρὶς νὰ μετακινεῖται ἀπὸ τὰ κύματα, ἀλλὰ διαλύοντας τὰ κύματα σὲ ἀφρό, σὰν σίδερο, σὰν διαμάντι· ἢ καλύτερα, ὅ,τι καὶ ἂν πῶ, δὲν μπορῶ νὰ ὀνομάσω ὅπως ἀξίζει τὴν καρτερία τῆς γυναίκας. Αὐτὴν λοιπὸν θὰ τὴν ποῦμε γυναίκα ἢ ἄνδρα σὲ ὅλα, ἢ μήπως καὶ κατὰ πολὺ ἀνώτερη ἀπ' αὐτοὺς τοὺς ἄνδρες;

Τί πάλι, ὅταν δεῖς ἄλλη γυναίκα σὲ νεαρὴ ἡλικία μὲ τρυφερὸ σῶμα νὰ περνάει ἄυπνη τὶς νύχτες, νηστικὴ τὶς ἡμέρες, νὰ καταπνίγει τὴν ἐπιθυμία τῆς κοιλιᾶς, νὰ περιφρονεῖ τὴν ἀγάπη γιὰ τὰ χρήματα, νὰ νεκρώνει τὸ σῶμα, νὰ σταυρώνει τὴ σάρκα, νὰ θεωρεῖ ἀσήμαντα τὰ παρόντα, νὰ βαδίζει στὴ γῆ καὶ νὰ ἀγγίζει τὸ θόλο τοῦ οὐρανοῦ, νὰ μὴ λογαριάζει τὴν ἐξουσία, νὰ καταφρονεῖ τὴ δόξα, νὰ ἀποστρέφεται τὴ φήμη, ἀντὶ γιὰ λεπτὰ λινὰ ἐνδύματα νὰ φοράει χονδρὰ τρίχινα, νὰ ἔχει στὸ λαιμό της κλοιούς[4], νὰ στρώνει ἀπὸ κάτω στάχτη, νὰ χρησιμοποιεῖ τὸ ἔδαφος γιὰ κρεβάτι, νὰ μὴ ζητάει τίποτε περισσότερο, νὰ εἶναι

---

4. Κλοιός· κυκλικὸς δεσμὸς ἀπὸ σίδερο, ποὺ τὸν τοποθετοῦσαν γύρω ἀπὸ τὸ λαιμὸ ἀνθρώπων καὶ ζώων.

*μένην, ἐν δωματίῳ κατακεκλεισμένην στενῷ, προφήταις ὁμιλοῦσαν, βίον θανάτου μελέτην ἔχοντα μεταχειριζομένην, πρὸ τῆς τελευτῆς νενεκρωμένην, λιμῷ καὶ ἀγρυπνίᾳ καὶ αὐχμῷ κατατηκομένην, καὶ τοῦ παρόντος βίου τὰς φαντασίας φύλλων σηπομένων μᾶλλον ἀτιμάζουσαν· ταύτην γυναῖκα προσερεῖς, εἰπέ μοι; ἀλλ' οὐχὶ καὶ τῆς τάξεως τῶν ἀνδρῶν αὐτὴν ἀπαλλάξας εἰς τὸν τῶν ἀγγέλων στήσεις χορόν, ὅτι ἐν γυναικείᾳ φύσει τοσαύτην ἐπιδείκνυται φιλοσοφίαν;*

*4. Καὶ τίς ἀντερεῖ πρὸς ταῦτα; οὐκ ἔστιν οὐδείς. Ἄκουσον οἷαι καὶ ἐπὶ τῶν Ἀποστόλων ἦσαν γυναῖκες· ἄκουσον Παύλου Ῥωμαίοις ἐπιστέλλοντος καὶ λέγοντος· «συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, ἥτις προστάτις πολλῶν ἐγενήθη καὶ ἐμοῦ αὐτοῦ». Τί λέγεις, ὦ Παῦλε; γυνὴ σοῦ προστάτις ἐγένετο, καὶ οὐκ αἰσχύνῃ καὶ ἐρυθριᾷς ταῦτα λέγων; Οὐκ αἰσχύνομαι, φησίν, ἀλλὰ καὶ ἐγκαλλωπίζομαι· καὶ γὰρ ὁ Δεσπότης ὁ ἐμὸς οὐκ ἐπῃσχύνθη μητέρα γυναῖκα σχεῖν· προστάτις δέ μου ἐγένετο, οὐκ ἐπειδὴ γυνὴ ἦν ἁπλῶς, ἀλλ' ἐπειδὴ φιλόσοφος καὶ εὐλαβείᾳ κομῶσα.*

*Καὶ πῶς Παύλου προστάτις ἐγένετο; τίνος γὰρ ἐδεῖτο Παῦλος ὁ τὴν οἰκουμένην περιτρέχων, ὁ τὸ σῶμα εἰκῇ περικείμενος, ὁ τὰς ἀνάγκας τῆς φύσεως καταπατήσας, ὁ δαίμονας ἀπελαύνων, ὁ νόσους διὰ τῶν ἱματίων διορθούμενος, οὗ τὴν φωνὴν καὶ τὴν σκιὰν ἔτρεμεν ὁ διάβολος, ὃς ὡς ἄγγελος παρὰ τοῖς πιστοῖς ἐτιμᾶτο, ὃν ᾐδέσθησαν καὶ θηρία, ὃν ἐδυσωπήθη τὸ πέλαγος, καὶ νυχθήμερον ἀπολαβὼν οὐκ ἀπέπνιξεν, ὁ τοῦ παραδείσου πολίτης, ὁ εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, ὁ τῶν ἀπορρήτων τῷ Θεῷ κοινωνήσας, ὁ πλέον τῶν Ἀποστόλων ἁπάντων κοπιάσας, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ νυμφαγωγὸς τῆς Ἐκκλησίας, ὁ κῆρυξ τῶν ἐθνῶν, ὁ γῆν καὶ θάλατταν περιδραμών, καὶ πανταχοῦ τρόπαια στήσας τῆς ἰδίας ἀνδρείας, ὁ λιμῷ καὶ δίψει διηνεκῶς παλαίων, ὁ γυμνότητι καὶ*

κλεισμένη μέσα σὲ στενὸ δωμάτιο, νὰ μιλάει μὲ προφῆτες, νὰ περνάει τὴ ζωή της μὲ τὴ μελέτη τοῦ θανάτου, νὰ εἶναι νεκρὴ πρὶν τὸ θάνατό της, νὰ λειώνει ἀπὸ πείνα καὶ ἀυπνία καὶ δίψα, καὶ νὰ περιφρονεῖ τὶς ἐπιδείξεις τῆς παρούσας ζωῆς περισσότερο ἀπὸ τὰ σάπια φύλλα, πές μου, αὐτὴν θὰ τὴν ὀνομάσεις γυναίκα; Ἢ δὲ θὰ τὴ διαγράψεις καὶ ἀπὸ τὴν τάξη τῶν ἀνδρῶν καὶ θὰ τὴν κατατάξεις στὴ στρατιὰ τῶν ἀγγέλων, γιατὶ δείχνει τόσο μεγάλη φιλοσοφία παρ' ὅλο ποὺ ἔχει γυναικεία φύση;

4. Καὶ ποιός θὰ ἔχει ἀντιρρήσεις σ' αὐτά; Δὲν ὑπάρχει κανείς. Ἄκουσε τί γυναῖκες ὑπῆρχαν καὶ στὴν ἐποχὴ τῶν Ἀποστόλων. Ἄκουσε τὸν Παῦλο ποὺ γράφοντας στοὺς Ρωμαίους ἔλεγε· «σᾶς συνιστῶ τὴ Φοίβη τὴν ἀδελφή μας, ποὺ εἶναι διακόνισσα τῆς ἐκκλησίας στὶς Κεγχρεές, ποὺ ἔγινε προστάτρια σὲ πολλοὺς καὶ σὲ μένα τὸν ἴδιο»[5]. Τί λέγεις, Παῦλε; Μιὰ γυναίκα ἔγινε προστάτριά σου, καὶ δὲν ντρέπεσαι οὔτε κοκκινίζεις ποὺ τὰ λέγεις αὐτά; Δὲν ντρέπομαι, λέγει, ἀλλὰ καὶ καυχιέμαι γι' αὐτό. Γιατὶ καὶ ὁ Κύριός μου δὲν ντράπηκε νὰ ἔχει μητέρα μία γυναίκα. Καὶ ἔγινε προστάτριά μου, ὄχι γιατὶ ἦταν γυναίκα μόνο, ἀλλὰ γιατὶ ἦταν πιστὴ καὶ γεμάτη εὐλάβεια.

Καὶ πῶς ἔγινε προστάτρια τοῦ Παύλου; Ἀπὸ ποιό λοιπὸν πράγμα εἶχε ἀνάγκη ὁ Παῦλος; Αὐτὸς ποὺ ἔτρεχε σὲ ὅλη τὴν οἰκουμένη, ποὺ εἶχε χωρὶς λόγο τὸ σῶμα, ποὺ καταπάτησε τὶς ἀνάγκες τῆς φύσης, ποὺ ἔδιωχνε δαίμονες, ποὺ μὲ τὰ ἐνδύματά του θεράπευε ἀρρώστιες, ποὺ τὴ φωνὴ καὶ τὴ σκιά του ἔτρεμε ὁ διάβολος, ποὺ οἱ πιστοὶ τὸν τιμοῦσαν σὰν ἄγγελο, ποὺ τὸν σεβάσθηκαν ἀκόμη καὶ τὰ θηρία, ποὺ τὸν φοβήθηκε τὸ πέλαγος καὶ δὲν τὸν ἔπνιξε μολονότι τὸν κράτησε μιὰ μέρα καὶ μιὰ νύχτα, ὁ πολίτης τοῦ παραδείσου, αὐτὸς ποὺ ἁρπάχθηκε στὸν τρίτο οὐρανό, ποὺ πῆρε μέρος στὰ ἀπόρρητα μαζὶ μὲ τὸ Θεό, ποὺ κόπιασε περισσότερο ἀπ' ὅλους τοὺς Ἀποστόλους, τὸ ἐκλεκτὸ ὄργανο, ὁ παράνυμφος τῆς Ἐκκλησίας, ὁ κήρυκας τῶν ἐθνῶν, αὐτὸς ποὺ ἔτρεξε τὴ γῆ καὶ τὴ θάλασσα καὶ παντοῦ ἔστησε τρόπαια τῆς δικῆς του ἀνδρείας, ποὺ πάλευε ἀδιάκοπα μὲ τὴν πείνα

5. Ρωμ. 16,1.

κρυμῷ πυκτεύων, καὶ λέγων· «μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν»· ὁ τῷ κόσμῳ νενεκρωμένος, ὁ τὸν κόσμον νεκρὸν εἶναι νομίζων, ὁ τῶν οὐρανῶν πολίτης, ὁ μανικὸς ἐραστὴς τοῦ Χριστοῦ, ὁ πυρὸς θερμότερος, ὁ σιδήρου εὐτονώτερος, ὁ ἀδάμαντος στερρότερος· οὗτος οὐκ αἰσχύνεται λέγων περὶ γυναικός, ὅτι «προστάτις πολλῶν ἐγενήθη καὶ αὐτοῦ ἐμοῦ»; καὶ οὐ λέγει μόνον, ἀλλὰ καὶ γράφει· καὶ οὐ γράφει μόνον ἁπλῶς, ἀλλὰ καὶ δήμῳ τοσούτῳ τῶν Ρωμαίων ἐπιστέλλων φλεγμαίνοντι καὶ μέγα φρονοῦντι ἀπὸ τῶν ἔξωθεν ἀξιωμάτων, ταῦτα ἐπέστελλεν· οὐκ ἐκείνοις δὲ μόνον ἐπέστελλεν, ἀλλὰ καὶ ταῖς μετὰ ταῦτα γενεαῖς ἐβούλετο τοῦτο γενέσθαι κατάδηλον.

Εἰ γὰρ μὴ ἐβούλετο, οὐκ ἂν τῇ ἐπιστολῇ τοῦτο ἐνέθηκε· νῦν δὲ θέλων διηνεκεῖ μνήμη παραδοθῆναι τὸ πρᾶγμα, καὶ προσαγορεύει τὴν γυναῖκα, καὶ διεγείρει πάντας εἰς τὴν ἐκείνης ἀντίληψιν, καὶ προστάτιν αὐτὴν ἑαυτοῦ καλεῖ, καὶ οὐκ αἰσχύνεται οὐδὲ ἐρυθριᾷ. Τοσοῦτόν ἐστι καὶ ἐν γυναικείῳ σώματι ψυχὴ φιλόσοφος. Ταῦτα δὲ λέγω, ἵνα μὴ προφασίζηται γυνὴ λέγουσα, ὅτι διὰ τὸ γυνὴ εἶναι οὐκ ἔφθασα εἰς μέτρον εὐλαβείας πεπληρωμένον. Ἰδοὺ γὰρ αὕτη γυνή, καὶ ἡ φύσις οὐκ ἐγένετο κώλυμα, ἀλλὰ κατηξιώθη γενέσθαι Παύλου προστάτις, καὶ πανταχοῦ τῆς οἰκουμένης ἀνακηρύττεται. Πῶς δὲ ἐγένετο αὐτοῦ προστάτις; κινδύνων αὐτὸν ἴσως ἐξήρπασε; Δεδεμένῳ παρεκάθισεν, ἐν ἁλύσει παρεμυθήσατο, τὴν ἀπὸ τῶν ἀναγκαίων χρειῶν παραμυθίαν εἰσήγαγε, τοὺς ἐπιβουλεύοντας ἀνέστειλεν, εἰς θάνατον ἑαυτὴν ἐξέδωκεν, ὥστε τὸν ἅγιον ἐκεῖνον ἀπαγόμενον ἐξαρπάσαι περιστάσεων.

Διὰ δὴ τοῦτο καὶ τὴν μετ' ἐκείνην ἐγκωμιάζει, λέγων οὕτως·

καὶ τὴ δίψα, ποὺ ἀγωνιζόταν μὲ τὴ γύμνια καὶ τὸ κρύο καὶ ἔλεγε, «μέχρι αὐτὴ τὴ στιγμὴ καὶ πεινᾶμε καὶ διψᾶμε καὶ εἴμαστε γυμνοί»[6], αὐτὸς ποὺ ἦταν νεκρὸς γιὰ τὸν κόσμο, ποὺ θεωροῦσε πὼς ὁ κόσμος εἶναι νεκρός, ὁ πολίτης τῶν οὐρανῶν, ὁ παράφορος ἐραστὴς τοῦ Χριστοῦ, ὁ πιὸ θερμὸς ἀπὸ φωτιά, ὁ πιὸ δυνατὸς ἀπὸ σίδερο, ὁ πιὸ σκληρὸς ἀπὸ διαμάντι, αὐτὸς δὲν ντρεπόταν νὰ λέγει γιὰ μία γυναίκα ὅτι «ἔγινε προστάτρια σὲ πολλοὺς καὶ σὲ μένα τὸν ἴδιο»; Καὶ δὲν τὸ λέγει μόνο, ἀλλὰ καὶ τὸ γράφει. Καὶ δὲν τὸ γράφει μόνο ἁπλῶς, ἀλλὰ καὶ τὰ ἔγραφε αὐτὰ στὴν ἐπιστολή του σὲ τόσο μεγάλο πλῆθος Ρωμαίων ποὺ ὑπερηφανευόταν καὶ εἶχε μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό του ἀπὸ τὰ κοσμικὰ ἀξιώματα. Καὶ δὲν τὸ ἔγραφε μόνο σ' αὐτούς, ἀλλ' ἤθελε νὰ γίνει αὐτὸ ὁλοφάνερο καὶ στὶς μεταγενέστερες γενεές.

Γιατί, ἂν δὲν ἤθελε, δὲ θὰ τὸ ἔγραφε μέσα στὴν ἐπιστολή. Τώρα ὅμως, ἐπειδὴ ἤθελε νὰ παραδοθεῖ τὸ πράγμα σὲ παντοτινὴ ἀνάμνηση, χαιρετίζει τὴ γυναίκα καὶ παρακινεῖ ὅλους νὰ τὴ βοηθήσουν καὶ τὴν ὀνομάζει προστάτριά του, καὶ δὲν ντρέπεται οὔτε κοκκινίζει. Τόσο μεγάλο πράγμα εἶναι ἡ ἀδιάφορη γιὰ τὰ γήινα ψυχὴ καὶ σὲ γυναικεῖο σῶμα. Καὶ τὰ λέγω αὐτὰ γιὰ νὰ μὴν προφασίζεται ἡ γυναίκα λέγοντας ὅτι 'ἐπειδὴ εἶμαι γυναίκα δὲν ἔφθασα σὲ ὁλόκληρο τὸ μέτρο τῆς ἐσέβειας'. Νὰ λοιπὸν αὐτὴ ἦταν γυναίκα, καὶ ἡ φύση δὲν ἔγινε ἐμπόδιο, ἀλλὰ καταξιώθηκε νὰ γίνει προστάτρια τοῦ Παύλου καὶ τιμᾶται σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης. Πῶς ὅμως ἔγινε προστάτριά του; Μήπως τὸν γλύτωσε ἀπὸ κινδύνους; Κάθισε δίπλα του ὅταν ἦταν φυλακισμένος, τὸν παρηγόρησε στὰ δεσμά του, τὸν ἀνακούφισε στὶς ἀπαραίτητες ἀνάγκες του, ἐμπόδισε αὐτοὺς ποὺ τὸν ἐχθρεύονταν, παρέδωσε τόν ἑαυτό της σὲ θάνατο, γιὰ νὰ γλυτώσει ἀπὸ τὶς δύσκολες περιστάσεις τὸν ἅγιο ἐκεῖνον ὅταν τὸν ὁδηγοῦσαν στὶς ἀρχές.

Γι' αὐτὸ ἀκριβῶς ἐπαινεῖ καὶ τὴ γυναίκα ποὺ ἀναφέρεται

6. Α' Κορ. 4,11.

*«ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν». Ὅρα δὲ καὶ ἐνταῦθα πάλιν τὴν γυναῖκα λάμπουσαν· εἰ γὰρ μία ἡ ξυνωρίς, ἀλλὰ προτέτακται ἡ γυνὴ τοῦ ἀνδρός· οὐ γὰρ εἶπεν, 'Ἀκύλαν καὶ Πρίσκιλλαν', ἀλλά, «Πρίσκιλλαν καὶ Ἀκύλαν». Τίνες δὲ ἦσαν οὗτοι; Σκηνοποιοὶ τὴν τέχνην, ἐπὶ ἐργαστηρίου ἑστῶτες· ἀλλ' οὐδὲ ἡ τέχνη, οὐδὲ ἡ πενία γέγονε κώλυμα· ἀλλὰ τὴν πόλιν ἅπασαν παραδραμὼν ὁ μακάριος οὗτος εἰς τὸ δωμάτιον τὸ τοῦτο κατήγετο. Τίνος ἕνεκεν καὶ διὰ τί; Οὐκ ἐπειδὴ κίονας εἶχεν, οὐδὲ ἐπειδὴ πλάκας καὶ ἔδαφος ψηφῖσι διηνθισμένον, οὐδὲ ἐπειδὴ χρυσοῦν ὄροφον, οὐδὲ ἐπειδὴ ἀνδραπόδων ἀγέλας, οὐδὲ ἐπειδὴ εὐνούχων θεραπείαν, ἀλλὰ διὰ τὸ τούτων ἁπάντων μάλιστα τὸ δωμάτιον καθαρὸν εἶναι· διότι γυνὴ καὶ ἀνὴρ τὸν ἐκ δικαίων συνάγοντες πόνον, ἐκκλησίαν τὴν οἰκίαν ἐποίουν, οὐχ ἁρπάζοντες, οὐδὲ πλεονεκτοῦντες, ἀλλὰ τῇ τοῦ σώματος λειτουργίᾳ πρὸς τὴν ἀναγκαίαν ἀποχρώμενοι διατροφήν. Διὰ δὴ τοῦτο μάλιστα Παῦλος ἐπιτήδειον τοῦτο τὸ οἴκημα πρὸς τὸ καταλῦσαι ἐνόμισεν.*

*Καὶ ἵνα μάθῃς ὅτι τῆς ψυχῆς αὐτῶν τὴν ἀρετὴν ἀποδεξάμενος, ἐκεῖ κατέμενεν, ἄκουσον τῶν ἑξῆς· «οἵτινες ὑπὲρ τῆς ψυχῆς μου», φησί, «τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν· οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν». Εἶδες οὔτε γυναικείαν φύσιν, οὐ τέχνην, οὐ πενίαν ἐμποδίζουσαν τῷ δρόμῳ τῆς ἀρετῆς; εἶδες ξενοδόχον γυναῖκα καὶ ἄνδρα οὐ τραπέζῃ μόνον, ἀλλὰ καὶ αἵματι τὸν ἀπόστολον ὑποδεχομένους; Τί γὰρ εἰ καὶ μὴ ἐσφάγησαν; ἀλλ' αὐτοὶ τὸ αὐτῶν ἐπλήρωσαν καὶ ζῶντες ἐγένοντο μάρτυρες, καὶ πολλάκις μάρτυρες, ἀεὶ παραταττόμενοι σφάττεσθαι ὑπὲρ τοῦ Παύλου. Οὐ γὰρ εἶπεν, 'οἵτινες χρήματα ἀνάλωσαν', 'οἵτινες τὴν οἰκίαν ἀνέῳξαν', ἀλλ', ὃ πάντων μεῖζον ἦν, τὸν φόνον, τὴν*

---

7. Ρωμ. 16,3.

μετά ἀπ' αὐτὴ λέγοντας ἔτσι· «χαιρετῆστε τὴν Πρίσκιλλα καὶ τὸν 'Ακύλα»[7]. Πρόσεχε καὶ ἐδῶ πάλι τὴ γυναίκα νὰ λάμπει. Ἂν καὶ ἦταν ζευγάρι, ἡ γυναίκα ὅμως τοποθετήθηκε μπροστὰ ἀπὸ τὸν ἄνδρα. Γιατὶ δὲν εἶπε 'τὸν 'Ακύλα καὶ τὴν Πρίσκιλλα', ἀλλά, «τὴν Πρίσκιλλα καὶ τὸν 'Ακύλα». Καὶ ποιοί ἦταν αὐτοί; Εἶχαν τὸ ἐπάγγελμα τοῦ σκηνοποιοῦ καὶ ἐργάζονταν σὲ ἐργαστήριο. Ὅμως οὔτε τὸ ἐπάγγελμα οὔτε ἡ φτώχεια ἔγινε ἐμπόδιο, ἀλλ' ὁ μακάριος αὐτὸς ἄφησε ὅλη τὴν πόλη καὶ κατέβηκε σ' αὐτὸ τὸ δωμάτιο. Γιὰ ποιό λόγο καὶ γιατί; Ὄχι ἐπειδὴ εἶχε κίονες, οὔτε ἐπειδὴ εἶχε πλάκες καὶ δάπεδο στολισμένο μὲ ψηφιδωτά, οὔτε ἐπειδὴ εἶχε χρυσὴ ὀροφή, οὔτε ἐπειδὴ εἶχε πλῆθος δούλων, οὔτε ἐπειδὴ εἶχε τὴν περιποίηση τῶν εὐνούχων, ἀλλ' ἐπειδὴ τὸ δωμάτιο ἦταν καθαρὸ κυρίως ἀπ' ὅλα αὐτά. Γιατὶ ἡ γυναίκα καὶ ὁ ἄνδρας συγκεντρώνοντας τὰ ἀπαραίτητα μὲ δίκαιο κόπο ἔκαναν τὸ σπίτι τους ἐκκλησία, χωρίς νὰ ἁρπάζουν, οὔτε νὰ εἶναι πλεονέκτες, ἀλλὰ χρησιμοποιώντας τὴν ἀπαραίτητη τροφὴ γιὰ τὴ λειτουργία τοῦ σώματος. Γι' αὐτὸν κυρίως τὸ λόγο ὁ Παῦλος θεώρησε κατάλληλο τὸ οἴκημα αὐτὸ γιὰ νὰ μείνει.


Καὶ γιὰ νὰ μάθεις ὅτι ἔμενε ἐκεῖ, ἐπειδὴ παραδέχθηκε τὴν ἀρετὴ τῆς ψυχῆς τους, ἄκουσε τὰ ἑπόμενα· «αὐτοὶ γιὰ χάρη τῆς ζωῆς μου», λέγει, «κινδύνευσαν ν' ἀποκεφαλισθοῦν. Δὲν τοὺς εὐχαριστῶ μόνο ἐγώ, ἀλλὰ καὶ ὅλες οἱ ἐκκλησίες τῶν ἐθνῶν»[8]. Εἶδες πῶς οὔτε ἡ γυναικεία φύση, οὔτε τὸ ἐπάγγελμα, οὔτε ἡ φτώχεια ἐμποδίζει στὸ δρόμο τῆς ἀρετῆς; εἶδες φιλόξενη γυναίκα καὶ ἄνδρα ποὺ νὰ φιλοξενοῦν τὸν ἀπόστολο ὄχι μόνο μὲ τράπεζα, ἀλλὰ καὶ προσφέροντας πρὸς χάρη του καὶ τὸ αἷμα τους; Τί καὶ ἂν δὲ θυσιάσθηκαν; ἀλλ' αὐτοὶ πρόσφερα ὅ,τι ἐξαρτώταν ἀπ' αὐτούς, καὶ ζωντανοὶ ἔγιναν μάρτυρες, καὶ πολλὲς φορὲς μάρτυρες, καὶ ἦταν πάντοτε ἕτοιμοι νὰ θυσιασθοῦν γιὰ χάρη τοῦ Παύλου. Γιατὶ δὲν εἶπε, 'αὐτοὶ ποὺ ξόδεψαν χρήματα, ποὺ ἄνοιξαν τὸ σπίτι τους', ἀλλά, πράγμα ποὺ ἦταν μεγαλύ-

8. Ρωμ. 16,4.

*σφαγὴν εἰς τὸ μέσον τίθησιν, ἵνα εἴπῃ, ὅτι καὶ ἀποτμηθῆναι εἵλοντο ὑπὲρ ἐμοῦ.*

*Ἀκουέτωσαν οἱ νῦν πλουτοῦντες, καὶ μόλις ὀβολοῦ τοῖς ἁγίοις μεταδιδόντες· ἐκεῖνοι καὶ τοῦ αἵματος μετέδωκαν, καὶ τὴν ζωὴν αὐτὴν ἀπεδύσαντο, ἵνα τὸν ἅγιον διασώσωσι καὶ θεραπεύσωσιν, οἱ δὲ παρόντες οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἑαυτῶν οὐσίας πρόοιντο ἂν τοῖς δεομένοις ῥᾳδίως· ἀλλ' ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας καὶ τὰ χρήματα καὶ τὰ σώματα καὶ τὴν ζωὴν αὐτὴν ἐπέδωκαν. Ὁρᾷς ὅσον ἐστὶ γυνὴ φιλοσοφοῦσα, ὅσον ἐστὶν ἀνὴρ καὶ ἐν πενίᾳ καὶ τέχνῃ ζῶν;*


*Τούτους δὴ ζηλώσωμεν, τούτους μιμησώμεθα, καὶ τῶν παρόντων ὑπεριδόντες, πάντα ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων ἐπιδῶμεν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*




τερο ἀπ' ὅλα, ἀναφέρει τὸ φόνο, τὴ σφαγή, γαὶ νὰ πεῖ ὅτι 'ἦταν ἀκόμη ἕτοιμοι καὶ ν' ἀποκεφαλισθοῦν γιὰ μένα'.

῞Ας τ' ἀκοῦν οἱ σημερινοὶ πλούσιοι, ποὺ μὲ δυσκολία δίνουν ἕνα ὀβολὸ στοὺς ἁγίους. Ἐκεῖνοι καὶ τὸ αἷμα τους ἔδωσαν καὶ τὴν ἴδια τὴ ζωή τους πρόσφεραν, γιὰ νὰ διασώσουν καὶ νὰ περιποιηθοῦν τὸν ἅγιο,ἐνῶ οἱ σημερινοὶ οὔτε τὸ ἐλάχιστο μέρος ἀπὸ τὴν περιουσία τους δὲ θὰ θυσίαζαν εὔκολα γι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη. 'Αλλ' ἡ Πρίσκιλλα καὶ ὁ 'Ακύλας ἔδωσαν καὶ τὰ χρήματα καὶ τὰ σώματά τους καὶ τὴν ἴδια τὴ ζωή τους. Βλέπεις πόσο ἀξίζει μιὰ γυναίκα πιστὴ καὶ πόσο ἕνας ἄνδρας ποὺ ζει μέσα σὲ φτώχεια καὶ μὲ τὴν τέχνη του;

Αὐτῶν λοιπὸν ἂς γίνουμε ζηλωτές, αὐτοὺς ἂς μιμηθοῦμε, καί, περιφρονώντας τὰ παρόντα, ἂς τὰ δώσουμε ὅλα γι' αὐτὰ ποὺ φαίνονται καλὰ στὸ Θεό, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζί μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. 'Αμήν.





# ΟΜΙΛΙΑ

## ΕΚΦΩΝΗΘΕΙΣΑ
## ΣΤΟ ΝΑΟ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

**τὴν ἡμέρα τῆς μνήμης τοῦ βασιλιᾶ Θεοδοσίου,**
**πρὸς**
**ἐκείνους ποὺ ὀνομάζουν τοὺς ἑαυτούς τους Καθαρούς,**
**ἀφοῦ μίλησαν ἄλλοι δύο ἐπίσκοποι**



# ΟΜΙΛΙΑ

## ΡΗΘΕΙΣΑ ΕΝ ΤΟΙΣ ΑΠΟΣΤΟΛΟΙΣ

*ἐν τῇ ἡμέρᾳ Θεοδοσίου βασιλέως,*
*πρὸς τοὺς καλοῦντας ἑαυτοὺς Καθαρούς,*
*ἑτέρων β' ἐπισκόπων εἰρηκότων.*

*1. Ὡς καλὴ τῶν εἰρηκότων ἡ ξυνωρίς, τοῦ μὲν διὰ τῶν βοῶν τὴν κιβωτὸν ἕλκοντος, τοῦ δὲ τὰς ἀπαρχὰς τῶν λόγων ἀνατιθέντος. Εἰ γὰρ καὶ διάφορος αὐτῶν ἡ ἡλικία, ἀλλὰ μία τῆς γεωργίας ἡ ἰδέα· μᾶλλον δὲ οὐδὲ ἡ ἡλικία διάφορος· ὅ τε γὰρ νέος τὸ εὐσταθὲς ἔχει τοῦ γεγηρακότος, ὅ τε γεγηρακὼς τὸ σφριγῶν καὶ ἀκμάζον τοῦ νέου· ὥστε οὐκ ἄν τις ἁμάρτοι ἀμφοτέρους καὶ πρεσβύτας καὶ νέους προσειπών, οὐ κατὰ τὴν ἕξιν τῆς ἡλικίας, ἀλλὰ κατὰ τὴν διάθεσιν τῆς γνώμης. Φέρε δὴ λοιπὸν καὶ ἡμεῖς τὰ παρ' ἡμῶν αὐτῶν εἰσενέγκωμεν. Καὶ γὰρ ἀκόρεστον ὑμῶν ὁρῶ τὴν ἀκοὴν οὖσαν, καὶ χρέος οὐ τὸ τυχὸν ὀφείλομεν τῷ μακαρίῳ Θεοδοσίῳ, οὐχ ὅτι βασιλεὺς ἦν, ἀλλ' ὅτι εὐσεβής, οὐχ ὅτι ἁλουργίδα ἦν περιβεβλημένος, ἀλλ' ὅτι Χριστὸν ἦν ἐνδεδυμένος, ἱμάτιον μηδέ ποτε παλαιούμενον, καὶ τὸν θώρακα ἐνεδέδυτο τῆς δικαιοσύνης, καὶ τὰ ὑποδήματα τοῦ εὐαγγελίου τῆς εἰρήνης, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, καὶ τὴν ἀσπίδα τῆς πίστεως, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου.*

*Μετὰ τούτων τῶν ὅπλων τοὺς τυράννους κατέλυσε, τόν τε*



# ΟΜΙΛΙΑ

## ΠΟΥ ΕΚΦΩΝΗΘΗΚΕ ΣΤΟ ΝΑΟ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

τὴν ἡμέρα τῆς μνήμης τοῦ βασιλιᾶ Θεοδοσίου, ἐναντίον ἐκείνων ποὺ ὀνομάζουν τοὺς ἑαυτούς τους Καθαρούς, ἀφοῦ μίλησαν ἄλλοι δύο ἐπίσκοποι.

1. Εἶναι πολὺ καλὴ ἡ δυάδα αὐτῶν ποὺ μίλησαν, ἀφοῦ ὁ ἕνας σύρει τὴν κιβωτὸ μὲ τὰ βόδια καὶ ὁ ἄλλος φορτώνει τὶς ἀπαρχὲς τῶν λόγων του. Γιατί, ἂν καὶ εἶναι διφορετικὴ ἡ ἡλικία τους, ἡ ἰδέα ὅμως τῆς καλλιέργειας εἶναι μία. Ἢ καλύτερα, οὔτε ἡ ἡλικία τους εἶναι διαφορετική, γιατὶ καὶ ὁ νέος ἔχει τὴ σταθερότητα τοῦ γέροντα, καὶ ὁ γέροντας τὸ σφρίγος καὶ τὴ ἐνεργητικότητα τοῦ νέου. Ἑπομένως δὲ θὰ ἔσφαλλε κανεὶς ἂν τοὺς ἔλεγε καὶ τοὺς δύο καὶ γέροντες καὶ νέους, ὄχι ἀπὸ τὴν κατάσταση τῆς ἡλικίας, ἀλλὰ ἀπὸ τὴ διάθεση τῆς ψυχῆς. Ἐμπρὸς λοιπὸν ἂς προσφέρουμε καὶ μεῖς τώρα τὰ δικά μας. Γιατὶ βλέπω ὅτι καὶ ἡ ἀκοή σας εἶναι ἄπληστη, καὶ χρέος μεγάλο ὀφείλουμε στὸ μακάριο Θεοδόσιο, ὄχι γιατὶ ἦταν βασιλιάς, ἀλλὰ γιατὶ ἦταν εὐσεβής, ὄχι γιατὶ φοροῦσε τὴ βασιλικὴ πορφύρα, ἀλλὰ γιατὶ εἶχε γιὰ ἔνδυμα τὸ Χριστό, ἔνδυμα ποὺ δὲ γίνεται ποτὲ παλαιό, καὶ φοροῦσε τὸ θώρακα τῆς δικαιοσύνης, καὶ τὰ ὑποδήματα τοῦ Εὐαγγελίου τῆς εἰρήνης, καὶ τὴ μάχαιρα τοῦ Πνεύματος, καὶ τὴν ἀσπίδα τῆς πίστης, καὶ τὴν περικεφαλαία τῆς σωτηρίας.

Μὲ τὰ ὅπλα αὐτὰ διέλυσε τοὺς τυράννους, καὶ τὸν πρῶτο

*πρότερον καὶ τὸν ἔσχατον. Τὸν μὲν γὰρ ἀπονητὶ καὶ ἀναιμωτὶ λαβών, τὸ τρόπαιον ἔστησε, μηδὲ μικρὸν ἀποβαλὼν τοῦ στρατοπέδου, τὸν δὲ συμβολῆς γενομένης μόνος καθεῖλεν. Ἐπειδὴ γὰρ ἐξ ἑκατέρου μέρους τὰ στρατόπεδα παρετάττετο, καὶ νέφη βελῶν ἠφίετο, καὶ τροπὴ τῶν οἰκείων ἐγίνετο, τῶν ἐναντίων ἐπικειμένων σφοδρῶς, ἀποπηδήσας τοῦ ἵππου, καὶ τὴν ἀσπίδα χαμαὶ θείς, καὶ γόνατα κλίνας, ἐκ τῶν οὐρανῶν τὴν συμμαχίαν ἐκάλει, καὶ τὸν τόπον τῆς παρατάξεως τόπον ἐκκλησίας ἐποίει, οὐ τόξοις καὶ βέλεσιν, οὐδὲ δόρασι πολεμῶν, ἀλλὰ δάκρυσι καὶ εὐχαῖς· καὶ οὕτως ἀθρόον ἀνέμου προσβολῆς ἐμπεσούσης, τὰ μὲν βέλη τῶν ἐναντίων κατὰ τῶν ἀφιέντων ἐφέρετο, οἱ δὲ θυμοῦ πνέοντες καὶ φόνων, ὁρῶντες πολέμιοι, ἀθρόον μεταβαλλόμενοι, τοῦτον βασιλέα ἀνεκήρυττον, καὶ τὸν αὐτῶν παρεδίδοσαν, ὀπίσω τὰς χεῖρας δήσαντες. Και ἐπανήει λαμπρὸς γινόμενος ὁ μακάριος Θεοδόσιος οὐ τῇ νίκῃ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς νίκης. Οὐ γάρ, ὥσπερ ἐπὶ τῶν ἄλλων βασιλέων, μερίζονται πρὸς αὐτὸν τὸ τρόπαιον οἱ στρατιῶται, ἀλλὰ τὸ πᾶν αὐτοῦ μόνου καὶ τῆς αὐτοῦ πίστεως ἐγίνετο.*

*Διὰ δὴ τοῦτο αὐτὸν μακαρίζομεν, καὶ οὐδὲ τετελευτηκέναι φαμέν· «πᾶς γὰρ ὁ εἰς ἐμὲ πιστεύων», φησί, «κἂν ἀποθάνῃ, ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ». Ταῦτα ὁ Χριστὸς εἴρηκε, ταῦτα διὰ τῶν ἔργων διαλάμπει. Τί οὖν, οὐκ ἀπέθανε, φησίν; Οὐδαμῶς· οὐ γὰρ ἂν εἴποιμι τοῦτον θάνατον εἶναι, ἀλλὰ ὕπνον τινὰ καὶ ἀποδημίαν. Ὥσπερ γὰρ πολλοὶ τῶν ζώντων τεθνήκασιν, ὡς ἐν τάφῳ τῷ σώματι τὴν ψυχὴν κατορύξαντες, οὕτω πολλοὶ τῶν τελευτησάντων ζῶσι, τῇ δικαιοσύνῃ διαλάμποντες· καθάπερ καὶ ὁ μακάριος οὗτος. Θάνατος γάρ ἐστι χαλεπώτατος καὶ ὄντως θάνατος ὁ ἐκ τῆς ἁμαρτίας τικτόμενος, ὃν οὔ φησιν ἀποθνήσκειν τοὺς εἰς αὐτὸν πιστεύοντας. «Ὁ γὰρ ζῶν», φησί, «καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ...»*

---

1. Ἰω. 11,26.
2. Στὸ σημεῖο αὐτὸ παρατηρεῖται ἕνα κενό. Ἀσφαλῶς ἔχει χαθεῖ μεγάλο τμῆμα τῆς ὁμιλίας.

καὶ τὸν τελευταῖο. Γιατὶ τὸν ἕνα τὸν ἔπιασε χωρὶς κόπο καὶ χωρὶς αἷμα καὶ ἔστησε τὸ τρόπαιο, χωρὶς νὰ χάσει καθόλου ἀπὸ τὸ στρατό του, ἐνῶ τὸν ἄλλο τὸν σκότωσε μόνος του ὅταν ἔγινε σύγκρουση. Γιατί, ὅταν καὶ ἀπὸ τὰ δύο μέρη παρατάσσονταν τὰ στρατεύματα καὶ ρίχνονταν σύννεφο τὰ βέλη καὶ τρέπονταν σὲ φυγὴ οἱ δικοί μας καθὼς οἱ ἐχθροὶ ἐφορμοῦσαν μὲ δύναμη ἐναντίον μας, ἀφοῦ πήδηξε ἀπὸ τὸ ἄλογο καὶ ἔβαλε κάτω τὴν ἀσπίδα καὶ λύγισε τὰ γόνατα, ζητοῦσε τὴ βοήθεια ἀπὸ τοὺς οὐρανοὺς καὶ ἔκανε τὸν τόπο τῆς μάχης τόπο ἐκκλησίας, πολεμώντας ὄχι μὲ τόξα καὶ βέλη, οὔτε μὲ δόρατα, ἀλλὰ μὲ δάκρυα καὶ προσευχές. Καὶ ἔτσι ξαφνικὰ φύσηξε δυνατὸς ἄνεμος καὶ τὰ βέλη τῶν ἐχθρῶν στρέφονταν ἐναντίον ἐκείνων ποὺ τὰ ἔρριχναν· τότε ἐκεῖνοι οἱ ἐχθροὶ ποὺ ἦταν γεμάτοι ὀργὴ καὶ φονικὴ διάθεση βλέποντας αὐτὸ ἄλλαξαν ξαφνικὰ καὶ ἀνακήρυσσαν αὐτὸν βασιλιά, ἐνῶ τὸ δικό τους τὸν παρέδωσαν ἀφοῦ τοῦ ἔδεσαν πίσω τὰ χέρια. Καὶ ἐπέστρεφε θριαμβευτὴς ὁ μακάριος Θεοδόσιος ὄχι μὲ τὴ νίκη μόνο, ἀλλὰ καὶ μὲ τὸν τρόπο τῆς νίκης. Γιατὶ δὲ μοιράζονται μαζί του τὸ τρόπαιο οἱ στρατιῶτες, ὅπως ἀκριβῶς γίνεται στοὺς ἄλλους βασιλεῖς, ἀλλ' ὅλα γίνονταν ἀπ' αὐτὸν μόνο καὶ ἀπὸ τὴν πίστη του.

Γι' αὐτὸ ἀκριβῶς τὸν μακαρίζουμε καὶ λέμε πὼς δὲν ἔχει πεθάνει. «Γιατὶ ὁ καθένας ποὺ πιστεύει σὲ μένα», λέγει, «καὶ ἂν ἀκόμη πεθάνει, θὰ ζήσει, καὶ ὁ καθένας ποὺ ζεῖ καὶ πιστεύει σὲ μένα δὲ θὰ πεθάνει»[1]. Αὐτὰ εἶπε ὁ Χριστός, αὐτὰ λάμπουν μὲ τὰ ἔργα. Τί λοιπόν, θὰ πεῖ κάποιος, δὲν πέθανε; Καθόλου, γιατὶ δὲ θὰ μποροῦσα νὰ πῶ ὅτι αὐτὸς εἶναι θάνατος, ἀλλ' ἕνα εἶδος ὕπνου καὶ ταξίδι σὲ ἄλλο μέρος. Γιατί, ὅπως πολλοὶ ἀπὸ τοὺς ζωντανοὺς ἔχουν πεθάνει, ἀφοῦ ἔθαψαν τὴν ψυχή τους στὸν τάφο τοῦ σώματός τους, ἔτσι πολλοὶ ἀπὸ τοὺς νεκροὺς ζοῦν λάμποντας μὲ τὴν ἀρετή τους, ὅπως ἀκριβῶς καὶ αὐτὸς ὁ μακάριος. Γιατὶ ὁ πιὸ φοβερὸς θάνατος καὶ πραγματικὸς θάνατος εἶναι αὐτὸς ποὺ γεννιέται ἀπὸ τὴν ἁμαρτία, τὸν ὁποῖο λέγει δὲν πεθαίνουν ὅσοι πιστεύουν σ' αὐτόν. Γιατὶ λέγει, «ὅποιος ζεῖ καὶ πιστεύει σὲ μένα δὲ θὰ πεθάνει...»[2].

2. Οὐ καθάπερ ὑπόπτερος γῆν καὶ θάλατταν περιδραμὼν ὁ μυρία ἔθνη τῷ Χριστῷ προσαγαγών, ὁ τῶν ἀπορρήτων μυστηρίων κοινωνήσας, ὁ εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, ἆρά τι τοιοῦτον ἐτόλμησε περὶ ἑαυτοῦ εἰπεῖν; Οὐδαμῶς, ἀλλὰ τοὐναντίον ἅπαν· ἔκτρωμα ἑαυτὸν ἐκάλει καὶ ἔσχατον τῶν ἀποστόλων καὶ οὐδὲ τῆς προσηγορίας ἑαυτὸν ἄξιον εἶναι νομίζων· «οὔκ εἰμι γὰρ ἱκανός», φησί, «καλεῖσθαι ἀπόστολος». Τίς οὖν ἡ ἀπόνοια αὕτη; τίς ἡ ἀλαζονεία; τίς ἡ μανία; ἄνθρωπος ὤν, σεαυτὸν καθαρὸν καλεῖς, καὶ πέπεισαι εἶναι καθαρός, καὶ πόσης ταῦτα ἀνοίας; Καθαρὸν γὰρ ἑαυτὸν λέγων, ὅμοιόν τι ποιεῖς, ὥσπερ ἂν εἴ τις λέγοι τὸ πέλαγος κυμάτων εἶναι καθαρόν. Ὥσπερ οὖν ἐκεῖνο οὐκ ἐπιλείπει τὰ κύματα, οὕτως οὐδὲ ἡμᾶς τὰ ἁμαρτήματα. Ἢ οὐκ οἶσθα τίνες ἐσμέν, χαίροντες, λυπούμενοι, πλουτοῦντες, πενόμενοι, ὑβριζόμενοι, ἐπαινούμενοι, ἐλαυνόμενοι καὶ πολεμούμενοι, ἀδείας ἀπολαύοντες, πεινῶντες, κορεννύμενοι; Μυρία περιέστηκε τὴν ψυχὴν πάθη, μυρίαι πραγμάτων περιστάσεις, μυρία σώματος νοσήματα, μυρίαι πραγμάτων ἀνωμαλίαι, καὶ τολμᾷς εἰπεῖν ὅτι ἐν εὐρίπῳ σάλων τοσούτων καθαρὸς εἶ; καὶ τί τούτου γένοιτ' ἂν ῥυπαρώτερον τοῦ οὕτω διακειμένου;

Καὶ τί λέγω τὸν βίον ἅπαντα; ἡμέραν γὰρ μίαν δυνήσεταί τις εἰπεῖν, εἰπέ μοι, ὅτι καθαρός ἐστι; κἂν γὰρ μὴ πορνεύῃ, μηδὲ μοιχεύῃ, μηδὲ ταῦτα τὰ ἀπειρημένα ἁμαρτάνῃ, δυνήσεται καυχήσασθαι, ὅτι οὐκ ἐκενοδόξησεν, ὅτι οὐκ ἀπενοήθη, ὅτι οὐκ ἀκολάστοις εἶδεν ὀφθαλμοῖς, ὅτι οὐκ ἐπεθύμησε τὰ τοῦ πλησίον, ὅτι οὐκ ἐψεύσατο, ὅτι δόλον οὐκ ἔρραψεν, ὅτι οὐ κατηύξατο τῶν ἐχθρῶν, ὅτι οὐκ ἐβάσκηνε τῷ φίλῳ; Εἰ δὲ ὁ τὸν φιλοῦντα φιλῶν, οὐδὲν ἔλαττον ἕξει τοῦ τελώνου κατὰ τοῦτο, τίνος ἔσται συγγνώμης ἄξιος ὁ

2. Ἄραγε ἐκεῖνος πού, περιτρέχοντας τὴ γῆ καὶ τὴ θάλασσα σὰν νὰ εἶχε φτερά, ὁδήγησε στὸ Χριστὸ ἄπειρα ἔθνη, ἐκεῖνος ποὺ ἔγινε συμμέτοχος στὰ ἀπόρρητα μυστήρια, ἐκεῖνος ποὺ ἁρπάχθηκε στὸν τρίτο οὐρανό, τόλμησε νὰ πεῖ κάτι τέτοιο γιὰ τὸν ἑαυτό του; Καθόλου, ἀλλὰ ἐντελῶς τὸ ἀντίθετο. Ὀνόμαζε τὸν ἑαυτό του ἔκτρωμα, καὶ τελευταῖο ἀπὸ τοὺς Ἀποστόλους καὶ δὲ θεωροῦσε πὼς ὁ ἴδιος εἶναι ἄξιος γι' αυτὴ τὴν ὀνομασία. «Δὲν εἶμαι ἄξιος», λέγει, «νὰ ὀνομάζομαι ἀπόστολος»[3]. Τί λοιπὸν εἶναι αὐτὴ ἡ παραφροσύνη; τί εἶναι αὐτὴ ἡ ἀλαζονεία; τί εἶναι αὐτὴ ἡ τρέλλα; Ἐνῶ εἶσαι ἄνθρωπος, ὀνομάζεις τὸν ἑαυτό σου καθαρό, καὶ ἔχεις πεισθεῖ πὼς εἶσαι καθαρός· καὶ πόση ἀνοησία δὲ δείχνουν αὐτά; Λέγοντας λοιπὸν καθαρὸ τὸν ἑαυτό σου, κάνεις κάτι παρόμοιο, ὅπως δηλαδὴ ἂν κάποιος ἔλεγε ὅτι τὸ πέλαγος εἶναι καθαρὸ ἀπὸ κύματα. Ὅπως δηλαδὴ ἐκεῖνο δὲν τὸ ἀφήνουν τὰ κύματα, ἔτσι καὶ μᾶς τὰ ἁμαρτήματα. Ἢ δὲν ξέρεις ποιοί εἴμαστε, ὅταν χαιρόμαστε, ὅταν λυπόμαστε, ὅταν εἴμαστε πλούσιοι, ὅταν εἴμαστε φτωχοί, ὅταν μᾶς βρίζουν, μᾶς ἐπαινοῦν, μᾶς διώκουν καὶ μᾶς πολεμοῦν, ὅταν ἀπολαμβάνουμε ἀνάπαυση, ὅταν πεινοῦμε, ὅταν χορταίνουμε; Ἄπειρα πάθη περικυκλώνουν τὴν ψυχή, ἄπειρες περιστάσεις πραγμάτων, ἄπειρες ἀρρώστιες τοῦ σώματος, ἄπειρες ἀνωμαλίες πραγμάτων, τολμᾶς νὰ πεῖς, βρισκόμενος μέσα σὲ πορθμὸ μὲ τόση ἀναταραχὴ στὰ νερά του, ὅτι εἶσαι καθαρός; Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἀκάθαρτο ἀπ' αὐτὸν ποὺ συμπεριφέρεται ἔτσι;

Καὶ γιατί λέγω ὁλόκληρη τὴ ζωή; Γιατί, πές μου, θὰ μπορέσει κανεὶς νὰ πεῖ ὅτι εἶναι καθαρὸς μία ἡμέρα; Γιατί, καὶ ἂν ἀκόμη δὲν πορνεύει, καὶ δὲ μοιχεύει, καὶ δὲν ἁμαρτάνει αὐτὰ τὰ ἀπαγορευμένα, θὰ μπορέσει νὰ καυχηθεῖ ὅτι δὲν ἔδειξε ματαιοδοξία, ὅτι δὲν ὑπερηφανεύθηκε, ὅτι δὲν εἶδε μὲ μάτια ἀκόλαστα, ὅτι δὲν ἐπιθύμησε τὰ πράγματα τοῦ πλησίον, ὅτι δὲν εἶπε ψέματα, ὅτι δὲ μηχανορράφησε, ὅτι δὲν καταράσθηκε τοὺς ἐχθρούς του, ὅτι δὲ φθόνησε τὸ φίλο του; Ἂν αὐτὸς ποὺ ἀγαπάει ἐκεῖνον ποὺ τὸν ἀγαπάει, δὲ θὰ ἔχει σ' αὐτὸ τίποτε λιγότε-

3. Α΄ Κορ. 15,9.

*καὶ τῷ φίλῳ βασκαίνων; Τοσούτοις περιαντλούμενος κακοῖς τολμᾷς σεαυτὸν καθαρὸν καλέσαι; Ἀλλ᾽ ἐκείνων μὲν ἡ ἀπόνοια οὐ μὲν ἐντεῦθεν, ἀλλὰ καὶ ἑτέρωθεν ἀποδειχθήσεται, ὑμᾶς δὲ παρακαλῶ καὶ τὴν ὑμετέραν ἀγάπην, ταῦτα πάντα ἐννοοῦντας τῆς μὲν ἀλαζονείας αὐτῶν ἀπαλλάττεσθαι, καὶ τῆς ἀπονοίας ἐκτὸς εἶναι, πειρᾶσθαι δὲ μετὰ σπουδῆς ἁπάσης τά τε ὄντα ἁμαρτήματα ἀποσμήχειν, τά τε προσιόντα ἀποκρούεσθαι. Κἂν γὰρ μυρία ἡμᾶς περιστοιχίζηται κακά, ἐὰν σωφρονῶμεν καὶ ἐγρηγορότες ὦμεν, δυνησόμεθα πολλῆς ἀπολογίας τυχεῖν, πολλῆς τῆς συγγνώμης, καὶ ἀπονίψασθαι τὰ πεπλημμελημένα.*

*Καὶ πῶς ἔσται τοῦτο ἄκουσον· ἂν εἰς ἐκκλησίαν ἀπαντῶμεν, ἂν στενάζωμεν ἐπὶ τοῖς πεπλημμελημένοις, ἂν ὁμολογῶμεν τὰ ἡμαρτημένα, ἂν ἐλεημοσύνας ποιῶμεν, ἂν εὐχὰς ἐπιδειξώμεθα, ἂν ἀδικουμένοις βοηθῶμεν, ἂν τοῖς ἐχθροῖς τὰ ἁμαρτήματα συγχωρῶμεν, ἂν δακρύωμεν ἐπὶ τοῖς ἡμαρτημένοις· ταῦτα γὰρ ἅπαντα φάρμακα τῶν ἁμαρτημάτων ἐστί. Ταῦτα δὴ πάντα, παρακαλῶ, κατασκευάζωμεν, καθ᾽ ἑκάστην ἡμέραν ἐκπλύνοντες ἑαυτούς, ἀποσμήχοντες· καὶ μετὰ τούτων ἁπάντων ταλανίζωμεν ἑαυτούς, λέγοντες ἀχρείους εἶναι δούλους· καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν εἶδος τῆς τῶν ἁμαρτημάτων δαπάνης, τὸ καὶ κατορθοῦντας μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι, ἵνα μὴ πάθωμεν ἅπερ ἔπαθεν ὁ Φαρισαῖος.*

*Ἂν οὕτω τὰ καθ᾽ ἑαυτοὺς οἰκονομῶμεν, δυνησόμεθα φιλανθρωπίας τυχεῖν καὶ συγγνώμης ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀξιωθῆναι, ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ρο ἀπὸ τὸν τελώνη, γιὰ ποιά συγγνώμη θὰ εἶναι ἄξιος ἐκεῖνος ποὺ φθονεῖ ἀκόμη καὶ τὸ φίλο του; Ἐνῶ βυθίζεσαι σὲ τόσα πολλὰ κακὰ τολμᾶς νὰ ὀνομάσεις καθαρὸ τὸν ἑαυτό σου; Ἀλλὰ ἡ δική τους παραφροσύνη ὄχι μόνο ἀπὸ ἐδῶ ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ θ' ἀποδειχθεῖ. Παρακαλῶ ὅμως ἐσᾶς καὶ τὴ δική σας ἀγάπη, ἀφοῦ κατανοήσετε ὅλα αὐτά, ν' ἀπομακρύνεστε ἀπὸ τὴν ἀλαζονεία τους καὶ νὰ μὴν εἶστε παράφρονες, ἀλλὰ νὰ προσπαθεῖτε μὲ κάθε φροντίδα καὶ τὰ τωρινὰ ἁμαρτήματα νὰ σβήνετε καὶ τὰ μελλοντικὰ νὰ ἀποκρούετε. Γιατί, καὶ ἂν ἀκόμα μᾶς περιστοιχίζουν ἄπειρα κακά, ἂν εἴμαστε συνετοὶ καὶ προσεκτικοί, θὰ μπορέσουμε νὰ ἐπιτύχουμε μεγάλη ἀπολογία καὶ πολλὴ συγγνώμη καὶ νὰ ξεπλύνουμε τὰ παραπτώματά μας.

Καὶ πῶς θὰ γίνει αὐτό, ἄκουσε· ἂν πηγαίνουμε στὴν ἐκκλησία, ἂν στενάζουμε γιὰ τὰ παραπτώματά μας, ἂν ὁμολογοῦμε τὰ ἁμαρτήματά μας, ἂν κάνουμε ἐλεημοσύνες, ἂν προσευχόμαστε, ἂν βοηθοῦμε ὅσους ἀδικοῦνται, ἂν συγχωροῦμε τὶς ἁμαρτίες τῶν ἐχθρῶν μας, ἂν δακρύζουμε γιὰ τὰ ἁμαρτήματά μας. Γιατὶ ὅλα αὐτὰ εἶναι φάρμακα γιὰ τὶς ἁμαρτίες. Αὐτὰ λοιπὸν ὅλα, παρακαλῶ, ἂς τὰ ἐφαρμόζουμε, ξεπλύνοντας καὶ καθαρίζοντας κάθε ἡμέρα τοὺς ἑαυτούς μας. Καὶ μαζὶ μὲ ὅλα αὐτὰ ἂς ταλανίζουμε τοὺς ἑαυτούς μας, λέγοντας πὼς εἴμαστε δοῦλοι ἄχρηστοι. Γιατὶ βέβαια καὶ αὐτὸ δὲν εἶναι μικρὸς τρόπος γιὰ νὰ λιγοστεύουν τὰ ἁμαρτήματά μας, δηλαδὴ τὸ νὰ μὴ φανταζόμαστε τίποτε τὸ μεγάλο γιὰ τοὺς ἑαυτοὺς μας καὶ ὅταν ἀκόμη κατορθώνουμε κάτι, γιά νὰ μὴν πάθουμε αὐτὰ ποὺ ἔπαθε ὁ Φαρισαῖος.

Ἂν ἔτσι ρυθμίζουμε τὰ δικά μας, θὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὴ φιλανθρωπία καὶ τὴ συγγνώμη τὴ φοβερὴ ἐκείνη ἡμέρα καὶ νὰ ἀξιωθοῦμε τὰ ὑπεσχημένα ἀγαθά. Αὐτὰ εἴθε νὰ τὰ ἀπολαύσουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



# Ο Μ Ι Λ Ι Α

## ΕΚΦΩΝΗΘΕΙΣΑ
## ΣΤΟ ΝΑΟ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

**ἀφοῦ διάβασαν Γότθοι καὶ μίλησε προηγουμένως Γότθος πρεσβύτερος**



# *ΟΜΙΛΙΑ*

## *ΛΕΧΘΕΙΣΑ ΕΝ ΤΗ͂Ι ΕΚΚΛΗΣΙΑ͂Ι ΤΗ͂Ι ΕΠΙ ΠΑΥΛΟΥ,*

*Γότθων ἀναγνόντων, καὶ πρεσβυτέρου Γότθου προομιλήσαντος.*

1. *Ἐβουλόμην παρεῖναι Ἕλληνας τήμερον, ὥστε τῶν ἀνεγνωσμένων ἀκοῦσαι καὶ μαθεῖν πόση τοῦ σταυρωθέντος ἡ ἰσχύς, πόση τοῦ σταυροῦ ἡ δύναμις, πόση τῆς Ἐκκλησίας ἡ εὐγένεια, πόση τῆς πίστεως ἡ εὐτονία, πόση τῆς πλάνης ἡ αἰσχύνη, πόσος τῶν δαιμόνων ὁ γέλως. Τὰ μὲν γὰρ τῶν φιλοσόφων καὶ παρὰ τοῖς ὁμοφώνοις καταλέλυται, τὰ δὲ ἡμέτερα καὶ παρὰ ἑτερογλώσσοις πολλὴν ἔχει δύναμιν· καὶ τὰ μὲν ἀράχνης εὐκολώτερον διεσπάσθη, τὰ δὲ ἀδάμαντος στερρότερον πέπηγε.*

*Ποῦ τὰ Πλάτωνος καὶ Πυθαγόρου καὶ τῶν ἐν Ἀθήναις; ἐσβέσθη. Ποῦ τὰ τῶν ἁλιέων καὶ σκηνοποιῶν; οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν βαρβάρων γλώττῃ, καθὼς ἠκούσατε σήμερον, ἡλίου φανότερον διαλάμπει, καὶ Σκύθαι καὶ Θρᾷκες καὶ*

1. Πλάτων· ἀπὸ τοὺς μεγαλύτερους Ἕλληνες φιλοσόφους (428/27–347 π.Χ.). Ἵδρυσε στὴν Ἀθήνα φιλοσοφικὴ σχολή, τὴν Ἀκαδημία, ποὺ διατηρήθηκε μέχρι τὸν 6 μ.Χ. αἰώνα, ὁπότε ἔκλεισε μὲ διαταγὴ τοῦ Ἰουστινιανοῦ. Ἔγραψε πολλὰ ἔργα.



# ΟΜΙΛΙΑ

## ΠΟΥ ΕΚΦΩΝΗΘΗΚΕ ΣΤΗΝ ΕΚΚΛΗΣΙΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

ἀφοῦ διάβασαν Γότθοι καὶ μίλησε προηγουμένως Γότθος πρεσβύτερος

1. Ἤθελα νὰ παραβρίσκονται σήμερα Ἕλληνες, γιὰ ν' ἀκούσουν αὐτὰ ποὺ διαβάστηκαν καὶ νὰ μάθουν πόση εἶναι ἡ δύναμη ἐκείνου ποὺ σταυρώθηκε, πόση εἶναι ἡ δύναμη τοῦ σταυροῦ, πόση εἶναι ἡ εὐγένεια τῆς Ἐκκλησίας, πόση ἡ δύναμη τῆς πίστης, πόση ἡ ντροπὴ τῆς πλάνης, πόσο γελοῖοι εἶναι οἱ δαίμονες. Γιατὶ τὰ κηρύγματα τῶν φιλοσόφων ἔχουν παραμεληθεῖ καὶ σ' αὐτοὺς ποὺ μιλοῦν τὴν ἴδια γλώσσα μαζί τους, ἐνῶ τὰ δικά μας ἔχουν πολλὴ δύναμη καὶ σ' ἐκείνους ποὺ μιλοῦν ἄλλη γλώσσα· καὶ ἐκεῖνα διαλύθηκαν πιὸ εὔκολα ἀπὸ τὴν ἀράχνη, ἐνῶ τὰ δικά μας ἔγιναν πιὸ στερεὰ ἀπὸ τὸ διαμάντι.

Ποῦ εἶναι τὰ κηρύγματα τοῦ Πλάτωνα[1] καὶ τοῦ Πυθαγόρα[2] καὶ τῶν ἄλλων φιλοσόφων τῆς Ἀθήνας; Ἔσβησαν. Ποῦ τὰ κηρύγματα τῶν ψαράδων καὶ τῶν σκηνοποιῶν; Ὄχι μόνο στὴν Ἰουδαία, ἀλλὰ καὶ στὴ γλώσσα τῶν βαρβάρων, ὅπως ἀκούσατε

2. Πυθαγόρας· μεγάλος μαθηματικὸς καὶ φιλόσοφος ἀπὸ τὴ Σάμο (6ος–5ος αἰ. π.Χ.). Δίδαξε στὸν Κρότωνα τῆς κάτω Ἰταλίας καὶ ἵδρυσε σχολὲς σὲ πολλὲς πόλεις τῆς Μεγάλης Ἑλλάδας.

*Σαυρομάται καὶ Μαῦροι καὶ Ἰνδοὶ καὶ οἱ πρὸς αὐτὰς ἀπῳκισμένοι τὰς ἐσχατιὰς τῆς οἰκουμένης, πρὸς τὴν οἰκείαν ἕκαστος μεταβαλόντες γλῶτταν, τὰ εἰρημένα φιλοσοφοῦσι ταῦτα, ἃ μηδὲ ὄναρ ἐφαντάσθησαν οἱ παρὰ τοῖς Ἕλλησι τὸν πώγωνα ἕλκοντες, καὶ τῇ βακτηρίᾳ τοὺς ἀπαντῶντας ἐπὶ τῆς ἀγορᾶς σοβοῦντες, καὶ τοὺς βοστρύχους ἀπὸ τῆς κεφαλῆς σείοντες, λεόντων μᾶλλον ἢ ἀνθρώπων ἐπιδεικνύμενοι πρόσωπα. Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, οὐδὲ ἐν τῷ σχήματι, ἀλλ' ἐν σωφροσύνῃ τὰ τῆς φιλοσοφίας. Ἡ μὲν γὰρ πόρνη, ἅτε καὶ φυσικὸν οὐκ ἔχουσα κάλλος, ἐπιτρίμμασι καὶ ὑπογραφαῖς καὶ ἱματίοις λευκοῖς καὶ ἑτέροις τοιούτοις τεχνάσμασι χειροποιητήν τινα ἐπιτίθησιν ἑαυτῇ ὥραν, τὸ ἀπὸ τῆς φύσεως δυσειδὲς συσκιάζουσα, ἡ δὲ καλὴ φύσει καὶ ἐπίχαρις καὶ εὐγενὴς κόρη γυμνὸν ἀφίησι τῆς φύσεως ἀγωνίζεσθαι τὸ δῶρον, οὐδενὸς τούτων δεομένη τῶν βοηθημάτων, ἀλλὰ διακρουομένη, ὥστε μὴ τὴν φυσικὴν ὥραν τοῖς παραπετάσμασι συσκιάσαι τούτοις.*

*Τοῦτο καὶ ἐπὶ τῆς Ἐκκλησίας, καὶ ἐπὶ τῶν ἔξωθέν ἐστιν ἰδεῖν. Ἐκεῖνοι μὲν γὰρ φυσικὸν κάλλος οὐκ ἔχοντες, οὐδὲ εὐσεβείᾳ κοσμεῖσθαι δυνάμενοι, εὐγλωττίᾳ καὶ ῥήμασιν ἀποτετορνευμένοις, καὶ συνθήκαις λέξεων, καὶ κόμαις καὶ ἐσθήμασι καὶ ἑτέροις τισὶ τὰ καθ' ἑαυτοὺς σεμνύνουσιν· οἱ δὲ παρ' ἡμῖν οὐχ οὕτως, ἀλλὰ πάντα ταῦτα διακρουσάμενοι, καὶ τὴν ἔξωθεν φαντασίαν ῥίψαντες, φυσικὸν τὸ κάλλος ἐπιδείκνυνται, οὐ γλῶτταν ἀκονῶντες, οὐδὲ εὐφημίαν διώκοντες, ἀλλ' ἐν δυνάμει νοημάτων φιλοσοφοῦντες, καὶ ἔργων ἐπιδείξει καὶ πολιτείας ἀκριβείᾳ τὴν ἐνοικοῦσαν αὐτοῖς τοῦ Θεοῦ χάριν διὰ πάντων ἀνακηρύττοντες.*

*Διὰ δὴ τοῦτο οὐ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοικη-*

τὰ μετέφρασαν στὴ δική τους γλώσσα ὁ καθένας, μελετοῦν μὲ προσοχὴ τὰ κηρύγματα αὐτά, ποὺ οὔτε στὸ ὄνειρό τους τὸ φαντάσθηκαν ὅσοι ἀπὸ τοὺς Ἕλληνες ἔτρεφαν γενειάδα καὶ μὲ τὸ ραβδί τους ἀπομάκρυναν αὐτοὺς ποὺ συναντοῦσαν στὴν ἀγορὰ καὶ κουνοῦσαν πέρα–δῶθε τὶς 'μποῦκλες' ἀπὸ τὸ κεφάλι καὶ φανέρωναν πρόσωπα περισσότερο λιονταριῶν παρὰ ἀνθρώπων. Ἀλλὰ τὰ δικά μας δὲν εἶναι τέτοια, οὔτε ἡ φιλοσοφία μας στηρίζεται στὴν ἐξωτερικὴ ἐμφάνιση, ἀλλὰ στὴ σωφροσύνη. Γιατὶ ἡ πόρνη, ἐπειδὴ δὲν ἔχει καὶ φυσικὴ ὀμορφιά, μὲ φτιασίδια καὶ βάψιμο τῶν ματιῶν, μὲ λευκὰ φορέματα καὶ μὲ ἄλλα τέτοια τεχνάσματα προσθέτει στὸν ἑαυτό της κάποια τεχνητὴ ὀμορφιά, καλύπτοντας τὴ φυσικὴ ἀσχήμια της. Ἡ κόρη ὅμως ποὺ ἀπὸ τὴ φύση της εἶναι ὡραῖα καὶ χαριτωμένη καὶ εὐγενικὴ ἀφήνει μόνο του ν' ἀγωνίζεται τὸ δῶρο τῆς φύσης, χωρίς νὰ ἔχει ἀνάγκη κανενὸς ἀπὸ τὰ βοηθήματα αὐτά, ἀλλὰ τὰ ἀποφεύγει, γιὰ νὰ μὴ σκεπάσει μὲ τὰ τεχνητὰ αὐτὰ στολίδια τὴ φυσικὴ ὀμορφιά της.

Αὐτὸ μπορεῖ κανείς νὰ τὸ δεῖ καὶ στὴν Ἐκκλησία καὶ στοὺς ἔξω ἀπ' αὐτήν. Γιατὶ ἐκεῖνοι ἐπειδὴ δὲν ἔχουν φυσικὴ ὀμορφιά, οὔτε μποροῦν νὰ στολισθοῦν μὲ εὐσέβεια, καλλωπίζουν τὰ δικά τους μὲ τὴν εὐγλωττία, τὰ καλὰ λόγια, τὶς συνθέσεις λέξεων, καθὼς καὶ μὲ τὰ μαλλιά, μὲ τὰ φορέματα καὶ ἄλλα παρόμοια. Οἱ δικοί μας ὅμως δὲν κάνουν ἔτσι, ἀλλά, ἀφοῦ τὰ ἀπέκρουσαν ὅλα αὐτὰ καὶ ἀπέρριψαν τὴν ἐξωτερικὴ ἐμφάνιση, φανερώνουν τὴ φυσικὴ ὀμορφιά τους, χωρὶς νὰ ἀκονίζουν τὴ γλώσσα καὶ χωρὶς νὰ ἐπιδιώκουν τὸν ἔπαινο, ἀλλὰ φιλοσοφοῦν μὲ τὴ δύναμη τῶν νοημάτων, μὲ τὴν ἐπίδειξη τῶν ἔργων καὶ μὲ τὴν προσεκτικὴ συμπεριφορά τους, διαλαλώντας μὲ ὅλα τὴ χάρη τοῦ Θεοῦ ποὺ κατοικεῖ μέσα τους.

Γι' αὐτὸ δὲν προσέλκυσαν κοντά τους μὲ τὴ σαγήνη τους

*τον· οὐ τὴν γῆν μόνον, ἀλλὰ καὶ τὴν θάλατταν· οὐ τὰς πόλεις μόνον, ἀλλὰ καὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς καὶ τὰς νάπας· οὐ τὴν Ἑλλάδα μόνον, ἀλλὰ καὶ τὴν βάρβαρον· οὐ τοὺς ἐν ἀξιώμασι μόνον, ἀλλὰ καὶ τοὺς ἐν ἐσχάτῃ πενίᾳ· οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας· οὐ γεγηγακότας μόνον, ἀλλὰ καὶ νέους ἐσαγήνευσαν. Οὐ μέχρι δὲ τούτων, ἀλλὰ καὶ περαιτέρω προῆλθον, καὶ τῇ καθ' ἡμᾶς οὐκ ἀρκεσθέντες οἰκουμένῃ, πρὸς αὐτὸν ἐξέβησαν τὸν Ὠκεανόν, καὶ τὰς βαρβαρικὰς χώρας καὶ τὰς Βρετανικὰς νήσους εἴσω τῶν οἰκείων δικτύων ἔλαβον· καὶ ὅπουπερ ἂν ἀφίκῃ λοιπόν, τῶν ἁλιέων ὄψει τὰ ὀνόματα ἐν τοῖς ἁπάντων στόμασι περιφερόμενα, οὐ διὰ τὴν τῶν ἁλιέων δύναμιν, ἀλλὰ τὴν τοῦ σταυρωθέντος ἰσχὺν τὴν πανταχοῦ προοδοποιοῦσαν αὐτοῖς, καὶ τοὺς ἰδιώτας τῶν φιλοσόφων σοφωτέρους, καὶ τοὺς ἀγραμμάτους καὶ ἰχθύων ἀφωνοτέρους ῥητόρων καὶ λογογράφων καὶ σοφιστῶν εὐτονωτέρους ἀποφαίνουσαν.*

*Μὴ τοίνυν αἰσχύνην τις ἡγείσθω τῆς Ἐκκλησίας, ὅτι βαρβάρους εἰς μέσον ἀναστῆναι καὶ εἰπεῖν παρεσκευάσαμεν· τοῦτο γὰρ τῆς Ἐκκλησίας κόσμος, τοῦτο καλλώπισμα, τοῦτο τῆς ἐν τῇ πίστει δυνάμεως ἀπόδειξις· τοῦτο καὶ ὁ προφήτης ἄνωθεν προαναφωνῶν ἔλεγεν· «οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Τοῦτο καὶ ἕτερος παραδηλῶν πάλιν, ἑτέροις ῥήμασιν ᾐνίττετο λέγων· «λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα»· οὐ περὶ λεόντων καὶ ἀρνῶν καὶ παρδάλεων καὶ ἐρίφων διηγούμενος, ἀλλὰ προαναφωνῶν ἡμῖν καὶ*

3. Ψαλμ. 18,4–5.

μόνο τὴν κατοικημένη περιοχὴ τῆς γῆς, ἀλλὰ καὶ τὴν ἀκατοίκητη, ὄχι μόνο τὴ γῆ, ἀλλὰ καὶ τὴ θάλασσα, ὄχι μόνο τὶς πόλεις, ἀλλὰ καὶ τὰ ὄρη καὶ τὰ βουνὰ καὶ τὰ φαράγγια, ὄχι μόνο τὴν Ἑλλάδα, ἀλλὰ καὶ τὶς ξένες χῶρες, ὄχι μόνο αὐτοὺς ποὺ κατέχουν τὰ ἀξιώματα, ἀλλὰ καὶ αὐτοὺς ποὺ βρίσκονται στὴ χειρότερη φτώχεια, ὄχι μόνο ἄνδρες ἀλλὰ καὶ γυναῖκες, ὄχι μόνο τοὺς γέροντες ἀλλὰ καὶ τοὺς νέους. Καὶ δὲ σταμάτησαν μέχρι σ' αὐτά, ἀλλὰ προχώρησαν καὶ παραπέρα, καί, χωρὶς νὰ περιορισθοῦν στὴ γνωστή μας οἰκουμένη, ξεπέρασαν τὸν ὠκεανὸ καὶ ἔπιασαν μέσα στὰ δίχτυα τους τίς βαρβαρικὲς χῶρες καὶ τὰ βρετανικὰ νησιά. Καὶ ὅπου καὶ ἂν πᾶς τώρα θὰ δεῖς νὰ περιφέρονται στὰ στόματα ὅλων τὰ ὀνόματα τῶν ψαράδων, ὄχι ἐξ αἰτίας τῆς δύναμής τους, ἀλλ' ἐξ αἰτίας τῆς δύναμης ἐκείνου ποὺ σταυρώθηκε, ποὺ παντοῦ τοὺς προετοίμαζε τὸ δρόμο καὶ ἔκανε τοὺς κακοὺς ἀνθρώπους πιὸ σοφοὺς ἀπὸ τοὺς φιλοσόφους, καὶ ἐκείνους ποὺ ἦταν ἀγράμματοι καὶ πιὸ ἄφωνοι ἀπὸ τὰ ψάρια τοὺς καθιστοῦσε πιὸ ρωμαλέους ἀπὸ τοὺς ρήτορες, τοὺς λογογράφους καὶ τοὺς σοφιστές.

Ἂς μὴ θεωρεῖ λοιπὸν κανεὶς ντροπὴ τῆς Ἐκκλησίας, τὸ ὅτι προετοιμάσαμε τοὺς βαρβάρους νὰ σηκωθοῦν καὶ νὰ μιλήσουν ἐδῶ, γιατὶ αὐτὸ εἶναι στόλισμα τῆς Ἐκκλησίας, αὐτὸ εἶναι καύχημα, αὐτὸ εἶναι ἀπόδειξη τῆς δύναμης ποὺ ἔχει ἡ πίστη. Αὐτὸ καὶ ὁ προφήτης προαναγγέλλοντας ἀπὸ τὴν ἀρχὴ ἔλεγε· «δὲν ὑπάρχουν ὁμιλίες οὔτε λόγοι ποὺ νὰ μὴν ἀκούονται οἱ φωνές τους· σὲ ὁλόκληρη τὴ γῆ ἁπλώθηκε ἡ φωνή τους καὶ στὰ πέρατα τῆς οἰκουμένης τὰ λόγια τους»[3]. Αὐτὸ ἐννοώντας καὶ ἄλλος πάλι προφήτης, μὲ διαφορετικὰ λόγια τὸ ὑπαινισσόταν λέγοντας· «λύκοι καὶ ἀρνιὰ θὰ βόσκουν μαζί, καὶ ἡ λεοπάρδαλη θὰ ξεκουράζεται μαζὶ μὲ τὸ κατσίκι, καὶ τὸ λιοντάρι θὰ τρώγει ἄχυρα σὰν τὸ βόδι»[4]. Δὲν τὰ λέγει αὐτὰ γιὰ λιοντάρια καὶ ἀρνιὰ καὶ λεοπαρδάλεις καὶ κατσίκια, ἀλλὰ θέλει νὰ μᾶς προαναγγεί-

---

4. Ἡσ. 65,25.

δεικνύς, ὅτι δὴ τὸ θηριῶδες τῶν ἀνθρώπων εἰς τοσαύτην ἥξει ἡμερότητα τῇ φιλοσοφίᾳ τοῦ κηρύγματος κερασθέν, ὥστε μετὰ τῶν ἡμέρων καὶ πραοτάτων ἀνδρῶν συναγελάζεσθαι. Καὶ τοῦτο σήμερον ἑωράκατε, τοὺς πάντων ἀνθρώπων βαρβαρικωτέρους μετὰ τῶν τῆς Ἐκκλησίας προβάτων ἑστῶτας, καὶ κοινὴν οὖσαν τὴν νομὴν καὶ τὸν σηκὸν ἕνα, καὶ μίαν ἅπασι τράπεζαν προκειμένην.

2. Αἰσχυνέσθωσαν Ἰουδαῖοι οἱ τὰ γράμματα ἀναγινώσκοντες, καὶ τὰ νοήματα ἀγνοοῦντες· ἐγκαλυπτέσθωσαν Ἕλληνες, τῆς ἀκτῖνος φανοτέραν ὁρῶντες τὴν ἀλήθειαν λάμπουσαν, οἱ τοῖς λίθοις παρακαθήμενοι καὶ τὸ σκότος διώκοντες· καλλωπιζέσθω ἡ Ἐκκλησία ἡ διὰ πάντων λάμπουσα καὶ πετομένη. Ὥσπερ γὰρ ἥλιος κοινὸς καὶ γῆ κοινὴ καὶ θάλαττα καὶ ἀήρ, οὕτω πολλῷ μᾶλλον ὁ τοῦ κηρύγματος λόγος ἐγένετο κοινός· διὸ καὶ Παῦλος ἔλεγεν· «ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί· οὕτω τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι».

Καὶ τί θαυμάζεις εἰ ἐν τῇ Καινῇ, ὅπου καὶ ἐν τῇ Παλαιᾷ τὸ αὐτὸ τοῦτο γίνεται; Ὁ γὰρ πρῶτος καὶ τῆς Ἐκκλησίας καὶ τῆς συναγωγῆς πρόγονος γενόμενος, ἐκείνων μὲν κατὰ σάρκα, ἡμῶν δὲ κατὰ πνεῦμα, βάρβαρος ἦν καὶ ἐκ μέσης Περσίδος ἥγετο, ὁ πατριάρχης λέγω Ἀβραάμ, καὶ οὔτε γραμμάτων ἀκούσας, οὔτε προφητείας μετασχών, οὐ τὸν διδάσκοντα ἔχων, οὐχ ἱστορίαν δεξάμενος· οὔπω γὰρ ἦν Μωϋσῆς γενόμενος· οὐ τῶν πρὸ αὐτοῦ τι μαθών, οὐ τὰ μετ' αὐτὸν ἐσόμενα διδαχθείς, ἀλλ' ἐν μέσῃ τῇ Περσῶν χώρᾳ τεχθεὶς καὶ τραφείς, οὕτως ἀθρόον ἐφιλοσόφησεν, ὡς καὶ

λει καὶ νὰ μᾶς δείξει, ὅτι ἡ ἀγριότητα τῶν ἀνθρώπων θὰ φθάσει σὲ τόσο μεγάλη ἡμερότητα ὅταν ἀναμειχθεῖ μὲ τὴ φιλοσοφία τοῦ κηρύγματος, ὥστε νὰ συναναστρέφεται μὲ τοὺς ἤρεμους καὶ τοὺς πιὸ πράους ἀνθρώπους. Καὶ αὐτὸ τὸ εἴδατε σήμερα, νὰ στέκουν μαζὶ μὲ τὰ πρόβατα τῆς Ἐκκλησίας οἱ πιὸ βάρβαροι ἀπ' ὅλους τοὺς ἀνθρώπους, καὶ νὰ εἶναι κοινὴ ἡ βοσκὴ καὶ μία ἡ μάνδρα, καὶ νὰ βρίσκεται μπροστὰ σὲ ὅλους μία τράπεζα.

2. Ἂς ντρέπονται οἱ Ἰουδαῖοι ποὺ διαβάζουν τὰ βιβλία καὶ δὲν ξέρουν τὰ νοήματά τους. Ἂς σκεπάσουν τὰ πρόσωπά τους οἱ Ἕλληνες πού, ἂν καὶ βλέπουν τὴν ἀλήθεια νὰ λάμπει πιὸ φωτεινὰ ἀπὸ τὴν ἀκτίνα τοῦ ἥλιου, λατρεύουν τὶς πέτρες καὶ ἐπιδιώκουν τὸ σκοτάδι. Ἂς καμαρώνει ἡ ἐκκλησία ποὺ μὲ ὅλα λάμπει καὶ πετάει. Γιατί, ὅπως ὁ ἥλιος εἶναι κοινὸς γιὰ ὅλους καὶ ἡ γῆ κοινὴ καὶ ἡ θάλασσα καὶ ὁ ἀέρας, ἔτσι πολὺ περισσότερο ἔγινε κοινὸς ὁ λόγος τοῦ κηρύγματος. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «γιὰ νὰ ἔχω κάποιο καρπὸ καὶ μεταξύ σας καθὼς καὶ μεταξὺ τῶν ὑπόλοιπων ἐθνικῶν. Στοὺς Ἕλληνες καὶ στοὺς βαρβάρους, στοὺς σοφοὺς καὶ στοὺς ἀμόρφωτους εἶμαι χρεώστης· γι' αὐτό, ὅσο ἐξαρτᾶται ἀπὸ μένα, εἶμαι πρόθυμος νὰ κηρύξω τὸ εὐαγγέλιο καὶ σὲ σᾶς ποὺ βρίσκεστε στὴ Ρώμη»[5].

Καὶ γιατὶ θαυμάζεις ἂν στὴν Καινὴ Διαθήκη γίνεται ἀκριβῶς τὸ ἴδιο ποὺ γίνεται καὶ στὴν Παλαιά. Γιατὶ ἐκεῖνος ποὺ ὑπῆρξε πρῶτος πρόγονος καὶ τῆς ἐκκλησίας καὶ τῆς συναγωγῆς, ἐκείνων βέβαια πρόγονος σαρκικὸς ἐνῶ δικός μας πνευματικός, ἦταν βάρβαρος καὶ καταγόταν μέσα ἀπὸ τὴν Περσία, ὁ πατριάρχης δηλαδὴ Ἀβραάμ, καὶ αὐτὸς χωρὶς νὰ μάθει γράμματα, οὔτε νὰ συμετάσχει στὴν προφητεία, χωρὶς νὰ ἔχει δασκαλο, οὔτε νὰ διδαχθεῖ ἱστορία, γιατὶ δὲν εἶχε ἀκόμη γεννηθεῖ ὁ Μωυσῆς, χωρὶς νὰ μάθει κάτι ἀπὸ τὰ πρὶν ἀπ' αὐτόν, οὔτε νὰ διδαχθεῖ γιὰ ἐκεῖνα ποὺ θὰ συνέβαιναν μετὰ ἀπ' αὐτόν, ἀλλά, παρ' ὅλο ποὺ γεννήθηκε καὶ ἀνατράφηκε μέσα στὴ χώρα τῶν Περσῶν, πίστεψε τόσο πολύ, ὥστε νὰ προλάβει νὰ ἐφαρμόσει

5. Ρωμ. 1,13–15.

*τῆς Καινῆς πολλὰ προλαβεῖν ἐπιτάγματα, καὶ διὰ τῶν ἔργων ἐπιδείξασθαι. Καὶ γὰρ κελευόμενος ἐξελθεῖν ἀπὸ τῆς πατρίδος, καὶ ἀφεῖναι οἰκίαν καὶ φίλους καὶ συγγενεῖς, καὶ ἐλθεῖν ἐπὶ τὴν ἀλλοτρίαν, οὐδὲν ἔπαθεν ἀνθρώπινον, οὐδὲ συμπαθείᾳ κατεσχέθη, οὐδὲ ἐλογίσατο πρὸς αὐτὸν καὶ εἶπεν· 'τὰ φανερὰ καὶ δῆλα ἀφείς, ἐπὶ τὰ ἀφανῆ καὶ ἄδηλα ἀπελεύσομαι;' ἀλλὰ τὴν πίστιν ὁδηγὸν ἔχων, καὶ τοῦ Θεοῦ τὴν ὑπόσχεσιν ἀντὶ βακτηρίας κτησάμενος, τὰ μὲν ἐν χερσὶν ἠφίει, τὰ δὲ ἐν ἐλπίσι προσελάμβανε· καὶ γὰρ καὶ κατὰ τοῦτο τῆς Ἐκκλησίας πρόγονος ἦν.*

*Καὶ γὰρ καὶ ἡμεῖς κελευόμεθα τῶν μὲν βιωτικῶν ὑπερορᾶν πραγμάτων καὶ τῶν φαινομένων, πρὸς δὲ τὰ ἄδηλα τὴν ἐλπίδα τείνειν, καὶ τὴν πίστιν κρατεῖν, τὴν ἄγκυραν τῆς ἡμετέρας σωτηρίας, καὶ ἐκεῖνα ζητεῖν· διὸ καὶ Παῦλος ἔλεγε· «τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς»· καὶ πάλιν, «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα».*

*Ἐξελθὼν δὲ ἀπὸ τῆς πατρίδος ὁ μακάριος οὗτος Ἀβραάμ, καὶ ἐν ἀλλοτρίᾳ καλύβην πηξάμενος, ἀποστολικὰ πάλιν παραγγέλματα διὰ τῶν ἔργων ἐπεδείξατο. Ἐπειδὴ γὰρ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον ἔστησε, καὶ τὴν παράδοξον νίκην ἤρατο, καὶ τῶν βαρβάρων περιεγένετο, οὐκ ἰσχύι σώματος, ἀλλὰ δυνάμει πίστεως, καὶ μισθὸν λαβεῖν τῶν πόνων ἐκείνων καὶ τῆς ταλαιπωρίας παρὰ τῶν σωθέντων ἐκελεύετο· τοῦ γὰρ βαρβάρου πρὸς αὐτὸν λέγοντος, «λάβε σὺ τὸν ἵππον, καὶ δὸς ἡμῖν τοὺς ἄνδρας», τί φησιν; «Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν Θεὸν τὸν ὕψιστον, εἰ λήψομαι παρὰ σοῦ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος». Εἶδες πῶς ἐκεῖνο*

---

6. Ρωμ, 8,24.

πολλὲς ἐντολὲς τῆς Καινῆς Διαθήκης καὶ νὰ τὶς φανερώσει μὲ τὰ ἔργα. Γιατὶ πραγματικὰ ὅταν ἔπαιρνε τὴ διαταγὴ νὰ φύγει ἀπὸ τὴν πατρίδα του καὶ ν' ἀφήσει σπίτι καὶ φίλους καὶ συγγενεῖς καὶ νὰ ἔρθει στὴν ξένη χώρα, δὲν ἔπαθε τίποτε τὸ ἀνθρώπινο, οὔτε συγκρατήθηκε ἀπὸ συμπάθεια, οὔτε σκέφθηκε μέσα του καὶ εἶπε, 'θ' ἀφήσω τὰ φανερὰ καὶ τὰ βέβαια καὶ θὰ πάω στὰ ἄγνωστα καὶ ἀβέβαια;' Ἀλλ' ἔχοντας ὁδηγὸ τὴν πίστη καὶ κρατώντας τὴν ὑπόσχεση τοῦ Θεοῦ ἀντὶ γιὰ ραβδί, ἄφηνε αὐτὰ ποὺ εἶχε στὰ χέρια του καὶ ἔπαιρνε ἐκεῖνα ποὺ ἦταν ἐλπίδες· καθόσον καὶ σ' αὐτὸ ἦταν πρόγονος τῆς ἐκκλησίας.

Γιατὶ βέβαια καὶ μεῖς παίρνουμε τὴν ἐντολὴ νὰ περιφρονοῦμε τὰ βιοτικὰ πράγματα καὶ αὐτὰ ποὺ βλέπουμε, καὶ νὰ ἁπλώνουμε τὴν ἐλπίδα σ' αὐτὰ ποὺ δὲν εἶναι φανερά, καὶ νὰ κρατᾶμε τὴν πίστη, τὴν ἄγκυρα τῆς δικῆς μας σωτηρίας, καὶ νὰ ἐπιζητοῦμε αὐτά. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «γιατὶ μὲ τὴν ἐλπίδα σωθήκαμε· ἐλπίδα ὅμως ποὺ τὴ βλέπει κανεὶς δὲν εἶναι ἐλπίδα»[6]. Καὶ πάλι· «γιατὶ ἡ στιγμιαία ἐλαφρὴ θλίψη μας προετοιμάζει γιὰ μᾶς αἰώνιο βάρος δόξας ποὺ ξεπερνάει κάθε μέτρο, ἐπειδὴ δὲν προσέχουμε ἐκεῖνα ποὺ βλέπονται, ἀλλ' ἐκεῖνα ποὺ δὲ βλέπονται»[7].

Καὶ ὅταν ἔφυγε ἀπὸ τὴν πατρίδα του ὁ μακάριος ἐκεῖνος Ἀβραὰμ καὶ ἔστησε τὴν καλύβα του σὲ ξένη χώρα, πάλι φανέρωσε μὲ τὰ ἔργα του ἀποστολικὲς ἐντολές. Γιατί, ἀφοῦ ἔστησε το λαμπρὸ ἐκεῖνο τρόπαιο καὶ κέρδισε τὴν παράξενη νίκη καὶ νίκησε τοὺς βαρβάρους, ὄχι μὲ τὴ δύναμη τοῦ στόματός του, ἀλλὰ μὲ τὴ δύναμη τῆς πίστης του, ἔπαιρνε τὴν ἐντολὴ νὰ λάβει καὶ ἀμοιβὴ γιὰ τοὺς κόπους του ἐκείνους καὶ τὴν ταλαιπωρία του ἀπ' αὐτοὺς ποὺ σώθηκαν. Ὅταν λοιπὸν ὁ βάρβαρος τοῦ ἔλεγε, «πάρε ἐσὺ τὰ ἄλογα καὶ δῶσε μας τοὺς ἄνδρες», τί λέγει; «Θ' ἁπλώσω τὸ χέρι μου στὸ Θεὸ τὸν ὕψιστο, ἂν θὰ πάρω ἀπὸ σένα σχοινὶ μέχρι λουρὶ παπουτσιῶν»[8]. Εἶδες πῶς ἐκπλήρωσε

7. Β' Κορ. 4,17–18.
8. Γεν. 14,21–23.

*τὸ ἐπίταγμα ἐπλήρωσε τὸ εὐαγγελικὸν τὸ λέγον· «δωρεὰν ἐλάβετε, δωρεὰν δότε»;*

*Καὶ Μωϋσῆς δὲ καὶ ἐν βαρβαρικῇ οἰκίᾳ ἐτράφη τε καὶ ηὐξήθη· ἀλλ' ὅμως οὐδὲν ἐντεῦθεν παρεβλάπτετο, ἀλλὰ καὶ αὐτὸς ἐφιλοσόφει τοῦ πατριάρχου οὐκ ἔλαττον, τῆς μὲν Συβαριτικῆς καταγελῶν τραπέζης, καὶ ὑψηλότερος τῆς ἐκείνων τρυφῆς γινόμενος, καὶ πλοῦτον ἀτιμάζων καὶ βασιλείαν καὶ τὰ σκῆπτρα Αἰγύπτου, πρὸς δὲ τὸν πηλὸν καὶ τὴν πλινθουργίαν αὐτομολῶν. Διὸ δὴ καὶ ὁ Παῦλος θαυμάζων αὐτόν, ἔλεγε· «μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ». Εἶτα καὶ δεικνὺς τὸν διδάσκαλον τῶν ἀγαθῶν τούτων, προσετίθει λέγων· «τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν», ὅπερ πίστεως ἦν μεγίστης.*

*Μὴ τοίνυν αἰσχύνην νομίζωμεν τὸ βαρβάρους ἐν τῇ Ἐκκλησίᾳ εἶναι, ἀλλὰ καὶ πολὺν κόσμον· καὶ γὰρ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς παραγενόμενος εἰς τὴν οἰκουμένην, βαρβάρους πρώτους ἐκάλεσεν. Ἐπειδὴ γὰρ ἐτέχθη καὶ ἐπὶ τῆς φάτνης ἐτέθη, καὶ μάγοι ἐλθόντες ἀπὸ Περσίδος αὐτὸν προσεκύνουν. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων· βασιλέως μὲν εἰς πόλιν εἰσιέναι μέλλοντος, παραπετάσματα καὶ λαμπάδες, καὶ οἱ ἐν ἀξιώμασι καὶ οἱ ἐν δυναστείαις ἀπαντῶσιν ἅπαντες μετὰ φαιδροῦ τοῦ σχήματος, καὶ αὐλοὶ καὶ σύριγγες καὶ κιθάραι, καὶ πᾶν μουσικῆς γένος, καὶ ἐσθήματα λαμπρὰ καὶ στεφανώματα, καὶ πολλὴ ἡ περιφάνεια· τοῦ δὲ βασιλέως τῶν οὐρανῶν εἰσιέναι μέλλοντος εἰς τὴν οἰκουμένην, οὐδὲν τοιοῦτον, ἀλλὰ τἀναντία πάντα, καλύβη καὶ σκηνὴ καὶ φάτνη, μήτηρ εὐτελὴς τὸ φαινόμενον, καὶ πτωχεία πολλὴ καὶ πενίας ἐπίτασις. Καίτοι γε, εἴπερ ἐβούλετο, ἠδύνατο παραγενέσθαι*

---

9. Ματθ. 10,8.

10. Ἀπὸ τοὺς κατοίκους τῆς Σύβαρης, ποὺ ἡ ζωή τους ἦταν γεμάτη ἀπολαύσεις, δημιουργήθηκε ὁ ὅρος συβαριτισμὸς καὶ τὸ ἐπίθετο συβαρικός, ποὺ ἐκφράζουν τὴν τρυφηλὴ καὶ μαλθακὴ ζωη .

ἐκείνη τὴν εὐαγγελικὴ ἐντολὴ ποὺ λέγει, «δωρεὰν πήρατε, δωρεὰν δῶστε»[9];

Καὶ ὁ Μωυσῆς ἐπίσης σὲ βαρβαρικὸ σπίτι ἀνατράφηκε καὶ μεγάλωσε. Ὅμως δὲν τὸν ἔβλαπτε αὐτό, ἀλλὰ καὶ αὐτὸς φιλοσοφοῦσε ὄχι λιγότερο ἀπὸ τὸν πατριάρχη, ἀφοῦ ἀδιαφοροῦσε γιὰ τὰ συβαριτικὰ τραπέζια[10], καὶ στεκόταν πιὸ ψηλὰ ἀπὸ τὶς ἀπολαύσεις τους, περιφρονώντας τὸν πλοῦτο, τὴ βασιλεία καὶ τὰ ἀξιώματα τῆς Αἰγύπτου, καὶ πηγαίνοντας μόνος του νὰ ἐργασθεῖ στὴ λάσπη καὶ στὴν κατασκευὴ πλίνθων. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Παῦλος θαυμάζοντάς τον, ἔλεγε· «θεώρησε μεγαλύτερο πλοῦτο ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου τὸν ἐξευτελισμὸ τοῦ Χριστοῦ»[11]. Στὴ συνέχεια γιὰ νὰ δείξει τὸ διδάσκαλο αὐτῶν τῶν ἀγαθῶν, προσθέτει λέγοντας· «γιατὶ ἔδειξε καρτερία σὰν νὰ ἔβλεπε τὸν ἀόρατο Θεό»[12], πράγμα ποὺ ἦταν ἀπόδειξη μέγιστης πίστης.

Ἂς μὴ θεωροῦμε λοιπὸν ντροπὴ τὸ ὅτι βρίσκονται βάρβαροι στὴν ἐκκλησία, ἀλλ' ἀντίθετα μεγάλο στόλισμα. Γιατὶ καὶ ὁ ἴδιος ὁ Κύριός μας Ἰησοῦς Χριστὸς ὅταν ἦρθε στὴ γῆ πρώτους κάλεσε βαρβάρους. Ὅταν δηλαδὴ γεννήθηκε καὶ τὸν ἔβαλαν στὴ φάτνη, ἦρθαν μάγοι ἀπὸ τὴν Περσία καὶ τὸν προσκυνοῦσαν. Τί καινούργια καὶ παράξενα πράγματα! Ὅταν πρόκειται νὰ μπεῖ σὲ κάποια πόλη ὁ βασιλιάς, ὑψώνουν λάβαρα καὶ ἀνάβουν λαμπάδες, καὶ ὅσοι κατέχουν τὰ ἀξιώματα καὶ τὶς ἐξουσίες τὸν συναντοῦν μὲ χαρούμενη ἐμφάνιση, καὶ ὑπάρχουν αὐλοὶ καὶ φλογέρες καὶ κιθάρες καὶ κάθε εἶδος μουσικῆς, καὶ λαμπρὲς ἐνδυμασίες καὶ τιμὲς καὶ μεγάλη ἐπισημότητα. Ὅταν ὅμως ἐπρόκειτο νὰ ἔρθει στὴ γῆ ὁ βασιλιὰς τῶν οὐρανῶν, δὲν ἔγινε τίποτε τέτοιο, ἀλλ' ὅλα τὰ ἀντίθετα, δηλαδὴ καλύβα καὶ σκηνὴ καὶ φάτνη, μητέρα ἀσήμαντη στὴν ἐμφάνιση, φτώχεια πολλὴ καὶ στέρηση πολὺ μεγάλη. Καὶ ὅμως, ἂν βέβαια ἤθελε, μποροῦσε νὰ ἔρθει σείοντας τὸν οὐρανό, τραντάζοντας τὴ γῆ,

11. Ἑβρ. 11,26.
12. Ἑβρ. 11,27.

*τὸν οὐρανὸν σείων, τὴν γῆν σαλεύων, ἀστραπὰς ἀφιείς· καὶ τί λέγω ταῦτα; γυμνὴν μόνην εἰ ἔδειξε τὴν θεότητα, τοῦτο πόσης λαμπρότητος καὶ φαιδρότητος μεῖζον οὐκ ἂν ἦν;*

*Ἀλλ' οὐκ ἐποίησεν οὕτως· οὐ γὰρ ἀπολέσαι, ἀλλὰ σῶσαι ἐβούλετο, οὐκ ἐκπλῆξαι, ἀλλὰ διορθῶσαι, καὶ ἐκ προοιμίων τὸν τῦφον καταπατῆσαι τὸν ἀνθρώπινον καὶ τὴν ἀπόνοιαν κατενεγκεῖν. Διὰ δὴ τοῦτο οὐκ ἄνθρωπος γίνεται μόνον, ἀλλὰ καὶ πτωχὸς ἄνθρωπος, καὶ μητέρα τοιαύτην αἱρεῖται, καὶ καταγώγιον εὐτελές, τὸν ἔσχατον τῆς πενίας ὅρον ἐκ προοιμίων αὐτῶν καὶ ἐξ αὐτῶν ὠδίνων ἀσπαζόμενος. Ποία γάρ, εἰπέ μοι, γυνή, κἂν ἁπάντων ἀνθρώπων πτωχοτέρα ᾖ, κἂν αὐτοπροσαῖτις, οὐκ ἔχει κλίνην ὥστε τὸ τεχθὲν παιδίον κατακλῖναι; Ἀλλ' αὐτὸς οὐδὲ ἐν κλίνῃ κατεκλίνετο, ἀλλ' ἐν φάτνῃ, ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ ἐν καλύβῃ καὶ οὐκ ἐν καταλύματι. Τοιαῦτα τῆς εἰσόδου αὐτοῦ τὰ προοίμια, οὕτω λαμπρὰ καὶ περιφανῆ· εἴσοδον δὲ ὅταν ἀκούσῃς, μὴ τόπου νόμιζε μετάβασιν, ἀλλ' οἰκονομίας συγκατάβασιν.*

*3. Καὶ γὰρ ὁ Παῦλος ὅταν λέγῃ, «ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην», τὴν οἰκονομίαν ἡμῖν ἀπαγγέλλει· ὁ γὰρ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ποῦ ἂν εἰσέλθοι; ἀλλὰ τὴν διὰ τῆς οἰκονομίας φανέρωσιν οὕτως ἐκάλεσεν. Εἰσιὼν τοίνυν εἰς τὴν οἰκουμένην, μετὰ ταπεινοῦ τοῦ σχήματος εἰσῄει, τὸν τῦφον καταπατῶν, τὴν ἀπόνοιαν καταστέλλων, μετριάζειν ἅπαντας πείθων, μὴ ἀτιμάζειν πενίαν μήτε ἐξευτελίζειν πτωχείαν, μὴ κεχηνέναι πρὸς πλοῦτον, μὴ μέγα νομίζειν εἶναι τὴν φαντασίαν τὴν ἀνθρωπίνην, ἀλλὰ σκιᾶς ἀδρανεστέραν, καὶ φύλλων εὐτελεστέραν, ὀνειράτων ἀπατηλοτέραν. Εἰσελθὼν τοίνυν, βαρβάρους ἐκάλεσε, καὶ βαρβάρους οὐχ ἁπλῶς βαρβάρους, ἀλλὰ καὶ μάγους, τὸ ἐπιτεταμένον τῆς ἀσεβείας εἶδος.*

καὶ ἀφήνοντας ἀστραπές. Καὶ γιατί λέγω αὐτά; Ἂν ἔδειχνε γυμνὴ μόνο τὴ θεότητά του, δὲ θὰ ἦταν αὐτὸ μεγαλύτερο ἀπὸ κάθε λαμπρότητα καὶ ἀπὸ κάθε φαιδρότητα.;

Ἀλλὰ δὲν ἐνέργησε ἔτσι, γιατὶ δὲν ἤθελε νὰ καταστρέψει, ἀλλὰ νὰ σώσει, οὔτε νὰ προκαλέσει κατάπληξη, ἀλλὰ νὰ διορθώσει, καὶ ἀπὸ τὴν ἀρχὴ νὰ καταπατήσει τὴν ἀνθρώπινη ἀλαζονεία καὶ νὰ ἐξαφανίσει τὴ ματαιοδοξία. Γι' αὐτὸ ἀκριβῶς δὲ γίνεται μόνο ἄνθρωπος, ἀλλὰ καὶ φτωχὸς ἄνθρωπος, καὶ προτιμάει τέτοια μητέρα καὶ κατάλυμα ἀσήμαντο, ἀνεχόμενος ἀμέσως ἀπὸ τὴν ἀρχὴ καὶ ἀπ' αὐτὴ τὴν ὥρα τῆς γέννησής του τὸ ἔσχατο ὅριο τῆς φτώχειας. Γιατὶ πές μου, ποιά γυναίκα, καὶ ἂν ἀκόμη εἶναι πιὸ φτωχὴ ἀπ' ὅλους τοὺς ἀνθρώπους ἢ ἂν εἶναι ζητιάνα, δὲν ἔχει κρεβάτι γιὰ νὰ βάλει νὰ πλαγιάσει τὸ παιδὶ ποὺ γέννησε; Αὐτὸς ὅμως οὔτε σὲ κρεβάτι πλάγιαζε, ἀλλὰ σὲ φάτνη μόνο καὶ ὅπως ἔτυχε, καὶ οὔτε σὲ κατάλυμα ἀλλὰ σὲ καλύβα. Τέτοια ἦταν ἡ ἀρχὴ τῆς εἰσόδου του, τόσο λαμπρὴ καὶ τόσο ἔνδοξη. Καὶ ὅταν ἀκούσεις εἴσοδο, νὰ μὴ νομίζεις μετάβαση σὲ κάποιο τόπο, ἀλλὰ συγκατάβαση τῆς οἰκονομίας τοῦ Θεοῦ.

3. Γιατὶ καὶ ὁ Παῦλος ὅταν λέγει, «ὅταν ὅμως παρουσιάσει πάλι τὸν πρωτότοκο στὴν οἰκουμένη»[13], μᾶς ἀναγγέλλει τὴν οἰκονομία τοῦ Θεοῦ· γιατὶ ἐκεῖνος ποὺ βρίσκεται παντοῦ καὶ γεμίζει τὰ πάντα, ποῦ θὰ μποροῦσε νὰ μπεῖ; ἀλλ' ἔτσι ὀνόμασε τὴ φανέρωσή του ποὺ ἔγινε κατ' οἰκονομία τοῦ Θεοῦ. Ὅταν λοιπὸν ἐρχόταν στὴν οἰκουμένη, ἐρχόταν μὲ ταπεινὴ ἐμφάνιση, γιὰ νὰ καταπατήσει τὴν ἀλαζονεία, νὰ ἐξαλλείψει τὴ ματαιοδοξία, νὰ πείσει ὅλους νὰ εἶναι μετριόφρονες, νὰ μὴν περιφρονοῦν τὴ στέρηση οὔτε νὰ ἐξευτελίζουν τὴ φτώχεια, νὰ μὴ θαυμάζουν τὸν πλοῦτο, νὰ μὴ θεωροῦν πὼς εἶναι μεγάλο πράγμα ἡ ἀνθρώπινη ἐπίδειξη, ἀλλὰ πὼς εἶναι πιὸ ἀδύνατη ἀπὸ τὴ σκιὰ καὶ πιὸ ἀσήμαντη ἀπὸ τὰ φύλλα καὶ πιὸ ἀπατηλὴ ἀπὸ τὰ ὄνειρα. Ὅταν λοιπὸν ἦρθε, κάλεσε βαρβάρους, καὶ ὄχι ἁπλῶς βαρβάρους, ἀλλὰ καὶ μάγους, τὸ πιὸ μεγάλο εἶδος τῆς ἀσέβειας.

---

13. Ἑβρ. 1,6.

*Ἐπειδὴ γὰρ τὰ τῆς οἰκουμένης ἅπαντα κακῶς διέκειτο, καὶ ἀσέβεια πανταχοῦ ἐκράτει, καὶ κνῖσσα καὶ καπνός, καὶ οὔτε νόμος ἴσχυεν, οὔτε προφῆται διώρθωσαν, οὐ παραινέσεις ὠφέλησαν, οὐ θαύματα, οὐ κόλασις, οὐ τιμωρίαι, καὶ ἡ γῆ δὲ ἀνθρωπίνοις αἵμασιν ἐμολύνετο, καὶ ἡ φύσις αὐτὴ ἠγνοεῖτο· «ἔθυσαν γὰρ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας τοῖς δαιμονίοις»· θυσιαστήρια κατεσκάπτετο, προφῆται ἀνῃροῦντο, καὶ ὁ τῆς εὐσεβείας ναὸς ἐρείπιον ἐγίνετο καὶ εἰδώλων καταγώγιον, καὶ ὁ δῆμος ὁ παραχθεὶς εἰς μέσον ὥστε παιδεῦσαι ἑτέρους, βλασφημίας ἄλλοις ὑπόθεσις ἐγίνετο· «τὸ γὰρ ὄνομά μου δι' ὑμᾶς βλασφημεῖται», φησίν, «ἐν τοῖς ἔθνεσι»· καὶ θυσίαι ἠλέγχοντο καὶ ἑορταὶ καὶ νεομηνίαι καὶ σάββατα, καὶ τὸ λοιπὸν τῆς λατρείας εἶδος ἐξεβέβλητο, ἀρετῆς ἀμελουμένης, καὶ φωνὴ ἄνωθεν τοῦ Θεοῦ κατηγοροῦντος, καὶ φωναὶ κάτωθεν τῶν προφητῶν ὀδυρομένων, καὶ φωναὶ πανταχόθεν, τῶν πραγμάτων κακῶς διακειμένων, καὶ πολλὴ τῆς κακίας ἡ δύναμις, καὶ πυκνή τις ἦν νεφέλη καὶ βαθεῖα νύξ, καὶ ἐν παρρησίᾳ τὰ τῆς πονηρίας, καὶ τὰ τῆς ἀρετῆς ἐκποδών, καὶ ὁ χειμὼν εἰς ὕψος ἤρετο, καὶ τὰ κύματα ἐπάλληλα, καὶ ναυάγια πυκνὰ καὶ συνεχῆ, καὶ πάντες ἦσαν ὑποβρύχιοι, καὶ οὐδὲ κυβερνήτου φωνὴ ἠκούετο, οὔτε ναυτῶν ἴσχυσε τέχνη, ἀλλ' ἐπεκράτει τὰ πονηρὰ πνεύματα, καὶ οὐδεμία σωτηρίας ἦν ἐλπίς, οὐδὲ παρακαλέσαι τις τὸν Θεὸν ἐτόλμα· πῶς γάρ, τῶν μὲν προφητῶν κατηγορούντων, τῶν δὲ ἀγγέλων τῶν καθ' ἕκαστον ἔθνος ἐπιστατούντων ἐγκαλυπτομένων; τὸν δημιουργὸν τοῦ παντὸς ὁ καιρὸς ἐκάλει λοιπόν, αὐτὸν τὸν πλάστην τὸν καὶ ἐξ ἀρχῆς τὸ γένος ἡμῶν ποιήσαντα.*

*Ἐπεὶ οὖν χαλεπωτάτη ἡ νόσος, μάλιστα δὲ ἐξ ἀπονοίας καὶ*

14. Ψαλμ. 105,37.

Ἐπειδὴ δηλαδὴ ὅλα τὰ πράγματα τῆς οἰκουμένης βρίσκονταν σὲ κακὴ κατάσταση, καὶ παντοῦ ἐπικρατοῦσε ἡ ἀσέβεια, ἡ κνίσσα καὶ ὁ καπνός, καὶ οὔτε ὁ νόμος ἴσχυε, οὔτε οἱ προφῆτες διόρθωσαν τὰ πράγματαα, οὔτε οἱ παραινέσεις ὠφέλησαν, οὔτε τὰ θαύματα, οὔτε οἱ τιμωρίες, οὔτε οἱ ποινές, καὶ ἡ γῆ μολύνονταν μὲ ἀνθρώπινα αἵματα καὶ ἀγνοοῦνταν καὶ αὐτὴ ἡ φύση, «γιατὶ θυσίασαν τοὺς υἱοὺς καὶ τὶς θυγατέρες τους στὰ δαιμόνια»[14], τὰ θυσιαστήρια γκρεμίζονταν, οἱ προφῆτες σκοτώνονταν, καὶ ὁ ναὸς τῆς εὐσέβειας γινόταν ἐρείπιο καὶ τόπος τῶν εἰδώλων, καὶ ὁ λαὸς ποὺ ὁδηγήθηκε στὴ μέση νὰ διδάξει ἄλλους γινόταν ἀφορμὴ βλασφημίας στοὺς ἄλλους, «γιατὶ τὸ ὄνομά μου», λέγει, «ἐξ αἰτίας σας βλασφημεῖται στὰ ἔθνη»[15], καὶ περιφρονοῦνταν οἱ θυσίες, οἱ ἑορτές, οἱ νεομηνίες καὶ τὰ σάββατα καὶ ξερριζωνόταν τὸ ὑπόλοιπο εἶδος τῆς λατρείας, ἐνῶ ἡ ἀρετὴ παραμελοῦνταν καὶ ἡ φωνὴ τοῦ Θεοῦ ἀπὸ τὸν οὐρανὸ κατηγοροῦσε καὶ οἱ φωνὲς ἀπὸ τὴ γῆ τῶν προφητῶν ὀδύρονταν, καὶ ἀπὸ παντοῦ φωνὲς ἀκούονταν, ἀφοῦ τὰ πράγματα βρίσκονταν σὲ κακὴ κατάσταση, καὶ ἦταν μεγάλη ἡ δύναμη τῆς κακίας, καὶ ὑπῆρχε κάποια πυκνὴ νεφέλη καὶ βαθὺ σκοτάδι, καὶ ἡ τρικυμία σηκωνόταν ψηλά, καὶ τὰ κύματα ἦταν διαδοχικά, καὶ τὰ ναυάγια συχνὰ καὶ ἀδιάκοπα, καὶ ὅλοι βρίσκονταν στὰ βάθη τῆς θάλασσας, καὶ δὲν ἀκουόταν ἡ φωνὴ τοῦ κυβερνήτη, οὔτε ἴσχυσε ἡ τέχνη τῶν ναυτῶν, ἀλλ' ἐπικρατοῦσαν τὰ πονηρὰ πνεύματα, καὶ δὲν ὑπῆρχε καμιὰ ἐλπίδα σωτηρίας, οὔτε τολμοῦσε κανεὶς νὰ παρακαλέσει τὸ Θεὸ (γιατὶ πῶς θὰ τολμοῦσε, ὅταν οἱ προφῆτες κατηγοροῦσαν καὶ οἱ ἄγγελοι ποὺ ἐπιβλέπουν τὸ κάθε ἔθνος χωριστὰ σκέπαζαν ἀπὸ ντροπὴ τὸ πρόσωπό τους;), ὁ καιρὸς καλοῦσε πιὰ τὸ δημιουργὸ τῶν ὅλων, αὐτὸν τὸν πλάστη ποὺ δημιούργησε ἀπὸ τὴν ἀρχὴ τὸ γένος μας.

Ἐπειδὴ λοιπὸν ἦταν πάρα πολὺ φοβερὴ ἡ ἀρρώστια, καὶ

15. Ἡσ. 52,5.

*ἀλαζονείας αὕτη ἐτέχθη, καὶ ἡ ἀρχὴ καὶ τὰ μέσα καὶ τὰ τέλη τῶν πραγμάτων διεφθείρετο, ἥλατο ἐκ τῶν θρόνων τῶν πατρικῶν, εἰς τὴν γῆν ἦλθεν. Τὸ δὲ ἥλατο πάλιν ὅταν ἀκούσῃς, μὴ μετάβασιν τόπου νόμιζε, μὴ ἐρήμωσιν οὐρανῶν· καὶ γὰρ ἐν τῇ μήτρᾳ ὢν τῇ παρθενικῇ, μετὰ τοῦ Πατρὸς ἦν· τὸ δὲ πῶς μὴ ζήτει μηδὲ εὐθύνας ἀπαίτει· ὅταν γὰρ ὁ Θεὸς ἐργάζηται, πίστεως χρεία μόνης καὶ συγκαταθέσεως καὶ ὁμολογίας.*

*Ἐλθὼν τοίνυν καὶ ἰδὼν τὸν κάμνοντα ἐπὶ κλίνης κείμενον καὶ ἀπεγνωσμένον (κάμνοντα δὲ ὅταν εἴπω, τὸ γένος φημὶ τὸ ἀνθρώπινον, οὐκ ἐπὶ κλίνης τοιαύτης, ἀλλ' ἐπὶ κλίνης τῆς πονηρίας), ὑπὸ ἰατρῶν ἐγκαταλελειμμένον, ὑπὸ παθῶν πολιορκούμενον, ὑπὸ τῆς νόσου κρατούμενον, πᾶν εἶδος ἀρρωστήματος εἰς τὴν ἀνθρωπίνην κατασκῆψαν φύσιν, καὶ αὐτὸν ἑαυτοῦ λοιπὸν ἀπεγνωκότα τὸν ἄνθρωπον, καὶ τὸν δεδομένον ἰατρὸν τῶν ἑλκῶν κατήγορον γινόμενον πικρόν, τὸν νόμον λέγω, καὶ αὔξοντα τὰ ἐγκλήματα, καὶ μείζονι δίκῃ ποιοῦντα ὑπεύθυνον τὸν ἄνθρωπον, καὶ τῆς ἀρρωστίας τὴν τυραννίδα, καὶ τῶν κακῶν τὴν ὑπερβολήν, οὐδένα ἕτερον ἐπιζητοῦντα, ἢ τὸν ἐξ ἀρχῆς ἡμᾶς διαπλάσαντα, ὅρα ἐκ προοιμίων τί ποιεῖ· τὴν φύσιν περιβάλλεται τὴν ἡμετέραν, τὴν ἠσθενηκυῖαν, τὴν ἡττηθεῖσαν, ὥστε μαχέσασθαι καὶ ἀναπαλαῖσαι δι' αὐτῆς· καὶ ἐκ τῶν προπυλαίων εὐθέως αὐτῶν καὶ τῶν προοιμίων πρόρριζον ἀνασπᾷ τῆς ἀπονοίας τὴν φύσιν· καὶ γὰρ πάντων αἴτιον τῶν κακῶν τοῦτο γέγονε. Τὸν γοῦν διάβολον οὐκ ὄντα διάβολον, τοῦτο διάβολον εἶναι πεποίηκε· καὶ δείκνυσιν ὁ Παῦλος λέγων· «μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου». Τοῦτο τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου ἐξέβαλεν· ἐπειδὴ γὰρ ἤκουσεν, «ἔσεσθε ὡς θεοί», τῇ ἐλπίδι ταύτῃ ἀπατηθείς, ἥψατο τοῦ δένδρου, καὶ τὸν νόμον ἐπάτησε, καὶ τὴν ἐντολὴν παρέβη.*

---

16. Α' Τιμ. 3,6.

μάλιστα γεννήθηκε αὐτὴ ἀπὸ τὴν ἀφροσύνη καὶ τὴν ἀλαζονεία, καταστρέφονταν καὶ τὰ πράγματα στὴν ἀρχὴ ἢ στὴ μέση ἢ στὸ τέλος τους, ἀναπήδησε ἀπὸ τοὺς πατρικοὺς θρόνους καὶ ἦρθε στὴ γῆ. Καὶ ὅταν ἀκούσεις πάλι τὸ 'ἀναπήδησε', νὰ μὴ νομίζεις τοπικὴ μετακίνηση οὔτε ἐρήμωση τῶν οὐρανῶν. Γιατὶ καὶ ὅταν βρισκόταν στὴν παρθενικὴ μήτρα, ἦταν μαζὶ μὲ τὸν Πατέρα. Νὰ μὴ ζητᾶς ὅμως τὸ πῶς οὔτε νὰ ἀπαιτεῖς ἐξηγήσεις, γιατὶ ὅταν ὁ Θεὸς κάνει κάποιο ἔργο, χρειάζεται μόνο πίστη, συγκατάθεση καὶ παραδοχή.

Ὅταν λοιπὸν ἦρθε καὶ εἶδε τὸν ἄρρωστο ἐπάνω στὸ κρεβάτι κατάκοιτο καὶ ἀπελπισμένο (καὶ ὅταν λέγω ἄρρωστο ἐννοῶ τὸ ἀνθρώπινο γένος, ὄχι ἐπάνω σὲ τέτοιο κρεβάτι, ἀλλὰ στὸ κρεβάτι τῆς κακίας), νὰ ἔχει ἐγκαταλειφθεῖ ἀπὸ τοὺς ἰατρούς, νὰ πολιορκεῖται ἀπὸ τὰ πάθη, νὰ κατέχεται ἀπὸ τὴν ἀρρώστια, κάθε εἶδος ἀρρώστιας νὰ ἔχει πέσει στὴν ἀνθρώπινη φύση, καὶ τὸν ἴδιο τὸν ἄνθρωπο ἀπελπισμένο γιὰ τὸ μέλλον του, καὶ τὸν ἰατρὸ ποὺ τοῦ δόθηκε γιὰ τὶς πληγὲς νὰ γίνεται σκληρὸς κατήγορος, ἐννοῶ τὸ νόμο, καὶ νὰ αὐξάνει τὶς κατηγορίες καὶ νὰ κάνει τὸν ἄνθρωπο ὑπεύθυνο γιὰ μεγαλύτερη τιμωρία, καὶ τὴν τυραννία τῆς ἀρρώστιας καὶ τὴν ὑπερβολὴ τῶν κακῶν, νὰ μὴ ζητάει κανένα ἄλλον παρὰ αὐτὸν ποὺ ἀπὸ τὴν ἀρχὴ μᾶς ἔπλασε, πρόσεχε τί κάνει ἀπὸ τὴν ἀρχή. Ντύνεται τὴ δική μας φύση, τὴν ἀδύνατη, τὴ νικημένη, γιὰ νὰ πολεμήσει καὶ νὰ παλέψει πάλι μ' αὐτήν, καὶ ἀμέσως ἀπὸ τὴν ἀρχὴ ξερριζώνει σύρριζα τὴ φύση τῆς ματαιοδοξίας, γιατὶ πραγματικὰ αὐτὴ ἔγινε ἡ αἰτία ὅλων τῶν κακῶν. Τὸ διάβολο λοιπόν, χωρὶς νὰ εἶναι διάβολος, αὐτὴ τὸν ἔκαμε νὰ εἶναι διάβολος. Καὶ τὸ δείχνει ὁ Παῦλος λέγοντας· «νὰ μὴν εἶναι νεοφώτιστος γιὰ νὰ μὴν ὑπερηφανευθεῖ καὶ πέσει στὴν καταδίκη τοῦ διαβόλου»[16]. Αὐτὴ ἔδιωξε τὸν Ἀδὰμ ἀπὸ τὸν παράδεισο· γιατὶ ὅταν ἄκουσε, «θὰ εἶστε σὰν θεοί»[17], ἐξαπατήθηκε ἀπὸ τὴν ἐλπίδα αὐτή, ἄγγιξε τὸ δένδρο, καταπάτησε τὸ νόμο καὶ παρέβηκε τὴν ἐντολή.

17. Γεν. 3,5.

Διά τοι τοῦτο καὶ ὁ Θεὸς κατάλληλον τῷ τραύματι τὸ φάρμακον κατεσκεύασεν. Ὥσπερ γὰρ ἐπὶ τῶν σωμάτων τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰατικά, καθάπερ καὶ ἰατρῶν παῖδές φασι, καὶ τὸ κατεψυγμένον θερμαίνομεν, καὶ τὸ καταξηρανθὲν ὑγραίνομεν, οὕτω δὴ καὶ ὁ Θεὸς ἐπὶ τῶν παθῶν τῆς ψυχῆς ἐποίησεν. Ἐπειδὴ γὰρ ἀπόνοια αὐτὴν ἐπῆρε καὶ φλεγμᾶναι παρεσκεύασε, φάρμακον ἐπέθηκε καταστέλλον αὐτῆς τὸ φύσημα καὶ καθαιροῦν τὸ οἴδημα. Ποῖον δὲ φάρμακον; Τὸν θάνατον ἐπιτειχίσας αὐτῇ. Διὰ τοῦτο οὐχὶ θνητὸν τὸ σῶμα μόνον εἰργάσατο, ἀλλὰ καὶ σήπεσθαι παρεσκεύασε καὶ φύρεσθαι, καὶ πηγὰς βρύειν σκωλήκων, καὶ εἰς ἰχῶρα καταλύειν καὶ δυσωδίας πληροῦσθαι, θεμέλια ταπεινοφροσύνης προαποτιθέμενος, καὶ οὐδέποτε οὐδὲ τὸν σφόδρα ἀπονενοημένον ἀφιεὶς μέγα φρονεῖν. Τί γὰρ δυσωδέστερον ἀνθρωπίνου σώματος; τί δὲ εὐτελέστερον τελευτήσαντος;

4. Ἀλλὰ μὴ στυγνάσῃς, ἀγαπητέ, ἀλλὰ κἀνταῦθα σκόπει τοῦ Θεοῦ τὴν κηδεμονίαν. Οὔτε γὰρ ὁ τελευτήσας αἰσθάνεται τῶν γιγνομένων, ἵνα ἀλγῇ, ὅ τε ζῶν ἐν ἀλλοτρίῳ σώματι παιδεύεται φιλοσοφεῖν. Κἂν γὰρ μυριάκις τὴν ὀφρὺν ἀνασπάσῃ καὶ μέγα κομπάσῃ, εἰς τάφον ἀπελθών, καὶ δυσωδίας προσπιπτούσης αἰσθανόμενος, καὶ τῆς εὐτελείας ἡμῶν ἀναμνησθείς, καταστέλλεται καὶ συμπίπτει, καὶ πρὸς αὐτὸν καταβαίνει τὸν ᾅδην. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο διὰ τοῦτο γέγονεν, οὐκ ἀτιμάζοντος αὐτοῦ τὴν φύσιν τὴν ἡμετέραν, ἀλλὰ τὴν ἀπόνοιαν τῆς διανοίας χαλινοῦντος, καὶ διατηροῦντος ἐν διηνεκεῖ ταπεινοφροσύνῃ τὸν ἄνθρωπον, ἐπειδὴ ἐξ ἀρχῆς αὐτῷ τὸ ἁμάρτημα ἐντεῦθεν γέγονεν, ἄκουσον τί φησιν ὁ προφήτης Ἡσαΐας· «ὅπως ἐξέπεσεν ἐξ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων»· οὐ περὶ ἑωσφόρου λέγων· οὐδὲ γὰρ ἐξέπεσέ ποτε ὁ ἑωσφό-

Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Θεὸς κατασκεύασε τὸ καταλληλο φάρμακο γιὰ τὸ τραῦμα. Γιατὶ ὅπως στὰ σώματα τὰ ἀντίθετα θεταπεύουν τὰ ἀντίθετα, ὅπως λέγουν καὶ οἱ ἰατροί, καὶ θερμαίνουμε αὐτὸ ποὺ πάγωσε καὶ ὑγραίνουμε αὐτὸ ποὺ ξεράθηκε ἐντελῶς, ἔτσι ἀκριβῶς καὶ ὁ Θεὸς ἔκαμε στὰ πάθη τῆς ψηχῆς. Ἐπειδὴ δηλαδὴ ἡ ματαιοδοξία ξεσήκωσε τὴν ψυχὴ καὶ τῆς προξένησε φλεγμονή, ἔβαλε πάνω της φάρμακο νὰ συγκρατήσει τὴν ἀλοζονεία της καὶ νὰ ἐξαλείψει τὴν πληγή. Καὶ ποιό εἶναι τὸ φάρμακο; Ὑψώνοντας γύρω της τὸ θάνατο σὰν τεῖχος. Γι' αὐτὸ ὄχι μόνο δημιούγησε τὸ σῶμα θνητό, ἀλλὰ τὸ ἔκαμε καὶ νὰ σαπίζει καὶ νὰ φθείρεται, καὶ νὰ βγάζει πηγὲς ἀπὸ σκουλήκια, καὶ νὰ διαλύεται σὲ ὑγρά, καὶ νὰ γεμίζει ἀπὸ δυσωδία, γιὰ νὰ βάλει ἀπὸ τὴν ἀρχὴ τὰ θεμέλια τῆς ταπεινοφροσύνης καὶ γιὰ νὰ μὴν ἀφήσει ποτὲ νὰ ὑπερηφανεύεται ἐκεῖνον ποὺ εἶναι ὑπερβολικὰ ἀλαζόνας. Γιατὶ τί εἶναι πιὸ βρωμερὸ ἀπὸ τὸ ἀνθρώπινο σῶμα; καὶ τί πιὸ τιποτένιο ἀπ' αὐτὸν ποὺ πέθανε;

4. Ὅμως μὴ στενοχωρηθεῖς, ἀγαπητέ, ἀλλὰ καὶ ἐδῶ πρόσεχε τὴ στοργικὴ φροντίδα τοῦ Θεοῦ. Γιατὶ οὔτε αὐτὸς ποὺ πέθανε αἰσθάνεται ὅσα γίνονται, γιὰ νὰ πονάει, καὶ αὐτὸς ποὺ ζεῖ, μὲ τὸ ξένο σῶμα διδάσκεται νὰ φιλοσοφεῖ. Γιατί, καὶ ἂν ἀκόμη ἄπειρες φορὲς ὑπερηφανευθεῖ καὶ καυχηθεῖ πολύ, ὅταν πάει σὲ τάφο καὶ αἰσθανθεῖ νὰ τὸν χτυπάει ἡ δυσωδία καὶ θυμηθεῖ πόσο τιποτένιοι εἴμαστε, συμμαζεύεται, γίνεται σκυθρωπὸς καὶ κατεβαίνει στὸν ἴδιο τὸν ἅδη. Καὶ γιὰ νὰ μάθεις πῶς αὐτὸ ἔγινε γι' αὐτὸν τὸ σκοπό, ἀφοῦ δὲν ντροπιάζει τὴν ἀνθρώπινη φύση, ἀλλὰ χαλιναγωγεῖ τὴ ματαιοδοξία τοῦ νοῦ καὶ κρατάει σὲ παντοτινὴ ταπεινοφροσύνη τὸν ἄνθρωπο, ἐπειδὴ ἀπὸ τὴν ἀρχὴ ἔγινε σ' αὐτὸν τὸ ἁμάρτημα ἀπὸ ἐδῶ, ἄκουσε τί λέγει ὁ προφήτης Ἠσαΐας· «ὅπως ἔπεσε ἀπὸ τὸν οὐρανὸ ὁ ἑωσφόρος ποὺ ἀνατέλλει τὸ πρωΐ»[18]. Δὲν τὸ λέγει αὐτὸ γιὰ τὸν αὐγερινό, γιατὶ ποτὲ δὲν ἔπεσε ὁ αὐγερινός, ἀλλὰ σταθεροποιήθηκε ἀφοῦ θε-

18. Ἠσ. 14,12· ἑωσφόρος = ὁ πλανήτης Ἀφροδίτη, ὁ αὐγερινός. Ἡ λέξη χρησιμοποιεῖται ἐπίσης γιὰ νὰ δηλώσει τὸ σατανά, τὸ διάβολο.

*ρος, ἀλλ᾽ ἐμπέπηγε θεμελιωθεὶς ἅπαξ ἐν τῷ οὐρανῷ, καὶ τὸν οἰκεῖον δρόμον διατηρεῖ.*

*Τί οὖν ἐστιν ὅ φησιν ὁ προφήτης, «πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων;». Περὶ βαρβάρου τινὸς λέγει βασιλέως· ἑωσφόρον δὲ αὐτὸν καλεῖ διὰ τὴν περιφάνειαν, διὰ τὸ διάδημα, διὰ τὴν πορφυρίδα, διὰ τὴν λαμπρότητα τῶν δορυφόρων, διὰ τὴν αἴγλην τὴν ἀπὸ τῶν ὅπλων, διὰ τὸν λάμποντα χρυσόν, διὰ τὰ δόρατα τὰ ἠκονημένα καὶ ἀποστίλβοντα, διὰ τὴν ἄλλην ἅπασαν φαντασίαν, διὰ τὸ ἄγειν ἅπαντα καὶ φέρειν. Ὅτι γὰρ οὐ περὶ ἑωσφόρου φησίν, ἀλλὰ μεταφορικῶς κέχρηται τῷ ὀνόματι εἰπών, «πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων;» προϊὼν λέγει, «σὺ δὲ εἶπας ἐν τῇ καρδίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ». Ὅτι δὲ ἀστὴρ οὔτε διάνοιαν ἔχει οὔτε νοῦν οὔτε ῥήματα, παντί που δῆλόν ἐστιν· ἀλλὰ περὶ βασιλέως λέγει βλασφήμου τινὸς καὶ ἀλαζόνος καὶ μεγαληγόρου, καὶ τοιαῦτα κομπάζοντος.*

*Τίς δὲ ὁ βασιλεύς; Δυνατὸν καὶ ἡμῖν εἰπεῖν, ἀλλ᾽ ἵνα μὴ πάντα παρ᾽ ἡμῶν μανθάνητε, ἀλλὰ καὶ αὐτοὶ φροντίζοντες καὶ ἀγρυπνοῦντες ἐρευνᾶτε τῆς θείας Γραφῆς τοὺς θησαυρούς, ἐπέλθετε τὸ χωρίον τοῦ προφήτου, καὶ εἴσεσθε, τίς τε ὁ βασιλεύς, καὶ ποίου ἔθνους, καὶ πότε γενόμενος· «δίδου γάρ», φησί, «σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται». Ἐπειδὴ τοίνυν οὗτος ὁ βασιλεὺς λαμπρὸς ὢν καὶ περιφανής, καὶ πολλὴν ἔχων πλούτου περιουσίαν, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπελθών, καὶ τὴν βασιλείαν ἐκτείνας τὴν ἑαυτοῦ, ἀθρόον ἀνηρπάσθη καὶ ἀπέθανεν, εἰδὼς τῶν ἀνθρώπων τὴν*

19. Ἡσ. 14,13·14.
20. Ὁ Ἡσαΐας μιλάει γιὰ τὸ βασιλιὰ τῆς Βαβυλώνας.

μελιώθηκε μιὰ φορὰ στὸν οὐρανὸ καὶ διατηρεῖ τὸ δικό του δρόμο.

Τί λοιπὸν σημαίνει αὐτὸ ποὺ λέγει ὁ προφήτης, «πῶς ἔπεσε ἀπὸ τὸν οὐρανὸ ὁ ἑωσφόρος ποὺ ἀνατέλλει τὸ πρωί;». Τὸ λέγει γιὰ κάποιο βάρβαρο βασιλιὰ καὶ τὸν ὀνομάζει ἑωσφόρο γιὰ τὴν ἐξωτερική του ἐμφάνιση, γιὰ τὸ στέμμα του, γιὰ τὴ βασιλικὴ πορφύρα του, γιὰ τὴ λαμπρότητα τῶν σωματοφυλάκων του, γιὰ τὴ λάμψη ἀπὸ τὰ ὅπλα, γιὰ τὸ χρυσάφι ποὺ λαμποκοπᾶ, γιὰ τὰ δόρατα τὰ ἀκονισμένα καὶ ἀστραφτερά, γιὰ ὅλη τὴν ἄλλη τὴ μεγαλοπρέπεια, γιὰ τὸ ὅτι ἄγει καὶ φέρει τὰ πάντα. Ὅτι λοιπὸν δὲ μιλάει γιὰ τὸν αὐγερινό, ἀλλὰ χρησιμοποιεῖ μὲ μεταφορικὴ σημασία τὴ λέξη λέγοντας «πῶς ἔπεσε ἀπὸ τὸν οὐρανὸ ὁ ἑωσφόρος ποὺ ἀνατέλλει τὸ πρωί;», τὸ λέγει παρακάτω· «ἐσὺ ὅμως εἶπες μὲ τὸ νοῦ σου, θὰ ἀνεβῶ στὸν οὐρανό, ἐπάνω στὰ ἄστρα τοῦ οὐρανοῦ θὰ στήσω το θρόνο μου καὶ θὰ γίνω ὅμοιος μὲ τὸν ὕψιστο Θεό»[19]. Ὅτι βέβαια τὸ ἄστρο δὲν ἔχει οὔτε ψυχὴ οὔτε νοῦ οὔτε λόγια, εἶναι στὸν καθένα φανερό· μιλάει ὅμως γιὰ κάποιο βασιλιὰ βλάσφημο καὶ ἀλαζόνα καὶ καυχησιάρη καὶ ὑπερήφανο ποὺ λέγει τέτοια λόγια.

Καὶ ποιός εἶναι αὐτὸς ὁ βασιλιάς; Μπορῶ καὶ ἐγὼ νὰ τὸ πῶ, ὅμως γιὰ νὰ μὴν τὰ μαθαίνετε ὅλα ἀπὸ μένα, ἀλλὰ καὶ σεῖς οἱ ἴδιοι μὲ τὴ δική σας φροντίδα καὶ προσοχὴ νὰ ἐρευνᾶτε τοὺς θησαυροὺς τῆς ἁγίας Γραφῆς, ἐξετάστε τὸ χωρίο τοῦ προφήτη καὶ θὰ μάθετε καὶ ποιὸς βασιλιὰς εἶναι καὶ τίνος ἔθνους καὶ πότε ἔζησε[20]. Γιατὶ λέγει ἡ Γραφή· «δίνε ἀφορμὴ στὸ σοφό, καὶ θὰ γίνει πιὸ σοφός»[21]. Ἐπειδὴ λοιπὸν ὁ βασιλιὰς αὐτός, παρ' ὅλο ποὺ ἦταν ἔνδοξος καὶ ὀνομαστός, ποὺ εἶχε πάρα πολὺ πλοῦτο, ποὺ ἔφθανε σὲ ὅλη τὴν οἰκουμένη καὶ ποὺ ἅπλωσε τὴ δική του βασιλικὴ ἐξουσία, ξαφνικὰ ἁρπάχθηκε ἀπὸ τὸ θάνατο καὶ πέθανε, καὶ ἐπειδὴ ὁ προφήτης γνώριζε τὴ μεταβολὴ τῶν ἀνθρώπων, εἶπε, «πῶς ἔπεσε ἀπὸ τὸν οὐρανὸ ὁ ἑωσφόρος ποὺ

---

21. Παροιμ. 9,9.

*μεταβολὴν ὁ προφήτης, «πῶς ἐξέπεσεν» εἶπεν, «ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων, ὁ σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον» καὶ πρὸς αὐτὸν ἀποτεινόμενος καὶ κωμῳδῶν αὐτόν, φησί· «σὺ δὲ εἶπας, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσομαι τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ· νῦν δὲ εἰς ᾅδην καταβήσῃ, ὑποκάτω σου στρώσουσι σῆψιν· καὶ τὸ κάλυμμά σου σκώληξ».*

*Ὁρᾷς πῶς, ὅπερ ἔφην, διὰ τοῦτο τοιαύτην λῆξιν ἔχειν ἡμῶν τὸ σῶμα παρεσκεύασεν, ἵνα φάρμακον ἀπονοίας ᾖ; Ἰδὼν γοῦν αὐτὸν ἀπονενοημένον, ἀπὸ τῶν μετὰ τὴν τελευτὴν αὐτὸν παιδεύει, τῶν σκωλήκων ἀναμιμνήσκων, τῆς δυσωδίας, τοῦ ἰχῶρος, ἵνα ἐκεῖνο λογισάμενος, καθυφῇ τῆς ἀπονοίας, μὴ τὰ παρόντα σκοπῶν καὶ φυσώμενος, ἀλλ' εἰς οἷον ἀπαντήσεται τέλος, οἵαν δέξεται μεταβολήν. Διὰ δὴ τοῦτο παθητὸν τὸ σῶμα ἐλάχομεν, καὶ μετὰ τὴν τελευτὴν οὕτω δυσῶδες. Εἰ γάρ, τῆς φύσεως τοιαύτης οὔσης, πολλοὶ τῶν ἀνοήτων εἰς τοῦτο ἀπονοίας ἐξώκειλαν, ὡς ἰσοθεΐαν φαντάζεσθαι καὶ τὸν οὐρανὸν σκοπεῖν, εἰ μὴ τούτῳ κατείχοντο τῷ χαλινῷ, ποῦ οὐκ ἂν ἐξερράγησαν παρανομίας;*

*Οὐχ οὗτος δὲ μόνον βασιλεύς, ἀλλὰ καὶ ἕτερος εὑρίσκεται τοῦτο αὐτὸ φανταζόμενος· ὃν γοῦν ὁ Ἰεζεκιὴλ κωμῳδῶν ἔλεγε προφήτης ἕτερος· «σὺ δὲ εἶπας, θεός εἰμι καὶ οὐκ ἄνθρωπος, κατοικῶν ἐν τῇ καρδίᾳ τῆς γῆς· μὴ ἐν τῇ χειρὶ τῶν ἀποκτενούντων σε ἐρεῖς, ὅτι θεός εἰμι καὶ οὐκ ἄνθρωπος;». Ὁρᾷς ὅτι καὶ οὗτος ᾐνίξατο, ὅτι ὁ θάνατος διὰ τοῦτο ἐπεισῆλθεν, ἵνα τὴν ἀπόνοιαν καταστείλῃ, ἵνα τὴν πονηρὰν ἐκείνην ἔννοιαν, ἣν ἐξ ἀρχῆς ἐνέσπειρε τῷ πρωτοπλάστῳ ὁ διάβολος, πρόρριζον ἀνασπάσῃ; Καὶ γὰρ εἰδωλολατρία ἐντεῦθεν γέγονεν, ὁ κολοφὼν τῶν κακῶν τῶν ἀνθρώπων,*

22. Ἡσ. 13,12·16·17.
23. Ἡσ. 13,13·15·11.

ἀνατέλλει τὸ πρωί, αὐτὸς ποὺ γκρεμίζει τοὺς βασιλεῖς, αὐτὸς ποὺ ἔχει ἐρημώσει ὅλη τὴν οἰκουμένη;»[22]. Καὶ ἀπευθυνόμενος σ' αὐτὸν καὶ γελοιοποιώντας τον λέγει· «ἐσὺ ὅμως εἶπες, θὰ ἀνεβῶ στὸν οὐρανό, ἐπάνω στὰ ἄστρα τοῦ οὐρανοῦ θὰ στήσω τὸ θρόνο μου καὶ θὰ γίνω ὅμοιος μὲ τὸν ὕψιστο Θεό· νὰ τώρα θὰ κατεβεῖς στὸν ἅδη, ἀπὸ κάτω σου θὰ στρώνουν σαπίλα καὶ τὸ σκέπασμά σου θὰ εἶναι σκουλήκια»[23].

Βλέπεις πῶς γι' αὐτό, πράγμα ποὺ εἶπα, ἔκαμε τὸ σῶμα μας νὰ ἔχει τέτοιο τέλος, γιὰ νὰ εἶναι φάρμακο τῆς ματαιοδοξίας; Ὅταν λοιπὸν δεῖ τὸν ἄνθρωπο γεμάτο ἀλαζονεία, τὸν διδάσκει ἀπ' αὐτὰ ποὺ γίνονται μετὰ τὸ θάνατο, θυμίζοντάς του τὰ σκουλήκια, τὴ δυσωδία, τὸ πύο, ὥστε, ἀφοῦ τὸ σκεφθεῖ αὐτό, νὰ ἐγκαταλείψει τὴ ματαιοδοξία, νὰ μὴν προσέχει τὰ παρόντα καὶ ὑπερηφανεύεται, ἀλλὰ σὲ ποιὸ τέλος θὰ καταλήξει καὶ ποιά μεταβολὴ θὰ δεχθεῖ. Γι' αὐτὸ ἀκριβῶς λάβαμε φθαρτὸ τὸ σῶμα καὶ μετὰ τὸ θάνατο τόσο βρωμερό. Γιατί, ἄν, τὴ στιγμὴ ποὺ ἡ φύση μας εἶναι τέτοια, πολλοὶ ἀπὸ τοὺς ἀνόητους ἔφθασαν σὲ τέτοιο σημεῖο ματαιοδοξίας, ὥστε νὰ φαντάζονται πὼς εἶναι ἴσοι μὲ τὸ Θεὸ καὶ νὰ σκέπτονται τὸν οὐρανό, ἂν δὲ συγκρατοῦνταν μ' αὐτὸ τὸ χαλινάρι, σὲ ποιό μέγεθος παρανομίας δὲ θὰ παρασύρονταν;

Καὶ ὄχι μόνο αὐτὸς ὁ βασιλιάς, ἀλλ' ὑπάρχει καὶ ἄλλος ποὺ φανταζόταν τὸ ἴδιο ἀκριβῶς, τὸν ὁποῖο βέβαια γελοιοποιώντας τον ἕνας ἄλλος προφήτης, ὁ Ἰεζεκιήλ, ἔλεγε· «ἐσὺ ὅμως εἶπες, ἐγὼ εἶμαι θεὸς καὶ ὄχι ἄνθρωπος καὶ κατοικῶ μέσα στὴν καρδιὰ τῆς γῆς· μήπως θὰ πεῖς ὅταν θὰ βρίσκεσαι στὸ χέρι ἐκείνου ποὺ θὰ σὲ σκοτώνουν, ὅτι εἶμαι θεὸς καὶ ὄχι ἄνθρωπος;»[24]. Βλέπεις ὅτι καὶ αὐτὸς ὑπαινίχθηκε πὼς ὁ θάνατος γι' αὐτὸ ὁρίσθηκε, γιὰ νὰ συγκρατήσει τὴ ματαιοδοξία, γιὰ νὰ ξερριζώσει σύρριζα τὴν πονηρὴ ἐκείνη σκέψη, ποὺ ἀπὸ τὴν ἀρχὴ ὁ διάβολος φύτεψε μέσα στὸν πρωτόπλαστο; Γιατὶ ἀπὸ ἐδῶ ἔγινε καὶ ἡ εἰδωλολατρία, τὸ ἀποκορύφωμα τῶν κακῶν ποὺ ἔκαναν οἱ ἄνθρωποι, ἀφοῦ οἱ περισσότεροι ὑψώνονταν σὲ ἀλαζονεία καὶ

24. Ἰεζ. 28,2·9.

*τῶν πολλῶν εἰς ἀπόνοιαν αἱρουμένων καὶ ἰσοθεΐας ἐπιθυμούντων. Ἅπαντες γοῦν οἱ παρὰ τοῖς Ἕλλησι θεοὶ ὑπὸ τῶν ἀνθρώπων ἀνεπλάσθησαν, ἅπερ, ἵνα μὴ γένηται, τὸν θάνατον ἐπετείχισεν ὁ Θεός, ἐλέγχων τὴν ἀσθένειαν τῆς φύσεως.*

*Διὰ δὴ τοῦτο ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τὴν ἀπόνοιαν καταστέλλων, τοιαῦτα τῆς εἰσόδου τὰ προοίμια κατεσκεύασε παθεῖν, καὶ καλύβην καὶ πενίαν καὶ μητέρα πτωχήν, διὰ τῶν ἔργων πείθων ἅπαντας καταπατεῖν τὸν ἀνθρώπινον τῦφον· καὶ παραγενόμενος, πρῶτον βαρβάρους καλεῖ. Τίνος ἕνεκεν καὶ διὰ τί; Ἐπειδὴ κακῶς τὸ τῶν ἀνθρώπων διέκειτο γένος (πάλιν γὰρ τὸν αὐτὸν ἀναλήψομαι λόγον), καὶ πάντες ἀπεγνώκεισαν τῆς σωτηρίας, τὴν ἀκρόπολιν τοῦ διαβόλου καὶ τὰ ἰσχυρότατα αὐτοῦ ὅπλα μετατίθησι πρῶτα, ἵνα τῶν ἄλλων μηδεὶς ἀπογινώσκῃ. Ἄλλως δὲ καὶ εἰς αἰσχύνην Ἰουδαίων τοῦτο γίνεται, ὅτι ἐκεῖνοι μὲν ἐστασίαζον προσελθεῖν, οὗτοι δὲ καὶ μακρὰν ἀποδημίαν ἐστείλαντο, ὥστε αὐτὸν ἰδεῖν καὶ προσκυνῆσαι, καὶ περιιόντες λέγουσι· «ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;».*

*5. Ὢ θαυμαστῶν καὶ παραδόξων πραγμάτων· παρὰ βαρβαρικῆς πρώτης φωνῆς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐν Ἰουδαίᾳ κηρύττεται, ἔνθα προφῆται καὶ πατριάρχαι καὶ δίκαιοι καὶ νόμος καὶ κιβωτὸς καὶ διαθήκη καὶ ναὸς καὶ θυσία καὶ λατρεῖαι· καὶ οἱ μὲν τούτοις ἐντραφέντες οὐδὲ παρὰ βαρβάρων μαθόντες παιδεύονται, οἱ δὲ μηδενὸς μηδέποτε τοιούτου ἀκούσαντες διδάσκαλοι τῶν ταῦτα μελετησάντων γίνονται. Διὰ δὴ τοῦτο κωμῳδῶν αὐτοὺς ὁ προφήτης Δαυὶδ ἔλεγεν· «ἱνατὶ ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;. Πῶς γὰρ οὐ κενὰ ἐμελέτησαν μὴ δεξάμενοι τὸν προφητευθέντα; Ἀλλ' οὐχ οἱ μάγοι, ἀλλὰ πατρίδα καταλιπόντες καὶ οἰκίαν*

---

25. Ματθ. 2,2.

ἐπιθυμοῦσαν νὰ γίνουν ἴσοι μὲ τὸ Θεό. Ὅλοι λοιπὸν οἱ θεοὶ τῶν Ἑλλήνων δημιουργήθηκαν ἀπὸ τοὺς ἀνθρώπους. Γιὰ νὰ μὴ γίνουν τὰ ἴδια, ὁ Θεὸς ὕψωσε τὸ θάνατο σὰν τεῖχος, ἀποδεικνύοντας τὴν ἀδυναμία τῆς φύσης.

Γι' αὐτὸ ἀκριβῶς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, θέλοντας νὰ συγκρατήσει τὴ ματαιοδοξία, προετοίμασε ἔτσι τὴν ἀρχὴ τῆς εἰσόδου του μὲ καλύβα καὶ φτώχεια καὶ μητέρα φτωχή, γιὰ νὰ πείσει μὲ τὰ ἔργα ὅλους νὰ περιφρονοῦν τὴν ἀνθρώπινη ἀλαζονεία, καὶ ὅταν ἦρθε, καλεῖ πρῶτα τοὺς βαρβάρους. Γιὰ ποιό λόγο καὶ γιατί; Ἐπειδὴ τὸ ἀνθρώπινο γένος βρισκόταν σὲ κακὴ κατάσταση (πάλι λοιπὸν θὰ ἐπαναλάβω τὰ ἴδια λόγια), καὶ ὅλοι ἦταν ἀπελπισμένοι γιὰ τὴ σωτηρία τους, μετατοπίζει πρῶτα τὸ φρούριο τοῦ διαβόλου καὶ τὰ ἰσχυρότατα ὅπλα του, γιὰ νὰ μὴν ἀπελπίζεται κανεὶς ἀπὸ τοὺς ἄλλους. Ἄλλωστε αὐτὸ γίνεται καὶ γιὰ νὰ καταισχύνει τοὺς Ἰουδαίους, ἀφοῦ αὐτοὶ δίσταζαν νὰ ἔρθουν κοντά του, ἐνῶ ἐκεῖνοι ἔκαμαν καὶ μακρινὸ ταξίδι γιὰ νὰ τὸν δοῦν καὶ νὰ τὸν προσκυνήσουν καὶ περιφερόμενοι ἐδῶ καὶ ἐκεῖ ἐρωτοῦν· «ποῦ εἶναι ἐκεῖνος ποὺ γεννήθηκε, ὁ βασιλιὰς τῶν Ἰουδαίων;»[25].

5. Τί θαυμαστὰ καὶ παράδοξα πράγματα! Ἀπὸ βαρβαρικὴ φωνὴ πρῶτα κηρύσσεται ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ στὴν Ἰουδαία, ἐκεῖ ποὺ ὑπῆρχαν προφῆτες καὶ πατριάρχες καὶ δίκαιοι καὶ νόμος καὶ κιβωτὸς καὶ διαθήκη καὶ ναὸς καὶ θυσία καὶ λατρεῖες. Καὶ αὐτοὶ ποὺ ἀνατράφηκαν μ' αὐτὰ δὲ διδάσκονται οὔτε ὅταν ἔμαθαν ἀπὸ τοὺς βαρβάρους, ἐνῶ ἐκεῖνοι ποὺ ποτὲ δὲν ἄκουσαν τίποτε τέτοιο γίνονται διδάσκαλοι αὐτῶν ποὺ τὰ μελέτησαν. Γι' αὐτὸ ἀκριβῶς ὁ προφήτης Δαβὶδ τοὺς γελοιοποιοῦσε λέγοντας· «γιατί ἀφηνίασαν τὰ ἔθνη καὶ οἱ λαοὶ μελέτησαν μάταια πράγματα;»[26]. Γιατί πῶς δὲ μελέτησαν μάταια πράγματα, ἀφοῦ δὲ δέχθηκαν αὐτὸν ποὺ προφητεύθηκε; Δὲν ἔκαναν ὅμως τὸ ἴδιο οἱ μάγοι, ἀλλ', ἐγκαταλείποντας πατρίδα

26. Ψαλμ. 2,1.

*καὶ φίλους καὶ συγγενεῖς, καὶ μακρὰν ἀποδημίαν ἐστείλαντο, καὶ εἰς κίνδυνον ἑαυτοὺς ἔρριψαν. Εἰς γὰρ βασιλευομένην πόλιν ἐλθόντες ἠρώτων, ποῦ ὁ βασιλεὺς ἐτέχθη; οὐ τοῦ βασιλεύοντος τότε τὸν θυμὸν ὑπειδόμενοι, οὐ τοῦ δήμου τὴν ἐπανάστασιν, οὐ τῆς πόλεως τὰς ἐπιβουλάς.*

*Ἐπειδὴ γὰρ ἐδέξαντο τὸ κήρυγμα, καὶ φιλόσοφοι καὶ μάρτυρες ζῶντες ἀθρόον γίνονται, κατατολμῶντες θανάτου, καταφρονοῦντες κινδύνων, ὑπερορῶντες τῆς παρούσης ζωῆς, ἐν παρρησίᾳ ἀνακηρύττοντες ὅπερ ἔμαθον, ἐν μέσῳ δήμῳ καὶ μέσῃ πόλει τὸν τεχθέντα ἀναγορεύοντες. Διὰ γὰρ τοῦτο καὶ ὁ ἀστὴρ κρύπτεται, ἵνα ἀπολέσαντες τὸν χειραγωγοῦντα ἀναγκασθῶσι παρὰ Ἰουδαίων μανθάνειν, μᾶλλον δὲ ἐν τῷ μανθάνειν διδάσκειν ἐκείνους· τὸν γὰρ τόπον ζητοῦσι μόνον, ὅτι δὲ ἐτέχθη, προλαβόντες ᾔδεσαν. Ἀλλ' ὅρα Θεοῦ σοφίαν, πῶς αὐτοὺς ἐκάλεσεν. Οὐ προφήτην ἔπεμψεν, οὐ γὰρ ἂν ἠνέσχοντο· οὐκ ἀπόστολον, οὐ γὰρ προσεῖχον· οὐ Γραφάς, οὐ γὰρ ᾔδεσαν· ἀλλ' ἀπὸ τῶν οἰκείων καὶ συντρόφων πραγμάτων ἀνιμᾶται τῆς πλάνης αὐτούς. Ἐπειδὴ γὰρ μάγοι ἦσαν, καὶ περὶ ἀστέρας αὐτοῖς ἡ τέχνη, ἀστὴρ αὐτοῖς φαίνεται, ἕλκων αὐτοὺς ἀπὸ τῆς ὑπερορίας, ἀστὴρ οὐχ εἷς τῶν ὁρωμένων, ἀλλὰ θεία τις καὶ ἀόρατος δύναμις εἰς ὄψιν ἀστέρος σχηματισθεῖσα· ἕλκει δὲ αὐτοὺς ἀστήρ, ἵνα ἀπαλλάξῃ τοῦ περὶ ἀστέρας λοιπὸν ἠσχολῆσθαι, καὶ τὴν τῆς ἀστρονομίας καταλύσῃ τυραννίδα.*

*Οὕτω καὶ ὁ Παῦλος ἐποίησε, τὸν Δεσπότην τὸν ἑαυτοῦ μιμούμενος· «μιμηταί γάρ μου γίνεσθε», φησί, «καθὼς κἀγὼ Χριστοῦ». Καθάπερ γὰρ ὁ Δεσπότης αὐτοῦ μάγους καλῶν ἀστέρος ἔπεμψεν ὄψιν, ἵνα τὸ σύνηθες ἐπιγνόντες εὐκόλως ὑπακούσωσι, καὶ ἐλθόντες τὸν τῶν ἀστέρων ἴδωσι Δεσπότην, καὶ τῆς δουλείας ἀπαλλαγέντες ἐκείνης, ταύτῃ προσέλθωσι τῇ δεσποτείᾳ, οὕτω δὴ*

καὶ σπίτι καὶ φίλους καὶ συγγενεῖς, ἔκαμαν μακρινὸ ταξίδι καὶ ἔρριξαν τὸν ἑαυτό τους σὲ κίνδυνο. Γιατί, ὅταν ἦρθαν σὲ βασιλευόμενη πόλη, ἐρωτοῦσαν, 'ποῦ γεννήθηκε ὁ βασιλιάς;', χωρὶς νὰ ὑποψιάζονται τότε τὴν ὀργὴ τοῦ βασιλιᾶ, οὔτε τὴν ἐξέγερση τοῦ λαοῦ, οὔτε τὶς ἐπιβουλὲς τῆς πόλης.

Ἀφοῦ λοιπὸν δέχθηκαν τὸ κήρυγμα, γίνονται ξαφνικὰ καὶ φιλόσοφοι καὶ μάρτυρες ζωντανοί, περιφρονώντας τὸ θάνατο, ἀψηφώντας τοὺς κινδύνους, ἀδιαφορώντας γιὰ τὴν παρούσα ζωή, διαλαλώντας μὲ θάρρος αὐτὸ ποὺ ἔμαθαν, μιλώντας δημόσια γι' αὐτὸν ποὺ γεννήθηκε ἀνάμεσα στὸ λαὸ καὶ στὸ κέντρο τῆς πόλης. Γι' αὐτὸ ἀκριβῶς καὶ τὸ ἀστέρι κρύβεται, ὥστε, χάνοντας τὸν ὁδηγό τους, ν' ἀναγκασθοῦν νὰ πληροφορηθοῦν ἀπὸ τοὺς Ἰουδαίους, ἢ μᾶλλον καθὼς θὰ πληροφοροῦνταν νὰ διδάξουν ἐκείνους. Γιατὶ τὸν τόπο ζητοῦν μόνο, τὸ ὅτι ὅμως γεννήθηκε, τὸ ἤξεραν ἀπὸ πρίν. Δὲν ἔστειλε προφήτη, γιατὶ δὲ θὰ τὸν δέχονταν, οὔτε ἀπόστολο, γιατὶ δὲ θὰ τὸν πρόσεχαν, οὔτε Γραφές, γιατὶ δὲν τὶς γνώριζαν, ἀλλὰ μὲ τὰ γνωστὰ καὶ καθημερινὰ πράγματα τοὺς ἀνασύρει ἀπὸ τὴν πλάνη τους. Ἐπειδὴ δηλαδὴ ἦταν μάγοι, καὶ ἡ τέχνη τους ἦταν σχετικὴ μὲ τὰ ἀστέρια, φανερώνεται σ' αὐτοὺς ἕνα ἀστέρι, ὁδηγώντας τους ἀπὸ τὴ μακρινή τους χώρα, ὄχι ἕνα ἀστέρι ἀπ' αὐτὰ ποὺ βλέπουμε, ἀλλὰ κάποια θεϊκὴ καὶ ἀόρατη δύναμη ποὺ πῆρε τὸ σχῆμα τοῦ ἀστεριοῦ. Καὶ τοὺς ὁδηγεῖ τὸ ἀστέρι, γιὰ νὰ τοὺς ἀπαλλάξει στὸ μέλλον ἀπὸ τὴν ἀσχολία τους μὲ τὰ ἀστέρια καὶ γιὰ νὰ καταργήσει τὴν ἐξουσία τῆς ἀστρονομίας.

Τὸ ἴδιο ἔκαμε καὶ ὁ Παῦλος, μιμούμενος τὸν δικό του Κύριο· γιατὶ λέγει· «νὰ γίνεστε μιμητές μου, ὅπως εἶμαι καὶ ἐγὼ τοῦ Χριστοῦ»[27]. Γιατί, ὅπως ὁ Κύριός του, καλώντας τοὺς μάγους, ἔστειλε τὴ μορφὴ τοῦ ἀστεριοῦ, ὥστε, ἀφοῦ γνωρίσουν τὸ συνηθισμένο σ' αὐτοὺς φαινόμενο, νὰ ὑπακούσουν εὔκολα, καὶ ἀφοῦ ἔρθουν νὰ δοῦν τὸν Κύριο τῶν ἀστεριῶν, καὶ ἀφοῦ ἀπαλλαγοῦν ἀπὸ τὴ δουλεία ἐκείνη, νὰ ἔρθουν κάτω ἀπ' αὐτὴ

27. Α' Κορ. 11,1.

*καὶ αὐτὸς μέλλων περιτομὴν καθαιρεῖν, μετὰ περιτομῆς ἔπεμψε τὸν Τιμόθεον. Ἐπειδὴ γὰρ Ἰουδαῖοι ἦσαν οἱ μέλλοντες αὐτὸν δέχεσθαι, αὐτὸς δὲ ἦν γυναικὸς Ἰουδαίας πιστῆς υἱός, πατρὸς δὲ Ἕλληνος, καὶ διὰ τοῦτο ἀκρόβυστος, περιέθηκε τὴν περιτομήν, τὰ τῶν ἁλιέων ἐργαζόμενος· καὶ γὰρ ἐκεῖνοι τὸ ἄγκιστρον γυμνὸν οὐκ ἀφιᾶσιν εἰς τὸ πέλαγος, ἀλλὰ κρέας αὐτῷ περιτιθέντες.*

*Ἔστω τοίνυν ἡ συναγωγὴ πέλαγος, οἱ δὲ Ἰουδαῖοι ἰχθύες, τὸ δὲ ἄγκιστρον ὁ Τιμόθεος, ἡ δὲ περιτομὴ τὸ κρέας τὸ τῷ ἀγκίστρῳ περιτιθέμενον, ὁ δὲ ἁλιεὺς ὁ Παῦλος· ρίπτει τοίνυν τὸ ἄγκιστρον εἰς τὴν θάλατταν, ἀλλ' οὐ γυμνόν, τὸν Τιμόθεον, μετὰ περιτομῆς, ἀλλ' οὐκ ἀκρόβυστον· εἰ γὰρ ἀκρόβυστον ἔπεμψεν, ἔφυγον ἂν οἱ ἰχθύες, γυμνὸν τὸ ἄγκιστρον θεασάμενοι· διὰ τοῦτο αὐτὸ περιστέλλει τῇ περιτομῇ, ἵνα τὸ σύνηθες ἐπιγνόντες, δράμωσιν ἐπὶ τὴν θήραν, καὶ μὴ σοβήσῃ τὴν ἄγραν δραμόντων ἐπὶ τὴν θήραν· ὅπως ἑλκυσθῶσι μὲν διὰ περιτομῆς, κατασχεθῶσι δὲ τῷ λόγῳ τῆς διδασκαλίας, ὃ δὴ καὶ γέγονεν. Εἰσελθὼν γὰρ καὶ περιτομὴν ἔχων, κατέλυσε τὴν περιτομήν.*

*Τοιαῦτα γὰρ τὰ τῆς οἰκονομίας· συγκαταβαίνει πρότερον, καὶ τότε ἀνασπᾷ. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε βαρβάρους καλῶν. Ὥσπερ γὰρ ἀνθρώπους καλῶν, ἄνθρωπον περιέθηκεν ἑαυτῷ καὶ ὄψιν καὶ φύσιν, οὕτω καὶ μάγους καλῶν, τὴν ἀόρατον δύναμιν εἰς ἀστέρος ὄψιν ἐσχημάτισεν. Ὅτι γὰρ οὐκ ἀστὴρ ἦν εἷς τῶν πολλῶν ὁ ἀστὴρ ἐκεῖνος, ἀπὸ τοῦ δρόμου μάνθανε. Οὐ γὰρ ἀπὸ ἀνατολῆς εἰς δύσιν ἔτρεχεν, ἀλλ' ἀπὸ ἄρκτου εἰς νότον· οὕτω γὰρ ἡ Παλαιστίνη πρὸς τὴν Περσίδα κεῖται· καὶ φαίνεται οὐκ ἐν νυκτί, ἀλλ' ἐν ἡμέρᾳ, ὅπερ οὐκ ἔστιν ἀστέρος· διὰ τοῦτο καὶ φαίνεται καὶ κρύπτεται, ὅπερ οὐδὲ αὐτὸ ἀστέρος· καὶ κρύπτεται ὅτε ἐπέβησαν Ἱεροσο-*

τὴν ἐξουσία, ἔτσι ἀκριβῶς καὶ ὁ Παῦλος, ὅταν ἐπρόκειτο νὰ καταργήσει τὴν περιτομή, ἔστειλε τὸν Τιμόθεο μὲ περιτομή. Ἐπειδὴ δηλαδὴ οἱ Ἰουδαῖοι ἦταν ἐκεῖνοι ποὺ ἐπρόκειτο νὰ τὸν δεχθοῦν καὶ αὐτὸς ἦταν γεννημένος ἀπὸ γυναίκα Ἰουδαία πιστὴ καὶ ἀπὸ πατέρα Ἕλληνα, καὶ γι' αὐτὸ ἦταν ἀπερίτμητος, τὸν ὑποχρέωσε νὰ περιτμηθεῖ, ἐνεργώντας ὅπως οἱ ψαράδες· γιατὶ καὶ αὐτοὶ δὲ ρίχνουν γυμνὸ τὸ ἀγκίστρι στὴ θάλασσα, ἀλλ' ἀφοῦ τοῦ βάλουν γύρω του κρέας.

Ἂς ὑποτεθεῖ λοιπὸν πὼς ἡ συναγωγὴ εἶναι ἡ θάλασσα, οἱ Ἰουδαῖοι τὰ ψάρια, ὁ Τιμόθεος τὸ ἀγκίστρι, ἡ περιτομὴ τὸ κρέας ποὺ μπαίνει γύρω στὸ ἀγκίστρι καὶ ὁ Παῦλος εἶναι ὁ ψαράς. Ρίχνει λοιπὸν τὸ ἀγκίστρι στὴ θάλασσα, δηλαδὴ τὸν Τιμόθεο, ὄχι ὅμως γυμνό, ἀλλὰ μὲ περιτομὴ καὶ ὄχι ἀπερίτμητο· γιατί, ἂν τὸν ἔστελνε ἀπερίτμητο, θὰ ἔφευγαν τὰ ψάρια βλέποντας γυμνὸ τὸ ἀγκίστρι. Γι' αὐτὸ τὸ ντύνει μὲ τὴν περιτομή, ὥστε, ὅταν ἀντιληφθοῦν κάτι τὸ συνηθισμένο σ' αὐτούς, νὰ τρέξουν ἐπάνω στὸ θήραμα καὶ νὰ μὴ διωχθεῖ τὸ ἁλίευμα, τρέχοντας αὐτὸ γιὰ θήραμα, γιὰ νὰ προσελκυσθοῦν δηλαδὴ μὲ τὴν περιτομὴ καὶ νὰ κατακρατηθοῦν μὲ τὸ λόγο τοῦ κηρύγματος, πράγμα ποὺ ἔγινε. Γιατί, ἐρχόμενος ἐκεῖ καὶ ἔχοντας τὴν περιτομή, κατάργησε τὴν περιτομή.

Τέτοια λοιπὸν εἶναι τὰ ἔργα τῆς θείας οἰκονομίας· πρῶτα δείχνει συγκατάβαση καὶ ὕστερα ξερριζώνει. Ἔτσι καὶ ὁ Χριστὸς ἔκαμε καλώντας τοὺς βαρβάρους. Γιατί, ὅπως ὅταν καλοῦσε τοὺς ἀνθρώπους, ἔγινε ἄνθρωπος καὶ στὴ μορφὴ καὶ στὴ φύση, ἔτσι καὶ ὅταν καλοῦσε τοὺς μάγους, διαμόρφωσε τὴν ἀόρατη δύναμη σὲ μορφὴ ἀστεριοῦ. Καὶ ὅτι τὸ ἀστέρι ἐκεῖνο δὲν ἦταν ἕνα ἀστέρι ἀπὸ τὰ πολλά, μάθε το αὐτὸ ἀπὸ τὴν πορεία του. Γιατὶ δὲν πήγαινε ἀπὸ τὴν ἀνατολὴ στὴ δύση, ἀλλὰ ἀπὸ τὸ βορρὰ στὸ νότο, ἀφοῦ ἡ Παλαιστίνη βρίσκεται στὰ νότια τῆς Περσίας. Ἐπίσης φαίνεται ὄχι τὴ νύχτα, ἀλλὰ τὴν ἡμέρα, πράγμα ποὺ δὲν εἶναι γνώρισμα ἀστεριοῦ. Καὶ χάνεται ὅταν ἔφθασαν στὰ Ἱεροσόλυμα, καὶ φαίνεται ὅταν ἀπομακρύνθηκαν ἀπὸ

*λύμων, καὶ φαίνεται ὅτε ἀπηλλάγησαν τοῦ βασιλέως. Ὅθεν δῆλον ὅτι λογική τις ἦν δύναμις πρὸς τὸ ἐπιταχθὲν πάντα οἰκονομοῦσα.*

*Οὐκ ἐντεῦθεν δὲ μόνον τοῦτο δῆλον, ἀλλ' ὅτι καὶ χειραγωγήσας πρὸς τὴν φάτνην, οὐκ ἄνωθεν αὐτοῖς δείκνυται, ἀλλὰ κάτω κατελθὼν ἔστη, οὗ ἦν τὸ παιδίον, ἐπάνω ὑπὲρ αὐτῆς ὡς εἰπεῖν τῆς κεφαλῆς· εἰ γὰρ ἀστὴρ ἦν, οὐκ ἂν τοιοῦτον ἔδειξε τόπον, στενὸν καὶ περιωρισμένον. Ἴστε γὰρ δήπου σαφῶς, ὅτι διὰ τὴν ὑπερβολὴν τοῦ ὕψους οὐδὲ πόλεως τόπον χαρακτηρίσαι δύναιτ' ἂν ἀστήρ, οὐδὲ εὔσημός ἐστιν αὐτοῦ ἡ εὐθεῖα ἡ κατὰ κάθετον ἀφιεμένη διὰ τὴν ὑπερβολὴν τῶν ὑψωμάτων. Ἐκεῖνος δὲ καὶ μικρὸν χωρίον καὶ φάτνην ἐδείκνυ, πλησίον τῆς κεφαλῆς γενόμενος, καὶ δείξας εὐθέως ἀπεπήδησεν, ὅπερ οὐκ ἦν ἀστέρος.*

*6. Εἰ δὲ οἱ μάγοι λέγουσι, «εἴδομεν αὐτοῦ τὸν ἀστέρα», ἀπὸ τῆς οἰκείας τέχνης τέως φθεγγόμενοι, ὕστερον μέντοι χειραγωγηθέντες ἀπηλλάγησαν. Ὅτι γὰρ ὁμοῦ τε εἶδον τὸν ἀστέρα καὶ τῆς πλάνης ἀπηλλάγησαν, ἀφ' οὗ προσκυνοῦσι δῆλον· εἰ γὰρ ἕνα τῶν πολλῶν ἐνόμιζον, οὐκ ἂν προσεκύνησαν. Τί γὰρ προσεδόκων παρὰ παιδίου καὶ ξένοι καὶ ἐπήλυδες καὶ βάρβαροι; πόθεν δὲ ᾔδεσαν ὅτι βιώσει καὶ ἀποδώσει τὰς ἀμοιβὰς αὐτοῖς ἐκ τοσούτου διαστήματος οὖσι; πῶς δὲ τὸν παρόντα κίνδυνον οὐ προείλοντο; πῶς δὲ οὐκ ἐνενόησαν ὅτι καὶ προεξαρπασθῆναι εἰκὸς τῆς παρούσης ζωῆς, τοῦ τότε βασιλεύοντος αὐτοὺς ἀναιροῦντος; τί δὲ καὶ βασιλείας σύμβολον εἶδον; ποῖα προπύλαια; ποίους δορυφόρους; ποίους ὑπασπιστάς; ποίαν θεραπείαν; ποίας ἀσπίδας χρυσᾶς; ποῖα ὀχήματα; ποῖον ὄροφον; ποίας αὐλάς; ποίων εὐνούχων ἀγέλην; Οὐδὲν τούτων, ἀλλὰ τἀναντία ἅπαντα, φάτνην καὶ καλύβην καὶ κατάλυμα καὶ μητέρα πτωχὴν καὶ πενίαν ἐπιτεταμένην καὶ σπάργανα.*

τὸ βασιλιά. Ἀπ' αὐτὸ εἶναι φανερὸ πὼς ἦταν κάποια λογικὴ δύναμη ποὺ ρύθμιζε τὰ πάντα σύμφωνα μὲ τὴν ἐντολὴ ποὺ ἔλαβε.

Καὶ αὐτὸ δὲν εἶναι μόνο ἀπὸ ἐδῶ φανερό, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι, ἀφοῦ τοὺς ὁδήγησε στὴ φάτνη, δὲ φαίνεται σ' αὐτοὺς ἀπὸ τὸν οὐρανό, ἀλλὰ κατέβηκε κάτω καὶ στάθηκε ἐκεῖ ποὺ ἦταν τὸ παιδί, ἐπάνω ἀπὸ τὸ κεφάλι του, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε. Ἂν λοιπὸν ἦταν ἀστέρι, δὲ θὰ ἔδειχνε ἕνα τέτοιο τόπο, στενὸ καὶ μικρό. Γιατὶ βέβαια ξέρετε πολὺ καλὰ ὅτι ἐξ αἰτίας τοῦ ὑπερβολικοῦ ὕψους δὲ θὰ μποροῦσε ἕνα ἀστέρι οὔτε νὰ προσδιορίσει τὸν τόπο μιᾶς πόλης, οὔτε διακρίνεται καλὰ ἡ ἀκτίνα του ποὺ πέφτει κάθετα ἐξ αἰτίας τῶν πολλῶν ψηλῶν βουνῶν. Αὐτὸ ὅμως ἔδειχνε καὶ τὸν μικρὸ τόπο καὶ τὴ φάτνη, καὶ ἀφοῦ ἦρθε κοντὰ στὸ κεφάλι τοῦ παιδιοῦ καὶ τὸ ἔδειξε ἀμέσως ἀπομακρύνθηκε, πράγμα ποὺ δὲν ἦταν γνώρισμα ἀστεριοῦ.

6. Ἂν ὅμως οἱ μάγοι λέγουν, «εἴδαμε τὸ ἀστέρι αὐτοῦ»[28], μιλώντας στὴν ἀρχὴ σύμφωνα μὲ τὴ δική τους τέχνη, ὕστερα ὅμως, ἀφοῦ ὁδηγήθηκαν ἀπὸ τὸ ἀστέρι, λυτρώθηκαν ἀπ' αὐτήν. Ὅτι λοιπὸν τὴν ἴδια στιγμὴ καὶ τὸ ἀστέρι εἶδαν καὶ ἀπὸ τὴν πλάνη τους λυτρώθηκαν εἶναι φανερὸ ἀπὸ τὸ ὅτι προσκυνοῦν· γιατί, ἂν τὸ θεωροῦσαν ἕνα ἀπὸ τὰ πολλὰ δὲ θὰ προσκυνοῦσαν. Γιατὶ τί περίμεναν ἀπὸ ἕνα παιδὶ αὐτοὶ ποὺ ἦταν καὶ ξένοι καὶ ἀλλοδαποὶ καὶ βάρβαροι; Καὶ ἀπὸ ποῦ ἤξεραν ὅτι θὰ ζήσει καὶ θὰ ἀνταποδώσει τὶς ἀμοιβὲς σ' αὐτοὺς ποὺ ἦταν ἀπὸ τόσο μακρινὴ ἀπόσταση; Καὶ πῶς δὲν πρόβλεψαν τὸν κίνδυνο ποὺ τοὺς παραμόνευε; Καὶ πῶς δὲ σκέφθηκαν ὅτι ἦταν πιθανὸ νὰ φύγουν πρόωρα ἀπὸ τὴν παρούσα ζωή, ἂν ὁ τότε βασιλιὰς τοὺς σκότωνε; Καὶ ποιό σύμβολο τῆς βασιλικῆς ἐξουσίας εἶδαν; ποιά προπύλαια; ποιούς σωματοφύλακες; ποιούς ὑπασπιστές; ποιά ἀκολουθία βασιλική; ποιές χρυσὲς ἀσπίδες; ποιά ὀχήματα; ποιά ὀροφή; ποιές αὐλές; ποιό πλῆθος εὐνούχων; Τίποτε ἀπ' αὐτά, ἀλλ' ὅλα τὰ ἀντίθετα, δηλαδὴ τὴ φάτνη, τὴν καλύβα, τὴ σπηλιά, τὴ φτωχὴ μητέρα, τὴν ὑπερβολικὴ φτώχεια καὶ τὰ σπάργανα.

28. Ματθ. 2,2.

*Τίνι τοίνυν προσέφερον τὸν χρυσὸν καὶ τὸν λίβανον καὶ τὴν σμύρναν; οὐκ εὔδηλον ὅτι τῇ πίστει ἤδη ἦσαν ἐπτερωμένοι; Καὶ πολλὴ ἡ διαφορὰ τῶν δώρων, κηρύγματος ἐπέχουσα τάξιν. Οὐ γὰρ ἀπόβλητος ὁ λόγος, εἰ καὶ παρὰ πολλῶν εἴρηται, ὅτι δὴ καὶ Θεὸν ὡμολόγουν διὰ τοῦ λιβάνου, καὶ βασιλέα διὰ τοῦ χρυσοῦ, καὶ τὸν πάσχοντα διὰ τῆς σμύρνης τὸν τάφον ἐνδεικνύμενοι· οὕτω γοῦν καὶ ἐτάφη· καὶ ταῦτα δι' ὧν ἐποίουν οὗτοι προανεφώνουν. Οὐ τοίνυν ἀστρονομίας ἰσχὺς ἦν τὸ γινόμενον, ἀλλ' οἰκονομίας Θεοῦ· οὐ γὰρ ὁ ἀρετὴν ἐλθὼν διδάξαι ἐποίει ἀστρονομίαν ἐπεισάγεσθαι, ἀλλὰ καὶ σφόδρα αὐτὴν καταλύει ἐν τῷ θέλειν καὶ τῷ μὴ θέλειν πάντα ὁριζόμενος εἶναι καὶ τὰ καλὰ καὶ τὰ μὴ καλά.*

*Διὰ τοῦτο καὶ γέενναν ἠπείλησε, καὶ βασιλείαν ἡτοίμασε· οὐκ ἂν δὲ τοῖς ἀνάγκῃ δεδεμένοις οὔτε στεφάνους ηὐτρέπισεν, οὔτε κόλασιν ἠπείλησε· τῶν γὰρ ἐν τῇ γνώμῃ γινομένων ταῦτα ἑκάτερα· οὐκ ἂν νόμους ἔθηκεν, οὐκ ἂν παραινέσεις παρῄνεσεν, οὐκ ἂν τοσαῦτα εἰργάσατο, εἰ ἀνάγκῃ τὸ τῶν ἀνθρώπων γένος δεδεμένον ἦν· ἀλλ' ἐπειδὴ ἐλεύθεροι καὶ προαιρέσεώς ἐσμεν κύριοι, ἀπὸ ῥᾳθυμίας γινόμενοι φαῦλοι, ἀπὸ τῆς σπουδῆς χρηστοὶ καὶ ἐπιεικεῖς, τὰ σωτήρια φάρμακα καὶ πρὸς τοῦτο ἄγοντα ἦλθε κατασκευάζων, τῷ φόβῳ τῆς γεέννης καὶ τῇ τῆς βασιλείας ἐπαγγελίᾳ τοὺς πολλοὺς διορθούμενος, καὶ διὰ τῶν νόμων φιλοσοφεῖν παιδεύων.*

*Ὅτι γὰρ οὔτε γένεσίς ἐστιν, οὔτε δρόμος ἀστέρων τὰ ἀνθρώπινα διοικῶν, καὶ τῶν Γραφῶν χωρὶς ἀπ' αὐτῶν τῶν πραγμάτων δῆλον. Εἰ γὰρ ὑπὸ γένεσιν τὰ ἀνθρώπινα, τίνος ἕνεκεν μαστιγοῖς τὸν οἰκέτην κεκλοφότα; τίνος ἕνεκεν μοιχευθεῖσαν τὴν γυναῖκα εἰς δικαστήρια ἕλκεις; τίνος ἕνεκεν αἰσχύνῃ τὰ πονηρὰ πράττων; εἰ γὰρ ἀνάγκης ἐστὶ τὸ ἁμάρτημα, τίνος ἕνεκεν οὐδὲ τὰ ῥήματα φέρεις*

Σὲ ποιὸν λοιπὸν πρόσφεραν το χρυσάφι, τὸ λιβάνι καὶ τὴ σμύρνα; Δὲν εἶναι ὁλοφάνερο ὅτι εἶχαν ἤδη τὰ φτερὰ τῆς πίστης; Καὶ τὰ δῶρα ἦταν πολὺ διαφορετικά, ἔχοντας τὴ θέση κηρύγματος. Γιατὶ δὲν εἶναι ἀξιοκαταφρόνητος ὁ λόγος, ἂν καὶ ἔχει λεχθεῖ ἀπὸ πολλούς, ὅτι δηλαδὴ μὲ τὸ λιβάνι τὸν παραδέχονταν σὰν Θεό, μὲ τὸ χρυσάφι σὰν βασιλιά, καὶ μὲ τη σμύρνα προμήνυαν ὅτι ἐπρόκειτο νὰ πάθει, φανερώνοντας τὴν ταφή του· γιατὶ ἔτσι πραγματικὰ θάφτηκε· καὶ αὐτὰ τὰ προμήνυαν μὲ ὅσα ἔκαμναν αὐτοί. Δὲν ἦταν λοιπὸν αὐτὸ ποὺ γινόταν ἀπόδειξη τῆς δύναμης τῆς ἀστρονομίας, ἀλλὰ τῆς οἰκονομίας τοῦ Θεοῦ. Γιατὶ ἐκεῖνος ποὺ ἦρθε νὰ διδάξει τὴν ἀρετὴ δὲν συμπεριέλαβε καὶ τὴν ἀστρολογία, ἀλλὰ καταργεῖ ἐντελῶς αὐτήν, καθορίζοντας ὅτι ὅλα εἶναι στὴ θέληση καὶ στὴ μὴ θέληση τοῦ καθενός, καὶ τὰ καλὰ καὶ τὰ μὴ καλά.

Γι' αὐτὸ καὶ γέεννα ἀπείλησε καὶ βασιλεία ἑτοίμασε. Σ' αὐτοὺς ὅμως ποὺ εἶναι δεμένοι στὴν ἀνάγκη οὔτε στεφάνια θὰ ἑτοίμαζε, οὔτε μὲ κόλαση θ' ἀπειλοῦσε, καθόσον καὶ τὰ δύο αὐτὰ εἶναι ἀπὸ ἐκεῖνα ποὺ γίνονται μὲ ἐλεύθερη θέληση. Δὲ θὰ ὅριζε νόμους οὔτε θὰ ἔδινε συμβουλὲς οὔτε θὰ ἔκανε τόσα πολλά, ἂν τὸ ἀνθρώπινο γένος ἦταν δεμένο στὴν ἀνάγκη. Ἐπειδὴ ὅμως εἴμαστε ἐλεύθεροι καὶ κυρίαρχοι στὴ θέλησή μας, καὶ γινόμαστε ἔτσι ἀπὸ τὴν ἀδιαφορία μας κακοὶ καὶ ἀπὸ το ζῆλο μας ἀγαθοὶ καὶ καλοί, ἦρθε νὰ φτειάξει τὰ σωτήρια φάρμακα καὶ ποὺ ὁδηγοῦν σ' αὐτήν, διορθώνοντας τοὺς πολλοὺς μὲ τὸ φόβο τῆς γέεννας καὶ μὲ τὴν ὑπόσχεση τῆς βασιλείας καὶ διδάσκοντας μὲ τοὺς νόμους νὰ φιλοσοφοῦν τὰ πράγματα.

Ὅτι λοιπὸν δὲν ὑπάρχει μοίρα, οὔτε κίνηση ἀστέρων ποὺ νὰ ρυθμίζει τὰ ἀνθρώπινα, εἶναι φανερὸ ἀπὸ τὰ ἴδια τὰ πράγματα καὶ χωρὶς τὴ βοήθεια τῶν Γραφῶν. Γιατί, ἂν τὰ ἀνθρώπινα εἶναι κάτω ἀπὸ τὴν ἐξουσία τῆς μοίρας, γιὰ ποιό λόγο μαστιγώνεις τὸν ὑπηρέτη ποὺ ἔχει κλέψει; Γιὰ ποιό λόγο σύρεις στὰ δικαστήρια τὴ γυναίκα ποὺ ἔκαμε μοιχεία; Γιὰ ποιό λόγο ντρέπεσαι ὅταν κάνεις τὰ πονηρά; Ἂν τὸ ἁμάρτημα εἶναι ἔργο ἀνά-

*ὀνειδιζόμενος, ἀλλ' ἂν τίς σε καλέσῃ μοιχόν, ἢ πόρνον, ἢ ἀνδροφόνον, ὕβριν τὸ πρᾶγμα καλεῖς; Εἰ γὰρ μὴ τῆς σῆς γνώμης τὰ ἁμαρτήματα, οὐδὲ ἔγκλημα τὸ γινόμενον, οὐδὲ ὕβρις τὸ λεγόμενον. Νῦν δὲ καὶ δι' ὧν ἑτέροις δικάζεις, καὶ δι' ὧν τοῖς ἁμαρτάνουσιν οὐ συγγινώσκεις, καὶ δι' ὧν αὐτὸς αἰσχύνῃ πράττων καὶ λανθάνειν σπουδάζεις, καὶ τοὺς ταῦτά σοι προφέροντας ὑβριστὰς νομίζεις, καὶ διὰ πάντων ὁμολογεῖς, ὅτι οὐκ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλὰ ἐλευθερίᾳ τετίμηται· τοῖς γοῦν ἀνάγκῃ κατεχομένοις καὶ συγγινώσκειν ἐπιστάμεθα.*

*Ἂν γοῦν ὑπὸ δαίμονός τις κατεχόμενος ἡμᾶς πλήξῃ, καὶ τὸν χιτῶνα διαρρήξῃ, ἢ πληγὰς προστρίψηται, οὐ μόνον αὐτὸν οὐ κολάζομεν, οὐδὲ εἰς δικαστήρια ἕλκομεν, ἀλλὰ καὶ ἐλεοῦμεν καὶ συγγινώσκομεν. Τί δήποτε; Ὅτι οὐχ ἡ τῆς προαιρέσεως ἐλευθερία, ἀλλ' ἡ τοῦ δαίμονος ἀνάγκη ταῦτα εἰργάσατο. Ὥστε εἰ καὶ τὰ ἄλλα ἁμαρτήματα ἀπὸ τῆς ἀνάγκης τῆς κατὰ τὴν πεπρωμένην ἦν, συνέγνωμεν ἄν· ἐπειδὴ δὲ ἴσμεν, ὅτι οὐκ ἐσμὲν ἀνάγκης, διὰ τοῦτο οὐ συγγινώσκομεν, οὔτε δεσπόται οἰκέταις, οὔτε ἄνδρες γυναιξίν, οὔτε γυναῖκες ἀνδράσιν, οὔτε πατέρες παισίν, οὔτε διδάσκαλοι μαθηταῖς, οὔτε ἄρχοντες ἀρχομένοις, οὔτε νομοθέται νομοθετουμένοις, ἀλλὰ πικροὶ τῶν τετολμημένων ἐξετασταὶ καὶ τιμωροὶ γινόμεθα, καὶ δικαστήρια καταλαμβάνομεν, καὶ πληγὰς ἐπάγομεν, καὶ ἐπιτιμήσεσι χρώμεθα, καὶ πάντα πράττομεν ὅπως καὶ τὸν οἰκέτην ἀπαλλάξωμεν κακίας καὶ τὸν υἱὸν πονηρίας. Ὅθεν αὐτοῖς καὶ παιδαγωγοὺς καθιστῶμεν, καὶ εἰς διδασκάλους πέμποντες ἀπειλοῦμεν, καὶ πληγὰς ἐντείνομεν.*

*Τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί; εἰ γὰρ εἵμαρτο αὐτῷ γενέσθαι φαῦλον, τίς χρεία τῶν βοηθημάτων; Οὐκοῦν εὔδηλον ὅτι οὐκ*

γκης, γιὰ ποιό λόγο δὲν ὑποφέρεις οὔτε τὰ λόγια ὅταν σὲ κατακρίνουν, ἀλλ', ἂν κάποιος σὲ καλέσει μοιχὸ ἢ πόρνο ἢ ἀνθρωποκτόνο, ὀνομάζεις ὕβρη τὸ πράγμα; Γιατί, ἂν τὰ ἁμαρτήματα δὲν προέρχονται ἀπὸ τὴ δική σου θέληση, οὔτε τὸ ἔργο αὐτὸ εἶναι ἔγκλημα, οὔτε ὁ λόγος αὐτὸς ὕβρη. Τώρα ὅμως καὶ μ' αὐτὰ ποὺ καταδικάζεις τοὺς ἄλλους, καὶ μ' αὐτὰ ποὺ δὲ συγχωρεῖς ἐκείνους ποὺ ἁμαρτάνουν, καὶ μ' αὐτὰ ποὺ ἐσὺ ὁ ἴδιος ντρέπεσαι ὅταν τὰ κάνεις καὶ προσπαθεῖς νὰ κρύβεσαι, καὶ αὐτοὺς ποὺ σοῦ λέγουν αὐτὰ τοὺς θεωρεῖς ὑβριστές, μὲ ὅλα παραδέχεσαι ὅτι τὰ ἀνθρώπινα δὲν εἶναι δεμένα στὴν ἀνάγκη, ἀλλ' ἔχουν τιμηθεῖ μὲ ἐλευθερία· γιατὶ ἐκείνους ποὺ εἶναι ὑποχρεωμένοι ἀπὸ τὴν ἀνάγκη νὰ ἐνεργοῦν γνωρίζουμε νὰ τοὺς συγχωροῦμε.

Ἂν λοιπὸν κάποιος, ποὺ κατέχεται ἀπὸ δαίμονα, μᾶς κτυπήσει καὶ μᾶς σχίσει τὸ χιτώνα ἢ μᾶς ἀνοίξει πληγές, ὄχι μόνο δὲν τὸν τιμωροῦμε, οὔτε στὰ δικαστήρια τὸν σύρουμε, ἀλλὰ τὸν συμπαθοῦμε καὶ τὸν συγχωροῦμε. Γιατί ἄραγε; Γιατὶ δὲν τὰ ἔκαμε αὐτὰ ἡ ἐλευθερία τῆς θέλησης, ἀλλ' ὁ ἐξαναγκασμὸς τοῦ δαίμονα. Ἑπομένως ἂν καὶ τὰ ἄλλα ἁμαρτήματα προέρχονταν ἀπὸ τὸν ἐξαναγκαασμὸ τῆς μοίρας, θὰ τὰ συγχωρούσαμε. Ἐπειδὴ ὅμως ξέρουμε ὅτι δὲν εἴμαστε δοῦλοι τῆς ἀνάγκης, γι' αὐτὸ δὲ συγχωροῦμε, οὔτε οἱ οἰκοδεσπότες τοὺς ὑπηρέτες, οὔτε οἱ ἄνδρες τὶς γυναῖκες, οὔτε οἱ πατέρες τὰ παιδιά, οὔτε οἱ διδάσκαλοι τοὺς μαθητές, οὔτε οἱ ἄρχοντες τοὺς πολίτες, οὔτε οἱ νομοθέτες αὐτοὺς στοὺς ὁποίους ὅρισαν τοὺς νόμους, ἀλλὰ γινόμαστε σκληροὶ ἐξεταστὲς καὶ τιμωροὶ ἐκείνων ποὺ ἔχουν τολμήσει ἄδικες πράξεις, καὶ στὰ δικαστήρια φθάνουμε, καὶ πλήγματα ἐπιβάλλουμε καὶ τιμωρίες χρησιμοποιοῦμε καὶ τὰ πάντα κάνουμε γιὰ ν' ἀπαλλάξουμε τὸν ὑπηρέτη ἀπὸ τὴν κακία καὶ τὸν υἱὸ ἀπὸ τὴν πονηρία. Γι' αὐτὸ καὶ παιδαγωγοὺς ὁρίζουμε σ' αὐτοὺς καὶ μὲ ἀπειλὲς τοὺς στέλνουμε στοὺς διδασκάλους καὶ τὶς τιμωρίες αὐξάνουμε περισσότερο.

Γιὰ ποιό λόγο, πές μου, καὶ γιατί; Γιατί, ἂν τοῦ ἦταν γραφτὸ νὰ γίνει κακός, τί χρειάζονται τὰ βοηθήματα; Ἑπομένως εἶ-

*ἀνάγκῃ δέδεται, ἀλλ' ἐν τῇ προαιρέσει τὸ πᾶν κεῖται. Διὸ καὶ βοηθήματα προσάγομεν, καὶ τῆς ῥᾳθυμίας ἀπάγομεν, καὶ πρὸς ἀρετὴν χειραγωγοῦμεν. Τίνος δὲ ἕνεκεν τὴν θάλατταν πλέομεν, τὴν γῆν γεωργοῦμεν, καὶ πόλεις οἰκοδομοῦμεν, πολλήν τε σπουδὴν ποιοῦμεν νοσοῦντες, καὶ χρήματα δαπανῶμεν, καὶ ἰατροὺς καλοῦμεν, καὶ φάρμακα κατασκευάζομεν, καὶ γαστρὸς κατέχομεν, καὶ ἐπιθυμίαν κολάζομεν; Εἰ γάρ, ὡς σὺ φής, εἵμαρται ζῆσαι καὶ ἀποθανεῖν, περιττὰ τῶν χρημάτων τὰ ἀναλώματα, περιτταὶ τῶν ἰατρῶν αἱ εἴσοδοι, περιττὴ τῆς τῶν νοσούντων φιλοσοφίας ἡ ἀκρίβεια. Νῦν δὲ ἐξ ὧν ἅπαντες ποιοῦσι, δηλοῦσιν ὅτι οὐδὲν τούτων περιττόν· ἀλλ' οἴχεται μὲν τὰ τῆς εἱμαρμένης, καὶ οὐδεμιᾷ ἀνάγκῃ τὰ ἡμέτερα ἄγεται, πάντα δὲ ἐλευθερίᾳ προαιρέσεως τετίμηται.*

*Τίς δὲ χρεία πόνων καὶ ἱδρώτων τῶν ὑπὲρ ἀρετῆς; εἰ γὰρ εἵμαρται γενέσθαι καλόν, καὶ καθεύδων ὁ τοιοῦτος καὶ ῥέγχων ἔσται καλός· μᾶλλον δὲ οὐδὲ καλὸν τὸν τοιοῦτόν ἐστι καλεῖν, τὸν ὑπ' ἀνάγκης τοῦτο γινόμενον. Τίς χρεία πόνων καὶ ἱδρώτων τοσούτων; εἰ γὰρ εἵμαρτο γενέσθαι κακόν, κἂν μυρία τις ταλαιπωρηθῇ, ἔσται κακός· μᾶλλον δὲ οὐδὲ τὸν τοιοῦτον ἔσται κακὸν καλεῖν, τὸν ὑπὸ ἀνάγκης ὠθούμενον. Ὥσπερ γὰρ ὁ δαιμονῶν, κἂν λοιδορήσηται (πάλιν γὰρ τῷ αὐτῷ κέχρημαι παραδείγματι), οὐ προσεροῦμεν αὐτὸν ὑβριστήν, οὐδὲ λογιζόμεθα ὕβριν τὴν λοιδορίαν, ἀλλὰ τῆς ἀνάγκης εἶναι τοῦ δαίμονος· οὕτω καὶ τὸν κακόν, εἰ ὑπὸ εἱμαρμένης καὶ ἀνάγκης ὠθεῖται, μὴ καλῶμεν αὐτὸν κακόν, ὥσπερ οὐδὲ τὸν καλόν, καλόν. Ἂν γὰρ τοῦτο ποιῶμεν, πάντα ἔσται σύγχυσις καὶ ταραχὴ καὶ πραγμάτων διαστροφή, καὶ οὔτε ἀρετὴ ἔσται τι, οὔτε κα-*

ναι ὁλοφάνερο πὼς τὰ πάντα δὲν εἶναι δεμένα στὴν ἀνάγκη, ἀλλ' ἐξαρτῶνται ἀπὸ τὴν ἐλεύθερη θέληση. Γι' αὐτὸ καὶ βοηθήματα δίνουμε, καὶ ἀπὸ τὴν ἀδιαφορία ἀπομακρύνουμε καὶ στὴν ἀρετὴ ὁδηγοῦμε. Καὶ γιὰ ποιό λόγο πλέουμε τὴ θάλασσα, καλλιεργοῦμε τὴ γῆ καὶ κτίζουμε πόλεις, φροντίζουμε πολὺ τὴν ὑγεία μας ὅταν ἀρρωσταίνουμε καὶ ξοδεύουμε χρήματα, καλοῦμε ἰατροὺς καὶ φτειάνουμε φάρμακα, συγκρατοῦμε τὴν κοιλιὰ καὶ τιμωροῦμε τὴν ἐπιθυμία; Ἂν λοιπόν, ὅπως λέγεις ἐσύ, εἶναι γραφτὸ νὰ ζήσουμε καὶ νὰ πεθάνουμε, εἶναι περιττὸ νὰ ξοδεύουμε χρήματα, περιττὸ νὰ ἔρχονται οἱ ἰατροί, περιττὴ ἡ μεγάλη φροντίδα γιὰ τοὺς ἀρρώστους. Τώρα ὅμως ἀπ' αὐτὰ ποὺ κάνουν ὅλοι φανερώνουν πὼς τίποτε ἀπ' αὐτὰ δὲν εἶναι περιττό, οὔτε ὑπάρχει τὸ πεπρωμένο, οὔτε ὁδηγοῦνται ἀπὸ καμιὰ ἀνάγκη τὰ ἀνθρώπινα, ἀλλ' ὅλα ἔχουν τιμηθεῖ μὲ τὴν ἐλευθερία τῆς προαίρεσης.


Καὶ τί χρειάζονται οἱ κόποι καὶ οἱ ἱδρῶτες γιὰ τὴν ἀρετή; Γιατί, ἂν εἶναι γραφτὸ νὰ γίνει κανεὶς καλός, καὶ ἂν ἀκόμη κοιμᾶται καὶ ροχαλίζει αὐτὸς θὰ εἶναι καλός, ἢ καλύτερα δὲν μποροῦμε νὰ τὸν ὀνομάζουμε αὐτόν καλό, ποὺ γίνεται ἀπὸ τὴν ἀνάγκη τέτοιος. Τί χρειάζονται οἱ τόσοι κόποι καὶ ἱδρῶτες; Γιατί, ἂν εἶναι γραφτὸ νὰ γίνει κανεὶς κακός, καὶ ἂν ἀκόμη ταλαιπωρηθεῖ ἄπειρες φορές, θὰ εἶναι κακός, ἢ καλύτερα δὲ θὰ μπορέσουμε νὰ ὀνομάζουμε κακὸ αὐτόν, ποὺ παρακινεῖται ἀπὸ τὴν ἀνάγκη. Ὅπως ἀκριβῶς δηλαδὴ τὸν δαιμονισμένο, καὶ ἂν ἀκόμη μᾶς κακολογήσει (πάλι δηλαδὴ χρησιμοποιῶ τὸ ἴδιο παράδειγμα), δὲ θὰ τὸν ὀνομάσουμε ὑβριστή, οὔτε λογαριάζουμε σὰν ὕβρη τὴν κακολογία του, ἀλλὰ θεωροῦμε πὼς εἶναι ἐξαναγκασμὸς τοῦ σατανᾶ· ἔτσι καὶ τὸν κακό, ἐφόσον παρακινεῖται ἀπὸ τὸ πεπρωμένο καὶ τὴν ἀνάγκη, ἂς μὴν τὸν ὀνομάζουμε κακό, οὔτε τὸν καλὸ νὰ τὸν ὀνομάζουμε καλό. Ἂν λοιπὸν κάνουμε αὐτό, σὲ ὅλα θὰ ὑπάρχει σύγχυση καὶ ἀναταραχὴ καὶ διαστροφὴ τῶν πραγμάτων, καὶ οὔτε ἡ ἀρετὴ θὰ εἶναι κάτι, οὔτε ἡ κακία· οὔτε τὰ τεχνάσματα, οὔτε οἱ νόμοι, οὔτε τίποτε ἄλλο ἀπ'

*κία· οὐ τέχναι, οὐ νόμοι, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν. Ὁρᾷς ποῦ τείνει τοῦ διαβόλου τὸ δέλεαρ, καὶ τί τὴν οἰκουμένην ἐργάσασθαι ἐβουλήθη, καὶ πρὸς ποῖον ἀπαντᾷ τέλος;*

*Ταῦτ' οὖν εἰδότες ἅπαντα καὶ τὰ τούτων πλείονα (ἐνῆν γὰρ καὶ τούτων πλείονα εἰπεῖν, ἀλλὰ τοῖς συνετωτέροις καὶ ταῦτα ἀρκεῖ), φεύγωμεν κακίαν, ἑλώμεθα ἀρετήν, ἵνα προηγουμένως μὲν καὶ τὸν Θεὸν ἵλεων ἔχωμεν, ἔπειτα δὲ και γεέννης ἀπαλλαγῶμεν, καὶ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

αὐτὰ θὰ ἔχει κάποια σημασία. Βλέπεις ποῦ σκοπεύει ὁ δόλος τοῦ διαβόλου, καὶ τί θέλησε νὰ κάμει στὴν οἰκουμένη καὶ σὲ ποιό τέλος καταλήγει;

Γνωρίζοντας λοιπὸν αὐτὰ καὶ τὰ περισσότερα ἀπ' αὐτά (γιατὶ ἦταν δυνατὸ νὰ πῶ καὶ περισσότερα ἀπ' αὐτά, ἀλλὰ στοὺς συνετότερους καὶ αὐτὰ εἶναι ἀρκετά), ἂς ἀποφεύγουμε τὴν κακία, καὶ ἂς προτιμοῦμε τὴν ἀρετή, γιὰ νὰ ἔχουμε κατ' ἀρχὴ τὸ Θεὸ εὐσπλαχνικό, καὶ ἔπειτα νὰ ἀπαλλαγοῦμε ἀπὸ τὴ γέεννα καὶ ν' ἀπολαύσουμε τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ τὰ ἐπιτύχουμε, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



# ΟΜΙΛΙΑ

## ΠΕΡΙ ΤΟΥ
## ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΑΝΕΒΑΙΝΕΙ ΚΑΝΕΙΣ ΣΤΙΣ ΙΠΠΟΔΡΟΜΙΕΣ ΚΑΙ ΤΑ ΘΕΑΤΡΑ

**καθὼς καὶ στὸ**
**«Ὁ Πατέρας μου ἐργάζεται πάντοτε, καὶ ἐγὼ ἐπίσης ἐργάζομαι**



# ΟΜΙΛΙΑ

## ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΕΙΣ ΙΠΠΟΔΡΟΜΙΑΣ ΜΗΔΕ ΕΙΣ ΘΕΑΤΡΑ ΑΝΑΒΑΙΝΕΙΝ

*Καὶ λυπήσας αὐτούς, εἶτα τῇ συνάξει τῇ μετ' ἐκείνην τὴν κυριακὴν παραχωρήσας εἰπεῖν ἐπισκόπῳ ἀπὸ Γαλατίας ἀφιγμένῳ, καὶ σιγήσας καὶ ἐν τούτῳ λυπήσας, ταύτην εἴρηκε τὴν ὁμιλίαν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ (εἰς τό, «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»).*

1. *Σφόδρα καθηψάμην ὑμῶν πρῴην περὶ θεάτρων καὶ ἱπποδρομίας διαλεχθείς· διὰ τοῦτο χαίρω καὶ εὐφραίνομαι κατὰ τὴν ἀποστολικὴν φωνὴν τὴν λέγουσαν· «καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;». Πολὺν γὰρ ὁρῶ καρπὸν ἀπὸ τῆς λύπης βλαστάνοντα ταύτης. Ἐπεὶ καὶ τὰ φάρμακα τὰ διορθοῦντα τὰ ἕλκη πρότερον δάκνει τὰ τραύματα, καὶ τότε ἀπαλλάττει τῆς σηπεδόνος· οὕτω καὶ λόγος καθικνούμενος ἀκροατοῦ, ἀρχὴν ποιεῖται διορθώσεως. Καθάπερ γὰρ ἐπὶ τῶν σωμάτων τῶν ἡμετέρων ἡ μὲν ἅπαξ νεκρωθεῖσα σὰρξ οὐ τομῆς, οὐ φαρμάκων, οὐ καυτῆρος αἰσθάνεται· διόπερ οὐδ' ἂν μυρία γένηται, πρὸς ὑγίειαν ἐπανελθεῖν δύναται,*

1. Ἰω. 5,17.



# ΟΜΙΛΙΑ

## ΓΙΑ ΤΟ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ Ν' ΑΝΕΒΑΙΝΕΙ ΚΑΝΕΙΣ ΣΤΙΣ ΙΠΠΟΔΡΟΜΙΕΣ ΚΑΙ ΤΑ ΘΕΑΤΡΑ

Καὶ ἐπειδὴ τοὺς λύπησε, ἔπειτα στὴ σύναξη μετὰ τὴν Κυριακὴ ἐκείνη ἐπέτρεψε νὰ μιλήσει κάποιος ἐπίσκοπος ποὺ ἦρθε ἀπὸ τὴ Γαλατία, καὶ ἐπειδὴ σιώπησε καὶ γι' αὐτὸ τοὺς λύπησε, ἐκφώνησε αὐτὴ τὴν ὁμιλία στὴ μεγάλη ἐκκλησία, στό, «ὁ Πατέρας μου ἐργάζεται πάντοτε, καὶ ἐγὼ ἐπίσης ἐργάζομαι»[1]

1. Σᾶς λύπησα πάρα πολὺ στὴν προηγούμενη ὁμιλία ὅταν μίλησα γιὰ τὰ θέατρα καὶ τὶς ἱπποδρομίες. Γι' αὐτὸ χαίρομαι καὶ εὐφραίνομαι σύμφωνα μὲ τὴν ἀποστολικὴ φωνὴ ποὺ λέγει· «καὶ ποιός μοῦ προξενεῖ χαρὰ παρὰ ἐκεῖνος ποὺ τὸν κάνω νὰ λυπᾶται;»[2]. Γιατὶ βλέπω πολὺ καρπὸ νὰ βλαστάνει ἀπὸ τὴ λύπη αὐτή. Ἐπειδὴ καὶ τὰ φάρμακα, ποὺ θεραπεύουν τὶς πληγές, πρῶτα ἐρεθίζουν τὰ τραύματα καὶ ὕστερα ἀπομακρύνουν τὴ σαπίλα. Ἔτσι καὶ ὁ λόγος ποὺ πληγώνει τὸν ἀκροατή, κάνει τὴν ἀρχὴ γιὰ τὴ διόρθωσή του. Γιατὶ ὅπως ἀκριβῶς στὰ σώματά μας ἡ σάρκα ποὺ νεκρώθηκε μιὰ φορὰ δὲν αἰσθάνεται τὸ κόψιμο οὔτε τὰ φάρμακα οὔτε τὸ ἐργαλεῖο γιὰ τὶς καυτηριάσεις (καὶ γι' αὐτὸ βέβαια δὲν μπορεῖ νὰ ξαναγίνει ὑγιής, ἔστω καὶ ἂν γί-

---

2. Β' Κορ. 2,2.

*τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν τῆς θεραπείας ἀπολέσασα· ἡ δὲ αἰσθανομένη καὶ σιδηρίου καὶ πυρὸς καὶ φαρμάκων, ταχέως ἂν πρὸς τὸ ὑγιαίνειν ἐπανέλθοι· οὕτω δὴ καὶ ἐπὶ τῶν ψυχῶν, αἱ μὲν ἀναλγήτως διακείμεναι οὐκ ἂν ῥᾳδίως μεταβληθεῖεν, αἱ δὲ εἰδυῖαι καὶ αἰσχύνεσθαι καὶ ἐρυθριᾶν καὶ ἀλγεῖν καὶ ὀδυνᾶσθαι ἐν ταῖς ἐπιτιμήσεσι, μεγίστην ἡμῖν παρέχουσιν ἀπόδειξιν τοῦ ταχέως ἀποστήσεσθαι τῆς κακίας.*

*Διὸ δὴ καὶ ὁ μακάριος Παῦλος, ταῦτα εἰδώς, τοὺς μὲν λυπηθέντας σφόδρα ἀπεδέχετο, καὶ ἔχαιρεν ἐπὶ αὐτοῖς, τῶν δὲ οὐχ οὕτω διακειμένων ἀπεγίνωσκε λέγων· «οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας ἁπάσης ἐν πλεονεξίᾳ». Ὁ γὰρ οὐκ εἰδὼς ἀλγεῖν πῶς ἂν διορθωθείη ποτέ, πλὴν εἰ μὴ πρότερον τοῦτο αὐτὸ μάθοι; Ἐπεὶ οὖν τοῦτο ὑμῖν κατώρθωται, σφόδρα θαρροῦμεν ὑπὲρ τῆς ὑμετέρας ἀγάπης· εἰ γὰρ μία διάλεξις οὕτως ἔδακε, καὶ εἰς τοσαύτην ἀγωνίαν κατέστησεν, ὡς καὶ ἀθυμεῖν καὶ θορυβεῖσθαι καὶ ταράττεσθαι, εὔδηλον ὅτι δευτέρα καὶ τρίτη προσγενομένη, πάσης ἀπαλλάξει τῆς ἀρρωστίας. Καὶ ἵνα μάθητε ὅτι οὐ κολακεύων ὑμᾶς λέγω ταῦτα, δι' ὧν τῇ προτεραίᾳ ἐπεδείξασθε, διὰ τούτων ἐμαρτυρήσατε τοῖς παρ' ἡμῶν εἰρημένοις ἀλήθειαν. Καὶ γὰρ οἱ οὕτω δηχθέντες, οἱ οὕτως ὀδυνηθέντες, οἱ οὕτως ἀλγήσαντες καὶ ἀθυμήσαντες, ἐπιούσης τῆς Κυριακῆς τῆς μετ' ἐκείνην λαμπρότερον ἡμῖν τὸ θέατρον ἐποιήσατε, καὶ πλείονα τὸν σύλλογον καὶ μείζονα τὴν προθυμίαν, καὶ πάντες ἦτε μετέωροι, καθάπερ νεοττοὶ χελιδόνων τῆς καλιᾶς ἐκκρεμάμενοι, καὶ πρὸς ἡμετέραν κεχηνότες γλῶτταν.*

*Εἶτα, ἐπειδὴ ἀδελφὸν ἡμέτερον ἀπὸ Γαλατίας ἀφικόμενον, καὶ δι' αὐτὸν τῆς ἐκκλησίας τὸν νόμον τὸν τοὺς ξένους οὕτως ὑπο-*

νουν ἄπειρες θεραπεῖες, ἀφοῦ ἔχασε τὴ βάση καὶ τὴν προϋπόθεση τῆς θεραπείας), ἐνῶ ἐκείνη ποὺ αἰσθάνεται καὶ τὸ μαχαίρι καὶ τὴ φωτιὰ καὶ τὰ φάρμακα, γρήγορα μπορεῖ νὰ ξαναγίνει ὑγιής, ἔτσι λοιπὸν καὶ στὶς ψυχές, ἐκεῖνες ποὺ εἶναι ἀναίσθητες δὲν μποροῦν νὰ μεταβληθοῦν εὔκολα, ἐνῶ ἐκεῖνες ποὺ γνωρίζουν καὶ νὰ ντρέπονται καὶ νὰ κοκκινίζουν καὶ νὰ πονοῦν καὶ νὰ στενοχωροῦνται μὲ τὶς ἐπιτιμήσεις, μᾶς παρέχουν μέγιστη ἀπόδειξη πὼς γρήγορα θ' ἀπομακρυνθοῦν ἀπὸ τὴν κακία.

Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ μακάριος Παῦλος, γνωρίζοντας αὐτά, δεχόταν ἐκείνους ποὺ λυπήθηκαν πάρα πολὺ καὶ χαιρόταν γι' αὐτούς, ἐνῶ ἀπέρριπτε ἐκείνους ποὺ δὲ συμπεριφέρονταν μ' αὐτὸν τὸν τρόπο, λέγοντας· «οἱ ὁποῖοι, ἀφοῦ ἔγιναν ἀναίσθητοι, παρέδωσαν τὸν ἑαυτό τους στὴν ἀσέλγεια γιὰ νὰ κάνουν ἀχόρταγα κάθε ἀκαθαρσία»[3]. Γιατὶ αὐτὸς ποὺ δὲ γνωρίζει νὰ πονάει, πῶς μπορεῖ νὰ διορθωθεῖ ποτέ, ἐὰν δὲ μάθει πρῶτα αὐτὸ τὸ πράγμα; Ἐπειδὴ λοιπὸν ἐσεῖς τὸ ἔχετε κατορθώσει αὐτό, ἔχουμε ἐμπιστοσύνη στὴν ἀγάπη σας. Γιατί, ἂν μία ὁμιλία σᾶς πλήγωσε τόσο καὶ σᾶς ἔφερε σὲ τόσο μεγάλη ἀγωνία, ὥστε καὶ νὰ στενοχωρεῖστε καὶ νὰ θορυβεῖστε καὶ νὰ ταράζεστε, εἶναι ὁλοφάνερο πὼς ἂν προστεθεῖ δεύτερη καὶ τρίτη θὰ σᾶς ἀπαλλάξει ἀπὸ κάθε ἀρρώστια. Καὶ γιὰ νὰ μάθετε ὅτι δὲν τὰ λέγω αὐτὰ κολακεύοντάς σας, μὲ ὅσα δείξατε στὴν προηγούμενη ὁμιλία, μὲ αὐτὰ ἐπιβεβαιώσατε τὴν ἀλήθεια τῶν λόγων μου. Γιατὶ πραγματικὰ ἐσεῖς ποὺ τόσο πληγωθήκατε, ποὺ τόσο πονέσατε, ποὺ τόσο ὑποφέρατε καὶ στενοχωρηθήκατε, ὅταν ἦρθε ἡ ἑπόμενη Κυριακὴ κάνατε πιὸ λαμπρὸ τὸ ἐκκλησίασμα, περισσότερη τὴ συγκέντρωση καὶ μεγαλύτερη τὴν προθυμία, καὶ ὅλοι ἤσασταν κρεμασμένοι ἀπὸ τὴν ὁμιλία, ὅπως ἀκρβῶς τὰ μικρὰ τῶν χελιδονιῶν ποὺ εἶναι κρεμασμένα ἀπὸ τὴ φωλιά, καὶ μὲ ἀνοικτὸ τὸ στόμα πρὸς τὴ γλῶσσα μου.

Ἔπειτα, ἐπειδὴ σὲ ἀδελφό μας ποὺ ἔφθασε ἀπὸ τὴ Γαλατία, ἐξ αἰτίας τοῦ νόμου τῆς ἐκκλησίας ποὺ προστάζει νὰ ὑπο-

---

3. Ἐφ. 4,19.

*δέχεσθαι κελεύοντα, καὶ διὰ τὴν λαμπρὰν πολιὰν τιμῶντες, παρεχωρήσαμεν αὐτῷ τοῦ λόγου, καταβοῶντες ἀνεχωρεῖτε, δεινοπαθοῦντες, ὡς μακρὸν χρόνον λιμὸν ὑπομείναντες, καὶ τὴν ἡμετέραν ποθοῦντες γλῶτταν τὴν τεμοῦσαν, τὴν ἐπιτιμήσασαν, τὴν καθικομένην, τὴν ὀδυνήσασαν· ταὐτὸν ποιοῦντες, οἷον ἂν εἰ παιδίον τυπτόμενον, ἐπιτιμώμενον, μηδὲ οὕτως ἀποσταίη τῆς μητρός, ἀλλὰ κλαυθμυριζόμενον ἕποιτο, τῶν ἱματίων τῆς μητρὸς ἐκ πλαγίων ἐχόμενον καὶ ἐπισυρόμενον αὐτῇ μετὰ τῶν ὀδυρμῶν. Διὰ ταῦτα σκιρτῶ καὶ πέτομαι ὑπὸ τῆς ἡδονῆς, καὶ μακάριον ἐμαυτὸν εἶναί φημι ἐν τοσούτοις ἐρασταῖς ἀγωνιζόμενος, οὕτως ἐκκρεμαμένους ὑμᾶς ἔχων τῆς ἡμετέρας γλώττης. Τοῦτο ἐμοὶ τῆς ἀκτῖνος ταύτης γλυκύτερον, τοῦτο φωτὸς ἥδιον, τοῦτο ζωή, τὸ οὕτως εὐγνωμόνων ἐπιτυγχάνειν ἀκροατῶν, οὐχ ἁπλῶς κροτῆσαι, ἀλλὰ διορθωθῆναι βουλομένων, ἐπιτιμωμένων, καὶ μὴ ἀποσκιρτώντων, ἀλλὰ πρὸς τὸν ἐπιτιμῶντα καταφευγόντων.*

*Διὰ δὴ τοῦτο κὰ αὐτὸς μετὰ πλείονος τῆς προθυμίας τῆς πρὸς ὑμᾶς ἅπτομαι διαλέξεως, καὶ τὰ λείψανα τῶν πρῴην ὑμῖν εἰρημένων ἀποδοῦναι βούλομαι σήμερον, τὴν ἐπιτίμησιν νῦν ἀφείς, ἵνα μὴ πάλιν τοῖς ῥᾳθύμοις ἐγκαλοῦντες, τοὺς σπουδαίους ζημιώσωμεν, ὁλόκληρον τὴν διάλεξιν εἰς τὸν ἐκείνων ἀναλίσκοντες ἔλεγχον. Εἰ γὰρ καὶ μηδὲν παρ' ἡμῶν εἴρητο, ἱκανὸν τὸ χθὲς γενόμενον καὶ τοὺς σφόδρα μεμηνότας καὶ λυσσῶντας περὶ τὴν ἱπποδρομίαν ἀποστῆσαι τῆς ἀκαίρου ταύτης ἐπιθυμίας. Καὶ γὰρ τραγῳδίας τὴν πόλιν ἡμῖν ἐνέπλησεν ὁ φόνος ὁ χθὲς ἐν τῇ ἱπποδρομίᾳ συμβάς, χοροὺς γυναικῶν περιέστησε, κωκυτῶν πολλῶν τὴν ἀγορὰν ἐπλήρωσε, τοῦ διὰ τῶν ἁρμάτων ἀποτμηθέντος οὕτως ἐλεεινῶς διὰ μέσου φερομένου τοῦ δήμου. Οὗτος γάρ, ὡς ἔγνων, τῇ ἐπιούσῃ μέλλων γαμηλίους λαμπάδας ἀνάπτειν, τῶν παστάδων ὑφανθεισῶν*

δεχόμαστε ἔτσι τοὺς ξένους καὶ γιὰ νὰ τιμήσουμε τὰ λαμπρὰ γηρατειά, παραχωρήσαμε τὸ λόγο, φεύγατε φωνάζοντας, ὑποφέροντας, σὰν νὰ ὑπομείνατε γιὰ μακρὸ χρόνο πείνα, καὶ ἐπιθυμώντας πολὺ τὴν γλώσσα μου ποὺ σᾶς ἔκοψε, ποὺ σᾶς ἐπιτίμησε, ποὺ σᾶς πλήγωσε, ποὺ σᾶς καταπόνησε, κάνοντας τὸ ἴδιο ποὺ κάνει ἕνα παιδί, πού, ἂν καὶ τὸ χτυποῦν, τὸ ἐπιτιμοῦν, οὔτε ἔτσι ἀπομακρύνεται ἀπὸ τὴ μητέρα του, ἀλλὰ κλαίγοντας ἀκολουθεῖ αὐτήν, κρατώντας ἀπὸ πλάγια τὰ ροῦχα τῆς μητέρας του καὶ σερόμενο πίσω της μὲ ὀδυρμούς. Γιὰ τοὺς λόγους αὐτοὺς σκιρτῶ καὶ πετῶ ἀπὸ τὴ χαρὰ καὶ λέγω πὼς εἶμαι εὐτυχισμένος γιατὶ ἀγωνίζομαι ἀνάμεσα σὲ τόσους ποὺ μὲ ἀγαποῦν, γιατὶ σᾶς ἔχω ἔτσι κρεμασμένους ἀπὸ τὴ γλώσσα μου. Αὐτὸ γιὰ μένα εἶναι πιὸ γλυκὸ ἀπὸ τὴν ἀκτίνα τοῦ ἥλιου, αὐτὸ εἶναι πιὸ εὐχάριστο ἀπὸ τὸ φῶς, αὐτὸ εἶναι ζωή, τὸ νὰ πετυχαίνει κανεὶς εὐγνώμονες ἀκροατές, ποὺ θέλουν ὄχι μόνο νὰ χειροκροτήσουν, ἀλλὰ καὶ νὰ διορθωθοῦν, ποὺ ἐπιτιμοῦνται καὶ δὲν ἀπομακρύνονται, ἀλλὰ καταφεύγουν σ' αὐτὸν ποὺ τοὺς ἐπιτιμᾶ.

Γι' αὐτὸ ἀκριβῶς καὶ ἐγὼ ὁ ἴδιος ἀρχίζω τὴν ὁμιλία μου σὲ σᾶς μὲ περισσότερη προθυμία, καὶ θέλω σήμερα νὰ σᾶς ἀποδώσω καὶ τὰ ὑπόλοιπα ἀπ' αὐτὰ ποὺ σᾶς εἶπα σὲ προηγούμενη ὁμιλία, ἀφήνοντας κατὰ μέρος τώρα τὴν ἐπιτίμηση, γιὰ νὰ μὴ ζημιώσουμε τοὺς πρόθυμους κατηγορώντας πάλι τοὺς ἀδιάφορους, ἀφιερώνοντας στὸν ἔλεγχο ἐκείνων ὁλόκληρη τὴν ὁμιλία. Γιατί, καὶ ἂν δὲν λέχθηκε τίποτε, αὐτὸ ποὺ ἔγινε χθὲς ἦταν ἀρκετὸ ἀκόμη καὶ τοὺς ὑπερβολικὰ μανιακοὺς καὶ λυσσομανεῖς γιὰ τὴν ἱπποδρομία νὰ τοὺς ἀπομακρύνει ἀπὸ τὴν ἄπρεπη αὐτὴ ἐπιθυμία. Γιατὶ καὶ ὁ φόνος ποὺ συνέβηκε χθὲς στὴν ἱπποδρομία γέμισε τὴν πόλη μας θλίψη, ἔστησε γύρω–γύρω χοροὺς γυναικῶν, γέμισε τὴν ἀγορὰ μὲ πολλοὺς θρήνους, ὅταν μεταφερόταν ἀνάμεσα στὸ λαὸ αὐτὸς ποὺ τόσο ἐλεεινὰ ἀποκόπηκε μὲ τὰ ἅρματα. Γιατὶ αὐτός, ὅπως ἔμαθα, ἐνῶ ἐπρόκειτο τὴν ἑπόμενη ἡμέρα ν' ἀνάψει τὶς γαμήλιες λαμπάδες, ἐνῶ κατασκευάσθηκε ὁ νυφικὸς θάλαμος καὶ ὅλα εἶχαν ἑτοιμασθεῖ γιὰ τὸ γάμο, τρέχο-

*καὶ τῶν πρὸς τὸν γάμον ηὐτρεπισμένων ἁπάντων, ὑπὸ τὴν τάξιν τὴν τοῦ ἐπάρχου τελῶν ἐν τῷ σταδίῳ κάτω διατρέχων, ἐπελθόντων τῶν ἡνιόχων καὶ πρὸς ἀλλήλους φιλονεικούντων, μέσος ἀποληφθείς, τὸν βίαιον τοῦτον καὶ ἐλεεινὸν ὑπέμεινε θάνατον, τὴν κεφαλὴν μετὰ τῶν ἄκρων ἀποτμηθείς.*

*2. Εἶδες τῆς ἱπποδρομίας τὸν καρπόν; Καὶ τί πρὸς ἡμᾶς τοὺς ἄνω καθημένους, φησί; Πρὸς ὑμᾶς μὲν οὖν μάλιστα· εἰ γὰρ μὴ ὑμεῖς σπουδὴν ἐποιεῖσθε συντρέχειν, οὐκ ἂν τὰ κάτω τελούμενα ἐγίνετο. Ἀλλ' ἵνα μὴ πάλιν φορτικώτερον ποιήσω τὸν λόγον καὶ ἀναξάνω τὸ ἕλκος, καταλιπὼν ὑμῶν τῷ συνειδότι ταῦτα, τὰ λειπόμενα τῶν πρῴην ὑμῖν εἰρημένων ἀποδοῦναι πειράσομαι.*

*Τίνα οὖν ἦν τὰ πρῴην εἰρημένα; Ἔλεγον ὅτι θεμέλιος ὁ Χριτὸς κέκληται ὡς φέρων ἅπαντα καὶ συγκρατῶν καὶ διαβαστάζων· τοῦτο νῦν ἐξ ἀποστολικῆς ἑτέρας ῥήσεως ἀποδεῖξαι βούλομαι. Οὗτος γὰρ ὁ ἐκεῖνα εἰρηκώς, ἑρμηνεύων ἐκείνην τὴν λέξιν, φησίν· «ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς». Τί ἐστι, «φέρων»; Ἡνιοχῶν, κυβερνῶν, οἰκονομῶν, διακρατῶν, συγκρατῶν, διαβαστάζων. Οὐ γὰρ δὴ μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἅπαντα παρήγαγεν, ἀλλὰ καὶ γενομένων προνοεῖ καθάπερ ὁ γεγεννηκὼς αὐτὸν Πατήρ. Διὸ καὶ τοῦτο δηλῶν ἔλεγεν· «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Διὸ και μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, οὐ μόνον ὅτι ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα αὐτοῦ ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ».*

---

4. Ἑβρ. 1,3.

ντας στὸ στάδιο καὶ ἐκτελῶντας διαταγὴ τοῦ ἐπάρχου, ὅταν συγκρούσθηκαν οἱ ἡνίοχοι καὶ φιλονεικοῦσαν μεταξύ τους, ἐπειδὴ ἀποκλείσθηκε ἀνάμεσά τους, δέχθηκε αὐτὸν τὸ βίαιο καὶ ἐλεεινὸ θάνατο, ἀφοῦ ἀποκόπηκε τὸ κεφάλι του μαζὶ μὲ τὰ ἄκρα.

2. Εἶδες τὸν καρπὸ τῆς ἱπποδρομίας; Καὶ ποιά σχέση, λέγει, ἔχει αὐτὸ μὲ μᾶς ποὺ καθόμαστε ψηλά; Καὶ πολλὴ μάλιστα σχέση ἔχει μὲ σᾶς. Γιατί, ἂν ἐσεῖς δὲ δείχνατε προθυμία νὰ συνκεντρώνεστε, δὲ θὰ γίνονταν τὰ ὅσα τελοῦνται κάτω. Ἀλλὰ γιὰ νὰ μὴν κάνω πάλι τὸ λόγο πιὸ ἐνοχλητικὸ καὶ ξαναξύσω τὴν πληγή, ἀφοῦ τὰ ἀφήσω αὐτὰ στὴ συνείδησή σας, θὰ προσπαθήσω νὰ ἀποδώσω τὰ ὑπόλοιπα ἀπ' ὅσα σᾶς εἶχα πεῖ σὲ προηγούμενη ὁμιλία.

Ποιά λοιπὸν ἦταν ἐκεῖνα ποὺ λέχθηκαν τότε; Ἔλεγα ὅτι ὁ Χριστὸς ἔχει ὀνομασθεῖ θεμέλιο γιατὶ φέρει καὶ συγκρατεῖ καὶ βαστάζει τὰ πάντα. Αὐτὸ τώρα θέλω νὰ τὸ ἀποδείξω ἀπὸ ἄλλον ἀποστολικὸ λόγο. Γιατὶ αὐτὸς ποὺ τὰ εἶπε αὐτά, ἑρμηνεύοντας ἐκείνη τὴ λέξη, λέγει· «ὁ ὁποῖος εἶναι ἡ ἀκτινοβολία τῆς δόξας καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ, καὶ ὁ ὁποῖος φέρει τὰ πάντα μὲ τὸ λόγο τῆς δύναμής του, ἀφοῦ καθάρισε τὶς ἁμαρτίες μας, κάθισε στὰ δεξιὰ τῆς μεγαλωσύνης ἐκεῖ ψηλὰ στὸν οὐρανό»[4]. Τί σημαίνει, «ὁ ὁποῖος φέρει»; Ὁ ὁποῖος διευθύνει, κυβερνάει, κατευθύνει, κρατάει σταθερά, συγκρατεῖ, βαστάζει. Γιατὶ ὄχι μόνο δημιούργησε τὰ πάντα ἀπὸ τὸ μηδέν, ἀλλὰ καὶ ἀφοῦ ἔγιναν φροντίζει γι' αὐτά, ὅπως ἀκριβῶς ὁ Πατέρας ποὺ τὸν γέννησε. Γι' αὐτό, γιὰ νὰ δηλώσει αὐτό, ἔλεγε· «ὁ Πατέρας μου ἐργάζεται μέχρι τώρα καὶ ἐγὼ ἐργάζομαι». «Γι' αὐτὸ ἤθελαν οἱ Ἰουδαῖοι ἀκόμη περισσότερο νὰ τὸν σκοτώσουν, ὄχι μόνο γιατὶ καταργοῦσε τὸ Σάββατο, ἀλλὰ καὶ γιατὶ ἔλεγε πὼς ὁ Θεὸς εἶναι Πατέρας δικός του καὶ ἔτσι ἔκανε τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό»[5].

---

5. Ἰω. 5,18.

*Ποῦ νῦν οἱ τῶν αἱρετικῶν παῖδες, οἱ κατὰ τῆς ἑαυτῶν μαινόμενοι σωτηρίας, καὶ τῆς ἰσότητος ἀποσχίζοντες αὐτὸν τῆς πρὸς τὸν Πατέρα; ἀκουέτωσαν τοῦ εὐαγγελιστοῦ τὴν φωνὴν (ὅταν δὲ τὸν εὐαγγελιστὴν εἴπω, τὸν Χριστὸν λέγω τὸν κινοῦντα αὐτοῦ τὴν ψυχήν)· ἀκουέτωσαν, καὶ ἐντραπήτωσαν, καὶ παυσάσθωσαν τοιαῦτα μαινόμενοι. Καὶ γὰρ οἱ Ἰουδαῖοι διὰ τοῦτο αὐτὸν ἐδίωκον, ὅτι ἴσον ἑαυτὸν ἔλεγε· καὶ οὗτοι διὰ τοῦτο ἀπαγχονίζονται, ὅτι ταύτην ἀναφέρομεν αὐτῷ τὴν εὐφημίαν παρ' αὐτοῦ παιδευθέντες. Ἀλλ' οὐκ αὐτοῦ, φησίν, οὐδὲ τοῦ εὐαγγελιστοῦ αὕτη ἡ ψῆφος ἦν, ἀλλὰ τῶν Ἰουδαίων. Μάλιστα μέν, εἰ καὶ τῶν Ἰουδαίων ἦν, καὶ τοῦτό σου μέγιστον ἔγκλημα καὶ ἐσχάτη κατηγορία, ὅτι ἅπερ οἱ ἀγνώμονες Ἰουδαῖοι συνεῖδον ἀπὸ τῶν ρημάτων κατασκευαζόμενα, ταῦτα αὐτὸς ἐθελοκωφῶν οὐχ ὁρᾷς. Οὐ γὰρ δὴ οἴκοθεν αὐτὰ εἰσῆγον, ἀλλ' ἀφ' ὧν ὁ Χριστὸς ἔλεγε συλλογιζόμενος αὐτούς.*

*Καὶ ἵνα μάθῃς ὅτι οὐδὲ Ἰουδαίων ἐστὶν ἡ λέξις αὕτη, ἀλλὰ τοῦ εὐαγγελιστοῦ καὶ ψῆφος καὶ ρῆσις (ὅταν δὲ εἴπω τοῦ εὐαγγελιστοῦ, τοῦ Χριστοῦ λέγω τοῦ κινοῦντος αὐτοῦ τὴν διάνοιαν), αὐτὰ τὰ ρήματα ἐξέταζε. «Ὁ Πατήρ μου». Οὐ παντί που δῆλον καὶ τῷ σφόδρα ἀνοήτῳ, ὅτι διὰ τοῦτο εἶπεν, «ὁ Πατήρ μου», ἵνα ἴδιον αὐτοῦ ἀποφήνῃ; Τὸ δὲ ἐπαγαγεῖν πάλιν, «ἐργάζεται, κἀγὼ ἐργάζομαι», ἆρα οὐκ ἰσότητά ἐστι κατασκευάζοντος; Οὐδὲ γὰρ εἶπεν, 'ἐργάζεται ἐκεῖνος, ἐγὼ δὲ ὑπουργῶ'· 'ἐργάζεται ἐκεῖνος, ἐγὼ δὲ ὑπηρετοῦμαι'· ἀλλ', «ἐκεῖνος ἐργάζεται, κἀγὼ ἐργάζομαι». Ὁρᾷς πῶς οὐκ Ἰουδαίων ἦν ἀπόφασις, ἀλλὰ τῶν ἐκείνου ρημάτων κατασκευὴ τὸ λεγόμενον; Εἰ γὰρ Ἰουδαίων ἦν πεπλανημένη τις ὑπόνοια καὶ ψῆφος τὸ ἴσον αὐτὸν ποιεῖν τῷ Θεῷ, καὶ αὐτὸς μὲν οὐκ ἐβούλετο τοῦτο ὑποπτεύεσθαι, οἱ δε Ἰουδαῖοι μὴ βουλομένου τοῦτο αὐτοῦ ὑπώπτευον, ἕτερα ὑπονοοῦντες παρ' ὃ αὐτὸς κατασκευάσαι*

Ποῦ εἶναι τώρα οἱ αἱρετικοί, ποὺ μαίνονται ἐναντίον τῆς δικῆς τους σωτηρίας καὶ ἀποχωρίζουν αὐτὸν ἀπὸ τὴν ἰσότητα πρός τὸν Πατέρα; Ἂς ἀκούσουν τὴ φωνὴ τοῦ εὐαγγελιστῆ (καὶ ὅταν μιλῶ γιὰ τὸν εὐαγγελιστή, ἐννοῶ τὸ Χριστὸ ποὺ κινοῦσε τὴν ψυχή του)· ἂς ἀκούσουν καὶ ἂς ντραποῦν καὶ ἂς σταματήσουν αὐτοῦ τοῦ εἴδους τὴ μανία. Γιατὶ καὶ οἱ Ἰουδαῖοι γι' αὐτὸ τὸν καταδίωκαν, ἐπειδὴ ἔλεγε τὸν ἑαυτό του ἴσο πρὸς τὸν Πατέρα. Καὶ αὐτοὶ γι' αὐτὸ ἀπαγχανίζονται, ἐπειδὴ τοῦ ἀποδίδουμε αὐτὸν τὸν ἔπαινο, ποὺ τὸν διδαχθήκαμε ἀπὸ τὸν ἴδιο. Ἀλλὰ ἡ γνώμη αὐτή, λέγει, δὲν ἦταν δική του οὔτε τοῦ εὐαγγελιστῆ, ἀλλὰ τῶν Ἰουδαίων. Καὶ ἂν ἀκόμη βέβαια ἦταν γνώμη τῶν Ἰουδαίων, καὶ αὐτὸ εἶναι μέγιστο ἔγκλημά σου καὶ ἔσχατη κατηγορία, γιατὶ αὐτὰ ποὺ οἱ ἀγνώμονες Ἰουδαῖοι ἔλεγαν στηριζόμενοι στὰ λόγια, αὐτὰ ἐσὺ κάνοντας τὸν κουφὸ δὲν τὰ βλέπεις. Γιατὶ αὐτὰ δὲν τὰ παρουσίαζαν ἀπὸ μόνοι τους, ἀλλὰ ἀπ' αὐτὰ ποὺ ὁ Χριστὸς ἔλεγε συλλογιζόμενος αὐτούς.

Καὶ γιὰ νὰ μάθεις ὅτι ἡ λέξη αὐτὴ δὲν ἀνήκει οὔτε στοὺς Ἰουδαίους, ἀλλ' εἶναι καὶ γνώμη καὶ λόγος τοῦ εὐαγγελιστῆ (καὶ ὅταν λέγω τοῦ εὐαγγελιστῆ, ἐννοῶ τοῦ Χριστοῦ ποὺ κινεῖ τὴ διάνοιά του), ἐξέταζε τὰ ἴδια τὰ λόγια. «Ὁ Πατέρας μου». Δὲν εἶναι στὸν καθένα φανερὸ καὶ στὸν πάρα πολὺ ἀνόητο ὅτι γι' αὐτὸ εἶπε «ὁ Πατέρας μου», γιὰ νὰ φανερώσει κάποια δική του ἰδιότητα; Καὶ τὸ νὰ προσθέσει πάλι, «ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι», ἄραγε δὲν ἀποδεικνύει ἰσότητα; Γιατὶ δὲν εἶπε, 'ἐκεῖνος ἐργάζεται καὶ ἐγὼ ὑπηρετῶ, ἐκεῖνος ἐργάζεται καὶ ἐγὼ ὑπηρετοῦμαι', ἀλλά, 'ἐκεῖνος ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι'. Βλέπεις πῶς δὲν ἦταν γνώμη τῶν Ἰουδαίων τὸ λεγόμενο, ἀλλὰ προερχόταν ἀπὸ τὰ λόγια του; Γιατί, ἂν ἦταν κάποια πλανημένη ὑπόνοια καὶ γνώμη τῶν Ἰουδαίων τὸ νὰ κάνει τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό, καὶ αὐτὸς δὲν ἤθελε νὰ τὸ ὑποψιάζονται αὐτό, ἐνῶ οἱ Ἰουδαῖοι, χωρὶς νὰ τὸ θέλει αὐτός, τὸ ὑποψιάζονταν, ὑπονοώντας ἄλλα ἀπὸ ἐκεῖνο ποὺ αὐτὸς ἤθελε ν' ἀποδείξει, δὲ θὰ τὸ ἄφηνε αὐτὸ ἔτσι ἀδιόρθωτο ὁ εὐαγγελιστής, ἀλλὰ θὰ τὸ φανέ-

*ἐβούλετο· οὐκ ἂν αὐτὸν εἴασεν οὕτως ἀδιόρθωτον ὁ εὐαγγελιστής, ἀλλ' ἐπεσημήνατο ἂν καὶ εἶπεν αὐτὸ σαφῶς. Καὶ γὰρ ἔθος αὐτοῖς τοῦτο ποιεῖν, καὶ αὐτοῖς καὶ τῷ Ἰησοῦ· καὶ τοῦτο ἐξ ἑνὸς καὶ δευτέρου παραδείγματος πειράσομαι ὑμῖν ποιῆσαι δῆλον, ὅτι ὅταν εἴπῃ τι ὁ Χριστός, καὶ ἑτέρως μὲν αὐτὸ εἴπῃ αὐτός, ἑτέρως δὲ ὑποπτεύσωσιν οἱ Ἰουδαῖοι, διορθοῦται ὁ εὐαγγελιστής.*

*Καὶ ἵνα μάθῃς τοῦτο σαφῶς, ἄκουσον αὐτοῦ τοῦ Ἰωάννου αὐτὸ τοῦτο δῆλον ποιοῦντος. Ἐπειδὴ γὰρ εἰσῆλθεν εἰς τὸν ναὸν τοῦ Θεοῦ, καὶ τοὺς κολλυβιστὰς ἐξέβαλε φραγέλλιον ποιήσας, καὶ ἔλεγεν, «μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου», προσελθόντες οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι ἔλεγον· «τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;». Τί οὖν αὐτός; «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν», περι τοῦ σώματος τοῦ ἑαυτοῦ λέγων. Ἀλλ' ἐκεῖνοι αὐτὸ οὐ συνεῖδον, ἀλλὰ τί φασι; «Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;», περὶ τοῦ ναοῦ τοῦ ἰουδαϊκοῦ τοῦ διὰ λίθων κατεσκευασμένου λέγοντες· ἐκεῖνος γὰρ τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη μετὰ τὴν ἐπάνοδον ἀπὸ Βαβυλῶνος, διακωλυομένων τῶν οἰκοδομούντων ὑπὸ τῆς βαρβαρικῆς ἐπιβουλῆς, καὶ χρόνου τριβομένου πολλοῦ οὗτος ὁ ναὸς ἀπηρτίζετο.*

*Ἐπεὶ οὖν ὁ Ἰησοῦς περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἔλεγεν, τὸν σταυρὸν δηλῶν καὶ τὴν ἀνάστασιν· τοῦτο γάρ ἐστι τό, «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· ἐκεῖνοι δὲ περὶ τοῦ ναοῦ τοῦ ἰουδαϊκοῦ ὑπώπτευον· ὅθεν καὶ ἔλεγον· «τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;» ὅρα πῶς οὐ παρέδραμεν αὐτὸ ὁ εὐαγγελιστής,*

---

6. Ἰω. 2,16.
7. Ἰω. 2,18.

ρωνε καὶ θὰ τὸ ἔλεγε καθαρά. Γιατὶ τὸ συνήθιζαν νὰ τὸ κάνουν αὐτό, καὶ ἐκεῖνοι καὶ ὁ Ἰησοῦς. Καὶ αὐτὸ θὰ προσπαθήσω νὰ σᾶς τὸ κάμω φανερὸ ἀπὸ ἕνα – δύο παραδείγματα, ὅτι δηλαδὴ ὅταν ἔλεγε κάτι ὁ Χριστός, καὶ αὐτὸς τὸ ἔλεγε βέβαια μὲ διαφορετικὴ ἔννοια, ἐνῶ διαφορετικὰ τὸ ἐννοοῦσαν οἱ Ἰουδαῖοι, τὸ διορθώνει ὁ εὐαγγελιστής.

Καὶ γιὰ νὰ τὸ μάθεις αὐτὸ καλά, ἄκουσε τὸν ἴδιο τὸν Ἰωάννη ποὺ τὸ κάνει φανερὸ αὐτό. Ὅταν λοιπὸν μπῆκε στὸ ναὸ τοῦ Θεοῦ καὶ κάνοντας ἕνα μαστίγιο ἔβγαλε ἔξω τοὺς ἀργυραμοιβούς, καὶ ἔλεγε, «μὴν κάνετε τὸν οἶκο τοῦ Πατέρα μου οἶκο ἐμπορίου»[6], ἀφοῦ τὸν πλησίασαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἔλεγαν, «τί σημεῖο μᾶς δείχνεις ὅτι ἔχεις δικαίωμα νὰ κάνεις αὐτά;»[7]. Τί λοιπὸν ἀπάντησε αὐτός; «Γκρεμίστε τὸ ναὸ αὐτὸν καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»[8], μιλώντας γιὰ τὸ δικό του σῶμα. Ἐκεῖνοι ὅμως δὲν τὸ κατανόησαν αὐτό, ἀλλὰ τί λέγουν; «Σαράντα ἕξι χρόνια χρειάσθηκαν γιὰ νὰ κτισθεῖ ὁ ναὸς αὐτὸς καὶ σὺ θὰ τὸν ἀνοικοδομήσεις σὲ τρεῖς ἡμέρες;»[9], μιλώντας γιὰ τὸν ἰουδαϊκὸ ναὸ ποὺ εἶχε κατασκευασθεῖ μὲ πέτρες. Γιατὶ ὁ ναὸς ἐκεῖνος κτίσθηκε σὲ σαράντα ἕξι χρόνια μετὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴ Βαβυλώνα, ἐπειδὴ ἐμποδίζονταν οἱ οἰκοδόμοι ἀπὸ τὴ βαρβαρικὴ ἐπιβουλή, καὶ πέρασε πολὺς χρόνος γιὰ τὴν ὁλοκλήρωση τοῦ ναοῦ.

Ἐπειδὴ λοιπὸν ὁ Ἰησοῦς μιλοῦσε γιὰ τὸ δικό του σῶμα, ἐννοώντας τὸ σταυρὸ καὶ τὴν ἀνάσταση (γιατὶ αὐτὸ σημαίνει τό, «γκρεμίστε τὸ ναὸ αὐτὸν καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»), ἐνῶ ἐκεῖνοι καταλάβαιναν γιὰ τὸν ἰουδαϊκὸ ναὸ (γι' αὐτὸ καὶ ἔλεγαν, «σαράντα ἕξι χρόνια χρειάσθηκαν γιὰ νὰ κτισθεῖ ὁ ναὸς αὐτὸς καὶ σὺ θὰ τὸν ἀνοικοδομήσεις σὲ τρεῖς ἡμέρες;», πρόσεχε πῶς δὲν τὸν παρασιώπησε αὐτὸ ὁ εὐαγγελιστής,

8. Ἰω. 2,19.
9. Ἰω. 2,20.

ἀλλ' ἐπήγαγε τὴν διόρθωσιν, λέγων· «ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ». Οὐδὲ γὰρ εἶπε, 'λύσατε τὸ σῶμα τοῦτο', ἀλλά, «τὸν ναόν», ἵνα δείξῃ τὸν Θεὸν τὸν οἰκοῦντα· λύσατε τὸν ναὸν τὸν πολλῷ βελτίονα τοῦ ἰουδαϊκοῦ. Ὁ μὲν γὰρ εἶχε τὸν νόμον, ὁ δὲ τὸν νομοθέτην· ὁ μὲν τὸ γράμμα τὸ ἀποκτεῖνον, ὁ δὲ τὸ Πνεῦμα τὸ ζωοποιοῦν· ὁ μὲν τὴν ράβδον τὴν Ἀαρών, ὁ δὲ τὴν ράβδον Ἰεσσαί.

3. Πάλιν ἀλλαχοῦ τὸ ἐπὶ τῶν ἄρτων θαῦμα ποιήσαντι ἀπάρας σὺν αὐτοῖς, διέβαινεν εἰς τὸ πέραν, καὶ ἔλεγε τοῖς μαθηταῖς· «προσέχετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ σαδδουκαίων». Οἱ δὲ ζύμην ἀκούσαντες, περὶ ἄρτων ὑπώπτευον· αὐτὸς δὲ οὐ περὶ ἄρτων ἔλεγεν, ἀλλὰ περὶ τῆς διδασκαλίας τῶν φαρισαίων. Ἐπεὶ γὰρ ἄλλως μὲν αὐτὸς εἶπεν, ἄλλως δὲ ὑπώπτευσαν ἐκεῖνοι, ὅρα πῶς διορθοῦται αὐτό, λέγων· «οὕτως ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὐ μέμνησθε τοὺς πέντε ἄρτους καὶ πόσους κοφίνους ἐλάβετε, καὶ τοὺς ἑπτὰ ἄρτους καὶ πόσας σπυρίδας ἐλάβετε; πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτων εἶπον ὑμῖν, ἀλλὰ περὶ τῆς διδασκαλίας τῶν φαρισαίων, ὥστε προσέχειν;». Ὁρᾷς πῶς καὶ ἐπὶ τοῦ ναοῦ ὁ εὐαγγελιστὴς καὶ ἐνταῦθα αὐτὸς τῶν πεπλανημένων διορθοῦται τὴν ὑπόνοιαν;

Οὕτω τοίνυν καὶ ἐπὶ τοῦ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, εἰ αὐτὸς μὲν οὐκ ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ, οἱ δὲ Ἰουδαῖοι τοῦτο ὑπώπτευον ἀπὸ τῶν εἰρημένων, διώρθωσεν ἂν τὴν ὑπόνοιαν ταύτην ὁ εὐαγγελιστής, καὶ εἶπεν ὅτι Ἰουδαῖοι μὲν ἴσον ἑαυτὸν ἐνόμιζον αὐτὸν πποιεῖν τῳ Θεῳ, αὐτὸς δὲ οὐκ ἐποίει τοῦτο οὐδὲ κατεσκεύαζεν. Ἵνα δὲ ἀπ' αὐτῶν τῶν ρημάτων μάθῃς, ὅτι τοῦτο μάλιστα ἐβού-

10. Ἰω. 2,21.
11. Μάρκ. 8,15 καὶ Ματθ. 16,6.

ἀλλὰ πρόσθεσε τὴ διόρθωση, λέγοντας· «ἐκεῖνος ὅμως μιλοῦσε γιὰ τὸ ναὸ τοῦ σώματός του»[10]. Οὔτε βέβαια εἶπε, 'γκρεμίστε τὸ σῶμα αὐτό', ἀλλά, «τὸ ναό», γιὰ νὰ δείξει τὸ Θεὸ ποὺ κατοικεῖ· γκρεμίστε τὸ ναὸ ποὺ εἶναι πολὺ καλύτερος ἀπὸ τὸν ἰουδαϊκό. Γιατὶ ὁ ἕνας εἶχε τὸ νόμο, καὶ ὁ ἄλλος τὸ νομοθέτη· ὁ ἕνας τὸ γράμμα ποὺ σκοτώνει, καὶ ὁ ἄλλος τὸ πνεῦμα ποὺ δίνει ζωή· ὁ ἕνας τὸ ραβδὶ τοῦ Ἀαρών, καὶ ὁ ἄλλος τὴ ράβδο τοῦ Ἰεσσαί.
3. Σὲ ἄλλη περίπτωση πάλι, ἀφοῦ ἔκαμε τὸ θαῦμα μὲ τοὺς ἄρτους καὶ ἔφυγε μαζὶ μ' αὐτούς, περνοῦσε στὴν ἀντικρινὴ ὄχθη καὶ ἔλεγε στοὺς μαθητές του· «προσέχετε ἀπὸ τὸ προζύμι τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων»[11]. Ἐκεῖνοι ἐπειδὴ ἄκουσαν 'προζύμι', ὑποψιάζονταν γιὰ ψωμιά, ἐνῶ αὐτὸς δὲ μιλοῦσε γιὰ ψωμιά, ἀλλὰ γιὰ τὴ διδασκαλία τῶν Φαρισαίων. Ἐπειδη λοιπὸν μὲ ἄλλη ἔννοια τὸ εἶπε αὐτὸς καὶ μὲ διαφορετικὴ ἔννοια τὸ ἐξέλαβαν ἐκεῖνοι, πρόσεχε πῶς τὸ διορθώνει αὐτό, λέγοντας· «ἀκόμη καὶ σεῖς εἶστε τόσο ἀνόητοι; δὲ θυμάστε τὰ πέντε ψωμιὰ καὶ πόσα κοφίνια πήρατε; καὶ τὰ ἑπτὰ ψωμιὰ καὶ πόσα καλάθια πήρατε; πῶς δὲν καταλαβαίνετε ὅτι δὲ σᾶς μίλησα γιὰ ψωμιά, ἀλλὰ γιὰ τὴν διδασκαλία τῶν Φαρισαίων, ὥστε νὰ προσέχετε ἀπ' αὐτήν;»[12] Βλέπεις πῶς καὶ στὸ ναὸ ὁ εὐαγγελιστὴς καὶ ἐδῶ ὁ ἴδιος ὁ Κύριος διορθώνει τὴν ὑπόνοια τῶν πλανημένων;

Ἔτσι λοιπὸν καὶ στὴν περίπτωση ποὺ κάνει τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό, ἂν αὐτὸς δὲν ἔκανε τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεὸ καὶ ἂν οἱ Ἰουδαῖοι τὸ ὑποψιάζονταν αὐτὸ ἀπ' αὐτὰ ποὺ εἶχαν λεχθεῖ, ὁ εὐαγγελιστὴς θὰ διόρθωνε τὴν ὑποψία αὐτὴ καὶ θὰ ἔλεγε ὅτι οἱ Ἰουδαῖοι νόμιζαν πὼς ἔκανε τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό, ἐνῶ αὐτὸς δὲν τὸ ἔκανε αὐτὸ οὔτε τὸ κατασκεύαζε. Γιὰ νὰ μάθεις ὅμως ἀπὸ τὰ ἴδια τὰ λόγια, ὅτι αὐτὸ κυρίως ἤθελε νὰ βάλει καλὰ μέσα στὸ νοῦ τῶν ἀνθρώπων, ἂς φέρουμε τὸ

12. Ματθ. 15,16· 16,9–12.

*λετο πηγνύναι ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις, ἀνωτέρω τὸν λόγον ἀγάγωμεν καὶ μάθωμεν τί ποτε ἐγκαλούμενος ταῦτα ἀπελογεῖτο. Τί ποτ' οὖν ἦν ὅπερ ἐνεκαλεῖτο; Ὅτι ἐν Σαββάτῳ ἔργα ἐποίει· «διὰ τοῦτο», φησίν, «ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, ὅτι ταῦτα ἐποίει ἐν Σαββάτῳ».*

*Ποῖα δὴ ταῦτα; Ὅτι τὸν παραλυτικὸν ἔσφιγξε, καὶ ἐκέλευσε αὐτῷ τὴν κλίνην λαβεῖν καὶ ἀπελθεῖν εἰς τὸν οἶκον. Διὸ καὶ ἐρωτῶντες αὐτὸν ἔλεγον, τίς εἴη ὁ ἐπιτάξας αὐτῷ ταῦτα ποιεῖν ἐν Σαββάτῳ· ὁ δὲ ἔφη, «ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· ἆρον τὴν κλίνην σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου». Πρὸς ταῦτα δυσχεραίνοντες, ἐδίωκον αὐτόν, ὅτι ταῦτα ἐπέταξεν ἐν Σαββάτῳ, ὅπερ ἐδόκει νόμου παράβασις καὶ λύσις. Τί οὖν ἀπολογούμενος ὁ Χριστὸς λέγει; «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Καίτοι γε πολλὰ ἕτερα ἐνῆν εἰπεῖν, εἴ γε ἀπολογήσασθαι ἐβούλετο μόνον, ἀλλὰ μὴ δεῖξαι τὴν ἰσότητα. Πολλάκις γὰρ ἐλύθη τὸ Σάββατον, καὶ πρῶτον μὲν ἐπὶ τῆς πόλεως τῆς Ἱεριχουντίων. Ὅτε γὰρ προσέβαλον τοῖς τείχεσιν, ἑπτὰ ἡμέρας ἐκελεύοντο σάλπιγγας μεταχειριζόμενοι περιιέναι τὰ τείχη, καὶ οὕτω κατηνέχθη ἡ πόλις. Ὅτι δὲ ἐν ταῖς ἑπτὰ ἡμέραις, ὅθεν ἂν ποιησώμεθα τὴν ἀρχήν, ἀνάγκη τὸ Σάββατον ἐμπεσεῖν, παντί που δῆλον. Ὅθεν δῆλον, ὅτι ἐλύθη τὸ Σάββατον.*

*Πάλιν περιτέμνεσθαι ἐκέλευεν ἄνθρωπον τῇ ὀγδόῃ ἡμέρᾳ· ἀνάγκη καὶ ἐνταῦθα πάλιν τὸ Σάββατον λύεσθαι· τὸν γὰρ ἐν Σαββάτῳ τεχθέντα ἀνάγκη τῷ ἑτέρῳ Σαββάτῳ περιτμηθῆναι. Οἱ δὲ ἱερεῖς καὶ μετὰ πλείονος τῆς περιουσίας αὐτὸ ἔλυον, καὶ πάλιν θυσίαν ἐν σαββάτῳ κελευόμενοι ἀναφέρειν· ὅπου δὲ θυσία, καὶ ἐκδέ-*

13. Ἰω. 5,16.

λόγο πιὸ πάνω καὶ ἂς μάθουμε γιὰ ποιὸ ἄραγε πράγμα κατηγορούμενος ἀπολογοῦνταν αὐτά. Ποιὸ λοιπὸν ἦταν αὐτὸ γιὰ τὸ ὁποῖο κάποτε κατηγοροῦνταν; Ὅτι τὸ Σάββατο ἐργαζόταν. «Γι' αὐτό», λέγει, «τὸν καταδίωκαν οἱ Ἰουδαῖοι, γιατὶ τὰ ἔκαμνε αὐτὰ τὸ Σάββατο»[13].

Ποιά λοιπὸν ἦταν αὐτά; Ὅτι ἔκανε καλὰ τὸν παραλυτικὸ καὶ τὸν πρόσταξε νὰ πάρει τὸ κρεβάτι του καὶ νὰ πάει στὸ σπίτι του. Γι' αὐτὸ καὶ ὅταν τὸν ἐρωτοῦσαν τοῦ ἔλεγαν, ποιός εἶναι αὐτὸς ποὺ τὸν διέταξε νὰ κάνει αὐτὰ τὸ Σάββατο. Καὶ ἐκεῖνος εἶπε, «αὐτὸς ποὺ μὲ ἔκαμε ὑγιή, αὐτὸς μοῦ εἶπε· 'σήκωσε τὸ κρεβάτι σου καὶ πήγαινε στὸ σπίτι σου'»[14]. Δυσανασχετώντας γι' αὐτὰ τὸν καταδίωκαν, γιατὶ διέταξε αὐτὰ τὸ Σάββατο, πράγμα ποὺ νομιζόταν παράβαση καὶ κατάργηση τοῦ νόμου. Τί λοιπὸν λέγει ὁ Χριστὸς ὅταν ἀπολογεῖται; «Ὁ Πατέρας μου ἐργάζεται μέχρι τώρα καὶ ἐγὼ ἐργάζομαι». Παρ' ὅλο βέβαια ποὺ μποροῦσε νὰ πεῖ πολλὰ ἄλλα, ἂν φυσικα ἤθελε ν' ἀπολογηθεῖ μόνο, ἀλλὰ νὰ μὴ δείξει τὴν ἰσότητα. Γιατὶ τὸ Σάββατο καταργήθηκε πολλὲς φορὲς καὶ πρῶτα στὴν πόλη τῆς Ἰεριχοῦς. Ὅταν δηλαδὴ ἐπιτέθηκαν στὰ τείχη της, πῆραν τὴν ἐντολὴ νὰ γυρίζουν γύρω ἀπὸ τὰ τείχη σαλπίζοντας ἑπτὰ ἡμέρες, καὶ μὲ τὸν τρόπο αὐτὸν ἔπεσε ἡ πόλη. Ὅτι ὅμως στὶς ἑπτὰ ἡμέρες, ἀπὸ ὅπου ἂν ἀρχίσουμε νὰ μετρᾶμε, εἶναι ἀνάγκη νὰ πέσει τὸ Σάββατο, στὸν καθένα εἶναι φανερό. Ἑπομένως εἶναι φανερὸ ὅτι καταργήθηκε τὸ Σάββατο.

Πάλι ὁ νόμος διέταζε νὰ περιτέμνεται ὁ ἄνθρωπος τὴν ὄγδοη ἡμέρα. Κατ' ἀνάγκη καὶ ἐδῶ πάλι καταργεῖται τὸ Σάββατο, γιατὶ αὐτὸς ποὺ γεννήθηκε Σάββατο εἶναι ἀναγκασμένος νὰ περιτμηθεῖ τὸ ἄλλο Σάββατο. Καὶ οἱ ἱερεῖς μὲ περισσότερη εὐκολία τὸ καταργοῦσαν καὶ ὅταν πάλι ἔπαιρναν ἐντολὴ νὰ προσφέρουν θυσία τὸ Σάββατο. Προσφέροντας ὅμως θυσία ἦταν

14. Ἰω. 5,11.

*ρειν καὶ καίειν, καὶ ἐπιτιθέναι θυσιαστηρίῳ, καὶ ὑδροφορεῖν, καὶ ξύλα διακλᾶν, καὶ τέφραν ἐκφέρειν, καὶ ἕτερα πλείονα ποιεῖν ἀνάγκη ἦν, καὶ διὰ τοῦτο τὸ Σάββατον λύεσθαι. Μετὰ τούτων καὶ ἡ κτίσις αὐτὴ τὸ Σάββατον ἔλυε· καὶ γὰρ ἥλιος ἐργάζεται ἐν Σαββάτῳ, καὶ σελήνη τρέχει, καὶ ὁ ποικίλος τῶν ἄστρων φαίνει χορός, καὶ ἄνεμοι πνέουσι, καὶ πηγαὶ βρύουσι, καὶ ποταμοὶ ῥέουσι, καὶ θάλαττα κινεῖται, καὶ σπέρματα ἀναδίδοται καὶ φυτά, καὶ ἡ γῆ τίκτει καὶ τὰ ἄλογα ἅπαντα, ἔτι δὲ καὶ τὸ τῶν ἀνθρώπων γένος. Οὐδέποτε γάρ, γυναικὸς κυούσης ἐν Σαββάτῳ, ἡ φύσις ἀνέμεινε τὸν νόμον, καὶ ἐξεδέξατο παρελθεῖν τὸ Σάββατον, καὶ τότε λυθῆναι τὰς ὠδῖνας, ἀλλὰ εἰργάζετο τὸ ἑαυτῆς ἔργον καὶ Σαββάτου ὄντος. Καὶ αἱ ἄνω δὲ δυνάμεις ὑπηρετοῦνται ἐν Σαββάτῳ, καὶ οὐ διαλιμπάνουσι τὴν διακονίαν τὴν ἑαυτῶν πληροῦσαι.*

*Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τοσαύτας ἔχων ἀπολογίας ἀφορμάς, οὐδεμιᾷ τούτων κέχρηται, οὐδὲ λέγει, τί μοι ἐγκαλεῖτε, ὅτι λύω τὸ Σάββατον; καὶ γὰρ οἱ ἱερεῖς ἐν Ἰεριχοῦντι ἔλυσαν, καὶ οἱ ἐν τῷ ἱερῷ λύουσι· τί μοι ἐγκαλεῖτε, ὅτι λύω Σάββατον; καὶ γὰρ ἥλιος λύει καὶ σελήνη καὶ ἀστέρες καὶ πᾶσα ἡ κτίσις, καὶ ἡ ἄνω καὶ ἡ κάτω· ἀλλὰ πάντα ταῦτα ἀφείς, ἐπὶ τὸν Πατέρα ἦλθεν, λέγων· «ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι». Οὐ γὰρ δὴ ἀπολογήσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τὴν ἰσοτιμίαν δεῖξαι. Διὰ τοῦτο οὐκ εἶπεν, ἐργάζομαι, καὶ γὰρ ἡ κτίσις ἐργάζεται, οὐ γὰρ ἦν τῆς κτίσεως, ἀλλ' «ἐργάζομαι, καὶ γὰρ ὁ Πατὴρ ἐργάζεται». Τῆς γὰρ οὐσίας ἐκείνης ἦν καὶ τῆς ἐξουσίας.*

*4. Διὰ τοῦτο οὐχ ὡς τῆς κτίσεως ὢν ἀπολογεῖται, ἀλλ' ὡς ἐκείνου γέννημα γνήσιον. Καὶ ἵνα μάθῃς ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἔλυσάν ποτε καὶ οἱ μαθηταὶ τὸ Σάββατον τίλλοντες στάχυας καὶ ἐσθίοντες, καὶ ἐγκαλούντων τῶν Ἰουδαίων καὶ λεγόντων· οὐχ ὁρᾷς*

ἀναγκασμένοι νὰ γδέρνουν καὶ νὰ καίουν, νὰ τοποθετοῦν ἐπάνω στὸ θυσιαστήριο καὶ νὰ φέρουν νερό, νὰ σπάζουν ξύλα καὶ νὰ μεταφέρουν στάχτη, καὶ νὰ κάνουν πολλὰ ἄλλα, καταργούμενο ἔτσι τὸ Σάββατο. Μαζὶ μ' αὐτὰ καὶ ἡ κτίση ἡ ἴδια καταργοῦσε τὸ Σάββατο. Γιατὶ καὶ ὁ ἥλιος ἐργάζεται τὸ Σάββατο, καὶ ἡ σελήνη τρέχει, καὶ ὁ ποικίλος χορὸς τῶν ἄστρων φέγγει, καὶ οἱ ἄνεμοι πνέουν, καὶ οἱ πηγὲς ἀναβλύζουν, καὶ οἱ ποταμοὶ κυλοῦν, καὶ ἡ θάλασσα κινεῖται, καὶ τὰ σπέρματα καὶ τὰ φυτὰ φυτρώνουν, καὶ ἡ γῆ γεννάει καὶ ὅλα τὰ ζῶα, καὶ ἀκόμη καὶ τὸ γένος τῶν ἀνθρώπων. Γιατὶ ποτέ, κυοφορώντας μία γυναίκα, ἡ φύση δὲν περίμενε τὸ νόμο καὶ δέχθηκε νὰ περάσει τὸ Σάββατο καὶ ὕστερα νὰ ἀρχίσουν οἱ πόνο τοῦ τοκετοῦ, ἀλλὰ ἔκανε τὸ δικό της ἔργο καὶ ὅταν ἦσαν Σάββατο. Ἐξάλλου καὶ οἱ οὐράνιες δυνάμεις ὑπηρετοῦν τὸ Σάββατο καὶ δὲ σταματοῦν νὰ ἐκπληρώνουν τὴν ὑπηρεσία τους.

Γιὰ ποιόν λοιπὸν λόγο, πές μου, ἂν καὶ εἶχε τόσες ἀφορμὲς γιὰ ἀπολογία δὲ χρησιμοποιεῖ καμία ἀπ' αὐτές, οὔτε λέγει, 'γιατὶ μὲ κατηγορεῖτε ἐπειδὴ καταργῶ τὸ Σάββατο; γιατὶ καὶ οἱ ἱερεῖς στὴν Ἰεριχὼ τὸ κατάργησαν καὶ αὐτοὶ ποὺ ὑπηρετοῦν στὸ ναὸ τὸ καταργοῦν· γιατὶ μὲ κατηγορεῖτε ἐπειδὴ καταργῶ τὸ Σάββατο; γιατὶ καὶ ὁ ἥλιος τὸ καταργεῖ καὶ ἡ σελήνη καὶ τὰ ἀστέρια καὶ ὅλη ἡ κτίση, καὶ ἡ ἄνω καὶ ἡ κάτω, ἀλλ', ἀφήνοντας ὅλα αὐτά, ἦρθε στὸν Πατέρα, λέγοντας· «ὁ Πατέρας μου ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι». Γιατὶ δὲν ἤθελε βέβαια νὰ ἀπολογηθεῖ μόνο, ἀλλὰ νὰ δείξει καὶ τὴν ἰσοτιμία. Γι' αὐτὸ δὲν εἶπε, 'ἐργάζομαι', γιατὶ καὶ ἡ κτίση ἐργάζεται (ἄλλωστε δὲν ἀνῆκε στὴν κτίση), ἀλλά, «ἐργάζομαι γιατὶ καὶ ὁ Πατέρας μου ἐργάζεται». Γιατὶ εἶχε ἐκείνη τὴν οὐσία καὶ τὴν ἐξουσία.

4. Γι' αὐτὸ δὲν ἀπολογεῖται σὰν νὰ ἀνῆκε στὴν κτίση, ἀλλὰ σὰν γνήσιο γέννημα ἐκείνου. Καὶ γιὰ νὰ μάθεις ὅτι τὰ λεγόμενα δὲν εἶναι ἁπλὴ σκέψη, κατάργησαν κάποτε καὶ οἱ μαθητὲς τὸ Σάββατο μαδώντας στάχυα καὶ τρώγοντας, καὶ ἐνῶ οἱ Ἰουδαῖοι τούς κατηγοροῦσαν καὶ ἔλεγαν, 'δὲ βλέπεις τί κάνουν αὐτοὶ τὸ

*ἐν Σαββάτῳ τί οὗτοι ποιοῦσιν; οὐδαμοῦ τοῦ Πατρὸς ἐμνήσθη ἐκεῖ, ἀλλὰ τί φησιν; «Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυίδ, ὅτε ἐπείνασε; πῶς εἰσῆλθε, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν αὐτῷ ἦν φαγεῖν καὶ τοῖς μετ' αὐτοῦ; οὐκ ἀνέγνωτε ὅτι οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ Σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσιν;» Ὁρᾷς πῶς, ὅτε μὲν ὑπὲρ τῶν δούλων ποιεῖται τὸν λόγον, τοὺς δούλους εἰς μέσον φέρει, τὸν Δαυὶδ καὶ τοὺς ἱερέας, ὅτε δὲ ὑπὲρ ἑαυτοῦ, τὸν Πατέρα;*

*Εἰ δέ που καὶ ἑτέραις κέχρηται ἀπολογίαις, ὡς ὅταν λέγῃ, «εἰ περιτομὴν λαμβάνει ἄνθρωπος, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποιησάμην ἐν Σαββάτῳ;»· καὶ πάλιν, «τίς ἐξ ὑμῶν ἐστιν, ὃς οὐ λύει τὸ πρόβατον αὐτοῦ καὶ τὸν βοῦν;»· οὐδὲν θαυμαστόν· οὐ γὰρ πάντα ὡς Θεός, ἀλλ' ἔστιν ὅπου καὶ ὡς ἄνθρωπος διαλέγεται, ἐπειδὴ καὶ Θεὸς καὶ ἄνθρωπος ἦν. Ἐνταῦθα μέντοι πρὸς τὴν ἀξίαν τὴν ἑαυτοῦ φθέγγεται λέγων, «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι». Διὰ τοῦτό φησιν ὁ εὐαγγελιστής, «ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, οὐ μόνον ὅτι ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.*

*Ἐγὼ δὲ κἀκεῖνο ἡδέως ἂν ἐροίμην τὸν αἱρετικόν· Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἢ οὐκ ἔλεγε; τῆς ἰουδαϊκῆς ὑπονοίας τοῦτο ἦν ἢ τῆς ἀποφάσεως τοῦ Χριστοῦ; κἂν γὰρ μυριάκις ἀναισχυντῇ, παρὰ τῆς ἀληθείας ἐλέγχεται. Ἔλεγεν, ὅτι «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»· ἔλυε τὸ Σάββατον ἢ οὐκ ἔλυεν; Εὔδηλον ὅτι ἔλυεν· ἐργάζομαι, φησί, κἀκεῖνος ἐργάζεται. Οὐκοῦν οὐδέτερον τούτων τῆς ὑπονοίας ἦν τῆς ἰουδαϊκῆς, ἀλλὰ τῆς τοῦ Χρι-*

---

15. Ματθ. 12,3–5.
16. Ἰω. 7,23.

Σάββατο;' δὲ θυμήθηκε πουθενὰ τὸν Πατέρα ἐκεῖ, ἀλλὰ τί λέγει; «Δὲ διαβάσατε τί ἔκαμε ὁ Δαβὶδ ὅταν πείνασε; πῶς μπῆκε στὸ ναὸ καὶ ἔφαγε τοὺς ἄρτους τῆς πρόθεσης, ποὺ δὲν ἐπιτρεπόταν οὔτε αὐτὸς οὔτε ἐκεῖνοι ποὺ ἦταν μαζί του νὰ φάγουν; Δὲ διαβάσατε ὅτι οἱ ἱερεῖς στὸ ἱερὸ βεβηλώνουν τό Σάββατο καὶ εἶναι ἀθῶοι;»[15]. Βλέπεις πῶς ὅταν μιλάει γιὰ τοὺς δούλους, παρουσιάζει γιὰ παράδειγμα τοὺς δούλους, τὸ Δαβὶδ καὶ τοὺς ἱερεῖς, καὶ ὅταν μιλάει γιὰ τὸν ἑαυτό του τὸν Πατέρα;

Ἂν ὅμως κάπου χρησιμοποιεῖ καὶ ἄλλες ἀπολογίες, ὅπως ὅταν λέγει, «ἂν ἕνας ἄνθρωπος περιτέμνεται, ὀργίζεστε ἐναντίον μου γιατὶ ὁλόκληρο ἄθρωπο τὸν ἔκαμα ὑγιὴ τὸ Σάββατο;»[16], καὶ πάλι, «ποιός ἀπὸ σᾶς δὲ λύνει τὸ πρόβατό του καὶ βόδι του;»[17], δὲν εἶναι καθόλου θαυμαστό. Γιατὶ δὲν τὰ λέγει ὅλα σὰν Θεός, ἀλλὰ κάποτε μιλάει καὶ σὰν ἄνθρωπος, ἐπειδὴ ἦταν καὶ Θεὸς καὶ ἄνθρωπος. Ἐδῶ ὅμως μιλάει ἀνάλογα μὲ τὴ δική του ἀξία λέγοντας, «ὁ Πατέρας μου ἐργάζεται μέχρι τώρα καὶ ἐγὼ ἐργάζομαι». Γι' αὐτὸ ὁ εὐαγγελιστὴς λέγει· «τὸν καταδίωκαν οἱ Ἰουδαῖοι, ὄχι μόνο γιατὶ καταργοῦσε τὸ Σάββατο, ἀλλὰ καὶ γιατὶ ἔλεγε πὼς ὁ Θεὸς εἶναι Πατέρας του καὶ ἔτσι ἔκανε τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό».

Ἐγὼ ὅμως μὲ εὐχαρίστηση θὰ ἔλεγα στὸν αἱρετικὸ καὶ αὐτό· ὀνόμαζε τὸ Θεὸ Πατέρα του ἢ δὲν τὸν ὀνόμαζε; αὐτὸ ἦταν ἀποτέλεσμα τῆς ἰουδαϊκῆς ὑποψίας ἢ τῆς γνώμης τοῦ Χριστοῦ; Γιατὶ καὶ ἂν ἀκόμη φέρεται ἄπειρες φορὲς μὲ ἀναίδεια, ἐλέγχεται ἀπὸ τὴν ἀλήθεια. Ἔλεγε ὅτι «ὁ Πατέρας μου ἐργάζεται μέχρι τώρα καὶ ἐγὼ ἐργάζομαι»· καταργοῦσε τὸ Σάββατο ἢ δὲν τὸ καταργοῦσε; Εἶναι ὁλοφάνερο ὅτι τὸ καταργοῦσε· ἐργάζομαι, λέγει, καὶ ἐκεῖνος ἐργάζεται. Λοιπὸν κανένα ἀπ' αὐτὰ τὰ δύο δὲν προερχόταν ἀπὸ τὴν ὑποψία τῶν Ἰουδαίων, ἀλλ' ἦταν καὶ λόγια καὶ γνώμη τοῦ Χριστοῦ, δηλαδὴ καὶ ἡ κατάργηση τοῦ

17. Λουκᾶ 13,15.

*στοῦ κατασκευῆς τε καὶ ἀποφάσεως, καὶ τὸ λύειν τὸ Σάββατον, καὶ τὸ Πατέρα ἴδιον λέγειν τὸν Θεόν. Πῶς οὖν, ταῦτα λέγων τῆς ἀποφάσεως εἶναι τοῦ Χριστοῦ, ἐκεῖνο τῆς τῶν Ἰουδαίων ὑπονοίας λέγεις, ἐφεξῆς κείμενον καὶ συνημμένον τούτῳ, καὶ ὁμοίως ἀπηγγελμένον παρὰ τοῦ εὐαγγελιστοῦ; Πάντα γὰρ ταῦτα ἀπαγγελία τοῦ εὐαγγελιστοῦ ἐστιν, ἑρμηνεύοντος τὰ παρὰ τοῦ Χριστοῦ εἰρημένα. Διὸ καὶ Ἰουδαίων ἐγκαλούντων ἔλεγεν, ὅτι ἐδίωκον αὐτόν, οὐ μόνον ὅτι ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα ἑαυτοῦ ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.*

*Ἀλλ' ὁ μὲν κατὰ τῶν αἱρετικῶν ἔλεγχος ἀρκοῦν ἔχει τὸ τέλος· εἰ δὲ βούλεσθε καὶ τὴν ἐργασίαν μαθεῖν τίς ποτέ ἐστιν ἣν ὁ Πατὴρ ἐργάζεται, καὶ ἣν ὁ Υἱός, τὴν πρόνοιαν εἴποιμι ἂν τῶν ὄντων, τὴν διακράτησιν, τὴν κηδεμονίαν. Τὰ μὲν γὰρ φαινόμενα πάντα ἐν ἓξ ἡμέραις γέγονε, «καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ», ἡ δὲ πρόνοια αὐτῶν οὐκ ἐπαύσατο. Ταύτην τοίνυν τὴν πρόνοιαν ἐργασίαν καλεῖ ὁ Χριστός, λέγων· «ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι», προνοῶν, κηδόμενος, διακρατῶν, φησί, συνέχων, οὐδὲν ἀφιεὶς διαρρυῆναι.*

*Δεξάμενοι τοιγαροῦν τῶν ὀρθῶν δογμάτων τὴν ἀπόδειξιν καὶ ἐκ τῶν εἰρημένων, ἀκριβῆ πολιτείαν καὶ συμβαίνουσαν τοῖς δόγμασι προσθῶμεν· ἐπειδήπερ οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν μόνη ἡ τῶν ὀρθῶν δογμάτων γνῶσις, ἀλλὰ δεῖ καὶ πολιτείας ἀρίστης, ἵνα, διὰ πάντων δόξαν ἀναπέμψαντες τῷ Θεῷ, ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*


---

18. Γεν. 2,2.

Σαββάτου καὶ τὸ ὅτι ὀνόμαζε τὸ Θεὸ Πατέρα του. Πῶς λοιπόν, ἐνῶ λέγεις ὅτι αὐτὰ εἶναι γνώμη τοῦ Χριστοῦ, ἰσχυρίζεσαι ὅτι ἐκεῖνο προέρχεται ἀπὸ τὴν ὑπόνοια τῶν Ἰουδαίων, ἀφοῦ εἶναι συνέχεια καὶ ἑνωμένο μ' αὐτό, καὶ ἀφοῦ ἔχει διατυπωθεῖ μὲ τὸν ἴδιο τρόπο ἀπὸ τὸν εὐαγγελιστή; Γιατὶ ὅλα αὐτὰ εἶναι διατύπωση τοῦ εὐαγγελιστῆ, ποὺ ἑρμηνεύει τὰ λόγια τοῦ Χριστοῦ. Γι' αὐτὸ καὶ ὅταν οἱ Ἰουδαῖοι τὸν κατηγοροῦσαν ἔλεγε, ὅτι τὸν καταδίωκαν ὄχι μόνο γιατὶ καταργοῦσε τὸ Σάββατο, ἀλλὰ καὶ γιατὶ ἔλεγε ὅτι ὁ Θεὸς εἶναι Πατέρας του, καὶ ἔτσι ἔκανε τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό.

Ὁ ἔλεγχος λοιπὸν αὐτὸς κατὰ τῶν αἱρετικῶν εἶναι ἀρκετός, ἂν ὅμως θέλετε νὰ μάθετε καὶ τὴν ἐργασία, ποιά δηλαδὴ εἶναι αὐτὴ ποὺ ἐργάζεται ὁ Πατέρας καὶ ποιά αὐτὴ ποὺ ἐργάζεται ὁ Υἱός, θὰ ἔλεγα τὴν πρόνοια τῶν δημιουργημάτων, τὴν συντήρηση, τὴ φροντίδα. Γιατὶ αὐτὰ ποὺ φαίνονται ἔγιναν ὅλα σὲ ἕξι ἡμέρες. «Καὶ ἀναπαύθηκε ὁ Θεὸς τὴν ἡμέρα τὴν ἑβδόμη»[18]. Ἡ πρόνοια ὅμως γι' αὐτὰ δὲ σταμάτησε. Αὐτὴ τὴν πρόνοια ὀνομάζει ὁ Χριστὸς ἐργασία λέγοντας, «ὁ Πατέρας μου ἐργάζεται καὶ ἐγὼ ἐργάζομαι», προνοώντας, φροντίζοντας, διατηρώντας, λέγει, συγκρατώντας, μὴν ἀφήνοντας τίποτε νὰ διαλυθεῖ.

Ἀφοῦ λοιπὸν λάβαμε τὴν ἀπόδειξη τῶν ὀρθῶν δογμάτων καὶ ἀπ' αὐτὰ ποὺ εἴπαμε, ἂς προσθέσουμε συμπεριφορὰ σωστὴ καὶ σύμφωνη μὲ τὰ δόγματα, γιατὶ δὲν εἶναι ἀρκετὴ γιὰ τὴ σωτηρία μας μόνο ἡ γνώση τῶν ὀρθῶν δογμάτων, ἀλλὰ χρειάζεται καὶ ἄριστη συμπεριφορά, ὥστε, ἀφοῦ μὲ ὅλα ἀναπέμψουμε δόξα στὸ Θεό, νὰ ἐπιτύχουμε τὰ ἀγαθά ποὺ μᾶς ἔχει ὑποσχεθεῖ ὁ Θεός, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



# ΟΜΙΛΙΑ

## ΣΤΟ
## «Ο ΘΕΡΙΣΜΟΣ ΠΟΛΥΣ
## ΑΛΛΑ
## ΟΙ ΕΡΓΑΤΕΣ ΛΙΓΟΙ»

**Λεχθεῖσα**
**στὴν ἐκκλησία τοῦ ἀποστόλου Παύλου,**
**ἀφοῦ προηγουμένως μίλησε ἄλλος ἐπίσκοπος**



# ΟΜΙΛΙΑ

## ΕΙΣ ΤΟ «Ο ΜΕΝ ΘΕΡΙΣΜΟΣ ΠΟΛΥΣ, ΟΙ ΔΕ ΕΡΓΑΤΑΙ ΟΛΙΓΟΙ»

*ρηθεῖσα ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπὶ τοῦ ἀποστόλου, ἐπισκόπου ὀλίγα προομιλήσαντος*

*1. Εἴδετε τὸν γέροντα καὶ νέον, γέροντα μὲν τῷ σώματι, νέον δὲ τῷ φρονήματι; εἴδετε πολιὰν ἀκμάζουσαν καὶ γήρως τόνον σφριγῶντα; Τοιαῦτα γὰρ τὰ παρ' ἡμῖν, ἀπ' ἐναντίας τοῖς ἔξωθεν. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν πραγμάτων τὸ γῆρας ἄχρηστον· οἷον, ὁ στρατιώτης εἰς ταύτην ἐλθὼν τὴν ἡλικίαν, οὐ δύναται τεῖναι τόξον, οὐ βέλος ἀφεῖναι, οὔτε δόρυ σεῖσαι, οὔτε ἵππον ἀναβῆναι, οὔτε τείχεσι προσβαλεῖν, οὔτε ἄλλο τοιοῦτον οὐδὲν ἐργάσασθαι δύναται· καὶ ὁ κυβερνήτης δέ, ὅταν αὐτῷ τὸν τόνον τῆς σαρκὸς χαλάσῃ τὸ γῆρας, οὐ σχοινία τεῖναι, οὐχ ἱστία ἀναπετάσαι, οὐ μεταχειρίσασθαι κώπην, οὐ μεταθεῖναι οἴακας, οὐ μαχέσασθαι κύμασιν, οὐκ ἄλλο τι τῶν τοιούτων δυνήσεται. Πάλιν ὁ γηπόνος ἐν τούτῳ τῆς ἡλικίας ὤν, οὐ ζεῦξαι βοῦς, οὐκ ἄροτρον ἑλκύσαι, οὐκ ἀναρρῆξαι καὶ ἀνατεμεῖν αὔλακας, οὐ θεραπεῦσαι δένδρον, οὐ χορῷ θεριζόντων ἑαυ-*



# ΟΜΙΛΙΑ

## ΣΤΟ
## «Ο ΘΕΡΙΣΜΟΣ ΕΙΝΑΙ ΠΟΛΥΣ, ΕΝΩ ΟΙ ΕΡΓΑΤΕΣ ΛΙΓΟΙ»

Ἐκφωνήθηκε, ἀφοῦ προηγουμένως μίλησε ἄλλος
πάρα πολὺ γέροντας

1. Εἴδατε τὸ γέροντα καὶ νέο, γέροντα στὸ σῶμα, ἀλλὰ νέο στὸ φρόνημα; Εἴδατε ἀκμαία γεροντικὴ ἡλικία καὶ μεγάλη δύναμη γηρατειῶν; Τέτοια λοιπὸν εἶναι τὰ δικά μας, ἀντίθετα πρὸς αὐτὰ ποὺ συμβαίνουν ἔξω ἀπὸ τὴν Ἐκκλησία. Γιατὶ στὰ ἔξω πράγματα τὰ γηρατειὰ εἶναι ἄχρηστα· γιὰ παράδειγμα, ὁ στρατιώτης ὅταν ἔρθει σ' αὐτὴ τὴν ἡλικία δὲν μπορεῖ νὰ τεντώσει τὸ τόξο, οὔτε νὰ ρίξει τὸ βέλος, οὔτε νὰ σείσει τὸ δόρυ, οὔτε ν' ἀνεβεῖ σὲ ἄλογο, οὔτε νὰ ἐπιτεθεῖ σὲ τείχη, οὔτε τίποτε ἄλλο τέτοιο μπορεῖ νά κάμει. Καὶ ὁ κυβερνήτης τοῦ πλοίου, ὅταν τὰ γηρατειὰ χαλαρώσουν τὴ δύναμη τῆς σάρκας, δὲ θὰ μπορέσει νὰ τεντώσει τὰ σχοινιά, οὔτε ν' ἀνοίξη τὰ πανιά, οὔτε νὰ χρησιμοποιήσει τὸ κουπί, οὔτε νὰ μετακινήσει τὸ τιμόνι, οὔτε ν' ἀγωνισθεῖ μὲ τὰ κύματα, οὔτε κάτι ἄλλο τέτοιο. Ὁ γεωργὸς πάλι, ὅταν βρίσκεται σ' αὐτὸ τὸ σημεῖο τῆς ἡλικίας, δὲ θὰ μπορέσει νὰ ζέψει τὰ βόδια, οὔτε νὰ σύρει τὸ ἄροτρο, οὔτε ν' ἀνοίξει καὶ νὰ σκάψει αὐλάκια, οὔτε νὰ περιποιηθεῖ δένδρο, οὔτε νὰ συμπεριληφθεῖ σὲ ὁμάδα θεριστῶν, οὔτε κάτι ἄλλο πα-

*τὸν ἐγκαθίσαι, οὐκ ἄλλο τι τῶν τοιούτων πράττειν ἰσχύσει, ἀλλ ἕκαστος τούτων οἴκοι κάθηται, τὴν ἀπὸ τῆς ἡλικίας ἀτέλειαν ἔχων, καὶ ἀνάγκῃ μεγάλῃ καὶ ἀπαραιτήτῳ τῷ γήρᾳ πεπεδημένος.*

*Ἀλλ' οὐχ ὁ τῆς Ἐκκλησίας διδάσκαλος οὕτως, ἀλλὰ τότε μάλιστα ἀγωνιεῖται καὶ λόγον ἅψεται καὶ διδασκαλίαν προθήσει καὶ λαὸν ρυθμίσαι πειράσεται. Τὸ γὰρ γῆρας ἐν μὲν τοῖς ἄλλοις ἄχρηστον, ἐν δὲ τῇ Ἐκκλησίᾳ καὶ τοῖς τῆς ἀρετῆς πόνοις χρησιμώτατον. Ἐπεὶ καὶ ὁ μακάριος Ἀβραὰμ τὸ μέγιστον ἆθλον τότε ἤρατο, ὅτε ταύτην ἦγε τὴν ἡλικίαν· τότε γάρ, τότε τῆς φύσεως τὴν τυραννίδα κατέλυσε, καὶ τὸν παῖδα κατέσφαξεν· ἔσφαξε γάρ, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ γνώμῃ· εἰ καὶ μὴ τῷ τέλει, ἀλλὰ τῇ προθέσει· εἰ καὶ μὴ τῷ ἔργῳ, ἀλλὰ τῇ διανοίᾳ· τότε τῶν ἰδίων σπλάγχνων γέγονεν ἱερεύς, καὶ ἐξ αὐτῆς σχεδὸν τῆς φύσεως ἑαυτὸν μετοικίσας, καὶ πρὸς τὸν οὐρανὸν μεθορμισάμενος, τὸ θαυμαστὸν ἐκεῖνο καὶ παράδοξον ἔργον ἤνυσε. Καὶ Παῦλος, ὁ τῆς οἰκουμένης διδάσκαλος, ἐν βαθυτάτῃ πολιᾷ πρὸς τοὺς θαυμαστοὺς ἐκείνους ἀγῶνας ἀπεδύετο, καὶ δεσμὰ καὶ ἁλύσεις καὶ δεσμωτήρια ἐν γεγηρακότι τῷ σώματι ματὰ πολλῆς ἔφερε τῆς εὐτονίας· καὶ τοῦτο δηλῶν αὐτὸς ἔλεγεν· «ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ».*

*Καὶ ταῦτα λέγω, οὐχὶ τὴν νεότητα ἀτιμάζων· ἐπεὶ καὶ οἱ τὴν κάμινον καταπατήσαντες παῖδες, νέοι σφόδρα καὶ μειράκια ἦσαν κομιδῇ, καὶ ὁ τὴν προφητείαν δεξάμενος Ἱερεμίας· καὶ Δανιὴλ δέ, ὅτε τοὺς λέοντας ἐχαλίνου καὶ διὰ τὴν ἄφατον αὐτοῦ παρρησίαν τὰ ἀπόρρητα ἐκεῖνα τῶν τοῦ βασιλέως ὀνειράτων εἰς μέσον ἐξῆγε καὶ δῆλα ἐποίει τῷ θεασαμένῳ, σφόδρα νέος ἦν· καὶ οὐδὲν ἡ νεότης ἐμπόδιον γέγονε πρὸς τὴν ἀρετὴν τοῦ ἀνδρός. Ἐπὶ μὲν γὰρ τῶν*

ρόμοιο θὰ μπορέσει νὰ κάνει. Ἀλλ' ὁ καθένας ἀπ' αὐτοὺς κάθεται στὸ σπίτι ἔχοντας τὴν ἀπαλλαγὴ ἀπὸ ὑποχρεώσεις ἐξ αἰτίας τῆς ἡλικίας καὶ δεμένος ἀπὸ μεγάλη καὶ ἀναπόφευκτη ἀνάγκη, δηλαδὴ ἀπὸ τὰ γηρατειά.

Ὁ διδάσκαλος τῆς Ἐκκλησίας ὅμως δὲν εἶναι ἔτσι, ἀλλὰ τότε πιὸ πολὺ θ' ἀγωνισθεῖ καὶ θὰ μιλήσει καὶ θὰ διδάξει καὶ θὰ προσπαθήσει νὰ κατευθύνει τὸ λαό. Γιατὶ τὰ γηρατειὰ στοὺς ἄλλους εἶναι ἄχρηστα, ἐνῶ στὴν Ἐκκλησία καὶ στοὺς κόπους τῆς ἀρετῆς πάρα πολὺ χρήσιμα. Ἀφοῦ καὶ ὁ μακάριος Ἀβραὰμ τότε ἐπέτυχε τὸ πιὸ μεγάλο κατόρθωμα, ὅταν ἦταν σ' αὐτὴ τὴν ἡλικία. Γιατὶ τότε, τότε κατανίκησε τὴν τυραννία τῆς φύσης καὶ κατέσφαξε τὸ παιδί του. Γιατὶ τὸ ἔσφαξε, ἂν καὶ ὄχι στὴν πράξη, ἀλλὰ μὲ τὴν ἀπόφαση· ἂν καὶ ὄχι ὁλοκληρωτικά, ἀλλὰ μὲ τὴν πρόθεσή του· ἂν καὶ ὄχι μὲ τὸ ἔργο, ἀλλὰ μὲ τὴν σκέψη του. Τότε ἔγινε ἱερέας τῶν δικῶν του σπλάχνων καί, ἀφοῦ σχεδὸν μετανάστευσε ἀπὸ τὴν ἴδια του τὴ φύση καὶ κατέφυγε στὸν οὐρανό, κατόρθωσε τὸ θαυμαστὸ ἐκεῖνο καὶ παράδοξο ἔργο. Καὶ ὁ Παῦλος, ὁ διδάσκαλος τῆς οἰκουμένης, σὲ βαθύτατη γεροντικὴ ἡλικία ριχνόταν σ' ἐκείνους τοὺς θαυμαστοὺς ἀγῶνες καὶ σὲ γερασμένο σῶμα ὑπέφερε δεσμὰ καὶ ἁλυσίδες καὶ φυλακὲς μὲ πολλὴ καρτερία. Καὶ γιὰ νὰ τὸ δηλώσει αὐτὸ ὁ ἴδιος ἔλεγε· «σὰν Παῦλος ἠλικιωμένος καὶ τώρα φυλακισμένος γιὰ τὸν Ἰησοῦ Χριστό»[1].

Καὶ αὐτὰ τὰ λέγω ὄχι ἀτιμάζοντας τὴ νεότητα. Γιατὶ καὶ οἱ νέοι ποὺ περιφρόνησαν τὸ καμίνι, ἦταν πολὺ νέοι καὶ μάλιστα ἐντελῶς νέοι, καθὼς καὶ ἐκεῖνος ποὺ δέχθηκε τὴν προφητεία, ὁ Ἰερεμίας. Καὶ ὁ Δανιὴλ ἐπίσης, ὅταν χαλιναγωγοῦσε τὰ λιοντάρια καὶ ἐξ αἰτίας τῆς ἀνείπωτης παρρησίας του ἐξηγοῦσε τὰ ἀπόρρητα ἐκεῖνα τῶν ὀνείρων τοῦ βασιλιᾶ καὶ τὰ φανέρωνε σ' αὐτὸν ποὺ τὰ εἶδε, ἦταν πάρα πολὺ νέος· κανένα ἐμπόδιο δὲ στάθηκε καὶ ἡ νεότητα γιὰ τὴν ἀρετὴ τοῦ ἀνθρώπου. Γιατὶ στὴν περίπτωση τῶν ἔξω πραγμάτων, πράγμα ποὺ εἶπα προηγουμέ-

1. Φιλήμ. 9.

*ἔξωθεν, ὅπερ ἔφθην εἰπών, καὶ γῆρας ἔξωρον καὶ νεότης ἄωρος μέγιστα κωλύματα γένοιτ' ἄν, ἐπὶ δὲ τῶν παλαισμάτων τῆς ἀρετῆς οὐκ ἔτι, ἀλλ' ἑνὸς χρεία, γνώμης μόνον καὶ ψυχῆς παρεσκευασμένης, καὶ οὔτε νεότης ἄχρηστος, οὔτε γῆρας ἀνεπιτήδειον, ἀλλ' ἐν ἑκατέρᾳ τῇ ἡλικίᾳ ὥριμον ἴδοι τις ἂν βρύοντα τὸν καρπόν, μόνον, ὅπερ ἔφθην εἰπών, εἰ ψυχήν τις ἔχοι νήφουσαν καὶ φιλοσοφεῖν ἐπισταμένην, καὶ διὰ τῆς πολλῆς ἀρετῆς τοῦ Θεοῦ τὴν εὔνοιαν ἐπισπωμένην.*

*Μὴ τοίνυν μηδεὶς προβαλέσθω μήτε νεότητα μήτε γῆρας εἰς ἀπολογίαν ῥᾳθυμίας· ἐπεὶ καὶ νῦν πολλοὶ παρ' ἡμῖν νέοι τὸ πνευματικὸν τοῦτο πληροῦσι θέατρον, οἱ δὲ γεγερακότες ἐν ἱπποδρομίαις ἀσχημονοῦσι· ἕτεροι δ' αὖ πάλιν γέροντες μετὰ τῆς πολιᾶς τῇ ἀκροάσει κοσμοῦνται, νέοι δὲ τὴν νεότητα διὰ τῆς θεωρίας τῆς ἐκεῖσε ἀλογωτέραν κατασκευάζουσιν. Εἰ γὰρ καὶ πολλοὶ οἱ παρόντες ἡμῖν, ἀλλ' οὐκ ἔχω κόρον· οὐ γὰρ πολλοὺς ἐβουλόμην παρεῖναι μόνον, ἀλλὰ πάντας, καὶ μηδένα τῆς ἐκκλησίας ἀπολιμπάνεσθαι· ὥστε, ἕως ἂν φάνηται κἂν εἷς ἀποβουκολούμενος, διαρρήγνυμαι καὶ διακόπτομαι ταῖς ὀδύναις. Ἐπεὶ καὶ ὁ ποιμὴν ἐκεῖνος τὰ ἐνενηκονταεννέα πρόβατα καταλιπών, ἐπὶ τὸ ἓν τὸ πεπλανημένον κατηπείγετο, καὶ οὐ πρότερον ἀπέστη, ἕως ἂν αὐτὸ σπουδὴν ἐποιεῖτο· καὶ γὰρ ἐχώλευεν ὁ τῶν ἑκατὸν ἀριθμός, ἕως ἀπέλαβε τὸ ἕν, καὶ τὰ ἑκατὸν τότε ἑκατὸν ἐγένετο, ὅτε καὶ τοῦτο διεσώθη.*

*Μὴ δή μοι λέγε ὅτι εἷς ἐστιν ὁ ἀδελφὸς ὁ ἀπολωλώς· ἀλλ' ἐννόησον ὅτι ἀδελφός, τὸ περισπούδαστον τῷ Θεῷ ζῶον, ὑπὲρ οὗ τοσαῦτα ἐγένετο, ὑπὲρ οὗ τὸ τίμιον αἷμα ἐχύθη καὶ τιμὴ κατεβλήθη τοσαύτη, δι' ὃν οὐρανὸς ἐτάθη, καὶ ἥλιος ἀνήφθη, καὶ σελήνη τρέχει, καὶ ποικίλος ἀστέρων καταλάμπει χορός, καὶ ἀὴρ ἡπλώθη, καὶ θάλασσα ἐξεχύθη, καὶ γῆ ἐθεμελιώθη, καὶ πηγαὶ βρύουσι, καὶ πο-*

νως, καὶ τα προχωρημένα γηρατειὰ καὶ ἡ ἀνώριμη νεότητα θὰ ἦταν πάρα πολὺ μεγάλα ἐμπόδια, ἐνῶ γιὰ τοὺς ἀγῶνες τῆς ἀρετῆς δὲν ἀποτελοῦν πιὰ ἐμπόδια, ἀλλὰ χρειάζεται ἕνα πράγμα, μόνο ἀπόφαση καὶ ψυχὴ προετοιμασμένη, καὶ οὔτε ἡ νεότητα εἶναι ἄχρηστη, οὔτε τὰ γηρατειὰ ἀκατάλληλα, ἀλλὰ σὲ κάθε μία ἡλικία μπορεῖ νὰ δεῖ κανεὶς πλούσιο τὸν καρπό, μόνο, ὅπως εἶπα προηγουμένως, ἂν κανεὶς ἔχει ψυχὴ νηφάλια καὶ ξέρει καλὰ νὰ φιλοσοφεῖ καὶ νὰ προσελκύει ἐξ αἰτίας τῆς πολλῆς ἀρετῆς του τὴν εὔνοια τοῦ Θεοῦ.

῞Ας μὴν προβάλλει λοιπὸν κανεὶς οὔτε τὴ νεότητα οὔτε τὰ γηρατειὰ γιὰ δικαιολογία τῆς ἀδιαφορίας του· ἐπειδὴ καὶ τώρα πολλοὶ σὲ μᾶς νέοι γεμίζουν τὸ πνευματικὸ αὐτὸ θέατρο, ἐνῶ αὐτοὶ ποὺ ἔχουν γεράσει ἀσχημονοῦν στὶς ἱπποδρομίες· ἄλλοι πάλι γέροντες μαζὶ μὲ τὰ ἄσπρα μαλλιὰ στολίζονται μὲ τὴν ἀκρόαση τοῦ κηρύγματος, ἐνῶ ἄλλοι νέοι μὲ τὴν παρακολούθηση τῶν ἱπποδρομιῶν κάνουν πιὸ ἀνόητη τὴ νεότητα. Γιατί ἂν καὶ οἱ παρόντες σὲ μᾶς εἶναι πολλοί, ἐγὼ ὅμως δὲ χορταίνω· γιατὶ δὲν ἤθελα νὰ εἶναι παρόντες πολλοὶ μόνο, ἀλλὰ ὅλοι καὶ κανεὶς νὰ μὴ λείπει ἀπὸ τὴν Ἐκκλησία. Ἐπομένως, ὅσο θὰ φαίνεται ἔστω καὶ ἕνας ν' ἀπομακρύνεται ἀπὸ τὴν ποίμνη, ἀγανακτῶ καὶ συντρίβομαι ἀπὸ ὀδύνη. Γιατὶ καὶ ὁ ποιμένας ἐκεῖνος ἐγκαταλείποντας τὰ ἐνενήντα ἐννέα πρόβατα ἔτρεχε στὸ ἕνα ποὺ εἶχε πλανηθεῖ καὶ δὲ σταμάτησε προηγουμένως, μέχρι ποὺ τὸ ἐπανέφερε στὸ κοπάδι, καὶ πολλὴ φροντίδα ἔδειχνε γι' αὐτό· γιατὶ βέβαια ἦταν ἀτελὴς ὁ ἀριθμὸς τῶν ἑκατό, μέχρι ποὺ ἀπέκτησε πάλι τὸ ἕνα τὸ χαμένο, καὶ τὰ ἑκατὸ ἔγιναν τότε ἑκατό, ὅταν καὶ αὐτὸ σώθηκε.

Μὴ μοῦ λέγεις λοιπὸν ὅτι ἕνας εἶναι ὁ ἀδελφὸς ποὺ ἔχει χαθεῖ. Ἀλλὰ σκέψου ὅτι εἶναι ἀδελφός, τὸ πλάσμα γιὰ τὸ ὁποῖο ὁ Θεὸς φροντίζει πολύ, ποὺ γιὰ χάρη του τόσα πολλὰ ἔγιναν, ποὺ γιὰ χάρη του χύθηκε τὸ τίμιο αἷμα καὶ καταβλήθηκε τόσο μεγάλη τιμή, γιὰ τὸν ὁποῖο ἁπλώθηκε ὁ οὐρανός, καὶ ὁ ἥλιος ἔχει ἀνάψει, καὶ ἡ σελήνη τρέχει, καὶ καταλάμπει ὁ ποικίλος

ταμοὶ ῥέουσι, καὶ ὄρη πέπηγε· δι᾽ ὃν λειμῶνες καὶ παράδεισοι, δι᾽ ὃν σπέρματα καὶ φυτά, δι᾽ ὃν τὰ ποικίλα τῶν φυτῶν γένη, δι᾽ ὃν τὰ ἐν ὄρεσι, τὰ ἐν ἐρημίαις, τὰ ἐν πόλεσι, τὰ ἐν πεδίοις, τὰ ἐν νάπαις, τὰ ἐν βουνοῖς· δι᾽ ὃν οἱ μυρίοι τῶν ἰχθύων δῆμοι, δι᾽ ὃν τὰ ποικίλα τῶν τετραπόδων γένη, δι᾽ ὃν τὰ παντοδαπὰ τῶν ὀρνίθων φῦλα, δι᾽ ὃν νόμος, δι᾽ ὃν προφῆται, δι᾽ ὃν Ἀπόστολοι, δι᾽ ὃν τὰ μυρία θαύματα γέγονε· τί δεῖ τὰ πολλὰ λέγειν; δι᾽ ὃν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε, καὶ γενόμενος ἐσφάγη.

2. Ἐννόησον ὅση τῷ Θεῷ πραγματεία ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας καὶ μὴ καταφρονήσῃς μηδενὸς ἀνθρώπου, ἀλλὰ διαλυθέντος τοῦ θεάτρου τούτου τοῦ πνευματικοῦ, ἀναζήτησον τὸν ἀπολειφθέντα, καὶ μὴ πρότερον ἀποστῇς ἕως ἂν αὐτὸν καὶ τῇ μητρὶ συνάψῃς, καὶ τῆς πονηρᾶς ἐπαγάγῃς συνηθείας, καὶ τὸν αἰχμάλωτον διασώσῃς, καὶ τὸν καταποντισθέντα ἀνιμήσῃ, καὶ τὸν θηριάλωτον τῶν χαλεπῶν ἀπαλλάξῃς θηρίων. Τίνα γὰρ ἂν σχοίης συγγνώμην, τίνα ἀπολογίαν; Εἰς Ἀποστόλων παραγινόμεθα θήκας· ὁρῶμεν αὐτῶν τὰ τραύματα καὶ τὰ στίγματα, τὸ αἷμα τὸ ῥέον τὸ χρυσίου τιμιώτερον, τὰς ἁλύσεις, τὰς μάστιγας, τοὺς θανάτους τοὺς καθημερινούς, οὓς ὑπὲρ τῆς Ἐκκλησίας ἔπαθον· τὸν Παύλου μαθητὴν μετὰ Παύλου πανταχοῦ περιτρέχοντα, καὶ τῷ διδασκάλῳ παρισούμενον, καὶ τὸν μόσχον τῷ ταύρῳ συμβεβλημένον· τὸν τοῦ πρώτου τῶν Ἀποστόλων ἀδελφόν, τὸν ἁλιέα τὸν σαγήνην ἁπλώσαντα καὶ ἀνθρώπους ἀντὶ ἰχθύων ἁλιεύσαντα, τὸν τοῦ Εὐαγγελίου κήρυκα· καὶ καθάπερ ἐν λειμῶσι τοῖς τούτων ἐντρυφῶμεν κατορθώμασιν.

Οἱ δὲ ἀφέντες ἡμᾶς, ἵππων ἀλόγων κάθηνται γιγνόμενοι θεαταί, λοιδορίαις καὶ ὕβρεσιν ἀλλήλους πλύνοντες, θυμὸν καὶ μάχην

χορὸς τῶν ἄστρων, καὶ ὁ ἀέρας ἁπλώθηκε, καὶ ἡ θάλασσα ξεχύθηκε, καὶ ἡ γῆ θεμελιώθηκε, καὶ οἱ πηγὲς ἀναβλύζουν, καὶ οἱ ποταμοὶ ρέουν, καὶ τὰ ὄρη ἔχουν στερεωθεῖ. Γι' αὐτὸν ἔγιναν τὰ λιβάδια καὶ οἱ κῆποι, γι' αὐτὸν τὰ σπέρματα καὶ τὰ φυτά, γι' αὐτὸν τὰ διάφορα εἴδη τῶν φυτῶν, γι' αὐτὸν ὅσα ὑπάρχουν στὰ ὄρη, στὶς ἐρήμους, στὶς πόλεις, στὶς πεδιάδες, στὰ φαράγγια, στὰ βουνά. Γι' αὐτὸν ἔγιναν τὰ ἄπειρα πλήθη τῶν ψαριῶν, γι' αὐτὸν τὰ ποικίλα γένη τῶν τετραπόδων, γι' αὐτὸν τὰ κάθε εἴδους πουλιά, γι' αὐτὸν ὁ νόμος, γι' αὐτὸν οἱ προφῆτες, γι' αὐτὸν οἱ ἀπόστολοι, γι' αὐτὸν τὰ ἄπειρα θαύματα. Τί χρειάζεται νὰ λέμε τὰ πολλά; Γι' αὐτὸν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἔγινε ἄνθρωπος καὶ ἀφοῦ ἔγινε θυσιάστηκε.

2. Σκέψου πόσο φροντίζει ὁ Θεὸς γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων καὶ μὴν καταφρονήσεις κανένα ἄνθρωπο, ἀλλὰ ὅταν διαλυθεῖ τὸ πνευματικὸ αὐτὸ θέατρο ἀναζήτησε ἐκεῖνον ποὺ ἀπουσίασε καὶ μὴ σταματήσεις μέχρι ποὺ νὰ τὸν ἐπαναφέρεις καὶ τὸν συνδέσεις μὲ τὴ μητέρα, νὰ τὸν ἀπομακρίνεις ἀπὸ τὴν πονηρὴ συνήθεια καὶ σώσεις τὸν αἰχμάλωτο, νὰ ἀνασύρεις ἐκεῖνον ποὺ ἔχει καταποντισθεῖ καὶ ἀπαλλάξεις ἀπὸ τὰ φοβερὰ θηρία ἐκεῖνον ποὺ συνελήφθηκε ἀπὸ τὰ ἄγρια ζῶα. Γιατὶ ποιά συγγνώμη θὰ ἔχεις, ποιά δικαιολογια; Ἐρχόμαστε σὲ τάφους ἀποστόλων. Βλέπουμε τὰ τραύματά τους καὶ τὰ στίγματα, τὸ αἷμα ποὺ τρέχει καὶ ποὺ εἶναι πιὸ πολύτιμο ἀπὸ χρυσάφι, τὶς ἁλυσίδες, τὶς μαστιγώσεις, τοὺς καθημερινοὺς θανάτους, ποὺ ὑπέφεραν γιὰ χάρη τῆς Ἐκκλησίας· τὸ μαθητὴ τοῦ Παύλου νὰ τρέχει παντοῦ μὲ τὸν Παῦλο καὶ νὰ γίνεται σχεδὸν ἴσος μὲ τὸ διδάσκαλο, καὶ τὸ μοσχάρι νὰ συνεργάζεται μὲ τὸν ταῦρο· τὸν ἀδελφὸ τοῦ πρώτου ἀπὸ τοὺς ἀποστόλους, τὸν ψαρὰ ποὺ ἅπλωσε τὴ σαγήνη καὶ ψάρεψε ἀνθρώπους ἀντὶ γιὰ ψάρια, τὸν κήρυκα τοῦ εὐαγγελίου· καὶ ἐντρυφοῦμε στὰ κατορθώματά τους ὅπως ἀκριβῶς σὲ λιβάδι.

Ἐκεῖνοι ὅμως, ἀφοῦ μᾶς ἐγκατέλειψαν, κάθονται καὶ γίνονται θεατὲς ἀλόγων ποὺ δὲν ἔχουν λογικό, λούζοντας ὁ ἕνας

*οὐκ ἔχουσαν πρόφασιν ἀνάπτοντες, χαίροντες χαρὰν λύπης ἀθλιωτέραν, ὑπὲρ ἡνιόχων νικώντων, ὑπὲρ ἵππων διακλωμένων, οὗ τί γένοιτ' ἂν ἀλογώτερον; Τί γὰρ χαίρεις, εἰπέ μοι; τί δὲ σκιρτᾷς καὶ πηδᾷς καὶ φαιδρὸς καταβαίνεις ἐκεῖθεν; Σὺ δὲ τίνος ἕνεκεν ἀλγεῖς καὶ ἐγκαλύπτῃ καὶ κάτω κύπτεις καὶ τὴν σαυτοῦ ψυχὴν ὀδυνᾷς, ὅτι ὁ δεῖνα ἐκράτησε, καὶ ἐκρατήθη θάτερος; καὶ τι ταῦτα πρὸς σέ; ποῖον ἡ λύπη αὕτη ἢ ἡ ἡδονὴ αὕτη λόγον ἂν ἔχοι; τίνος δὲ οὐκ ἂν εἴη κολάσεως ἑκάτερος ὑμῶν ἄξιος, τῆς μὲν ἑαυτοῦ ψυχῆς καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν παθῶν παρασυρομένης οὐδένα ποιούμενος λόγον, ὑπὲρ δὲ ἀλόγων ζώων καὶ ἀνθρώπων ἑτέρων ἀλόγων χαίρων ἢ ὀδυνώμενος;*

*'Αλλ' ἵνα μὴ πάλιν τὴν ἅπασαν διάλεξιν εἰς ταῦτα καταναλώσαντες δαπανήσωμεν τὸν καιρόν, τὴν διόρθωσιν ἐκείνων ἐπιτρέψαντες ὑμῶν τῇ ἀγάπῃ, τῶν σήμερον ἀναγνωσθέντων ἀψώμεθα, καὶ εἰς τὸν λειμῶνα ὑμᾶς εἰσάξαι πειρασόμεθα τῶν θείων Γραφῶν· καὶ γὰρ λειμῶνι ἔοικε τὰ ἐκεῖθεν. Ὥσπερ γὰρ ἐν τῷ λειμῶνι διάφορα μὲν τὰ ἄνθη, πάντα δὲ ἐφεξῆς κάλλιστα ἀνθέλκοντα πρὸς ἑαυτὰ τῶν ὁρωμένων ἕκαστα τοῦ θεατοῦ τὴν ὄψιν, οὕτω δὴ καὶ ἐν ταῖς θείαις Γραφαῖς ἔστιν ἰδεῖν. Καὶ γὰρ ὁ μακάριος Δαυὶδ πρὸς ἑαυτὸν ἀνθέλκει τὴν διάνοιαν τὴν ἡμετέραν, καὶ ἡ ἀποστολικὴ ῥῆσις ἡ περὶ Τιμοθέου λεχθεῖσα· ἔτι μὴν καὶ ὁ τολμητὴς Ἡσαΐας περὶ τῆς ἀνθρωπίνης φύσεως φιλοσοφῶν, καὶ ὁ τούτων Δεσπότης Ἰησοῦς τοῖς μαθηταῖς διαλεγόμενος καὶ λέγων· «ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι»*

*Φέρε οὖν, εἰ δοκεῖ, ταύτην εἰς μέσον τὴν ῥῆσιν ἀγαγόντες, ἀναπτύξωμεν αὐτῆς τὰ νοήματα· εἰ γὰρ καὶ βραχεῖά τίς ἐστι τῷ μέτρῳ, ἀλλὰ πέλαγος ἡμῖν νοημάτων δείκνυσιν ἀχανές. Διὸ δὴ καὶ*

τὸν ἄλλο μὲ κακολογίες καὶ ὕβρεις, ἀνάβοντας τὸ θυμὸ καὶ τὴ φιλονεικία χωρὶς πρόφαση, δοκιμάζοντας χαρὰ πιὸ ἄθλια ἀπὸ λύπη, γιὰ ἀναβάτες ποὺ νικοῦν, γιὰ ἄλογα ποὺ συντρίβονται, πράγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἀνόητο; Πές μου, γιατὶ χαίρεσαι; Καὶ γιατὶ σκιρτᾶς καὶ πηδᾶς καὶ κατεβαίνεις εὐχαριστημένος ἀπὸ ἐκεῖ; Ἐσὺ ὅμως γιὰ ποιό λόγο ὑποφέρεις καὶ κρύβεις τὸ πρόσωπό σου και σκύβεις κάτω καὶ βασανίζεις τὴν ψυχή σου, ἐπειδὴ ὁ τάδε νίκησε καὶ ὁ ἄλλος νικήθηκε; Καὶ ποιά σχέση ἔχουν αὐτὰ μὲ σένα; Ποιά δικαιολογία μπορεῖ νὰ ἔχει αὐτὴ ἡ λύπη ἢ αὐτὴ ἡ εὐχαρίστηση; Καὶ γιὰ ποιά τιμωρία δὲ θὰ εἶναι ἄξιος ὁ καθένας σας, ὅταν δὲ φροντίζει καθόλου γιὰ τὴ ψυχή του ποὺ κάθε ἡμέρα παρασύρεται ἀπὸ τὰ πάθη καὶ χαίρεται καὶ λυπᾶται γιὰ ἄλογα ζῶα καὶ γιὰ ἀνθρώπους ἄλλους χωρὶς λογικό;

Ἀλλὰ γιὰ νὰ μὴν ξοδέψουμε πάλι ὅλη τὴν ὁμιλία σ' αὐτὰ καὶ ἐξαντλήσουμε τὸ χρόνο, ἐμπιστευόμενος τὴ διόρθωσή τους στὴν ἀγάπη σας, ἂς καταπιαστοῦμε μ' αὐτὰ ποὺ διαβάστηκαν σήμερα καὶ ἂς προσπαθήσω νὰ σᾶς ὁδηγήσω μέσα στὸ λιβάδι τῶν θείων Γραφῶν. Γιατὶ πραγματικὰ μοιάζουν μὲ λιβάδι ὅσα προέρχονται ἀπὸ ἐκεῖ. Ὅπως δηλαδὴ στὸ λιβάδι τὰ ἄνθη εἶναι διαφορετικά, ἀλλὰ ὅλα χωρὶς ἐξαίρεση πάρα πολὺ ὡραῖα καὶ ἀπ' αὐτὰ ποὺ φαίνονται τὸ καθένα χωριστὰ προσελκύει πρὸς τὸν ἑαυτό του τὴν ὅραση τοῦ θεατῆ, ἔτσι ἀκριβῶς μπορεῖ νὰ δεῖ κανεὶς καὶ στὶς θεῖες Γραφές. Γιατὶ καὶ ὁ μακάριος Δαβὶδ προσελκύει πρὸς τὸν ἑαυτό του τὸ νοῦ μας, καὶ ὁ ἀποστολικὸς λόγος ποὺ λέχθηκε γιὰ τὸν Τιμόθεο· ἀκόμη ὅμως καὶ ὁ τολμηρὸς Ἠσαΐας φιλοσοφώντας γιὰ τὴν ἀνθρώπινη φύση, καθὼς καὶ ὁ Κύριός τους Ἰησοῦς ποὺ συζητοῦσε μὲ τοὺς μαθητὲς καὶ ἔλεγε· «ὁ θερισμὸς εἶναι πολύς, ἐνῶ οἱ ἐργάτες λίγοι»[2].

Ἐμπρὸς λοιπόν, ἂν θέλετε, ἀφοῦ φέρουμε στὴ μέση αὐτὸν τὸ λόγο, ἂς ἀναπτύξουμε τὰ νοήματά του. Γιατί, ἂν καὶ εἶναι κάπως μικρὸς σὲ ἔκταση, ὅμως μᾶς παρουσιάζει ἀπέραντο πέ-

2. Ματθ. 9,37.

*ἐπ' αὐτὴν μετὰ πολλῆς βαδιούμεθα τῆς σπουδῆς. Ἐπειδὴ γὰρ εἶδε, φησί, τὰ πλήθη ἐσκυλμένα, λέγει τοῖς μαθηταῖς· «ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι». Ποῖος θερισμός, εἰπέ μοι, καὶ τίνος ἕνεκεν οὕτως ὠνόμασε τὴν διδασκαλίαν ταύτην; καίτοι γε ὁ θερισμὸς τέλος ἐστὶ πράγματος. Ὅταν γὰρ τὸ σπέρμα εἰς τὰς λαγόνας τῆς γῆς καταβληθὲν ἀπολαύσῃ νοτίδος, εἶτα γενόμενον διάβροχον καὶ διαφυσηθὲν δράξηται τῆς παρακειμένης γῆς, καὶ εἰς ἶνας πολλὰς ἀναπλωθὲν πρὸς τὸ βάθος καταπέμψῃ τὰς ῥίζας, προκύπτει τῆς ἐπιφανείας πρῶτον εἶτα κατὰ μικρὸν ἡλίῳ τε καὶ ὑετῷ καὶ ἀέρι τρεφόμενον, τῇ ἐκφύσει τῆς γῆς αὔξεται, καὶ γίνεται πρότερον μὲν χλοερά τις βοτάνη καὶ ἁπαλὰ τὰ φύλλα προβάλλει, εἶτα τὸν ἄσταχυν ἄωρόν τινα ἐκφέρει, καὶ τοῦ ἔαρος ἐπιστάντος, πάλιν κατὰ μικρὸν πεπαινόμενος εἰς καλάμην καὶ ἀνθέρικας, πλήρη τὸν καρπὸν ἀποδίδωσι. Τότε δὴ λοιπὸν ὁ γηπόνος, δρεπάνην ἀκονήσας, θεριστὰς καταλέγει, καὶ συναγαγὼν τὸν καρπὸν ἀποτίθεται οἴκοι. Ὅθεν δὴ τέλος παντὸς πόνου καὶ τῆς γεωργίας ἐστὶν ὁ θερισμός.*

*Πῶς οὖν, εἰπέ μοι, θερισμὸν καλεῖ, τῶν πραγμάτων ἐν προοιμίοις ὄντων ἔτι; Καὶ γὰρ ἀσέβεια πανταχοῦ τῆς οἰκουμένης ἐκράτει, καὶ βωμοὶ ἀνεκαίοντο, καὶ εἴδωλα προσεκυνεῖτο, καὶ Ἰησοῦς ἠτιμάζετο, καὶ βαθεῖα νὺξ πάντα κατεῖχε, καὶ χειμὼν ἦν χαλεπὸς τῆς θαλάσσης κυμαινομένης, τῶν ἀγρίων πνευμάτων διακοπτόντων, καὶ ὑποβρυχίων ἁπάντων γινομένων. Πανταχοῦ γὰρ πορνεία καὶ μοιχεία καὶ ἀσέλγεια· πανταχοῦ πλεονεξίαι καὶ ἁρπαγαὶ καὶ πόλεμοι· καὶ αἵματα μὲν ἐν γῇ, αἵματα δὲ ἐν θαλάττῃ, τῶν καταποντιστῶν καὶ ἐκεῖ τοὺς φόνους εἰσαγόντων, καὶ πόλεμοι συνεχεῖς καὶ μάχαι καὶ ἐμφύλιοι σφαγαὶ καὶ φόνοι φόνων ἁπάντων ἐναγέστεροι· καὶ γὰρ τέκνα ἐσφάζετο τοῖς εἰδώλοις· καὶ ἡ φύσις ἠγνοεῖ-*

λαγος νοημάτων. Γι' αὐτὸ λοιπὸν θὰ προχωρήσουμε πρὸς αὐτὸν μὲ μεγάλη προσοχή. Ὅταν δηλαδὴ εἶδε, λέγει ὁ εὐαγγελιστής, τὰ πλήθη νὰ εἶναι κατακουρασμένα, λέγει στοὺς μαθητές· «ὁ θερισμὸς εἶναι πολύς, ἐνῶ οἱ ἐργάτες εἶναι λίγοι». Ποιός θερισμός, πές μου, καὶ γιὰ ποιό λόγο ὀνόμασε ἔτσι τὴ διδασκαλία αὐτή; Ἂν καὶ βέβαια ὁ θερισμὸς εἶναι τὸ τέλος κάθε πράγματος. Γιατί, ὅταν ὁ σπόρος, ἀφοῦ ριφθεῖ στὶς κοίλοτητες τῆς γῆς, ἀπολαύσει ὑγρασία καὶ ὕστερα, ἀφοῦ βραχεῖ πέρα γιὰ πέρα καὶ φουσκώσει, ριζώσει στὸ γύρω χῶμα καὶ ἀφοῦ ἀναπτυχθεῖ σὲ πολλὲς ἴνες στείλει πρὸς τὸ βάθος τὶς ρίζες του, πρῶτα προβάλλει στὴν ἐπιφάνεια, στὴ συνέχεια ἐνῶ σιγά–σιγὰ τρέφεται καὶ μὲ τὸν ἥλιο καὶ μὲ βροχὴ καὶ μὲ ἀέρα μεγαλώνει μὲ τὴ βλάστηση τῆς γῆς καὶ γίνεται στὴν ἀρχὴ χλοερὸ χόρτο καὶ βγάζει φύλλα ἁπαλά, ἔπειτα βγάζει κάποιο ἀνώριμο στάχυ, καὶ ἀφοῦ ἔρθει ἡ ἄνοιξη, πάλι σιγά–σιγὰ ὡριμάζοντας σὲ καλαμιὰ καὶ ἄγανα, ἀποδίδει ὁλοκληρωμένο τὸν καρπό. Τότε λοιπὸν ὁ γεωργὸς ἀφοῦ ἀκονίσει τὸ δρεπάνι διαλέγει θεριστὲς καὶ ἀφοῦ μαζέψει τὸν καρπὸ τὸν ἀποθηκεύει στὸ σπίτι. Γι' αὐτὸ λοιπὸν τὸ τέλος κάθε κόπου καὶ τῆς γεωργίας εἶναι ὁ θερισμός.

Πῶς λοιπόν, πές μου, ὀνομάζει τὸ πράγμα θερισμὸ ἀφοῦ αὐτὸ εἶναι ἀκόμη στὴν ἀρχή; Γιατὶ βέβαια παντοῦ στὴν οἰκουμένη ἐπικρατοῦσε ἡ ἀσέβεια καὶ οἱ βωμοὶ ἄναβαν καὶ τὰ εἴδωλα προσκυνοῦνταν καὶ ὁ Ἰησοῦς ἀτιμαζόταν καὶ βαθιὰ νύχτα κατεῖχε τὰ πάντα καὶ ἦταν χειμώνας βαρύς, ἐνῶ ἡ θάλασσα εἶχε τρικυμία, τὰ ἄγρια πνεύματα διασποῦσαν τὸν ἀνθρώπινο βίο, τὰ πάθη τυραννοῦσαν καὶ ὅλα καταποντίζονταν. Γιατὶ παντοῦ ὑπῆρχε πορνεία καὶ μοιχεία καὶ ἀσέλγεια· παντοῦ πλεονεξίες καὶ ἁρπαγὲς καὶ πόλεμοι· αἵματα στὴ γῆ, αἵματα καὶ στὴ θάλασσα, ἀφοῦ οἱ πειρατὲς εἰσήγαγαν καὶ ἐκεῖ τοὺς φόνους, καὶ πόλεμοι ἀδιάκοποι καὶ μάχες καὶ ἐμφύλιες σφαγὲς καὶ φόνοι πιὸ φοβεροὶ ἀπὸ ὅλους τοὺς φόνους, γιατὶ πραγματικὰ τὰ παιδιὰ σφάζονταν στὰ εἴδωλα· καὶ ἡ φύση ἀγνοοῦνταν, καὶ ἡ συγγένεια ἀνατρεπόταν, καὶ παντοῦ ὑπῆρχεν γκρεμοὶ καὶ σκόπελοι

*το, καὶ ἡ συγγένεια ἀνετρέπετο, καὶ πανταχοῦ κρημνοὶ καὶ σκόπελοι καὶ ὕφαλοι πέτραι καὶ σπιλάδες βαρεῖαι, καὶ κυβερνήτης οὐδεὶς ἄνθρωπος· μᾶλλον δὲ κυβερνῆται ὀλίγοι ἐν τῷ Ἰουδαίων ἔθνει, ὁ δὲ ἀκούων οὐδείς, τῶν ναυτῶν πρὸς αὐτοὺς διαστασιαζόντων, καὶ ἀλλήλους κατακοπτόντων καὶ καταποντιζόντων.*

*Σκύθαι μὲν γὰρ καὶ Θρᾷκες καὶ Μαῦροι καὶ Ἰνδοὶ καὶ Πέρσαι καὶ Σαυρομάται, καὶ οἱ τὴν Ἑλλάδα καὶ οἱ τὴν Ἤπειρον οἰκοῦντες, καὶ πᾶσα, ὡς εἰπεῖν, ἡ ὑφ' ἡλίῳ τοῖς δαίμοσιν ἐτελεῖτο, καὶ ὑπὸ τῶν ἀλαστόρων ἐκείνων ἐξεβακχεύετο καὶ χώρα καὶ πόλις καὶ ἔρημος, καὶ γῆ καὶ θάλαττα, καὶ βάρβαρος καὶ Ἑλλάς, καὶ ὄρη καὶ νάπαι καὶ βουνοί· μόνον δὲ τὸ Ἰουδαίων ἔθνος τὸ δοκοῦν εὐσεβεῖν προφήτας εἶχε καὶ θεογνωσίας σπέρματα μικρά, ἀλλὰ καὶ ταῦτα χρόνῳ κατεχώννυτο, καὶ οἱ διδάσκαλοι τοῦ γένους ἐκείνου κατήγοροι πικροὶ τῶν ἁμαρτανομένων αὐτοῖς ἐγίνοντο· καὶ τοσοῦτον ἀπεῖχον τοὺς ἄλλους παιδεύειν καὶ πρὸς εὐσέβειαν χειραγωγεῖν, ὅτι δὴ καὶ τοῖς ἄλλοις σκανδάλων αἴτιοι τότε ἐγίνοντο, καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγε· «δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι».*

*3. Πῶς οὖν τοσούτων κατεχόντων τὴν οἰκουμένην κακῶν, καὶ οὐδέπω τῶν σπερμάτων καταβληθέντων (πανταχοῦ γὰρ ἄκανθαι καὶ τρίβολοι καὶ βόταναι πονηραί), οὐδέπω τῆς χώρας ἐκκαθαρθείσης, οὐδὲ ἀρότρου ἑλκυσθέντος, οὐδὲ αὔλακος ἀνατμηθείσης, περὶ θερισμοῦ διαλέγεται καί φησιν· «ὁ θερισμὸς πολύς»; καὶ τίνος ἕνεκεν οὕτω καλεῖ τὸ Εὐαγγέλιον; Τίνος ἕνεκεν; ἐπειδὴ τὰ πράγματα οὕτω διέκειτο, ἔμελλε δὲ αὐτοὺς πανταχοῦ τῆς οἰκουμένης ἐκπέμπειν, εἰκὸς δὲ αὐτοὺς θορυβεῖσθαι καὶ ταράττεσθαι, καὶ πρὸς ἑαυτοὺς ἀναλογίζεσθαι καὶ λέγειν· καὶ πῶς ἂν γένοιτο δυνατὸν ἕνδεκα ὄντας (ὁ γὰρ εἷς θηριάλωτος γέγονεν), ἰδιώτας, ἀγραμμάτους, πέ-*

καὶ ὕφαλοι καὶ βράχια μεγάλα, καὶ δὲν ὑπῆρχε κανένας ἄνθρωπος γιὰ κυβερνήτης, ἢ καλύτερα λίγοι κυβερνῆτες ὑπῆρχαν στὸ ἰουδαϊκὸ ἔθνος, ἀλλὰ δὲν ὑπῆρχε κανένας ν' ἀκούει, ἀφοῦ οἱ ναῦτες στασίαζαν μεταξύ τους καὶ ὁ ἕνας σκότωνε τὸν ἄλλο καὶ ρίχνονταν στὴ θάλασσα.

Γιατὶ οἱ Σκύθες καὶ οἱ Θράκες καὶ οἱ Μαῦροι καὶ οἱ Ἰνδοὶ καὶ οἱ Πέρσες καὶ οἱ Σαυρομάτες καὶ οἱ κάτοικοι τῆς Ἑλλάδας καὶ τῆς Ἠπείρου καὶ ὁλόκληρη σχεδὸν ἡ οἰκουμένη ὑπηρετοῦσε τοὺς δαίμονες, καὶ ἀπὸ τὶς πονηρὲς ἐκεῖνες θεότητες ἐκβακχεύονταν καὶ χώρα καὶ πόλη καὶ ἔρημος, καὶ γῆ καὶ θάλασσα, καὶ βάρβαροι καὶ Ἕλληνες, καὶ ὄρη καὶ φαράγγια καὶ βουνά. Καὶ μόνο τὸ ἔθνος τῶν Ἰουδαίων ποὺ νόμιζε ὅτι ζοῦσε μὲ εὐσέβεια εἶχε προφῆτες καὶ μικρὰ σπέρματα θεογνωσίας. Ἀλλὰ καὶ αὐτὰ μὲ τὸν καιρὸν θάφτηκαν καὶ οἱ διδάσκαλοι τοῦ γένους ἐκείνου γίνονταν κατήγοροι πικροὶ τῶν ἁμαρτημάτων τους. Καὶ τόσο πολὺ ἀπεῖχαν ἀπὸ τὸ νὰ διδάσκουν τοὺς ἄλλους καὶ νὰ τοὺς χειραγωγοῦν πρὸς τὴν εὐσέβεια, γιατὶ καὶ στοὺς ἄλλους γίνονταν τότε αἴτιοι σκανδάλων. Καὶ αὐτὸ γιὰ νὰ δηλώσει ὁ προφήτης, ἔλεγε· «ἐξ αἰτίας σας τὸ ὄνομα μου βλασφημεῖται στὰ ἔθνη»[3].

3. Πῶς λοιπόν, ἀφοῦ τόσα πολλὰ κακὰ κατεῖχαν τὴν οἰκουμένη καὶ ἀφοῦ δὲν εἶχαν ριφθεῖ ἀκόμη τὰ σπέρματα (γιατὶ παντοῦ ὑπῆρχαν ἀγκάθια καὶ τριβόλια καὶ χόρτα πονηρά), ἀφοῦ ἡ γῆ δὲν εἶχε καθαρισθεῖ ἀκόμη οὔτε ἄροτρο εἶχε συρθεῖ οὔτε αὐλάκι εἶχε ἀνοιχθεῖ, μιλάει γιὰ θερισμὸ καὶ λέγει, «ὁ θερισμὸς εἶναι πολύς»; Καὶ γιὰ ποιό λόγο ὀνομάζει ἔτσι τὸ Εὐαγγέλιο; Γιὰ ποιό λόγο; Ἐπειδὴ τὰ πράγματα βρίσκονταν σὲ τέτοια κατάσταση καὶ ἐπρόκειτο νὰ τοὺς στείλει σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης, καὶ ἐπειδὴ ἦταν φυσικὸ ν' ἀνησυχοῦν αὐτοὶ καὶ νὰ ταράζονται καὶ νὰ ἀναλογίζονται καὶ νὰ λέγουν· 'καὶ πῶς μπορεῖ αὐτὸ νὰ γίνει ἐνῶ ἐμεῖς εἴμαστε ἕνδεκα (γιατὶ ὁ ἕνας

3. Ἡσ. 52,5.

*νητας, ἀσήμους, γυμνούς, μονοχίτωνας, ἀνυποδέτους, μὴ ζώνην, μὴ ῥάβδον, μὴ ὀβολὸν ἐπιφερομένους, διιέναι τὴν οἰκουμένην ἅπασαν τὴν οὕτω διακειμένην, καὶ τῆς μὲν παλαιᾶς ἀποσπᾶν συνηθείας, εἰς τὰ τῆς νέας δὲ δόγματα εἰσάγειν αὐτούς, καὶ ξένην τινὰ διδασκαλίαν αὐτοῖς ἐνηχεῖν; πότε γὰρ ἀνασπάσομεν τὰς ἀκάνθας; πότε κατασπείρομεν τὰ σπέρματα; πότε γεωργήσομεν αὐτῶν τὴν διάνοιαν; πότε ἀναδοθήσεται ὁ σπόρος; τίς δὲ ἡμᾶς οὐ διασπάσεται; τίς δὲ οὐ κατακρημνίσει; πῶς ὅλως δυνησόμεθα διᾶραι στόμα, στῆναι, διαλεχθῆναι, φανῆναι μυριάσι τοσαύταις; πῶς καταλύσομεν τυράννων θυμόν, δήμων ἐπαναστάσεις, φιλοσόφων κατασκευάς, ῥητόρων δεινότητα, προλήψεως τυραννίδα, συνηθείας παλαιᾶς ἰσχύν, δαιμόνων ἐπιβουλάς, ψυχὰς μυρίοις νοσήμασι προκατειλημμένας; ἡμεῖς οὖν οἱ ἕνδεκα τοὺς εἰς τὴν οἰκουμένην ἅπαντας πῶς διορθώσομεν, οἱ ἰδιῶται τοὺς σοφούς, οἱ γυμνοὶ τοὺς ὡπλισμένους, οἱ ἀρχόμενοι τοὺς ἄρχοντας, οἱ μίαν γλῶτταν κεκτημένοι πρὸς μυρίας φωνὰς διαλεγόμενοι, καὶ ἔθνη βάρβαρα καὶ ἀλλόγλωσσα; τίς δὲ ἡμῶν ἀνέξεται, ὧν μηδὲ τῆς φωνῆς ἐπακούειν δύναιτ' ἄν; ἵνα μὴ ταῦτα λογιζόμενοι θορυβῶνται, θερισμὸν τὸ Εὐαγγέλιον ἐκάλεσε, μονονουχὶ λέγων· πάντα ηὐτρέπισται, πάντα παρεσκεύασται· πρὸς ἑτοίμην ὑμᾶς τῶν καρπῶν πέμπω συλλογήν· ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ σπείρειν καὶ θερίζειν δυνήσεσθε.*

*Ὥσπερ οὖν ὁ γηπόνος πρὸς ἄμητον ἐξιὼν χαίρει καὶ φαιδρός ἐστι καὶ γέγηθεν, οὐκ ἀναλογιζόμενος πόνους, οὔτε δυσκολίαν τινά, ἀλλ' ὡς ἐπὶ πρόσοδον ἑτοίμην ἐπειγόμενος, καὶ ἐπὶ τῶν ἐνιαυσίων καρπῶν τρέχων, καὶ οὐδὲν οὐδαμοῦ κώλυμα, οὐδὲν ἐμπόδιον, οὐδεμία τοῦ μέλλοντος ἀδηλία, ἐπομβρίαι, χάλαζαι καὶ αὐχμοί, καὶ τὸ πονηρὸν τῶν ἀκρίδων στρατόπεδον, ὁ γὰρ τοῦ θερίζειν ἁπτόμενος, οὐδὲν ὑφορᾶται τοιοῦτον, διὰ δὴ τοῦτο καὶ χορεύ-*

εἶχε συλληφθεῖ ἀπὸ τὰ θηρία), ἁπλοϊκοί, ἀγράμματοι, φτωχοί, γυμνοί, μ' ἕνα χιτώνα, ξυπόλυτοι, χωρὶς νὰ φέρουμε οὔτε ζώνη οὔτε ράβδο οὔτε ἕνα ὀβολό, νὰ περιοδεύσουμε ὁλόκληρη τὴν οἰκουμένη ποὺ βρίσκεται σὲ τέτοια κατάσταση, καὶ ν' ἀποσπάσουμε τοὺς ἀνθρώπους ἀπὸ τὴν παλιὰ συνήθεια καὶ νὰ τοὺς ὁδηγήσουμε στὰ δόγματα τῆς νέας καὶ νὰ τοὺς διδάξουμε κάποια παράξενη διδασκαλία; γιατὶ πότε θὰ ξερριζώσουμε τὰ ἀγκάθια; πότε θὰ σπείρουμε τὰ σπέρματα; πότε θὰ καλλιεργήσουμε τὴ διάνοιά τους; πότε θὰ φυτρώσει ὁ σπόρος; Ποιός δὲ θὰ μᾶς διαλύσει; ποιός δὲ θὰ μᾶς ρίξει σὲ γκρεμό; Πῶς θὰ μπορέσουμε ν' ἀνοίξουμε τὸ στόμα, νὰ σταθοῦμε, νὰ μιλήσουμε, νὰ παρουσιασθοῦμε σὲ τόσες μυριάδες; πῶς θὰ ἐξαφανίσουμε τὸ θυμὸ τῶν τυράννων, τὶς ἐξεγέρσεις τοῦ πλήθους, τὶς θεωρίες τῶν φιλοσόφων, τὴ δεινότητα τῶν ρητόρων, τὴν τυραννία τῆς πρόληψης, τὴ δύναμη τῆς παλιᾶς συνήθειας, τὶς ἐπιβουλὲς τῶν δαιμόνων, τὶς ψυχὲς ποὺ ἀπὸ πρὶν τὶς κατέχουν ἄπειρες ἀσθένειες; Ἐμεῖς λοιπὸν οἱ ἕνδεκα πῶς θὰ τοὺς διορθώσουμε ὅλους στὴν οἰκουμένη, οἱ ἁπλοϊκοὶ τοὺς σοφούς, οἱ γυμνοὶ τοὺς ὁπλισμένους, οἱ πολίτες τοὺς ἄρχοντες, ἐμεῖς ποὺ γνωρίζουμε μία γλώσσα νὰ μιλοῦμε μὲ ἄπειρες γλῶσσες καὶ μὲ ἔθνη βάρβαρα καὶ ξενόγλωσσα; καὶ ποιός θ' ἀνεχθεῖ ἐμᾶς, ποὺ οὔτε τὴ φωνή μας θὰ μποροῦσε ν' ἀκούσει κανείς; γιὰ νὰ μὴν τὰ σκέπτονται αὐτὰ καὶ ἀνησυχοῦν, ὀνόμασε θερισμὸ τὸ Εὐαγγέλιο, λέγοντας μὲ ἄλλα λόγια, 'ὅλα εἶναι ἑτοιμασμένα, ὅλα εἶναι τακτοποιημένα, σᾶς στέλνω γιὰ ἕτοιμη συγκομιδὴ καρπῶν, τὴν ἴδια ἡμέρα θὰ μπορέσετε καὶ νὰ σπείρετε καὶ νὰ θερίζετε'.

Ὅπως ἀκριβῶς λοιπὸν ὁ γεωργὸς ὅταν βγαίνει γιὰ θερισμὸ χαίρεται καὶ εἶναι χαρούμενος καὶ εὐφραίνεται, μὴ σκεπτόμενος κόπους οὔτε κάποια δυσκολία, ἀλλὰ σπεύδει σὰν πρὸς ἕτοιμη σοδειὰ καὶ τρέχει γιὰ τοὺς ἐτήσιους καρπούς, καὶ δὲν ὑπάρχει πουθενὰ κανένα κώλυμα, κανένα ἐμπόδιο, καμιὰ ἀβεβαιότητα γιὰ τὸ μέλλον, πλημμύρες, χαλάζια, ξηρασίες καὶ τὸ καταστρεπτικὸ πλῆθος τῶν ἀκρίδων (γιατὶ ἐκεῖνος ποὺ ἀρχίζει

*οντες καὶ σκιρτῶντες τῶν πόνων ἅπτονται, οὕτω δὴ καὶ ὑμᾶς, καὶ πολλῷ πλέον, μετὰ πολλῆς τῆς ἡδονῆς εἰς τὴν οἰκουμένην ἐξιέναι ἀναγκαῖον. Θερισμὸς γάρ ἐστι τὸ πρᾶγμα, θερισμὸς πολλὴν εὐκολίαν ἔχων, θερισμὸς παρεσκευασμένα παρέχων ὑμῖν τὰ λήϊα· εἰπεῖν δεῖ μόνον, οὐ καμεῖν. Δανείσατέ μοι, φησί, τὴν γλῶτταν, καὶ ὄψεσθε τὸν καρπὸν ὥριμον εἰς τὰ βασιλικὰ σιτοδοχεῖα εἰσαγόμενον. Διὰ δὴ τοῦτο καὶ μετὰ ταῦτα πέμπων αὐτοὺς ἔλεγεν· «ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Αὐτὸς γὰρ ἦν ὁ τὰ δύσκολα ρᾳδια ποιῶν, καὶ ὅπερ ὁ προφήτης ἔλεγεν, ὅτι «ἐγὼ ἔμπροσθέν σου πορεύομαι καὶ ὄρη ὁμαλιῶ», ταῦτα ἐπὶ τῶν Ἀποστόλων αἰσθητῶς συνέβαινε· προωδοποίει γὰρ αὐτοῖς ὁ Χριστὸς καὶ ρᾴδιον ἐποίει τὴ ὁδόν.*

*Τοῦτο καὶ ὁ μεγαλοφωνότατος Ἠσαΐας δηλῶν ἔλεγε· «πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται»· οὐ περὶ ὀρῶν λέγων καὶ βουνῶν, οὐδὲ γὰρ συνέβη τοῦτο, ἀλλὰ τοὺς ἀπονενοημένους καὶ φυσωμένους καὶ μεγαλοφρονοῦντας τῷ τῶν ὀρῶν ὀνόματι καλῶν. Ἀλλ' ἐταπείνωσε πάντας ὁ Χριστὸς ταπεινότητα ὕψους γέμουσαν, καὶ ὄρη πεδία ἐποίησεν· οὕτω δὲ καλεῖ τοὺς ἀπονενοημένους, οὐ διὰ τὸ ὕψος αὐτῶν τῆς διανοίας, ἀλλὰ διὰ τὸ ἄκαρπον τῆς ἀπονοίας, καὶ τὸ ἄγονον τῆς ψυχῆς, καὶ τὸ ἀναίσθητον τῶν λόγων. Ὥσπερ γὰρ τὸ ὄρος οὐκ ἂν ἐνέγκῃ καρπόν, οὕτως οὐδὲ ἀπόνοια· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. Τὸ μὲν γὰρ ὄρος οὐκ ἂν ἐνέγκῃ καρπόν, ἡ δὲ ἀπόνοια οὐ μόνον οὐ δίδωσί τινα καρπόν, ἀλλὰ καὶ τὸν ὄντα καταμαραίνει καὶ*

---

4. Ματθ. 28,20.
5. Ἠσ. 45,2.

νὰ θερίζει δὲν ὑποπτεύεται τίποτε τέτοιο· γι' αὐτὸ ἀκριβῶς ἀρχίζουν τοὺς κόπους χορεύοντας καὶ πηδώντας), ἔτσι καὶ σεῖς, καὶ πολὺ περισσότερο μάλιστα, πρέπει νὰ βγαίνετε στὴν οἰκουμένη μὲ πολλὴ εὐχαρίστηση. Γιατὶ τὸ πράγμα εἶναι θερισμός, θερισμὸς ποὺ ἔχει πολλὴ εὐκολία, θερισμὸς ποὺ σᾶς δίνει προετοιμασμένα τὰ στάχυα· πρέπει νὰ μιλήσετε μόνο, ὄχι νὰ κουρασθεῖτε. Δανεῖστε μου, λέγει, τὴ γλώσσα καὶ θὰ δεῖτε τὸν καρπὸ νὰ μπαίνει ὥριμος στὶς βασιλικὲς ἀποθῆκες. Γι' αὐτὸ λοιπὸν καὶ ὕστερα ἀπ' αὐτὰ ὅταν τοὺς ἔστελνε, ἔλεγε· «νὰ ἐγὼ εἶμαι μαζί σας ὅλες τὶς ἡμέρες μέχρι τὴ συντέλεια τοῦ κόσμου»[4]. Γιατὶ αὐτὸς ἦταν ἐκεῖνος ποὺ ἔκανε τὰ δύσκολα εὔκολα καὶ αὐτὸ ποὺ ὁ προφήτης ἔλεγε, ὅτι «ἐγὼ πηγαίνω μπροστὰ ἀπὸ σένα καὶ θὰ ἐξομαλύνω τὰ ὄρη»[5]. Αὐτὰ πραγματοποιοῦνταν στοὺς Ἀποστόλους, γιατὶ ὁ Χριστὸς τοὺς προετοίμαζε τὸ δρόμο και τὸν ἔκαμνε εὔκολο.

Γιὰ νὰ δηλώσει τὸ ἴδιο καὶ ὁ μεγαλοφωνότατος Ἠσαΐας, ἔλεγε, «κάθε φαράγγι θὰ γεμίσει μὲ χῶμα καὶ κάθε ὄρος καὶ βουνὸ θὰ ἰσοπεδωθεῖ»[6], μιλώντας ὄχι γιὰ τὰ ὄρη καὶ τὰ βουνὰ (γιατὶ δὲ συνέβηκε αὐτό), ἀλλὰ ἀποκαλώντας μὲ τὸ ὄνομα τῶν βουνῶν τοὺς ἀλαζόνες καὶ φαντασμένους καὶ ἐγωϊστές. Ὁ Χριστὸς ὅμως τοὺς ταπείνωσε ὅλους μὲ ταπεινότητα γεμάτη ὕψος καὶ ἔκαμε τὰ ὄρη πεδιάδες. Καὶ ἀποκαλεῖ ἔτσι τοὺς ἀλαζόνες, ὄχι γιὰ τὸ ὕψος τῆς σκέψης τους, ἀλλὰ γιὰ τὸ ἄκαρπο τῆς ἀλαζονείας τους, τὸ ἄγονο τῆς ψυχῆς τους, καὶ τὸ ἀναίσθητο τῶν λόγων τους. Γιατί, ὅπως τὸ ὄρος δὲ θὰ φέρει καρπό, ἔτσι δὲ θὰ φέρει καὶ ἡ ἀλαζονεία· ἢ καλύτερα δὲ συμβαίνει ἔτσι, ἀλλὰ καὶ πολὺ χειρότερα. Γιατὶ τὸ ὄρος δὲ θὰ φέρει καρπό, ἐνῶ ἡ ἀλαζονεία ὄχι μόνο δὲ δίνει κάποιο καρπό, ἀλλὰ καὶ αὐτὸν ποὺ ὑπάρχει τὸν καταμαραίνει καὶ ἐκεῖνον ποὺ βλάστησε τὸν ξηραίνει· ὅπως ἀκριβῶς λοιπὸν ἡ ταπειφροσύνη ὄχι μόνο προστατεύει

6. Ἠσ. 40,4.

τὸν βλαστήσαντα ξηραίνει· ὥσπερ οὖν ἡ ταπεινοφροσύνη οὐ μόνον θάλπει τὸν ὄντα, ἀλλὰ καὶ τὸν οὐκ ὄντα τίκτειν εἴωθε.

4. Καὶ τῶν εἰρημένων μέγιστα παραδείγματα ὅ τε φαρισαῖος καὶ ὁ τελώνης. Ὁ μὲν γὰρ ἀνελθὼν μετὰ ἀπονοίας, οὐ μόνον οὐκ ἔτεκέ τινα καρπόν, ἀλλὰ καὶ τὸν ὄντα ἀπώλεσε, ὁ δὲ τελώνης ἔρημος ὢν καὶ οὐδὲν ἀγαθὸν ἔχων, ποιεῖ ἑαυτῷ κατόρθωμα· ἐπειδὴ γὰρ μόνον ἐστέναξε καὶ κάτω κύψας ἑαυτὸν ἐταλάνισε, κατῆλθε πολλῇ βρύων τῇ δικαιοσύνῃ καὶ παραδραμὼν κατὰ τοῦτο τὸν φαρισαῖον. Ἵνα δὲ καὶ ἀπ' αὐτῶν ἴδητε τῶν πραγμάτων, καὶ ἐπὶ ὡρισμένων προσώπων μάθητε ποῦ ὄρος καὶ βουνὸν ἐταπείνωσεν ὁ Χριστός, εἰσαγέτω πάλιν ἡμῖν τὸν Παῦλον ὁ λόγος. Οὗτος γὰρ ὁ σκηνοποιὸς (ἡδέως γὰρ τὴν τέχνην αὐτοῦ περιστρέφω, ἵνα μάθῃς ὅτι οὐκ ὄνειδος ἡ τέχνη, ἀλλ' ἡ ἀργία κατηγορία καὶ ἔγκλημα)· οὗτος τοίνυν ὁ Παῦλος, γενόμενος ἐν Σαλαμῖνι, συνέτυχέ τινι ἀνθυπάτῳ καὶ μάγῳ μετ' ἐκείνου. Διπλοῦς ὁ κρημνός, ἥ τε ἀπὸ τῆς ἀρχῆς ἀπόνοια, ἥ τε ἀπὸ τοῦ μάγου διδασκαλία. Καὶ ἐπειδὴ ἑώρα τὸ μιαρὸν ἐκεῖνο καὶ ἀναίσχυντον θηρίον ἐμποδίζον τῷ ἀνθυπάτῳ καὶ διακόπτον αὐτοῦ τὴν διδασκαλίαν, ἄκουσον τί φησι πλησθεὶς Πνεύματος ἁγίου· «ὦ παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας γέμων, υἱὲ διαβόλου».

Οὐ γὰρ τὸ ὑβρίζειν πανταχοῦ κακόν, ἀλλὰ τὸ εἰκῇ ὑβρίζειν· τούτῳ γὰρ καὶ κόλασιν ὁ Χριστὸς ἔθηκεν· ὡς ὅ γε μετὰ καιροῦ τοῦ προσήκοντος τοῦτο ποιῶν, ἰατρὸν μιμεῖται τέμνοντα μετὰ τοῦ καιροῦ τοῦ προσήκοντος, καὶ τῇ τομῇ τὴν σηπεδόνα ἐκβάλλοντα. Τοῦτο δὴ καὶ ὁ Παῦλος ποιεῖ· «οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς τοῦ Κυρίου τὰς εὐθείας;». Ἀλλ' οὐκ ἀνέχεταί σου τῶν ῥημάτων, ὦ Παῦλε· ἐπάγαγέ τινα συλλογισμὸν ἀποστολικόν, ἀπόστρεψον τὴν γλῶτταν, ἔμφραξον αὐτοῦ τὸ στόμα, στῆσον τὰ πονηρὰ ῥεύματα.

τὸν καρπὸ ποὺ ὑπάρχει, ἀλλὰ συνήθως γεννᾶ καὶ ἐκεῖνον ποὺ δὲν ὑπάρχει.

4. Καὶ γι' αὐτὰ ποὺ λέχθηκαν μέγιστα παραδείγματα εἶναι καὶ ὁ Φαρισαῖος καὶ ὁ τελώνης. Γιατὶ ὁ πρῶτος, ἀφοῦ ἀνέβηκε μὲ ἀλαζονεία, ὄχι μόνο δὲν παρήγαγε κανένα καρπό, ἀλλὰ καὶ αὐτὸν ποὺ εἶχε τὸν ἔχασε. Ὁ τελώνης ὅμως ἂν καὶ ἦταν ἔρημος καὶ δὲν εἶχε κανένα ἀγαθό, κάνει γιὰ τὸν ἑαυτό του κατόρθωμα. Ἐπειδὴ δηλαδὴ ἀναστέναξε μόνο καὶ σκύβοντας κάτω ταλάνισε τὸν ἑαυτό του, κατέβηκε γεμάτος ἀπὸ πολλὴ δικαιοσύνη, καὶ ξεπερνώντας σ' αὐτὸ τὸν Φαρισαῖο. Γιὰ νὰ δεῖτε ὅμως καὶ ἀπὸ τὰ ἴδια τὰ πράγματα καὶ νὰ μάθετε σὲ ὁρισμένα πρόσωπα ποῦ ὁ Χριστὸς ταπείνωσε ὄρος καὶ βουνό, ἂς μιλήσουμε πάλι γιὰ τὸν Παῦλο. Γιατὶ αὐτὸς ὁ σκηνοποιὸς (μὲ εὐχαρίστηση ἀναφέρω τὴν τέχνη του, γιὰ νὰ μάθεις πὼς δὲν εἶναι ντροπὴ ἡ τέχνη, ἀλλὰ ἡ ἀργία εἶναι κατηγορία καὶ ἔγκλημα), αὐτὸς λοιπὸν ὁ Παῦλος, ὅταν βρέθηκε στὴ Σαλαμίνα, συνάντησε κάποιον ἀνθύπατο καὶ μάγο ποὺ ἦταν μαζί του. Ὁ γκρεμὸς ἦταν διπλός, καὶ ἡ ἀλαζονεία τῆς ἐξουσίας καὶ ἡ διδασκαλία τοῦ μάγου. Καὶ ἐπειδὴ ἔβλεπε τὸ μιαρὸ καὶ ἀναίσχυντο ἐκεῖνο θηρίο νὰ ἐμποδίζει τὸν ἀνθύπατο καὶ νὰ διακόπτει τὴ διδασκαλία του, ἄκουσε τί λέγει, ἀφοῦ στὸ μεταξὺ γέμισε ἀπὸ τὸ ἅγιο Πνεῦμα· «ἐσὺ ποὺ εἶσαι γεμάτος ἀπὸ κάθε δόλο καὶ κάθε ἀπάτη, υἱὲ τοῦ διαβόλου»[7].

Τὸ νὰ βρίζει λοιπὸν κανεὶς δὲν εἶναι σὲ κάθε περίπτωση κακό, ἀλλὰ τὸ νὰ βρίζει χωρὶς λόγο· γιατὶ γι' αὐτὸ ὁ Χριστὸς ὅρισε καὶ τιμωρία. Γιατὶ ἐκεῖνος ποὺ κάνει αὐτὸ στὴν κατάλληλη περίσταση μιμεῖται τὸν ἰατρὸ ποὺ κόβει στὴν κατάλληλη περίσταση καὶ ἀφαιρεῖ μὲ τὸ κόψιμο τὴ σαπίλα. Αὐτὸ ἀκριβῶς κάνει καὶ ὁ Παῦλος. «Δὲ θὰ σταματήσεις νὰ διαστρέφεις τοὺς εὐθεῖς δρόμους τοῦ Κυρίου;». Ἀλλὰ δὲν ἀνέχεται τὰ λόγια σου, Παῦλε· πρόσθεσε κάποιον ἀποστολικὸ συλλογισμό, στρέψε πίσω τὴ γλώσσα του, φράξε τὸ στόμα του, σταμάτησε τὰ πονη-

7. Πράξ. 13,10.

*Τί οὖν ποιεῖ; Δεικνὺς ὅτι οὐ πρὸς τοὺς ἀνθρώπους ὁ πόλεμος αὐτῷ, φησί. «Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ». Αὐτὸς γὰρ ὁ εἰπών, «μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας», παρῆν καὶ τῷ Παύλῳ τότε, καὶ ταύτην ἔχων τὴ ὑπόσχεσιν καλεῖ τε αὐτὸν καὶ ἀξιοῖ γενέσθαι τιμωρόν, καὶ συνεφάψασθαι τῶν προκειμένων, καὶ τὰ κωλύματα ἀνασπάσαι. «Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ». Πόση τοῦ Χριστοῦ ἡ συγκατάβασις· πόση τοῦ Παύλου ἡ παρρησία· πῶς ἐν ἀποφάσει τὴν πληγὴν ἐπάγει, καὶ ὁ Χριστὸς εὐθέως ἐπινεύει τῷ λεγομένῳ.*

*Τί ἐστι «χεὶρ Κυρίου»; Δύναμις ἐναντία πληκτική. Παρῆν γὰρ αὐτοῖς πανταχοῦ, ἑτοίμως ὑπακούων, καὶ θερισμὸν τὸ πρᾶγμα ποιῶν, οὐκ ἀφιεὶς πονεῖν οὐδὲ ταλαιπωρεῖσθαι, ἀλλὰ τὰ παρ' ἑαυτοῦ συνεισάγων. «Καὶ ἔσῃ τυφλός, μὴ βλέπων ἕως καιροῦ». Εἶδες καὶ τὴν τιμωρίαν μετὰ φιλανθρωπίας; νουθεσία γάρ, οὐ κόλασις ἡ ἀπόφασις, διόρθωσις, οὐκ ἀφανισμός. Διὰ δὴ τοῦτο οὐ χεῖρα ἐξήρανεν, οὐ γλῶτταν τὰ πονηρὰ ῥήματα φθεγγομένην ἐξέκοψεν, οὐ σκέλη ἐπήρωσεν, ἀλλὰ τοὺς ὀφθαλμοὺς αὐτούς. Ἐπειδὴ γὰρ αὐτὸς ἐντεῦθεν ἰάθη καὶ τῆς πεπλανημένης ὁδοῦ καὶ τῶν δρόμων ἀπηλλάγη τῶν βλαβερῶν, καὶ τούτῳ τὸ αὐτὸ φάρμακον ἐπιτίθησι, μονονουχὶ λέγων· ἔτρεχον κἀγὼ κακῶς, καὶ ἔβλεπον θανάσιμα· διὰ τοῦτο ἐπηρώθην καλῶς, ἵνα ἀναβλέψω ἄμεινον· τοῦτο καὶ σοὶ τὸ φάρμακον ἐπιτίθημι, καὶ πηρῶ τοὺς ἔξωθεν ὀφθαλμούς, ἵνα ἀνοίξω τὰ ἔνδοθεν ὄμματα. «Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγενημένον, καὶ τὸν βουνὸν ταπεινωθέντα, καὶ τὸν θερισμὸν ἀπαρτισθέντα, καὶ τὸν ἄμητον παρεσκευασμένον, καὶ τὸν καρπὸν ὥριμον συναγόμενον, καὶ τὸν Παῦλον οὐδὲν καμόντα οὐδὲ ταλαιπωρηθέντα, ἀλλὰ*

8. Πράξ. 13,11.

ρὰ πνεύματα. Τί κάνει λοιπόν; Γιὰ νὰ δείξει ὅτι ὁ πόλεμός του δὲν εἶναι ἐναντίον τῶν ἀνθρώπων, λέγει· «καὶ τώρα νὰ τὸ χέρι τοῦ Κυρίου θὰ εἶναι ἐναντίον σου»[8]. Γιατὶ ἐκεῖνος ποὺ εἶπε, «ἐγὼ θὰ εἶμαι μαζί σας ὅλες τὶς ἡμέρες», παραστεκόταν καὶ στὸν Παῦλο τότε, καὶ ἔχοντας αὐτὴ τὴν ὑπόσχεση τὸν καλεῖ καὶ ἀξιώνει νὰ γίνει τιμωρὸς καὶ νὰ τὸν βοηθήσει στὴν παρούσα κατάσταση καὶ νὰ παραμερίσει τὰ ἐμπόδια. «Καὶ τώρα νὰ τὸ χέρι τοῦ Κυρίου θὰ εἶναι ἐναντίον σου». Πόσο μεγάλη εἶναι ἡ συγκατάβαση τοῦ Χριστοῦ· πόσο μεγάλη εἶναι ἡ παρρησία τοῦ Παύλου. Πῶς συγχρόνως μὲ τὴν ἀπόφαση δείνει τὸ κτύπημα καὶ πῶς ὁ Χριστὸς συγκατανεύει ἀμέσως στὸ λόγο του.

Τί σημαίνει «τὸ χέρι τοῦ Κυρίου»; Δύναμη ἀντίθετη ποὺ κτυπάει. Γιατὶ παντοῦ τοὺς παραστεκόταν, ὑπακούοντας πρόθυμα καὶ κάνοντας τὸ πράγμα θερισμό, μὴν ἀφήνοντας νὰ κουράζονται οὔτε νὰ ταλαιπωροῦνται, ἀλλὰ προσφέροντας τὴ βοήθειά του. «Καὶ θὰ εἶσαι τυφλὸς χωρὶς νὰ βλέπεις γιὰ ἕνα διάστημα». Εἶδες καὶ τὴν τιμωρία μαζὶ μὲ φιλανθρωπία; Γιατὶ ἡ ἀπόφαση εἶναι νουθεσία καὶ ὄχι ποινή, διόρθωση καὶ ὄχι ἀφανισμός. Γι' αὐτὸ ἀκριβῶς δὲν ξέρανε τὸ χέρι, δὲν ἔκοψε τὴ γλώσσα ποὺ λέγει τὰ πονηρὰ λόγια, δὲν ἀκρωτηρίασε τὰ σκέλη, ἀλλὰ τὰ ἴδια τὰ μάτια. Ἐπειδὴ δηλαδὴ αὐτὸς θεραπεύθηκε ἔτσι καὶ ἀπαλλάχθηκε ἀπὸ τὴ λανθασμένη κατεύθυνση καὶ τοὺς βλαβεροὺς δρόμους, ἐπιθέτει καὶ σ' αὐτὸν τὸ ἴδιο φάρμακο, καὶ εἶναι σὰ νὰ λέγει· ἔτρεχα καὶ ἐγὼ τὸν κακὸ δρόμο καὶ ἔβλεπα νὰ προκαλέσω θανάτους· γι' αὐτὸ τυφλώθηκα δίκαια, γιὰ νὰ ἀναβλέψω καλύτερα· αὐτὸ τὸ φάρμακο ἐπιθέτω καὶ σὲ σένα, καὶ τυφλώνω τὰ ἐξωτερικά σου μάτια, γιὰ ν' ἀνοίξω τὰ ἐσωτερικά σου μάτια. «Τότε ὁ ἀνθύπατος βλέποντας τὸ γεγονὸς πίστεψε»[9]. Εἶδες ὅτι τὸ ὄρος ἰσοπεδώθηκε καὶ ὅτι τὸ βουνὸ ταπεινώθηκε, καὶ ὅτι ὁ θερισμὸς πραγματοποιήθηκε, καὶ ὅτι ὁ καιρὸς τοῦ θερισμοῦ προετοιμάσθηκε, καὶ ὅτι ὁ καρπὸς συγκε-

9. Πράξ. 13,12.

*ρήματι ψιλῷ σαγηνεύσαντα τὸν ἀνθύπατον; Διὰ τοῦτο θερισμὸν τὸ Εὐαγγέλιον καλεῖ, διὰ τὴν ταχύτητα καὶ τὴν εὐκολίαν, ἣν αὐτοῖς παρεῖχεν.*

*5. Οὕτω καὶ ὁ εὐνοῦχος ἐκεῖνος ὁ βάρβαρος καὶ ἀλλόφυλος καὶ ἐν δυναστείᾳ μεγάλῃ καθεστώς, ἐσαγηνεύετο, οὐδὲ ἐκεῖ χρόνου τινὸς ἢ πόνου δαπανηθέντος· ὁμοῦ τε γὰρ ἐπέβη τοῦ ἅρματος καὶ κατηχεῖν ἤρξατο· μᾶλλον δὲ πρὸ τῆς ἐπιβάσεως ἐκεῖνο θαύμασον, πῶς ὁ βάρβαρος καὶ ἀλλόφυλος καὶ φλεγμαίνων ἀπὸ τῆς δυναστείας (οὐ γὰρ μικρὰν ἀρχὴν μετεχείριζε), τὸν πένητα, τὸν πτωχόν, τὸν ἀγνῶτα, τὸν οὐδέποτε αὐτῷ οὔτε εἰς ὄψιν οὔτε εἰς συνουσίαν ἐλθόντα, τότε πρῶτον φανέντα, τοῦτον καὶ ἐκάλεσε καὶ ἀνεβίβασε καὶ ἑαυτῷ συνεκάθισε. Τίς ταῦτα εἰργάσατο; Ἐκεῖνος ὁ εἰπών, «ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»· ἐκεῖνος ἡμερωτέραν τὴν πρόσοδον ἐποίησε, καὶ βάρβαρον φιλοσοφεῖν παρεσκεύασε, καὶ τὸ ὄρος ἐταπείνωσε, καὶ τὸν ἀγνῶτα γνωρίμου παντὸς οἰκειότερον κατέστησε.*

*Μὴ δὴ παραδράμῃς ἁπλῶς, μηδὲ ἱστορίαν τὸ πρᾶγμα νομίσῃς ψιλήν, ἀλλ' ἐννόησον τὸ μέγεθος τοῦ κατορθώματος. Εἰ γὰρ οἱ νῦν ἄρχοντες, πιστοί τε ὄντες καὶ ταπεινοφρονεῖν παιδευόμενοι καὶ οὐδὲν βάρβαρον ἔχοντες, οὐκ ἂν ἕλοιντο, οὐ λέγω ἀγνῶτα καὶ ξένον, ἀλλὰ τῶν γνωρίμων τινὰ ταχέως ἐπ' ἀγορᾶς αὐτοῖς συγκαθίσαι, πῶς ἐκεῖνος τὸν ξένον; οὐ γὰρ παύσομαι ταῦτα λέγων· τὸν ξένον, τὸν οὐδέποτε φανέντα, τὸν εὐτελῆ, τὸν εὐκαταφρόνητον ἀπὸ τῆς ὄψεως, τοῦτον καὶ ἀνεβίβασε καὶ ἐκάθισε, καὶ τῇ γλώττῃ τῇ ἐκείνου τὴν ἑαυτοῦ σωτηρίαν ἐξέδωκε, καὶ μαθητὴς γενέσθαι ἠνέσχετο καὶ παρακαλεῖ καὶ δεῖται καὶ ἱκετεύει, «δέομαί σου», λέγων, «περὶ τίνος ὁ προφήτης λέγει τοῦτο;», καὶ δέχεται μετὰ πολλῆς προσοχῆς τὰ λεγόμενα.*

10. Βλ. Πράξ. 8,26–40.

ντρώνεται ὥριμος, καὶ ὅτι ὁ Παῦλος δὲν κουράστηκε οὔτε ταλαιπωρήθηκε καθόλου, ἀλλὰ μὲ λόγο ἁπλὸ ἔπιασε στὰ δίχτυα του τὸν ἀνθύπατο; Γι' αὐτὸ ὀνομάζει θερισμὸ τὸ Εὐαγγέλιο, ἐξ αἰτίας τῆς ταχύτητας καὶ τῆς εὐκολίας ποὺ τοὺς παρεῖχε.

5. Ἔτσι καὶ ὁ εὐνοῦχος ἐκεῖνος, ποὺ ἦταν βάρβαρος καὶ ἀλλόφυλος καὶ εἶχε μεγάλη ἐξουσία, πιανόταν στὰ δίχτυα χωρὶς νὰ δαπανηθεῖ ἐκεῖ κάποιος χρόνος ἢ κόπος. Γιατὶ ἀνέβηκε στὸ ἅρμα μαζὶ καὶ ἄρχισε νὰ κατηχεῖ[10]. Μᾶλλον ὅμως θαύμασε πρὶν ἀπὸ τὴν ἐπιβίβαση ἐκεῖνο, πῶς ὁ βάρβαρος καὶ ἀλλόφυλος καὶ γεμάτος κομπασμὸ ἀπὸ τὴν ἐξουσία (γιατὶ δὲν εἶχε μικρὸ ἀξίωμα), τὸ φτωχό, τὸν ἐπαίτη, τὸν ἄγνωστο, αὐτὸν ποὺ ποτὲ δὲν τὸν εἶδε καὶ ποτὲ δὲν τὸν συναναστράφηκε, ἀφοῦ τότε γιὰ πρώτη φορὰ παρουσιάσθηκε, τὸν κάλεσε καὶ τὸν ἀνέβασε καὶ τὸν ἔβαλε νὰ καθίσει μαζί του. Ποιός τὰ ἔκανε αὐτά; Ἐκεῖνος ποὺ εἶπε, «ἐγὼ θὰ εἶμαι μαζί σας ὅλες τὶς ἡμέρες μέχρι τὴ συντέλεια τοῦ κόσμου». Ἐκεῖνος ἔκαμε πιὸ ἥμερη τὴν προσέγγιση καὶ προετοίμασε τὸ βάρβαρο νὰ πιστέψει, καὶ τὸ ὄρος ταπείνωσε, καὶ τὸν ἄγνωστο τὸν ἔκαμε πιὸ οἰκεῖο ἀπὸ κάθε γνώριμο.

Μὴ λοιπὸν ἐξετάσεις ἐπιπόλαια τὸ πράγμα, οὔτε νὰ τὸ θεωρήσεις μιὰ ἁπλὴ ἱστορία, ἀλλὰ σκέψου τὸ μέγεθος τοῦ κατορθώματος. Γιατί, ἂν οἱ σημερινοὶ ἄρχοντες, ποὺ εἶναι πιστοὶ καὶ ποὺ διδάσκονται νὰ εἶναι ταπεινόφρονες καὶ δὲν ἔχουν τίποτε τὸ βάρβαρο, δὲ θὰ δέχονταν γρήγορα, δὲν λέγω ἄγνωστο καὶ ξένο, ἀλλὰ κάποιον ἀπὸ τοὺς γνωστοὺς νὰ καθίσει μαζί τους στὴν ἀγορά, πῶς ἐκεῖνος δέχθηκε τὸν ξένο; γιατὶ δὲ θὰ σταματήσω νὰ τὰ λέγω αὐτά· τὸν ξένο, αὐτὸν ποὺ δὲν παρουσιάσθηκε ποτέ, τὸν ἀσήμαντο, τὸν εὐκαταφρόνητο ἀπὸ τὴν ἐμφάνιση, αὐτὸν καὶ τὸν ἀνέβασε καὶ τὸν ἔβαλε νὰ καθίσει, καὶ στὴ γλῶσσα τὴ δική του παρέδωσε τὴ σωτηρία του, καὶ ἀνέχθηκε νὰ γίνει μαθητής του, καὶ παρακαλεῖ καὶ δέεται καὶ ἱκετεύει λέγοντας, «σὲ παρακαλῶ, γιὰ ποιόν τὸ λέγει αὐτὸ ὁ προφήτης;»[11], καὶ δέχεται μὲ πολλὴ προσοχὴ τὰ λεγόμενα.

11. Πράξ. 8,34.

*Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ δεξάμενος οὐκ ἠμέλησεν, οὐκ ἀνεβάλετο, οὐκ εἶπεν, εἰς τὴν πατρίδα ἐπανέλθω τὴν ἐμαυτοῦ, ἴδω τοὺς φίλους, τοὺς οἰκείους καὶ συγγενεῖς, ὃ πολλοὶ τῶν Χριστιανῶν λέγουσι νῦν ἐπὶ βάπτισμα καλούμενοι· ἐπανέλθω εἰς τὴν πατρίδα, ἴδω τὴν γυναῖκα, ἴδω τὰ παιδία μετὰ τῶν ἐμῶν συγγενῶν· παρόντων ἐκείνων καὶ συνεορταζόντων ἐμοί, οὕτως ἀπολαύσομαι τοῦ βαπτίσματος, οὕτω μεθέξω τῆς χάριτος. Ἀλλ' οὐχ ὁ βάρβαρος τότε ἐκεῖνος τοῦτα εἶπε τὰ ῥήματα, καὶ ταῦτα Ἰουδαῖος ὢν καὶ πολλὴν τῶν τόπων ποιεῖν τὴν παρατήρησιν πεπαιδευμένος, καὶ μάλιστα συνεχῶς ἐνηχοῦντος αὐτῷ, ὅτι δεῖ τηρεῖν τοῦ τόπου τὴν φυλακήν, καὶ διὰ τοῦτο μακρὰν ἀποδημίαν στειλάμενος, ἵνα ἐν τῷ τόπῳ ᾧ ἐκέλευσεν ὁ Θεὸς προσκυνήσῃ· ἀλλ' ἀθρόον πᾶσαν ἐκείνην τὴν συνήθειαν ἐκβαλὼν καὶ ἀποστὰς τῆς τοιαύτης παρατηρήσεως· ἐπειδὴ ἀπηρτίσθη ὁ λόγος, καὶ πηγὴν εἶδε παρὰ τὴν ὁδόν, φησίν· «ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι;».*

*Εἶδες τὸν θερισμὸν πάλιν ἀπαρτιζόμενον; εἶδες οὐδένα χρόνον ἀναλωθέντα, ἀλλ' ὁμοῦ τὴν γῆν δεξαμένην, καὶ τὸν στάχυν κομῶντα ἐκβαλοῦσαν, καὶ πέπειρον τὸν βότρυν γενόμενον; «Ἰδοὺ ὕδωρ», φησίν. Οὐ τοίχους ἐζήτησεν, οὐκ ὄροφον χρυσοῦν, οὐχ ἱματίων κατασκευήν, οὐχ ὑποδήματα· ἀλλ' ἐπειδὴ γνώμην εἶχε παρεσκευασμένην καὶ ἔζεε τῷ πόθῳ καὶ ἀνήφθη τῇ προθυμίᾳ, ἐπὶ τὴν χάριν εὐθέως ἔδραμε, καὶ κατεπείγει τὸν διδάσκαλον πρὸς τὴν μυσταγωγίαν αὐτὸν χειραγωγῆσαι, καὶ μεταδοῦναι τῶν ἀθανάτων ἐκείνων καὶ φρικτῶν μυστηρίων. Διὸ κἀκεῖνος εὐθέως ἐπένευσε, τὴν προθυμίαν ἀποδεξάμενος, καὶ ἐβάπτισεν αὐτόν. Διὰ τοῦτο θερισμὸν τὸ Εὐαγγέλιον καλεῖ, διὰ τὴν εὐκολίαν ἣν παρεῖχεν αὐτοῖς. Καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν, ὅτι προσεῖχον τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου· καὶ γὰρ ὁ Κύριος διήνοιξε τὴν καρδίαν αὐτῶν προσέχειν τοῖς λαλουμένοις ὑπ' αὐτοῦ.*

Καὶ ὄχι μόνο αὐτό, ἀλλ', ἀφοῦ τὰ δέχθηκε δὲν ἀδιαφόρησε, δὲν ἀνέβαλε, δὲ εἶπε, 'ἂς ἐπιστρέψω στὴν πατρίδα μου, ἂς δῶ τοὺς φίλους μου, τοὺς δικούς μου καὶ συγγενεῖς', πράγμα ποὺ πολλοὶ ἀπὸ τοὺς χριστιανοὺς λέγουν ὅταν καλοῦνται τώρα γιὰ βάπτισμα· 'ἂς ἐπιστρέψω στὴ πατρίδα, ἂς δῶ τὴ γυναίκα μου, ἂς δῶ τὰ παιδιά μου μαζὶ μὲ τοὺς συγγενεῖς μου· ὄντας ἐκεῖνοι παρόντες καὶ ἑορτάζοντας μαζί μου, ἔτσι θ' ἀπολαύσω τὸ βάπτισμα, ἔτσι θὰ συμμετάσχω στὴ χάρη'. Ὅμως ὁ βάρβαρος ἐκεῖνος τότε δὲν εἶπε αὐτὰ τὰ λόγια, τὴ στιγμὴ ποὺ ἦταν Ἰουδαῖος καὶ εἶχε διδαχθεῖ νὰ παρατηρεῖ καλὰ τοὺς τόπους, νὰ φυλάγει τὸν τόπο, καὶ γι' αὐτὸ ἀνέλαβε μακρινὸ ταξίδι, ὥστε νὰ προσκυνήσει στὸν τόπο ποὺ διέταξε ὁ Θεός. Ἀλλ' ἀφοῦ ἀπέβαλε ἀμέσως ὅλη ἐκείνη τὴ συνήθεια, καὶ ἀπομακρύνθηκε ἀπὸ μιὰ τέτοια παρατήρηση, ὅταν ὁλοκληρώθηκε ἡ κατήχηση καὶ εἶδε μία πηγὴ κοντὰ στὸ δρόμο, λέγει· «νὰ νερό, τί μὲ ἐμποδίζει νὰ βαπτισθῶ;»[12].

Εἶδες πάλι ὁλοκληρωμένο θερισμό; Εἶδες ὅτι δὲ δαπανήθηκε καθόλου χρόνος, ἀλλὰ συγχρόνως ἡ γῆ δέχθηκε καὶ ἔβγαλε πλούσιο τὸ στάχυ, καὶ ὅτι τὸ σταφύλι ἔγινε ὥριμο; «Νὰ νερό», λέγει. Δὲ ζήτησε τοίχους, οὔτε χρυσὴ ὀροφή, οὔτε καινούρια ἐνδύματα, οὔτε ὑποδήματα, ἀλλὰ ἐπειδὴ εἶχε πάρει ἀπὸ πρὶν τὴν ἀπόφαση καὶ φλεγόταν ἀπὸ τὸν πόθο καὶ καιγόταν ἀπὸ τὴν ἐπιθυμία, ἔτρεξε ἀμέσως πρὸς τὴ χάρη καὶ πιέζει τὸ διδάσκαλο νὰ τὸν ὁδηγήσει ἀμέσως πρὸς τὴ μυσταγωγία καὶ νὰ τοῦ μεταδώσει τὰ ἀθάνατα ἐκεῖνα καὶ φοβερὰ μυστήρια. Γι' αὐτὸ καὶ ἐκεῖνος ἀμέσως συγκατένευσε, ἐπειδὴ δὲχθηκε τὴν προθυμία του, καὶ τὸν βάπτισε. Γι' αὐτὸ καλεῖ θερισμὸ τὸ Εὐαγγέλιο, γιὰ τὴν εὐκολία ποὺ ἔδωσε σ' αὐτούς. Βέβαια καὶ ἀλλοῦ λέγει ὅτι πρόσεχαν στὰ λεγόμενα τοῦ Παύλου, γιατὶ πραγματικὰ ὁ Κύριος ἄνοιξε τὴν καρδιά τους νὰ προσέχουν σὲ ὅσα ἔλεγε αὐτός.

---

12. Πράξ. 8,36.

*Ὅταν δὲ ἀκούσῃς, ὅτι ὄρη ταπεινοῖ καὶ θερισμὸν ἐργάζεται καὶ ὥριμον ποιεῖ τὸν καρπὸν καὶ πολλὴν κατασκευάζει τὴν εὐκολίαν, μὴ ἀποστερήσῃς τοὺς πιστεύοντας τῶν μεγίστων κατορθωμάτων· οὐδὲ γὰρ ἐβιάζετο τὴν ἐλευθερίαν τῆς γνώμης, οὐδὲ ἐλυμαίνετο τὸ αὐτεξούσιον, ἀλλὰ συνέπραττε καὶ ἐβοήθει καὶ χεῖρα ὤρεγεν. Εἰ γὰρ τὸ πᾶν αὐτοῦ ἦν, οὐδὲν ἐκώλυεν ἅπαντας σώζεσθαι· νῦν δὲ τὸ μὲν αὐτοῦ ἐγίνετο, τὸ δὲ τῶν προσιόντων· τῶν μὲν προσιόντων τὸ βουληθῆναι καὶ ἑλέσθαι καὶ πολλὴν ἐπιδείξασθαι τὴν προθυμίαν καὶ γενναίαν τὴν πίστιν, τοῦ δὲ τὸ παρέχειν τὰ δῶρα, καὶ εὔσημον ποιῆσαι τὸν λόγον καὶ σαφῆ τὴν διδασκαλίαν, καὶ τὰ σπέρματα καταβαλεῖν, καὶ βοηθῆσαι πρὸς τὸ ὥριμον γενέσθαι τὴν ἀκρόασιν.*

*Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες καὶ εἰς τὸν ὑπὲρ τῆς ἀρετῆς πόνον αὐτὸν λάβωμεν σύμμαχον καὶ βοηθόν, τὰ παρ' ἑαυτῶν πάντα εἰσφέροντες. Εἰ γὰρ πρᾶγμα τοσαύτην ἔχον δυσκολίαν, οὕτω ῥᾳδίως κατώρθωσεν, οὐκ ἐν μιᾷ καὶ δύο καὶ εἴκοσι πόλεσιν, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης, λέγω δὴ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν, καὶ εἰς ὅσην ἥλιος ἐφορᾷ γῆν ἅπασα αὕτη κατέσπαρται καὶ βρύει τῷ καλλίστῳ τούτῳ καρπῷ, εὔδηλον ὅτι καὶ εἰς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας συνεφάψεται ἡμῖν, μόνον ἐὰν μὴ ὕπτιοι καὶ ἀναπεπτωκότες ὦμεν ἡμεῖς, ἀλλὰ τὰ παρ' ἑαυτῶν συνεισφέρωμεν, προθυμίαν, σπουδήν, βούλησιν, γνώμην, ἀγρυπνίαν, φροντίδα, τὸ τῶν βιωτικῶν ἀπηλλαχθῆναι πραγμάτων, τὸ ζητεῖν τὰ μέλλοντα, τὸ καθ' ἑκάστην ἡμέραν αὐτῶν ἐρᾶν.*

*Ἂν γὰρ ταῦτα μετὰ ἀκριβείας παρέχωμεν, καὶ τὰ παρ' αὐτοῦ πάντα ἕψεται· καὶ γενομένων ἐκείνων τευξόμεθα τῶν οὐρανίων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ὅταν ὅμως ἀκούσεις ὅτι ταπεινώνει ὄρη καὶ ἑτοιμάζει θερισμὸ καὶ κάνει ὥριμο τὸν καρπὸ καὶ καθιστᾶ μεγάλη τὴν εὐκολία, μὴ στερήσεις ἀπ' αὐτοὺς ποὺ πιστεύουν τὰ πιὸ μεγάλα κατορθώματα. Γιατὶ οὔτε τὴν ἐλευθερία τῆς ἀπόφασης παραβίαζε, οὔτε τὸ αὐτεξούσιο κατέστρεφε, ἀλλ' ἐνεργοῦσε μαζί τους καὶ βοηθοῦσε καὶ ἅπλωνε χέρι γιὰ βοήθεια. Γιατὶ ἂν ὅλα ἐξαρτῶνταν ἀπ' αὐτόν, τίποτε δὲ θὰ ἐμπόδιζε νὰ σώζονται ὅλοι. Τώρα ὅμως τὸ ἕνα μέρος γινόταν ἀπ' αὐτὸν καὶ τὸ ἄλλο ἀπὸ ἐκείνους ποὺ προσέρχονταν. Ἀπὸ ἐκείνους προέρχονταν ἡ θέληση καὶ ἡ ἐκλογὴ καὶ ἡ ἐπίδειξη μεγάλης προθυμίας καὶ γενναίας πίστης, ἐνῶ ἀπ' αὐτὸν τὸ νὰ παρέχει τὰ δῶρα καὶ νὰ κάμνει τὸ λόγο εὐδιάκριτο καὶ τὴ διδασκαλία σαφή, νὰ ρίξει τὰ σπέρματα καὶ νὰ βοηθήσει ὥστε νὰ γίνει ὥριμη ἡ ἀκρόαση.

Κατανοώντας λοιπὸν ὅλα αὐτά, ἂς τὸν λάβουμε καὶ στὸν κόπο γιὰ τὴν ἀρετὴ σύμμαχο καὶ βοηθό, προσφέροντας ὅλα τὰ δικά μας. Γιατί, ἂν ἕνα πράγμα ποὺ ἔχει τόσο μεγάλη δυσκολία τὸ κατόρθωσε τόσο εὔκολα, ὄχι σὲ μία καὶ δύο καὶ εἴκοσι πόλεις, ἀλλὰ σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἐννοῶ ἀσφαλῶς τὸ κήρυγμα καὶ τὴ διδασκαλία, καὶ σὲ ὅση γῆ ἐπιβλέπει ὁ ἥλιος ὁλόκληρη αὐτὴ ἔχει σπαρθεῖ καὶ εἶναι κατάμεστη μὲ τὸν ὡραιότατο αὐτὸν καρπό, εἶναι ὁλοφάνερο πὼς καὶ στοὺς ἀγῶνες γιὰ τὴν ἀρετὴ θὰ μᾶς βοηθήσει, ἀρκεῖ βέβαια μόνο νὰ μὴν εἴμαστε ἀδιάφοροι καὶ νωθροί, ἀλλὰ νὰ συνεισφέρουμε τὰ δικά μας, δηλαδὴ προθυμία, ἐνδιαφέρον, θέληση, ἀπόφαση, ἐπαγρύπνηση, φροντίδα, τὴν ἀπαλλαγὴ ἀπὸ τὰ κοσμικὰ πράγματα, τὴν ἐπιζήτηση τῶν μελλοντικῶν, τὴν καθημερινὴ ἀγάπη γι' αὐτά.

Ἂν λοιπὸν τὰ προσφέρουμε αὐτὰ μὲ ἀκρίβεια, θ' ἀκολουθήσουν καὶ ὅλα τὰ δικά του· καὶ ἀφοῦ γίνουν ἐκεῖνα θὰ ἐπιτύχουμε τὰ οὐράνια ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ τὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



# ΟΜΙΛΙΑ

## ΠΡΙΝ ΑΠΟ ΤΗΝ ΕΞΟΡΙΑ



# *ΟΜΙΛΙΑ*

## *ΠΡΟ ΤΗΣ ΕΞΟΡΙΑΣ*

*1. Πολλὰ τὰ κύματα καὶ χαλεπὸν τὸ κλυδώνιον· ἀλλ' οὐ δεδοίκαμεν, μὴ καταποντισθῶμεν· ἐπὶ γὰρ τῆς πέτρας ἑστήκαμεν. Μαινέσθω ἡ θάλασσα, πέτραν διαλῦσαι οὐ δύναται· ἐγειρέσθω τὰ κύματα, τοῦ Ἰησοῦ τὸ πλοῖον καταποντίσαι οὐκ ἰσχύει. Τί δεδοίκαμεν, εἰπέ μοι; Τὸν θάνατον; «Ἐμοὶ τὸ ζῆν Χριστός, καὶ τὸ ἀποθανεῖν κέρδος». Ἀλλ' ἐξορίαν, εἰπέ μοι; «Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς». Ἀλλὰ χρημάτων δήμευσιν; «Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲν ἐξενεγκεῖν δυνάμεθα»· καὶ τὰ φοβερὰ τοῦ κόσμου ἐμοὶ εὐκαταφρόνητα, καὶ τὰ χρηστὰ καταγέλαστα. Οὐ πενίαν δέδοικα, οὐ πλοῦτον ἐπιθυμῶ· οὐ θάνατον φοβοῦμαι, οὐ ζῆσαι εὔχομαι, εἰ μὴ διὰ τὴν ὑμετέραν προκοπήν. Διὸ καὶ τὰ νῦν ὑπομιμνήσκω, καὶ παρακαλῶ τὴν ὑμετέραν θαρρεῖν ἀγάπην. Οὐδεὶς γὰρ ἡμᾶς ἀποσπάσαι δυνήσεται· ὃ γὰρ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος χωρίσαι οὐ δύναται. Εἰ γὰρ περὶ γυναικὸς καὶ ἀνδρὸς λέγει· «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται*

---

1. Φιλιπ. 1,21.
2. Ψαλμ. 23,1.



# ΟΜΙΛΙΑ

## ΠΡΙΝ ΑΠΟ ΤΗΝ ΕΞΟΡΙΑ

1. Εἶναι πολλὰ τὰ κύματα καὶ φοβερὴ ἡ τρικυμία. Ἀλλὰ δὲ φοβόμαστε μήπως καταποντισθοῦμε, γιατὶ στεκόμαστε πάνω στὴν πέτρα. Ἂς μαίνεται ἡ θάλασσα, δὲν μπορεῖ νὰ διαλύσει τὴν πέτρα· ἂς σηκώνονται τὰ κύματα, τὸ πλοῖο τοῦ Ἰησοῦ δὲν μποροῦν νὰ τὸ βυθίσουν. Τί φοβόμαστε; πές μου. Τό θάνατο; «Γιὰ μένα ζωὴ σημαίνει Χριστὸς καὶ θάνατος σημαίνει κέρδος»[1]. Μήπως, πές μου, τὴν ἐξορία; «Στὸν Κύριο ἀνήκει ἡ γῆ καὶ κάθετι ποὺ τὴν γεμίζει»[2]. Μήπως δήμευση περιουσίας; «Δὲ φέραμε τίποτε στὸν κόσμο καὶ εἶναι φανερὸ ὅτι δὲν μποροῦμε τίποτε νὰ πάρουμε μαζί μας»[3]· καὶ τὰ φοβερὰ τοῦ κόσμου μοῦ εἶναι εὐκαταφρόνητα καὶ τὰ εὐχάριστα καταγέλαστα. Δὲ φοβοῦμαι τὴ φτώχεια, δὲν ἐπιθυμῶ τὸν πλοῦτο· δὲ φοβοῦμαι τὸ θάνατο, δὲν εὔχομαι νὰ ζήσω παρὰ μόνο γιὰ τὴ δική σας προκοπή. Γι' αὐτὸ καὶ τὰ τωρινὰ σᾶς θυμίζω καὶ παρακαλῶ τὴν ἀγάπη σας νὰ ἔχει θάρρος. Λοιπὸν κανεὶς δὲν μπορεῖ νὰ μὲ ἀποχωρίσει ἀπὸ σᾶς, γιατὶ ἐκεῖνο ποὺ ὁ Θεὸς ἕνωσε, ὁ ἄνθρωπος δὲν μπορεῖ νὰ τὸ χωρίσει. Γιὰ τὴ γυναίκα καὶ τὸν ἄνδρα λέγει· «Γι' αὐτὸ ὁ ἄνδρας θὰ ἐγκαταλείψει τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ προσκολληθεῖ στὴ γυναίκα του, καὶ θὰ εἶναι

---

3. Α' Τιμ. 6,7.

οἱ δύο εἰς σάρκα μίαν· ὃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω». Εἰ γάμον οὐ δύνασαι διασπάσαι, πόσῳ μᾶλλον Ἐκκλησίαν Θεοῦ οὐκ ἰσχύεις καταλῦσαι; ἀλλὰ πολεμεῖς αὐτήν, οὐ δυνάμενος βλάψαι τὸν πολεμούμενον. Ἀλλ' ἐμὲ μὲν ἐργάζῃ λαμπρότερον, ἑαυτοῦ δὲ τὴν ἰσχὺν καταλύεις τῇ πρὸς ἐμὲ μάχῃ. «Σκληρὸν γάρ σοι πρὸς κέντρα ὀξέα λακτίζειν». Οὐκ ἀμβλύνεις τὰ κέντρα, ἀλλὰ τοὺς πόδας αἱμάσσεις· ἐπεὶ καὶ τὰ κύματα τὴν πέτραν οὐ διαλύει, ἀλλ' αὐτὰ εἰς ἀφρὸν διαλύονται.

Οὐδὲν Ἐκκλησίας δυνατώτερον, ἄνθρωπε. Λῦσον τὸν πόλεμον, ἵνα μὴ καταλύσῃ σου τὴν δύναμιν· μὴ εἴσαγε πόλεμον εἰς οὐρανόν. Ἄνθρωπον ἐὰν πολεμῇς, ἢ ἐνίκησας ἢ ἐνικήθης, ἐκκλησίαν δὲ ἐὰν πολεμῇς, νικῆσαί σε ἀμήχανον· ὁ Θεὸς γάρ ἐστιν ὁ πάντων ἰσχυρότερος. «Μὴ παραζηλοῦμεν τὸν Κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;» Ὁ Θεὸς ἔπηξε, τίς ἐπιχειρεῖ σαλεύειν; Οὐκ οἶσθα αὐτοῦ τὴν δύναμιν. «Ἐπιβλέπει ἐπὶ τὴν γῆν, καὶ ποιεῖ αὐτὴν τρέμειν»· κελεύει, καὶ τὰ σειόμενα ἡδράζετο. Εἰ τὴν πόλιν σαλευομένην ἔστησε, πολλῷ μᾶλλον τὴν Ἐκκλησίαν στῆσαι δύναται. Ἡ Ἐκκλησία οὐρανοῦ ἰσχυροτέρα· «ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». Ποῖοι λόγοι; «Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ μου τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς».

2. Εἰ ἀπιστεῖς τῷ λόγῳ, πίστευε τοῖς πράγμασι. Πόσοι τύραννοι ἠθέλησαν περιγενέσθαι τῆς Ἐκκλησίας; πόσα τήγανα; πόσοι κάμινοι, θηρίων ὀδόντες, ξίφη ἠκονημένα; καὶ οὐ περιεγένοντο. Ποῦ οἱ πολεμήσαντες; Σεσίγηνται καὶ λήθῃ παραδέδονται. Ποῦ δὲ ἡ Ἐκκλησία; Ὑπὲρ τὸν ἥλιον λάμπει. Τὰ ἐκείνων ἔσβεσται, τὰ ταύτης

---

4. Ματθ. 19,5-6.
5. Πράξ. 26,14.
6. Α' Κορ. 10,22.
7. Ψαλμ. 103,32.

οἱ δύο μία σάρκα· ἐκεῖνο λοιπὸν ποὺ ὁ Θεὸς ἕνωσε, ὁ ἄνθρωπος ἂς μὴν τὸ χωρίζει»[4]. Ἂν τὸ γάμο δὲν μπορεῖς νὰ διαλύσεις, πῶς, πολὺ περισσότερο, θὰ μπορέσεις νὰ διαλύσεις τὴν Ἐκκλησία τοῦ Θεοῦ; Τὴν πολεμᾶς, ὅμως χωρὶς νὰ μπορεῖς νὰ βλάψεις αὐτὸν ποὺ πολεμᾶς. Ἀλλὰ μένα μὲ κάνεις λαμπρότερο, ἐνῶ τὴ δική σου δύναμη διαλύεις μὲ τὴ μάχη ἐναντίον μου· γιατὶ «εἶναι σκληρὸ γιὰ σένα νὰ κλωτσᾶς σὲ αἰχμηρὰ καρφιά»[5]. Δὲ βλάπτεις τὰ καρφιά, ἀλλὰ τὰ πόδια σου τραυματίζεις. Γιατὶ καὶ τὰ κύματα δὲ διαλύουν τὴν πέτρα, ἀλλὰ τὰ ἴδια διαλύονται σὲ ἀφρό.

Τίποτε δὲν εἶναι πιὸ δυνατὸ ἀπὸ τὴν Ἐκκλησία, ἄνθρωπε. Σταμάτησε τὸν πόλεμο, γιὰ νὰ μὴ διαλύσει τὴ δύναμή σου. Μὴν ἀνεβάζεις πόλεμο στὸν οὐρανό. Ἂν πολεμᾶς ἄνθρωπο, ἢ νίκησες, ἢ νικήθηκες. Ἂν ὅμως πολεμᾶς τὴν Ἐκκλησία, εἶναι ἀδύνατο νὰ νικήσεις, γιατὶ ὁ Θεὸς εἶναι πιὸ ἰσχυρὸς ἀπ' ὅλους. «Μήπως θέλουμε νὰ προκαλέσουμε τὸν Κύριο; Μήπως εἴμαστε πιὸ ἰσχυροι ἀπ' αὐτόν;»[6]. Ὁ Θεὸς τὴ στερέωσε, ποιός ἐπιχειρεῖ νὰ τὴν κλονίσει; Δὲ γνωρίζεις τὴ δύναμή του. «Ρίχνει τὸ βλέμμα του στὴ γῆ καὶ τὴν κάνει νὰ τρέμει»[7]. Δίνει ἐντολή, καὶ αὐτὰ ποὺ κλονίζονταν στερεώνονταν. Ἂν στερέωσε τὴν πόλη ποὺ κλονιζόταν, πολὺ περισσότερο μπορεῖ νὰ στερεώσει τὴν Ἐκκλησία. Ἡ Ἐκκλησία εἶναι πιὸ δυνατὴ ἀπὸ τὸν οὐρανό. «Ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παρέλθουν, οἱ λόγοι μου ὅμως δὲ θὰ παρέλθουν»[8]. Ποιοί λόγοι; «Ἐσὺ εἶσαι ὁ Πέτρος καὶ πάνω στὴν πέτρα αὐτὴ θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴν καταβάλουν»[9].

2. Ἂν δὲν πιστεύεις στὰ λόγια, πίστευε στὰ πράγματα. Πόσοι τύραννοι θέλησαν νὰ νικήσουν τὴν Ἐκκλησία; Πόσα τηγάνια; πόσα καμίνια, δόντια θηρίων, ξίφη ἀκονισμένα; Ὅμως δὲν τὴ νίκησαν. Ποῦ εἶναι ἐκεῖνοι, ποὺ τὴν πολέμησαν; Ἔχουν σιγήσει καὶ παραδόθηκαν στὴ λήθη. Καὶ ποῦ εἶναι ἡ Ἐκκλησία;

---

8. Ματθ. 24,35.
9. Ματθ. 16,18.

*ἀθάνατα. Εἰ ὅτε ὀλίγοι ἦσαν, οὐκ ἐνικήθησαν, ὅτε ἡ οἰκουμένη ἐπλήσθη εὐσεβείας, πῶς νικῆσαι δύνασαι; «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». Καὶ μάλα εἰκότως· ποθεινοτέρα γὰρ ἡ Ἐκκλησία τῷ Θεῷ τοῦ οὐρανοῦ. Οὐρανοῦ σῶμα οὐκ ἀνέλαβεν, Ἐκκλησίας δὲ σάρκα ἀνέλαβε· διὰ τὴν Ἐκκλησίαν ὁ οὐρανός, οὐ διὰ τὸν οὐρανὸν ἡ Ἐκκλησία. Μηδὲν ὑμᾶς θορυβείτω τῶν γενομένων. Τοῦτό μοι χαρίσασθε, πίστιν ἀπερίτρεπον. Οὐκ εἴδετε τὸν Πέτρον περιπατοῦντα ἐπὶ τῶν ὑδάτων, καὶ ὀλίγον διστάσαντα, καὶ μέλλοντα καταποντίζεσθαι, οὐ διὰ τὴν ἄτακτον τῶν ὑδάτων ὁρμήν, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς πίστεως; Μὴ γὰρ ἀνθρωπίναις ψήφοις ἐνταῦθα ἤλθομεν; μὴ γὰρ ἄνθρωπος ἤγαγεν, ἵνα ἄνθρωπος καταλύσῃ;*

*Ταῦτα λέγω οὐκ ἀπονοούμενος, μὴ γένοιτο, οὐδὲ ἀλαζονευόμενος, ἀλλὰ τὸ ὑμῶν σεσαλευμένον στηρίξαι βουλόμενος. Ἐπειδὴ ἔστη ἡ πόλις, Ἐκκλησίαν ὁ διάβολος ἠθέλησε σαλεῦσαι. Μιαρὲ καὶ παμμίαρε διάβολε, τοίχων οὐ περιεγένου, καὶ Ἐκκλησίαν προσδοκᾷς σαλεῦσαι; Μὴ γὰρ ἐν τοίχοις ἡ Ἐκκλησία; Ἐν τῷ πλήθει τῶν πιστῶν ἡ Ἐκκλησία. Ἰδοὺ πόσοι στῦλοι ἑδραῖοι, οὐ σιδήρῳ δεδεμένοι, ἀλλὰ πίστει ἐσφιγμένοι. Οὐ λέγω ὅτι τοσοῦτον πλῆθος πυρὸς σφοδρότερον· ἀλλ' οὔτε, εἰ εἷς ἦν, περιεγένου. Καὶ οἶδας, οἶά σοι τραύματα παρέσχον οἱ μάρτυρες. Εἰσῆλθε πολλάκις κόρη ἁπαλὴ ἀπειρόγαμος· κηροῦ ἦν ἁπαλωτέρα, καὶ πέτρας ἐγένετο στερεωτέρα. Τὰς πλευρὰς αὐτῆς ἔξεες, καὶ τὴν πίστιν αὐτῆς οὐκ ἔλαβες. Ἠτόνησε τῆς σαρκὸς ἡ φύσις, καὶ οὐκ ἀπηγορεύθη τῆς πίστεως ἡ δύναμις· ἐδαπανᾶτο τὸ σῶμα, ἐνεανιεύετο τὸ φρόνημα· ἀνηλίσκετο δὲ ἡ οὐσία, καὶ ἔμενεν ἡ εὐλάβεια. Γυναικὸς οὐ περιεγένου μιᾶς, καὶ τοσούτου περιγενέσθαι δήμου προσδοκᾷς;*

Λάμπει περισσότερο ἀπὸ τὸν ἥλιο. Τὰ δικά τους σβήστηκαν, τὰ δικά της εἶναι ἀθάνατα. Ἂν ὅταν ἦταν λίγοι δὲ νικήθηκαν, τώρα ποὺ ἡ οἰκουμένη γέμισε εὐσέβεια, πῶς μπορεῖς νὰ τὴ νικήσεις; «Ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παρέλθουν, οἱ λόγοι μου ὅμως δὲ θὰ παρέλθουν». Καὶ πολὺ εὔλογα· γιατὶ ἡ Ἐκκλησία εἶναι πιὸ ποθητὴ στὸ Θεὸ ἀπὸ τὸν οὐρανό. Δὲν ἀνέλαβε σῶμα οὐρανοῦ, ἀλλὰ ἀνέλαβε σάρκα Ἐκκλησίας· γιὰ τὴν Ἐκκλησία ὑπάρχει ὁ οὐρανός, ὄχι γιὰ τὸν οὐρανὸ ἡ Ἐκκλησία. Τίποτε ἀπ' αὐτὰ ποὺ ἔγιναν ἂς μὴ σᾶς ἀνησυχεῖ. Αὐτὸ χαρίστε μου, πίστη ἀμετάβλητη. Δὲν εἴδατε τὸν Πέτρο ὅτι βάδιζε ἐπάνω στὰ νερά, καὶ ὅταν λίγο δίστασε, παρὰ λίγο νὰ καταποντισθεῖ, ὄχι ἐξ αἰτίας τῆς ἄτακτης ὁρμῆς τῶν νερῶν, ἀλλὰ ἐξ αἰτίας τῆς ἀδύνατης πίστης του; Μήπως λοιπὸν ἦρθα ἐδῶ μὲ ψήφους ἀνθρώπινες; Μήπως λοιπὸν μὲ ἔφερε ἄνθρωπος, γιὰ νὰ μὲ ἀπολύσει ἄνθρωπος;

Τὰ λέγω ὄχι γιατὶ βρίσκομαι σὲ ἀπόγνωση, μακριά μιά τέτοια σκέψη, οὔτε γιατὶ ἀλαζονεύομαι, ἀλλὰ γιατὶ θέλω νὰ στηρίξω τὴν πίστη σας ποὺ κλονίσθηκε. Ἐπειδὴ στερεώθηκε ἡ πόλη, ὁ διάβολος θέλησε νὰ κλονίσει τὴν Ἐκκλησία. Μιαρὲ καὶ παμμίαρε διάβολε, δὲ νίκησες τοὺς τοίχους, καὶ περιμένεις νὰ κλονίσεις τὴν Ἐκκλησία; Μήπως λοιπὸν ἡ Ἐκκλησία βρίσκεται στοὺς τοίχους; Στὸ πλῆθος τῶν πιστῶν βρίσκεται ἡ Ἐκκλησία. Νὰ πόσοι στύλοι εἶναι σταθεροί, ὄχι δεμένοι μὲ σίδερα, ἀλλὰ σφιγμένοι μέ τὴν πίστη. Δὲ λέγω ὅτι τόσο πολὺ πλῆθος εἶναι πιὸ δυνατὸ ἀπὸ τὴ φωτιά, οὔτε ὅμως θὰ νικοῦσες, ἂν ἦταν ἕνας. Καὶ ξέρεις πόσα τραύματα σοῦ ἔδωσαν οἱ μάρτυρες. Παρουσιάσθηκε πολλὲς φορὲς μιὰ κόρη ἁπαλὴ ἀνύπανδρη· ἦταν πιὸ ἁπαλὴ ἀπὸ κερὶ καὶ ἔγινε πιὸ στερρεὴ ἀπὸ πέτρα. Τὶς πλευρές της ἔσχιζες, καὶ τὴν πίστη της δὲν τὴν πῆρε. Ἀτόνησε ἡ φύση τῆς σάρκας, καὶ δὲν καταπονήθηκε ἡ δύναμη τῆς πίστης· κατατρωγόταν τὸ σῶμα, γινόταν νέο τὸ φρόνημα· ξοδευόταν ἡ οὐσία, ἀλλ' ἔμενε ἡ εὐλάβεια. Δὲ νίκησες μιὰ γυναίκα, καὶ περιμένεις νὰ νικήσεις τόσο πολὺ λαό;

*Οὐκ ἀκούεις τοῦ Κυρίου λέγοντος, «ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν»; Ὅπου τοσοῦτος δῆμος ἀγάπῃ ἐσφιγμένος, οὐ πάρεστιν; Ἔχω αὐτοῦ ἐνέχυρον· μὴ γὰρ οἰκείᾳ δυνάμει θαρρῶ; Γραμματεῖον αὐτοῦ κατέχω. Ἐκεῖνό μοι βακτηρία, ἐκεῖνό μοι ἀσφάλεια, ἐκεῖνό μοι λιμὴν ἀκύμαντος. Κἂν ἡ οἰκουμένη ταράττηται, τὸ γραμματεῖον κατέχω· αὐτὸ ἀναγινώσκω· τὰ γράμματα ἐκεῖνα τεῖχος ἐμοὶ καὶ ἀσφάλεια. Ποῖα ταῦτα; «Ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος». Χριστὸς μετ' ἐμοῦ, καὶ τίνα φοβηθήσομαι; Κἂν κύματα κατ' ἐμοῦ διεγείρηται, κἂν πελάγη, κἂν ἀρχόντων θυμοί· ἐμοὶ ταῦτα πάντα ἀράχνης εὐτελέστερα. Καὶ εἰ μὴ διὰ τὴν ὑμετέραν ἀγάπην, οὐδὲ σήμερον ἂν παρῃτησάμην ἀπελθεῖν. Ἀεὶ γὰρ λέγω, «Κύριε, τὸ σὸν θέλημα γενέσθω»· μὴ ὅ τι ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ' εἴ τι σὺ βούλει. Οὗτος ἐμοὶ πύργος, τοῦτο ἐμοὶ πέτρα ἀκίνητος· τοῦτο ἐμοὶ βακτηρία ἀπερίτρεπος. Εἰ βούλεται ὁ Θεὸς τοῦτο γενέσθαι, γινέσθω. Εἰ βούλεται ἐνταῦθα εἶναί με, χάριν ἔχω. Ὅπου βούλεται, εὐχαριστῶ.*

*3. Μηδεὶς ὑμᾶς θορυβείτω· ταῖς εὐχαῖς προσέχετε. Ταῦτα ἐποίησεν ὁ διάβολος, ἵνα ἐκκόψῃ τὴν σπουδὴν τὴν περὶ τὰς λιτανείας. Ἀλλ' οὐ προχωρεῖ αὐτῷ· ἀλλὰ σπουδαιοτέρους ὑμᾶς καὶ θερμοτέρους εὑρήκαμεν. Αὔριον εἰς λιτανεῖον ἐξελεύσομαι μεθ' ὑμῶν. Ἢ ὅπου ἐγώ, καὶ ὑμεῖς ἐκεῖ· ὅπου ὑμεῖς, ἐκεῖ κἀγώ· ἓν σῶμά ἐσμεν· οὐ σῶμα κεφαλῆς, οὐ κεφαλὴ σώματος χωρίζεται. Διειργόμεθα τῷ τόπῳ, ἀλλ' ἡνώμεθα τῇ ἀγάπῃ· οὐδὲ θάνατος διακόψει δυνήσεται. Κἂν γὰρ ἀποθάνῃ μου τὸ σῶμα, ζῇ ἡ ψυχή, καὶ μέμνηται τοῦ δήμου· ὑμεῖς ἐμοὶ πατέρες· πῶς ὑμῶν δύναμαι ἐπιλαθέσθαι; ὑμεῖς ἐμοὶ πατέρες, ὑμεῖς ἐμοὶ ζωή, ὑμεῖς ἐμοὶ εὐδοκίμησις.*

10. Ματθ. 18,20.
11. Ματθ. 28,20.

Δὲν ἀκοῦς τὸν Κύριο ποὺ λέγει, «ὅπου εἶναι δύο ἢ τρεῖς συγκεντρωμένοι στὸ ὄνομά μου, ἐκεῖ εἶμαι ἀνάμεσά τους»[10]; Ὅπου εἶναι τόσο πολὺς λαὸς δεμένος μὲ τὴν ἀγάπη δὲν εἶναι παρών; Ἔχω τὸ ἐνέχυρό του· μήπως δηλαδὴ ἔχω ἐμπιστοσύνη στὴ δική μου δύναμη; Κρατάω τὸ συμβόλαιο αὐτοῦ. Αὐτὸ μοῦ εἶναι ραβδί, αὐτὸ μοῦ εἶναι ἀσφάλεια, αὐτὸ μοῦ εἶναι λιμάνι γαλήνιο. Καὶ ἂν ἀκόμη ἡ οἰκουμένη ταράζεται, τὰ γραμμάτιο τὸ ἔχω. Αὐτὸ διαβάζω· τὰ γράμματα ἐκεῖνα εἶναι γιὰ μένα τεῖχος καὶ ἀσφάλεια. Ποιά εἶναι αὐτά; «Ἐγὼ εἶμαι μαζί σας ὅλες τὶς ἡμέρες μέχρι τὴ συντέλεια τοῦ κόσμου»[11]. Ὁ Χριστὸς εἶναι μαζί μου, καὶ ποιόν θὰ φοβηθῶ; Εἴτε κύματα σηκώνονται ἐναντίον μου, εἴτε πελάγη, εἴτε θυμοὶ ἀρχόντων, ὅλα αὐτὰ γιὰ μένα εἶναι πιὸ ἀσήμαντα ἀπὸ ἀράχνη. Καὶ ἂν δὲν ἦταν γιὰ τὴ δική σας ἀγάπη, οὔτε σήμερα θὰ δεχόμουν νὰ φύγω. Γιατὶ πάντοτε λέγω, «Κύριε, ἂς γίνει τὸ δικό σου θέλημα»[12]· ὄχι ὅ,τι θέλει ὁ τάδε καὶ ὁ τάδε, ἀλλ' ὅ,τι θέλεις ἐσύ. Αὐτὸς μοῦ εἶναι πύργος, αὐτὸ μοῦ εἶναι πέτρα ἀκίνητη, αὐτὸ μοῦ εἶναι ράβδος ἀμετάβλητη. Ἂν θέλει ὁ Θεὸς νὰ γίνει αὐτό, ἂς γίνει. Ἂν θέλει νὰ εἶμαι ἐδῶ, αἰσθάνομαι εὐγνωμοσύνη. Ὅπου θέλει, τὸν εὐχαριστῶ.

3. Κανεὶς ἄς μὴ σᾶς ἀνησυχεῖ. Νὰ προσηλώνεστε στὶς προσευχές. Αὐτὰ τὰ ἔκαμε ὁ διάβολος γιὰ νὰ ξερριζώσει τὸ ζῆλο σας γιὰ τὶς λιτανεῖες. Ὅμως δὲν προχωρεῖ σ' αὐτό, ἀλλὰ σᾶς βρῆκα πιὸ πρόθυμους καὶ πιὸ θερμούς. Αὔριο θὰ βγῶ μαζί σας γιὰ λιτανεία. Ἢ ὅπου εἶμαι ἐγώ, ἐκεῖ εἶστε καὶ σεῖς· ὅπου ἐσεῖς, ἐκεῖ καὶ ἐγώ· ἕνα σῶμα εἴμαστε. Τὸ σῶμα δὲ χωρίζεται ἀπὸ τὸ κεφάλι, οὔτε τὸ κεφάλι ἀπὸ τὸ σῶμα. Ἐμποδιζόμαστε ἀπὸ τὸν τόπο, ἀλλ' εἴμαστε ἑνωμένοι μὲ τὴν ἀγάπη. Οὔτε ὁ θάνατος θὰ μπορέσει νὰ μᾶς διασπάσει. Γιατί, καὶ ἂν ἀκόμη πεθάνει τὸ σῶμα μου, ζεῖ ἡ ψυχή μου καὶ θυμᾶται τὸ λαό. Ἐσεῖς εἶστε γιὰ μένα πατέρες. Πῶς μπορῶ νὰ σᾶς ξεχάσω; Ἐσεῖς γιὰ

---

12. Ματθ. 6,10.

*Ἐὰν ὑμεῖς προκόψητε, ἐγὼ εὐδοκιμῶ· ὥστε ἐμοὶ ζωὴ πλοῦτος ἐν τῷ ὑμετέρῳ κεῖται θησαυρῷ. Ἐγὼ μυριάκις ὑπὲρ ὑμῶν σφαγῆναι ἕτοιμος (καὶ οὐδεμίαν χάριν παρέχω, ἀλλὰ καὶ ὀφειλὴν ἀποδίδωμι· «ὁ γὰρ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων»), καὶ σφαγῆναι μυριάκις, καὶ μυρίας κεφαλὰς ἀποτμηθῆναι. Ἐμοὶ ὁ θάνατος οὗτος ἀθανασίας ὑπόθεσις, ἐμοὶ αἱ ἐπιβουλαὶ αὗται ἀσφαλείας ἀφορμή.*

*Μὴ γὰρ διὰ χρήματα ἐπιβουλεύομαι, ἵνα λυπηθῶ; μὴ γὰρ δι' ἁμαρτήματα, ἵνα ἀλγήσω; Διὰ τὸν ἔρωτα τὸν περὶ ὑμᾶς· ἐπειδὴ πάντα ποιῶ, ὥστε ὑμᾶς ἐν ἀσφαλείᾳ μεῖναι, ὥστε μηδένα παρεισελθεῖν τῇ ποίμνῃ, ὥστε μεῖναι ἀκέραιον τὸ ποίμνιον. Ἡ ὑπόθεσις τῶν ἀγώνων ἀρκεῖ μοι εἰς στέφανον. Τί γὰρ ἂν πάθοιμι ὑπὲρ ὑμῶν; Ὑμεῖς ἐμοὶ πολῖται, ὑμεῖς ἐμοὶ πατέρες, ὑμεῖς ἐμοὶ ἀδελφοί, ὑμεῖς ἐμοὶ τέκνα, ὑμεῖς ἐμοὶ μέλη, ὑμεῖς ἐμοὶ σῶμα, ὑμεῖς ἐμοὶ φῶς, μᾶλλον δὲ καὶ τοῦ φωτὸς τούτου γλυκύτεροι. Τί γὰρ τοιοῦτον παρέχει μοι ἡ ἀκτῖνα οἷον ἡ ὑμετέρα ἀγάπη; Ἡ ἀκτῖνα ἐν τῷ παρόντι με βίῳ ὠφελεῖ, ἡ δὲ ὑμετέρα ἀγάπη στέφανόν μοι πλέκει ἐν τῷ μέλλοντι. Ταῦτα δὲ λέγω εἰς ὦτα ἀκουόντων· τί δὲ τῶν ὤτων ὑμῶν ἀκουστικώτερον; Τοσαύτας ἡμέρας ἠγρυπνήσατε, καὶ οὐδεὶς ὑμᾶς ἔκαμψεν, οὐ χρόνου μῆκος μαλακωτέρους ὑμᾶς ἐποίησεν, οὐ φόβοι, οὐκ ἀπειλαί· πρὸς πάντα ἐγένεσθε γενναῖοι. Καὶ τί λέγω, ἐγένεσθε; Τοῦτο ὅπερ ἐπεθύμουν ἀεί, κατεφρονήσατε τῶν βιωτικῶν πραγμάτων, ἀπετάξασθε τῇ γῇ, εἰς τὸν οὐρανὸν μετέστητε· ἀπηλλάγητε τῶν συνδέσμων τοῦ σώματος, πρὸς τὴν μακαρίαν ἐκείνην ἁμιλλᾶσθε φιλοσοφίαν. Ταῦτα ἐμοὶ στέφανοι, ταῦτα παράκλησις, ταῦτα παραμυθία, ταῦτα ἐμοὶ ἄλειμμα, ταῦτα ζωή, ταῦτα ἀθανασίας ὑπόθεσις.*

*4. Ἀλλ' ὁρῶ τοῖς ἐμαυτοῦ δόγμασί τινας ἐγκαρτερεῖν με*

μένα πατέρες, ἐσεῖς γιὰ μένα ζωή, ἐσεῖς γιὰ μένα προκοπή. Ἂν ἐσεῖς προκόψετε, ἐγὼ εὐδοκιμῶ. Ἑπομένως γιὰ μένα ἡ ζωὴ καὶ ὁ πλοῦτος βρίσκονται μέσα στὸ δικό σας θησαυρό. Ἐγὼ εἶμαι ἕτοιμος ἄπειρες φορὲς νὰ σφαγῶ γιὰ σᾶς (καὶ δὲν κάνω καμιὰ χάρη, ἀλλὰ καὶ ὀφειλὴ ἐπιστρέφω, γιατὶ «ὁ ποιμένας ὁ καλὸς θυσιάζει τὴ ζωή του γιὰ τὰ πρόβατα»[13]), καὶ νὰ σφαγῶ ἄπειρες φορὲς καὶ νὰ ἀποκεφαλισθῶ ἄπειρες φορές. Γιὰ μένα ὁ θάνατος αὐτὸς εἶναι προϋπόθεση ἀθανασίας, γιὰ μένα οἱ ἐπιβουλὲς αὐτὲς εἶναι ἀφορμὴ ἀσφάλειας.

Μήπως λοιπὸν γιὰ χρήματα μὲ ἐπιβουλεύονται, γιὰ νὰ λυπηθῶ; μήπως γιὰ σφάλματα, γιὰ νὰ πονέσω; Γιὰ τὸν ἔρωτα ποὺ ἔχω γιὰ σᾶς· ἐπειδὴ τὰ πάντα κάνω, γιὰ νὰ μείνετε σὲ ἀσφάλεια, γιὰ νὰ μὴν εἰσχωρήσει κανείς στὴν ποίμνη, γιὰ νὰ μείνει ἀκέραιο τὸ ποίμνιο. Ἡ ὑπόθεση τῶν ἀγώνων αὐτῶν μοῦ ἀρκεῖ γιὰ στεφάνι. Γιατὶ τί θὰ πάθαινα γιὰ σᾶς; Ἐσεῖς γιὰ μένα εἶστε συμπολίτες, ἐσεῖς γιὰ μένα πατέρες, ἐσεῖς γιὰ μένα ἀδελφοί, ἐσεῖς γιὰ μένα τέκνα, ἐσεῖς γιὰ μένα μέλη, ἐσεῖς γιὰ μένα σῶμα, ἐσεῖς γιὰ μένα φῶς, ἢ καλύτερα καὶ ἀπὸ τὸ φῶς αὐτὸ πιὸ ἀγαπητοί. Γιατὶ τί τόσο μεγάλο μοῦ χαρίζει ἡ ἀκτίνα τοῦ ἥλιου ὅσο ἡ δική σας ἀγάπη; Ἡ ἀκτίνα μὲ ὠφελεῖ στὴν παρούσα ζωή, ἡ δική σας ὅμως ἀγάπη μοῦ πλέκει στεφάνι γιὰ τὴ μέλλουσα ζωή. Καὶ αὐτὰ τὰ λέγω σὲ αὐτιὰ ἀνθρώπων ποὺ ἀκοῦν· καὶ τί εἶναι πιὸ πρόθυμο ν' ἀκούσει ἀπὸ τα δικά σας αὐτιά; Τόσες ἡμέρες μείνατε ἄγρυπνοι, καὶ τίποτε δὲ σᾶς λύγισε, οὔτε τὸ μάκρος τοῦ χρόνου σᾶς ἔκαμε πιὸ μαλακούς, οὔτε οἱ φόβοι, οὔτε οἱ ἀπειλές· σ' αὐτὰ γίνατε γενναῖοι. Καὶ τί λέγω, γίνατε; Αὐτὸ ποὺ πάντοτε ἐπιθυμοῦσα, περιφρονήσατε τὰ βιοτικὰ πράγματα, ἀρνηθήκατε τὴ γῆ, μεταφερθήκατε στὸν οὐρανό· ἀπαλλαχθήκατε ἀπὸ τὰ δεσμὰ τοῦ σώματος, ἀγωνίζεστε γιὰ τὴ μακάρια ἐκείνη φιλοσοφία. Αὐτὰ εἶναι γιὰ μένα στεφάνια, αὐτὰ παρηγοριά, αὐτὰ ἐνθάρρυνση, αὐτὰ εἶναι γιὰ μένα παρόρμηση, αὐτὰ ζωή, αὐτὰ προϋπόθεση ἀθανασίας.

4. Ἀλλὰ βλέπω ὅτι μερικοὶ προσπαθοῦν νὰ μὲ πείσουν μὲ τὶς

13. Ἰω. 10,11.

*πειθόντων. Φέρει γὰρ πολλὰ τῶν εὐτυχημάτων εἰς τοὐναντίον· ὅτι οἷς ἐδόκουν ζηλωτὴς εἶναι, περιπέπτωκα τῇ μοχθηρίᾳ· οἱ μὲν κατὰ τὸν τρόπον καθαιροῦντες νικῶσι τὸν ἀγῶνα τῇ διαφορᾷ τῶν πραγμάτων· οὐκ ἠπείλουν, ἀλλὰ παρίσταντο. Ἔστι γὰρ καιρὸς νῦν εἰπεῖν τὰ περὶ τῆς ἐμῆς θλίψεως. Νόμος ἐστίν, ἀλλ' ὁ νομοθέτης νικᾶται. Τέκνα, μὰ τὴν ὑμετέραν ἀγάπην, βλέπω συσκευὴν πολεμοῦσαν, καὶ τὸν Θεὸν ὑβριζόμενον· βλέπω τὸν ἀγῶνα πίπτοντα, καὶ τὸν ἀγωνοθέτην λυπούμενον· βλέπω τὸ πιθανὸν τῆς ἀληθείας μαραινόμενον, καὶ τὴν συσκευὴν ἀνθοῦσαν. Λέγουσί μοι, ὅτι 'Ἔφαγες καὶ ἐβάπτισας'. Εἰ ἐποίησα τοῦτο, ἀνάθεμα ἔσομαι· μὴ ἀριθμηθείην εἰς ἐπισκόπων ρίζαν· μὴ γένωμαι μετ' ἀγγέλων· μὴ ἀρέσω Θεῷ· εἰ δὲ καὶ ἔφαγον καὶ ἐβάπτισα, οὐδὲν ἄκαιρον τῶν πραγμάτων ἐποίησα. Πρόσχες μοι μετὰ ἀκριβείας ὃ λέγω, καὶ λέγων οὐ παύσομαι. Ἐμοὶ μὲν τὸ λέγειν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές.*

*Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον. Λέγουσιν ὅτι ἔφαγον καὶ ἐβάπτισα. Καθελέτωσαν οὖν Παῦλον, ὅτι μετὰ τὸ δειπνῆσαι ἐχαρίσατο τῷ δεσμοφύλακι τὸ βάπτισμα. Τολμῶ λέγειν, καθελέτωσαν καὶ αὐτὸν τὸν Χριστόν, ὅτι μετὰ τὸ δεῖπνον τοῖς μαθηταῖς τὴν κοινωνίαν ἐχαρίσατο. Ἀλλ' εἰκότα καὶ μεγάλα ἡμῖν ταῦτα· ταῦτα φαιδρὰ τῆς εἰρήνης· ταῦτα τοῦ λαοῦ τὰ ἐγκώμια. Ἐμοῦ ὁ στέφανος, ὑμῶν ὁ καρπός. Ἀλλ' οἴδατε, ἀγαπητοί, διὰ τί με θέλουσι καθελεῖν. Ὅτι τάπητας οὐχ ἥπλωσα, οὔτε σηρικὰ ἱμάτια οὐκ ἐνεδυσάμην, καὶ ὅτι τὴν γαστριμαργίαν αὐτῶν οὐ παρεμυθησάμην. Ἤνθησαν γὰρ τὰ ἔγγονα τῆς ἀσπίδος, ἔτι περιλέλειπται τῆς Ἰεζάβελ ὁ σπόρος· ἔτι δὲ καὶ ἡ χάρις τῷ Ἠλίᾳ συναγωνίζεται.*

*Φέρε δέ μοι εἰς μέσον τὸν θαυμαστὸν καὶ πλούσιον τῆς ζωῆς κήρυκα, Ἰωάννην λέγω, τὸν πένητα, καὶ ἕως λύχνου μὴ κτησάμενον· εἶχε γὰρ τὴν λαμπάδα τοῦ Χριστοῦ· οὗ τὴν κεφαλὴν ἐπεθύμησεν ἡ τῆς Εὔας συλλειτουργός, ἡ τῶν ἁγίων ἐμπόδιον γενομένη, ἡ*

δικές μου διδασκαλίες νὰ μείνω ἀτάραχος. Γιατὶ πολλὰ εὐνοϊκὰ ὁδηγοῦν στὰ ἀντίθετα, ἐπειδὴ σ' αὐτοὺς ποὺ φαινόμουν πὼς εἶμαι ζηλωτὴς ἔχω περιπέσει στὴ μοχθηρία τους. Ἄλλοι καταργώντας κάθε τρόπο κερδίζουν τὴ νίκη μὲ τὴν ἀλλαγὴ τῶν πραγμάτων· δὲν ἀπειλοῦσαν, ἀλλὰ ἦταν παρόντες. Εἶναι λοιπὸν καιρὸς τώρα νὰ πῶ γιὰ τὴ δική μου θλίψη. Ὁ νόμος ὑπάρχει, ἀλλ' ὁ νομοθέτης νικιέται. Τέκνα, μὰ τὴν ἀγάπη σας, βλέπω κάποια σκευωρία νὰ μᾶς πολεμάει καὶ τὸ Θεὸ νὰ βρίζεται· βλέπω τὸν ἀγώνα νὰ σταματάει καὶ τὸν ἀγωνοθέτη νὰ λυπᾶται· βλέπω τὴν πειστικότητα τῆς ἀλήθειας νὰ μαραίνεται καὶ τὴ σκευωρία νὰ ἐπικρατεῖ. Μοῦ λέγουν ὅτι 'ἔφαγες καὶ ὕστερα βάπτισες'. Ἂν τὸ ἔκαμα αὐτὸ νὰ εἶμαι ἀνάθεμα, νὰ μὴν ἀριθμηθῶ στὴ ρίζα τῶν ἐπισκόπων, νὰ μὴ βρεθῶ μὲ τοὺς ἀγγέλους, νὰ μὴν ἀρέσω στό Θεό. Καὶ ἂν ὅμως ἔφαγα καὶ ὕστερα βάπτισα, δὲν ἔκαμα κανένα ἄπρεπο πράγμα. Πρόσεχε μὲ ἀκρίβεια αὐτὸ ποὺ λέγω, καὶ δὲ θὰ σταματήσω νὰ τὸ λέγω. Γιατὶ γιὰ μένα τὸ νὰ λέγω δὲν εἶναι ὀκνηρία, ἐνῶ γιὰ σᾶς εἶναι ἀσφάλεια.

Ἀλλ' ἂς ἐπιστρέψουμε στὸ θέμα μας. Λέγουν ὅτι ἔφαγα καὶ βάπτισα. Ἂς καθαιρέσουν λοιπὸν τὸν Παῦλο, γιατὶ μετὰ τὸ δεῖπνο του χάρισε στὸ δεσμοφύλακα τὸ βάπτισμα. Τολμῶ νὰ πῶ, ἂς καθαιρέσουν καὶ αὐτὸν τὸν Χριστό, γιατὶ μετὰ τὸ δεῖπνο χάρισε στοὺς μαθητὲς τὴν κοινωνία. Ἀλλ' εὔλογα αὐτὰ γιὰ μᾶς εἶναι μεγάλα, αὐτὰ εἶναι τὰ εὐχάριστα τῆς εἰρήνης, αὐτὰ εἶναι τὰ ἐγκώμια τοῦ λαοῦ. Δικό μου τὸ στεφάνι, δικό σας ὁ καρπός. Ἀλλὰ γνωρίζετε, ἀγαπητοί, γιατί θέλουν νὰ μὲ καθαιρέσουν. Γιατὶ δὲν ἅπλωσα χαλιά, οὔτε μεταξωτὰ ἐνδύματα ντύθηκα, καὶ γιατὶ δὲν ἐνθάρρυνα τὴ λαιμαργία τους. Γιατὶ ἄνθησαν οἱ ἀπόγονοι τοῦ φιδιοῦ, ἀκόμη ἐπιζεῖ ἡ γενεὰ τῆς Ἰεζάβελ, καὶ ἀκόμη ἡ χάρη συναγωνίζεται μὲ τὸν Ἠλία.

Καὶ ἂς φέρουμε, σᾶς παρακαλῶ, στὴ μέση τὸ θαυμαστὸ καὶ πλούσιο κήρυκα τῆς ζωῆς, ἐννοῶ τὸν Ἰωάννη, τὸ φτωχό, ποὺ δὲν ἀπόκτησε οὔτε λυχνάρι, γιατὶ εἶχε τὴ λαμπάδα τοῦ Χριστοῦ. Αὐτοῦ τὸ κεφάλι ἐπιθύμησε ἡ συλλειτουργὸς τῆς Εὔας,

*τοὺς προφήτας διώξασα, ἢ τὴν ἐν δόλῳ νηστείαν κηρύξασα, ἢ ὁμότιμον τοῦ ὀνόματος τῆς ἐχίδνης ἐπισταμένη τὴν ὄρχησιν, ἐν τῷ ἀρίστῳ τῷ ἀτελεῖ ὀρχησαμένη. Οὐκ ἐπεθύμησε ζωήν, οὐκ ἐπεθύμησε χρημάτων ὄγκον, οὐ βασιλείας ἀξίωμα, οὐκ ἄλλης τινὸς περιουσίας. Ἀλλ' εἰπέ μοι, ἄνθρωπε, τί ἐπεθύμησε; Κεφαλὴν ἀνθρώπου. Τί δὲ λέγω; Οὐ μόνον ἀνθρώπου, ἀλλ' εὐαγγελιστοῦ. Ἀλλ' οὐκ ἐνίκησε λαβοῦσα τὴν κεφαλήν. Ἔτεμε γὰρ τὴν κεφαλὴν αἰτησαμένη, τὴν ἄνομον ἐπιθυμίαν σπουδαίως διὰ πίνακος δεξαμένη. Βλέπε, καὶ θαύμασον τοῦ Θεοῦ τὴν δύναμιν. Διήλεγχεν ὁ ἀναίτιος, ἀπετμήθη· ἀλλ' ὁ ἀποτμιθεὶς ἐν δεξιᾷ τοῦ Χριστοῦ, ἡ δὲ ἀπαραίτητον κόλασιν ἐκδέχεται. Πάλιν ἐκείνης τὸ σπέρμα, ὁ σπόρος ὁ ἀκανθώδης, ἐπιζητεῖ καὶ σπεύδει. Ἀλλ' Ἡρωδιὰς Ἰωάννου τὴν κεφαλὴν ζητοῦσα πάλιν ὄρχησιν, οὐχ ἣν τοῖς ποσὶ παίζομεν, ἀλλὰ τὴν τῆς Μαρίας ἐπερειδομένην. Πάλιν βοᾷ καὶ λέγει Ἰωάννης· «οὐκ ἔξεστί σοι τὴν γυναῖκα ἔχειν τοῦ ἀδελφοῦ σου».*

*5. Ἀλλὰ τί εἴπω; Δακρύων ὁ παρὼν καιρός· πάντα γὰρ εἰς ἀδοξίαν ἐκτρέχει, καὶ πάντα χρόνος κρίνει. Χρυσὸς τὸ ὅλον δοξάζει. Ἀλλὰ φέρε μοι τὸν ἅγιον Δαυῒδ τὸν λέγοντα καὶ βοῶντα· «χρυσὸς ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν». Ἀλλ' εἰπέ μοι, τίς ἦν οὗτος ὁ ταύτην τὴν φωνὴν ἐπαφείς; Οὐχὶ τὸ τῆς βασιλείας ἐπὶ τῆς κορυφῆς συγκείμενον εἶχεν; οὐκ ἐν τῇ βασιλικῇ ἐξουσίᾳ διέταττεν; Ἀλλ' οὐ πρὸς ἁρπαγὴν ἔβλεπεν, οὐκ εἰς καθαίρεσιν εὐσεβείας ἦν αὐτῷ τὸ φρόνημα, οὐδὲ μέριμνα θησαυρῶν, ἀλλὰ τῆς στρατοπέδων συλλογῆς· οὐ γυναικὸς συγκατάθεσιν. Φεύγετε, οὖν, γυναῖκες, τὰς ἀλλοτρίας συλλογάς· μὴ συμβουλεύετε τοῖς ἀνδράσι συμβουλίαν κακήν· ἀλλ' ἀσφαλίσθητε τοῖς λεχθεῖσιν. Ἆρα ἐσβέσαμεν ὑμῶν τὴν φλόγα; ἆρα ἐμαλάχθη ὑμῖν ἡ καρδία; Ἀλλ' οἶδα ὅτι ὠφεληθήσεσθε μὲν*

---

14. Μάρκ. 6,18.

αὐτὴ ποὺ ἔγινε ἐμπόδιο στοὺς ἁγίους, αὐτὴ ποὺ καταδίωξε τοὺς προφῆτες, αὐτὴ ποὺ κήρυξε τὴν πονηρὴ νηστεία, αὐτὴ ποὺ γνώριζε καλὰ τὸν ὁμότιμο τοῦ ὀνόματος τῆς ὀχιᾶς χορὸ καὶ χόρεψε στὸ γεῦμα τὸ ἄσκοπο. Δὲν ἐπιθύμησε ζωή, δὲν ἐπιθύμησε πολλὰ χρήματα, οὔτε ἀξίωμα βασιλείας, οὔτε κάποια ἄλλη περιουσία. Ἀλλὰ πές μου, ἄνθρωπε, τί ἐπιθύμησε; Κεφάλι ἀνθρώπου. Καὶ τί λέγω; Ὄχι μόμο ἀνθρώπου, ἀλλὰ εὐαγγελιστῆ. Ἀλλὰ δὲ νίκησε ὅταν πῆρε τὸ κεφάλι. Γιατὶ ζήτησε καὶ ἔκοψε τὸ κεφάλι, καὶ δέχθηκε γρήγορα τὴν παράνομη ἐπιθυμία της μέσα σὲ πιάτο. Βλέπε καὶ θαύμασε τὴ δύναμη τοῦ Θεοῦ. Ὁ ἀθῶος ἔκαμε αὐστηρὸ ἔλεγχο, ἀποκεφαλίσθηκε. Ἀλλ' αὐτὸς ποὺ ἀποκεφελίσθηκε εἶναι στὰ δεξιὰ τοῦ Χριστοῦ, ἐνῶ ἐκείνη δέχεται τὴν ἀναπόφευκτη κόλαση. Ἐκείνης πάλι τὸ σπέρμα, ὁ ἀπόγονος ὁ γεμάτος ἀγκάθια, ἐπιθυμεῖ καὶ ἐνεργεῖ γρήγορα. Ἀλλὰ ἡ Ἡρωδιάδα ζητάει πάλι τὸ κεφάλι τοῦ Ἰωάννη, στηριζόμενη ὄχι στὸ χορὸ ποὺ χορεύουμε μὲ τὰ πόδια, ἀλλὰ στὸ χορὸ τῆς Μαρίας. Πάλι ὁ Ἰωάννης φωνάζει καὶ λέγει· «δὲ σοῦ ἐπιτρέπεται νὰ ἔχεις τὴ γυναίκα τοῦ ἀδελφοῦ σου»[14].

5. Ἀλλὰ τί νὰ πῶ; Ὁ παρὼν καιρὸς εἶναι γιὰ δάκρυα. Γιατὶ ὅλα φεύγουν γρήγορα στὴν περιφρόνηση, καὶ ὅλα τὰ κρίνει ὁ χρόνος. Τὸ χρυσάφι δοξάζει τὰ πάντα. Ἀλλὰ φέρε μου τὸν ἅγιο Δαβὶδ ποὺ λέγει καὶ βροντοφωνάζει, «ἂν τρέχει σὰν ποτάμι τὸ χρυσάφι, μὴν προσκολλᾶτε τὴν καρδιά σας σ' αὐτό»[15]. Πές μου ὅμως, ποιός ἦταν αὐτὸς ποὺ εἶπε αὐτὸ τὸ λόγο; Δὲν εἶχε τὸ ἀξίωμα ποὺ βρισκόταν στὴν κορυφὴ τῆς βασιλείας; δὲν πρόσταζε μὲ τὴν βασιλική του ἐξουσία; Ἀλλὰ δὲν ἔβλεπε γιὰ ἁρπαγή, δὲν ἦταν ἡ σκέψη του γιὰ τὴν κατάργηση τῆς εὐσέβειας, οὔτε φρόντιζε γιὰ θησαυρούς, ἀλλὰ γιὰ τὴ συγκέντρωση στρατοῦ. Οὔτε ἔπαιρνε τὴ συγκατάθεση τῆς γυναίκας του. Ἀποφεύγετε λοιπόν, γυναῖκες, τὶς ξένες συγκεντρώσεις, μὴ δίνετε στοὺς ἄνδρες σας κακὴ συμβουλή, ἀλλὰ προφυλλαχθεῖτε μὲ αὐτὰ ποὺ λέχθηκαν. Ἄραγε ἔσβησα τὴ φλόγα σας; ἄραγε ἀνακουφίσθηκε ἡ καρδιά σας; Ἀλλὰ γνωρίζω ὅτι θὰ ὠφεληθεῖτε οἱ

15. Ψαλμ. 61,11.


*αἱ τῆς Μαρίας θυγατέρες· ἄλλαι δὲ ἄνευ οἴνου κεκορεσμέναι καὶ μεθύουσαι τῇ φιλαργυρίᾳ, ὡς ὁ μακάριος Παῦλος βοᾷ καὶ κηρύττει λέγων· «ρίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία». Οὕτω καὶ αἱ ἀσύνετοι γυναῖκες ἀποφράττουσιν ἑαυτῶν τὰ ὦτα, καὶ ἀντὶ σπόρου ἀγαθοῦ ἀκάνθας τίκτουσιν.*

*Ἀλλά, παρακαλῶ, μὴ ἡμῶν τὸν σπόρον ὡς ἐπὶ πέτραν καταβάλλωμεν. Χριστοῦ ἐσμεν γεώργιον, παρ' οὗ ἀκούσωμεν· «εὖ, δοῦλε ἀγαθέ, εἴσελθε εἰς τὸν οἶκόν μου»· μὴ ἀντὶ τῆς φωνῆς ταύτης λεχθῇ, «εὖ, δοῦλε κακέ». Ἀλλά, παρακαλῶ, λαμψάτω ὑμῶν ἡ πολιτεία ἔμπροσθεν τῶν ἀνθρώπων, μὴ μωράνωμεν ἡμῶν τὸ ἅλας, ἀλλὰ δοξάσωμεν, εὐχαριστήσωμεν, οἱ πλούσιοι τῷ πλουσίῳ, οἱ πένητες τῷ φιλανθρώπῳ, καὶ φιλοπτώχῳ Χριστῷ, οἱ δυνατοὶ τῇ κραταιᾷ χειρὶ αὐτοῦ. Καὶ ταῦτα μὲν περὶ ὑμῶν. Ἴσως δὲ συγχωρεῖ ὁ Θεὸς ταῦτά με πάσχειν ἅπερ βουλεύονται κατ' ἐμοῦ, ἵνα ἐν συμφοραῖς δοκιμάσῃ τὰ κατ' ἐμέ· ὅτι ἐν τοῖς πόνοις ἐναπόκειται νίκη πάντως, καὶ ἐν τοῖς ἀγῶσιν ἡτοίμασται στέφανος. Καὶ γὰρ ὁ θεσπέσιος Παῦλος ἔλεγε· «τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος»· οὗ στεφάνου καταξιώσει ὑμᾶς ὁ τῶν ὅλων Δεσπότης εἰς τοὺς αἰῶνας. Ἀμήν.*

θυγατέρες τῆς Μαρίας, ἐνῶ οἱ ἄλλες εἶναι χορτάτες χωρὶς κρασὶ καὶ μεθοῦν μὲ τὴ φιλαργυρία, ὅπως ὁ μακάριος Παῦλος φωνάζει καὶ κηρύττει λέγοντας· «ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία»[16]. Ἔτσι καὶ οἱ ἀσύνετες γυναῖκες κλείνουν καλὰ τὰ αὐτιά τους καὶ ἀντὶ γιὰ σπόρο ἀγαθὸ γεννοῦν ἀγκάθια.

Ἀλλά, σᾶς παρακαλῶ, ἂς μὴ ρίξουμε ἐμεῖς τὸ σπόρο μας ἐπάνω στὴν πέτρα. Εἴμαστε χωράφι τοῦ Χριστοῦ, ἀπὸ τὸν ὁποῖο ἂς ἀκούσουμε, «εὖγε, δοῦλε ἀγαθέ, ἔλα μέσα στὸ σπίτι μου»· νὰ μὴ συμβεῖ νὰ μᾶς πεῖ ἀντὶ γιὰ τὸ λόγο αὐτὸν τὸ «εὖγε, δοῦλε κακέ»[17]. Ἀλλά, σᾶς παρακαλῶ, ἂς λάμψει ἡ συμπεριφορά σας μπροστὰ στοὺς ἀνθρώπους, ἂς μὴν καταστρέψουμε τὸ ἁλάτι μας, ἀλλ' ἂς δοξάσουμε, ἂς εὐχαριστήσουμε, οἱ πλούσιοι τὸν πλούσιο, οἱ φτωχοὶ τὸ φιλάνθρωπο καὶ φιλόπτωχο Χριστό, οἱ δυνατοὶ τὸ ἰσχυρὸ χέρι του. Καὶ αὐτὰ βέβαια γιὰ σᾶς. Ἴσως ὅμως ἐπιτρέπει ὁ Θεὸς νὰ παθαίνω αὐτὰ ποὺ σκέπτονται ἐναντίον μου, γιὰ νὰ μὲ δοκιμάσει στὶς συμφορές. Γιατὶ στοὺς κόπους ἔχει ἀποτεθεῖ ὁπωσδήποτε ἡ νίκη καὶ στοὺς ἀγῶνες ἔχει ἑτοιμασθεῖ τὸ στεφάνι. Γιατὶ καὶ ὁ θεόπνευστος Παῦλος ἔλεγε· «τὸ δρόμο τελείωσα, τὴν πίστη τήρησα, καὶ τώρα πιὰ μοῦ ἀπομένει τὸ στεφάνι τῆς δικαιοσύνης»[18]. Γι' αὐτὸ τὸ στεφάνι νὰ σᾶς κρίνει ἄξιους ὁ Κύριος τῶν ὅλων στοὺς αἰῶνες. Ἀμήν.

16. Α' Τιμ. 6,10.
17. Ματθ. 25,21·26.
18. Β' Τιμ. 4,7.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΕΦΕΥΓΕ ΣΤΗΝ ΕΞΟΡΙΑ

## *ΟΜΙΛΙΑ*

### *ΟΤΕ ΑΠΗΕΙ ΕΝ ΤΗι ΕΞΟΡΙΑι*

*1. Φαιδρὸς ἡμῖν ὁ λόγος, ἀδελφοί μου, καὶ λαμπρὰ πανήγυρις, καὶ θάλαττα εὐρύχωρος ἐμπεπλησμένη, ἀλλ' οὐ ταραττομένη τῇ ζάλῃ τῶν ἀνέμων. Ἦλθε γὰρ ἡ μήτηρ τῆς εἰρήνης, ἡ κατασβεννύουσα τὴν ζάλην τῶν ἀνέμων· «μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτήν». Τεκνία μου, μέλλουσί με καθελεῖν; καὶ τί δεδοικα; τὸν θάνατον; «Ἐμοὶ τὸ ζῆν ὁ Χριστός, καὶ τὸ ἀποθανεῖν κέρδος». Ἀλλ' ἐξορίᾳ παραπέμψουσι; «Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς». Ἀλλὰ χρημάτων δήμευσις ἔσται μοι; «Οὐδὲν εἰς τὸν κόσμον εἰσηνέγκαμεν, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα». Ἀλλ' οἴδατε, ἀδελφοί, δι' ἣν αἰτίαν μέλλουσί με καθελεῖν. Ἐπειδὴ τάπητας οὐχ ἥπλωσα, καὶ σηρικὰ ἱμάτια οὐκ ἐνεδυσάμην, ὅτι τὴν γαστριμαργίαν αὐτῶν οὐ παρεμυθησάμην, χρυσὸν καὶ ἄργυρον οὐ προσήνεγκα. Λέγουσι δέ μοι, ὅτι «Ἔφαγες καὶ ἔπιες, καὶ ἐβάπτισας». Εἰ ἐποίησα τοῦτο, ἀνάθεμά μοι ἔστω· μὴ ἀριθμηθείην μετὰ τῶν ἐπισκόπων, μὴ γίνω-*

1. Ψαλμ. 86,5.
2. Φιλιπ. 1,21.
3. Ψαλμ. 23,1.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΕΦΕΥΓΕ ΣΤΗΝ ΕΞΟΡΙΑ

1. Εὐχάριστος ὁ λόγος μας, ἀδελφοί μου, καὶ λαμπρὴ ἡ συγκέντρωση, καὶ θάλασσα εὐρύχωρη γεμάτη, ἀλλὰ δὲν ταράζεται ἀπὸ τὴ θύελλα τῶν ἀνέμων. Γιατὶ ἦρθε ἡ μητέρα τῆς εἰρήνης, αὐτὴ ποὺ καταπαύει τὴ θύελλα τῶν ἀνέμων. «Ἡ μητέρα Σιών, θὰ πεῖ κάθε ἄνθρωπος, καὶ πλῆθος ἄνθρωποι γεννήθηκαν σ' αὐτή, καὶ ὁ ἴδιος ὁ Κύριος ἔθεσε τὰ θεμέλιά της»[1]. Παιδιά μου, πρόκειται νὰ μὲ καθειρέσουν; Καὶ τί φοβᾶμαι; Τὸ θάνατο; «Γιὰ μένα ζωὴ σημαίνει Χριστὸς καὶ θάνατος σημαίνει κέρδος»[2]. Ἀλλὰ θὰ μὲ στείλουν ἐξορία; «Στὸν Κύριο ἀνήκει ἡ γῆ καὶ τὸ καθετὶ ποὺ τὴν γεμίζει»[3]. Ἀλλὰ θὰ μοῦ γίνει δήμευση τῶν ὑπαρχόντων μου; «Δὲ φέραμε τίποτε στὸν κόσμο καὶ εἶναι φανερὸ ὅτι δὲν μποροῦμε τίποτε νὰ πάρουμε μαζί μας»[4]. Ἀλλὰ γνωρίζετε, ἀδελφοί, γιὰ ποιά αἰτία πρόκειται νὰ μὲ καθαιρέσουν. Ἐπειδὴ χαλιὰ δὲν ἅπλωσα, καὶ μεταξωτὰ ἐνδύματα δὲν ντύθηκα, ἐπειδὴ δὲν ἐνθάρρυνα τὴ λαιμαργία τους καὶ δὲν πρόσφερα χρυσάφι καὶ ἀσήμι. Καὶ μοῦ λέγουν ὅτι 'ἔφαγες καὶ ἤπιες, καὶ ὕστερα βάπτισες'. Ἂν τὸ ἔκαμα αὐτό, ἂς εἶμαι ἀνάθεμα, νὰ μὴν ἀριθμηθῶ μαζὶ μὲ τοὺς ἐπισκόπους, νὰ μὴ βρεθῶ μὲ τοὺς ἀγγέλους, νὰ μὴν ἀρέσω στὸ Θεό. Καὶ ἂν ὅμως ἔφαγα

4. Α' Τιμ. 6,7.

*μαι μετὰ ἀγγέλων, μὴ ἀρέσω τῷ Θεῷ. Εἰ δὲ καὶ ἔφαγον καὶ ἐβάπτισα, οὐδὲν τῶν λεγομένων ἄκαιρον ἐποίησα. Καθελέτωσαν καὶ Παῦλον τὸν ἀπόστολον, ὅτι μετὰ τὸ δεῖπνον τῷ δεσμοφύλακι τὸ βάπτισμα ἐχαρίσατο· καὶ καθελέτωσαν αὐτὸν τὸν Κύριον, ὅτι μετὰ τὸ δεῖπνον τὴν κοινωνίαν τοῖς μαθηταῖς ἐχαρίσατο.*

*Πολλὰ ὁρῶ κύματα καὶ χαλεπὸν τὸ κλυδώνιον, καὶ δόρατα παρεσκευασμένα· κἀγὼ ὡς κυβερνήτης ἐν μεγάλῳ κλύδωνι, καθέζομαι ἐπὶ τὰς δύο πρύμνας τοῦ πλοίου, ἤγουν ἐπὶ τὴν Παλαιὰν καὶ Νέαν Διαθήκην, καὶ ταῖς κώπαις ἀπωθοῦμαι τὴν ζάλην· οὐ ταῖς κώπαις ταῖς ξυλίναις, ἀλλὰ τῷ σταυρῷ τῷ τιμίῳ τοῦ Δεσπότου τὴν ζάλην εἰς εἰρήνην μεταστρέφω. Δεσπότης κελεύει, καὶ δοῦλος στεφανοῦται· διὰ τοῦτο αὐτὸν οὐ παραδίδωσιν αὐτὸς διαβόλῳ. Ἓν δὲ οὐκ οἴδασιν οἱ ἄνθρωποι ὅτι διὰ τοῦ ἀκαθάρτου τὸ καθαρώτατον σκεῦος φανεροῦται;*

*Ἀδελφοί, τρεῖς ὑμῖν ὑποθέσεις τίθημι, πίστιν, πειρασμόν, σωφροσύνην. Εἰ λέγετε πίστιν ὑπομένειν, μιμήσασθε τὸν μακάριον Ἀβραάμ, τὸν παρηκμακότα τῇ ἡλικίᾳ καὶ καρποὺς ὡρίμους δεξάμενον. Εἰ δὲ λέγετε πειρασμὸν ὑπομένειν, μιμεῖσθε τὸν μακάριον Ἰώβ. Τὸν αὐτοῦ τρόπον οἴδατε, καὶ τὴν ὑπομονὴν ἠκούσατε, καὶ τὸ τέλος αὐτοῦ οὐκ ἔλαθεν ὑμῖν. Εἰ δὲ θέλετε σωφροσύνην ὑπομένειν, μιμήσασθε τὸν μακάριον Ἰωσήφ, τὸν πραθέντα εἰς Αἴγυπτον, καὶ λιμῷ τηκομένην Αἴγυπτον ἐλευθερώσαντα. Προσετίθη γὰρ αὐτῷ πειρασμὸς ἐκ πόρνης Αἰγυπτίας τῷ ἔρωτι δεδουλωμένης, ἥτις αὐτῷ παρεκάθητο, Κοιμήθητι, λέγουσα, μετ' ἐμοῦ. Ἐβούλετο γὰρ τῆς σωφροσύνης αὐτὸν ἀπογυμνῶσαι ἐν τῇ Αἰγύπτῳ ἡ Αἰγυπτία· ἐνταῦθα δὲ ὁ Αἰγύπτιος. Ἀλλ' οὔτε ἐκείνη τὸν ἅγιον ἐσκέλισεν, οὔτε οὗτος τοῦτον· ἀλλ' ἐφάνη ὁμοῦ τῆς ἐλευθερίας ἡ σωφροσύνη, καὶ τῶν τέκνων ἡ εὐγένεια, καὶ τῆς βαρβάρου ἡ ἀκολασία.*

2. *Ἀδελφοί, ὁ κλέπτης οὐκ ἔρχεται ὅπου καλάμη, καὶ χόρτος,*

καὶ ὕστερα βάπτισα, δὲν ἔκαμα τίποτε ἀπὸ τὰ λεγόμενα ἄκαιρο. Ἂς καθαιρέσουν τὸν Παῦλο τὸν ἀπόστολο, γιατὶ μετὰ τὸ δεῖπνο χάρισε στὸ δεσμοφύλακα τὸ βάπτισμα. Καὶ ἂς καθαιρέσουν τὸν ἴδιο τὸν Κύριο, γιατὶ μετὰ τὸ δεῖπνο χάρισε στοὺς μαθητὲς τὴν κοινωνία.

Βλέπω πολλὰ κύματα καὶ φοβερὴ τὴν τρικυμία, καὶ ἕτοιμα τὰ ξύλινα πλοῖα. Καὶ ἐγὼ σὰν κυβερνήτης μέσα σὲ μεγάλη τρικυμία, κάθομαι πάνω στὶς δύο πρύμνες τοῦ πλοίου, δηλαδὴ στὴν Παλαιὰ καὶ τὴν Καινὴ Διαθήκη, καὶ μὲ τὰ κουπιὰ ἀπομακρύνω τὴ θύελλα. Ὄχι μὲ τὰ κουπιὰ τὰ ξύλινα, ἀλλὰ μὲ τὸ σταυρὸ τὸν τίμιο τοῦ Κυρίου ἀλλάζω τὴ θύελλα σὲ εἰρήνη. Ὁ Κύριος προστάζει, καὶ ὁ δοῦλος στεφανώνεται· γι' αὐτὸ δὲν τὸν παραδίδει ὁ Κύριος στὸ διάβολο. Καὶ ἕνα πράγμα δὲν ξέρουν οἱ ἄνθρωποι, ὅτι μέσα ἀπὸ τὸν ἀκάθαρτο φανερώνεται τὸ πιὸ καθαρὸ σκεῦος;

Ἀδελφοί, σᾶς λέγω τρία πράγματα, τὴν πίστη, τὸν πειρασμό, τὴ σωφροσύνη. Ἂν λέγετε πὼς δείχνετε πίστη, μιμηθεῖτε τὸ μακάριο Ἀβραάμ, ποὺ γέρασε στὴν ἡλικία καὶ παρουσίασε καρποὺς ὥριμους. Καὶ ἂν λέγετε πὼς ὑπομένετε πειρασμό, νὰ μιμεῖστε τὸ μακάριο Ἰώβ. Γνωρίζετε τὸν τρόπο τῆς ζωῆς του, καὶ ἀκούσατε τὴν ὑπομονή του, καὶ τὸ τέλος του δὲ σᾶς ξέφυγε. Καὶ ἂν θέλετε νὰ δείξετε σωφροσύνη, μιμηθεῖτε τὸ μακάριο Ἰωσήφ, ποὺ πουλήθηκε στὴν Αἴγυπτο, καὶ τὴν ἔσωσε ὅταν ἔλειωνε ἀπὸ πείνα. Γιατὶ πρεστέθηκε σ' αὐτὸν πειρασμὸς ἀπὸ πόρνη Αἰγύπτια, ὑποδουλωμένη στὸν ἔρωτα, ποὺ καθόταν κοντά του καὶ τοῦ ἔλεγε 'κοιμήσου μαζί μου'. Γιατὶ ἤθελε νὰ τὸν ἀπογυμνώσει ἀπὸ τὴ σωφροσύνη του στὴν Αἴγυπτο ἡ Αἰγύπτια· ἐδῶ πάλι ὁ Αἰγύπτιος[5]. Ὅμως οὔτε ἐκείνη ἔρριξε τὸν ἅγιο, οὔτε αὐτὸς αὐτόν, ἀλλὰ φάνηκε μαζὶ ἡ σωφροσύνη τῆς ἐλευθερίας καὶ ἡ εὐγένεια τῶν τέκνων καὶ ἡ ἀκολασία τῆς βάρβαρης.

2. Ἀδελφοί, ὁ κλέφτης δὲν ἔρχεται ὅπου ὑπάρχει ἄχυρο καὶ

5. Ἀναφέρεται στὸ Θεόφιλο, τὸν ἐπίσκοπο τῆς Ἀλεξάνδρειας.

*καὶ ξύλον· ἀλλ' ὅπου κεῖται χρυσός, ἢ ἄργυρος, ἢ μαργαρίτης· οὕτως ὁ διάβολος οὐκ εἰσέρχεται ὅπου πόρνος, ἢ βέβηλος, ἢ ἅρπαξ, ἢ πλεονέκτης· ἀλλ' ὅπου οἱ τὸν ἔρημον βίον διάγοντες. Ἀδελφοί, βουλόμεθα ἐφαπλῶσαι τὴν γλῶτταν πρὸς τὴν βασιλίδα; Ἀλλὰ τί εἴπω; Ἰεζάβελ θορυβεῖται, καὶ Ἠλίας φεύγει· Ἡρωδιὰς εὐφραίνεται, καὶ Ἰωάννης δεσμεύεται· ἡ Αἰγυπτία ψεύδεται, καὶ Ἰωσὴφ φυλακίζεται. Ἐὰν οὖν ἐξορίσωσί με, τὸν Ἠλίαν μιμοῦμαι· ἐὰν εἰς βόρβορον βάλωσι, τὸν Ἰερεμίαν· ἐὰν εἰς θάλατταν, τὸν προφήτην Ἰωνᾶν· ἐὰν καὶ εἰς λάκκον, τὸν Δανιήλ· ἐὰν λιθάσωσί με, Στέφανον· ἐὰν ἀποκεφαλίσωσι, Ἰωάννην τὸν πρόδρομον· ἐὰν ῥαβδίσωσι, Παῦλον· ἐὰν πρίσωσι, τὸν Ἠσαΐαν. Εἴθε ξυλίνῳ πρίονι, ἵνα τοῦ σταυροῦ τοῦ πόθου ἀπολαύσω.*

*Ἡ σεσωματωμένη πολεμεῖ τὸν ἀσώματον· ἡ λουτροῖς καὶ μυρίσμασι καὶ μετ' ἀνδρὸς περιπλεκομένη, πολεμεῖ τὴν καθαρὰν καὶ ἄσπιλον Ἐκκλησίαν. Ἀλλά γε καὶ αὐτὴ καθίσει χήρα, ἔτι ζῶντος τοῦ ἀνδρός· ὅτι γυνὴ εἶ, καὶ χηρεῦσαι θέλεις τὴν Ἐκκλησίαν. Ἑσπέρας ἐκάλει με τρισκαιδέκατον ἀπόστολον, καὶ σήμερον Ἰούδα προσεῖπε. Χθὲς μετ' ἐλευθερίας συνεκάθητό μοι, καὶ σήμερον ὡς θηρίον μοι ἐπεπήδησε. Ἔδει τὸν ἥλιον παρ' ἡμῖν σβεσθῆναι, καὶ τὴν σελήνην μὴ φανῆναι, καὶ μόνον τοῦ ῥήματος Ἰὼβ μὴ ἐπιλαθέσθαι. Καὶ γὰρ Ἰώβ, ὁ τηλικαύτην ὑπομείνας πληγήν, ἄλλο οὐδὲν ἐβόα ἢ ὅτι, «εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Ὅτε γὰρ ἡ τούτου γυνὴ ἐβόα λέγουσα, «εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα», ἐπετίμησεν αὐτῇ λέγων· «ἵνα τί ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας;»*

*Ὢ ἀχαροῦς γυναικός! Ἆρα, γύναι, σοῦ ποτε ἀρρωστούσης τοιαῦτά σοι ἐφθέγξατο Ἰώβ; καὶ οὐχὶ εὐχαῖς καὶ εὐποιίαις ἀπεσμή-*

6. Ἰὼβ 1,21.

χορτάρι καὶ ξύλο, ἀλλὰ ὅπου βρίσκεται χρυσάφι ἢ ἀσήμι ἢ μαργαριτάρι. Ἔτσι ὁ διάβολος δὲν μπαίνει ὅπου βρίσκονται αὐτοὶ ποὺ ζοῦν τὴ μοναχικὴ ζωή. Ἀδελφοί, θέλουμε ν' ἀπλώσουμε τὴ γλώσσα πρὸς τὴ βασίλισσα; Ἀλλὰ τί νὰ πῶ; Ἡ Ἰεζάβελ ταράζεται, καὶ ὁ Ἠλίας φεύγει· ἡ Ἡρωδιάδα εὐφραίνεται, καὶ ὁ Ἰωάννης δένεται στὴ φυλακή· ἡ Αἰγυπτία λέγει ψέματα, καὶ ὁ Ἰωσὴφ φυλακίζεται. Ἂν λοιπὸν μὲ ἐξορίσουν, μιμοῦμαι τὸν Ἠλία· ἂν μὲ ρίξουν στὸ βόρβορο, τὸν Ἱερεμία· ἂν μὲ ρίξουν στὴ θάλασσα, τὸν προφήτη Ἰωνᾶ· καὶ ἂν στὸ λάκκο, τὸ Δανιήλ· ἂν μὲ λιθοβολήσουν, τὸ Στέφανο· ἂν μὲ ἀποκεφαλίσουν, τὸν Ἰωάννη τὸν Πρόδρομο· ἂν μὲ ραβδίσουν, τὸν Παῦλο· ἂν μὲ πριονίσουν, τὸν Ἠσαΐα. Εἴθε μὲ ξύλινο πριόνι, γιὰ ν' ἀπολαύσω τὸν πόθο τοῦ σταυροῦ.


Ἡ ὑλικὴ στὸ σῶμα πολεμάει τὸν ἀσώματο· αὐτὴ ποὺ ἀσχολεῖται μὲ λουτρὰ καὶ ἀρώματα καὶ περιπλέκεται μὲ ἄνδρα, πολεμάει τὴν καθαρὴ καὶ ἀμόλυντη Ἐκκλησία. Ἀλλὰ βέβαια καὶ θὰ μείνεις χήρα, ἐνῶ ζεῖ ἀκόμη ὁ ἄνδρας σου, γιατὶ εἶσαι γυναίκα, καὶ θέλεις νὰ χηρέψει ἡ Ἐκκλησία. Τὸ βράδυ μὲ καλοῦσε δέκατο τρίτο ἀπόστολο, καὶ σήμερα μὲ ὀνόμασε Ἰούδα. Χθὲς καθόταν ἐλεύθερα μαζί μου, καὶ σήμερα σὰν θηρίο ὅρμησε ἐναντίον μου. Ἔπρεπε νὰ σβήσει ὁ ἥλιος σὲ μᾶς, καὶ ἡ σελήνη νὰ μὴ φανεῖ, καὶ μόνο ὁ λόγος τοῦ Ἰὼβ νὰ μὴν ξεχασθεῖ. Γιατὶ καὶ ὁ Ἰώβ, ποὺ ὑπέφερε τόσο μεγάλλη πληγή, τίποτε ἄλλο δὲ φώναζε, παρὰ τό, «ἂς εἶναι εὐλογημένο τὸ ὄνομα τοῦ Κυρίου στοὺς αἰῶνες»[6]. Καὶ ὅταν ἡ γυναίκα του φώναζε λέγοντας, «πὲς κάποιο λόγο ἐναντίον τοῦ Κυρίου, καὶ ὕστερα πέθανε», τὴν ἐπιτίμησε λέγοντας, «γιατί μίλησες σὰν μιὰ ἀνόητη γυναίκα;»[7].

Ὢ ἀχάριστη γυναίκα! ὢ φάρμακο τῶν πόνων! Ἄραγε, γυναίκα, ὅταν ἦσουν ἄρρωστη σοῦ εἶπε τέτοια λόγια ὁ Ἰώβ; καὶ

7. Ἰὼβ 2,9 ·10.

*ξατό σου τὴν νόσον; Ὅτε ἐν βασιλικαῖς αὐλαῖς διῆγεν, ὅτε τὰ χρήματα εἶχεν, ὅτε τὴν θεραπείαν τὴν βασιλικὴν, οὐδὲν τοσοῦτον ἔλεγες, καὶ νῦν ὁρῶσα ἐπὶ κοπρίας καθήμενον, καὶ ὑπὸ σκωλήκων συνειλισσόμενον, τοῦτο λέγεις, «εἰπόν τι ρῆμα πρὸς Κύριον, καὶ τελεύτα». Οὐκ ἤρκει αὐτῷ ἡ πρόσκαιρος παιδεία, ἀλλὰ καὶ διὰ τοῦ ρήματος αἰωνίαν αὐτῷ τὴν κόλασιν προξενεῖς; Ἀλλὰ τί ὁ μακάριος Ἰώβ; «Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσωμεν;». Τί δὲ καὶ ἡ παράνομος καὶ στυγερά, αὕτη ἡ νέα, φημί, Ἰεζάβελ οὐ βοᾷ καὶ λέγει ἐκ... καὶ διαπερα... ἀποδρ... ἀλλὰ ἀποστέλλει μοι ὑπάτους καὶ τριβούνους, καὶ μόνον ἀπειλεῖ. Καὶ τί μοι ἀνῆκεν; Ἀράχναι ὑπὸ ἀράχνης ἀποστελλόμεναι.*

*Ἀδελφοὶ πάντες, ὅτι καὶ ἐν πόνοις ἀπόκειται νίκη, καὶ ἐν τοῖς ἀγῶσιν ἀπόκειται στέφανος, ὡς ὁ θεσπέσιος Παῦλος ἀρτίως ἔλεγε, «τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, καὶ λοιπὸν ἀπόκειται ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής»· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*



δὲ σοῦ καθάρισε τὴν ἀρρώστια μὲ προσευχὲς καὶ ἀγαθοεργίες; Ὅταν ζοῦσε σὲ βασιλικὲς αὐλές, ὅταν εἶχε τὰ πλούτη, ὅταν εἶχε τὴν περιποίηση τὴ βασιλική, τίποτε τόσο μεγάλο δὲν ἔλεγες, καὶ τώρα βλέποντας νὰ κάθεται πάνω στὴν κοπριὰ καὶ νὰ περιτυλίγεται ἀπὸ σκουλήκια, τοῦ λέγεις αὐτό, «πὲς κάποιο λόγο ἐναντίον τοῦ Κυρίου, καὶ ὕστερα· πέθανε». Δὲν τοῦ ἦταν ἀρκετὴ ἡ πρόσκαιρη τιμωρία, ἀλλὰ καὶ μὲ τὸ λόγο σου τοῦ προξενεῖς τὴν αἰώνια κόλαση; Ἀλλὰ τί εἶπε ὁ μακάριος Ἰώβ; «Γιατί μίλησες σὰν μία ἀνόητη γυναίκα; Ἂν τὰ ἀγαθὰ τὰ δεχθήκαμε ἀπὸ τὰ χέρια τοῦ Κυρίου, τὰ κακὰ δὲ θὰ τὰ ὑπομείνουμε;». Ἀλλὰ καὶ ἡ παράνομη καὶ στυγερή, αὐτὴ ἡ νέα, λέγω, Ἰεζάβελ δὲ φωνάζει καὶ δὲ λέγει...[8] ἀλλὰ μοῦ στέλνει ὑπάτους καὶ τριβούνους, καὶ μόνο μὲ ἀπειλεῖ. Καὶ τί σχέση ἔχουν μὲ μένα αὐτά; Ἀράχνες εἶναι ποὺ στέλνονται ἀπὸ ἀράχνη.

Ἀδελφοί μου ὅλοι, καὶ στοὺς κόπους περιμένει ἡ νίκη καὶ στοὺς ἀγῶνες φυλάγεται τὸ στεφάνι, ὅπως ὁ θεόπνευστος Παῦλος κατάλληλα ἔλεγε, «τὸν καλὸ ἀγώνα ἀγωνίσθηκα, τὸ δρόμο τελείωσα, τὴν πίστη τήρησα, καὶ τώρα πιὰ μοῦ ἀπομένει τὸ στεφάνι τῆς δικαιοσύνης, ποὺ θὰ μοῦ δώσει ὁ Κύριος τὴν ἡμέρα ἐκείνη, ὁ δίκαιος κριτής»[9]. Γιατὶ σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

8. Στὸ σημεῖο αὐτὸ τὸ κείμενο εἶναι φθαρμένο.
9. Β' Τιμ. 4,7·8.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΗΡΘΕ ΑΠΟ ΤΗΝ ΕΞΟΡΙΑ



# *ΟΜΙΛΙΑ*

## *ΟΤΕ ΗΛΘΕΝ ΑΠΟ ΤΗΣ ΕΞΟΡΙΑΣ*

*1. Τί εἴπω, ἢ τί λαλήσω; Εὐλογητὸς ὁ Θεός. Τοῦτο εἶπον ἐξιὼν τὸ ρῆμα, τοῦτο πάλιν ἐπαναλαμβάνω, μᾶλλον δὲ κἀκεῖ ὢν οὐκ ἀφῆκα αὐτό. Μέμνησθε, ὅτι τὸν Ἰὼβ εἰς μέσον ἤγαγον, καὶ ἔλεγον· «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Ταῦτα ὑμῖν κατέλειψα τὰ ἐξιτήρια, ταῦτα λαμβάνω τὰ εὐχαριστήρια. «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Διάφορα τὰ πράγματα, ἀλλὰ μία ἡ δοξολογία. Ἐλαυνόμενος ηὐλόγουν, ἐπανελθὼν εὐλογῶ. Διάφορα τὰ πράγματα, ἀλλ' ἓν τὸ τέλος τοῦ χειμῶνος καὶ θέρους· ἓν τὸ τέλος, τῆς ἀρούρας ἡ εὐημερία. Εὐλογητὸς ὁ Θεὸς ὁ συγχωρήσας ἐξελθεῖν· εὐλογητὸς πάλιν ὁ καλέσας ἐπανελθεῖν· εὐλογητὸς ὁ Θεὸς ὁ ἐάσας τὸν χειμῶνα· εὐλογητὸς ὁ Θεὸς ὁ λύσας τὸν χειμῶνα καὶ ποιήσας γαλήνην. Ταῦτα λέγω παιδεύων ὑμᾶς εὐλογεῖν τὸν Θεόν. Καλὰ συνέβη; Εὐλόγησον τὸν Θεόν, καὶ μένει τὰ καλά. Κακὰ συνέβη; Εὐλόγησον τὸν Θεόν, καὶ λύεται τὰ κακά. Ἐπεὶ καὶ ὁ Ἰὼβ πλούσιος ὢν ηὐχαρίστει, καὶ πένης γενόμενος ἐδοξολόγει. Οὔτε τότε ἥρπασεν, οὔτε τότε ἐβλασφήμησε.*

*Διάφοροι οἱ καιροί, καὶ μία ἡ γνώμη· καὶ τοῦ κυβερνήτου τὸ*

---

1. Ἰὼβ 1,21.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΗΡΘΕ ΑΠΟ ΤΗΝ ΕΞΟΡΙΑ

1. Τί νὰ πῶ ἢ τί νὰ λαλήσω; Εὐλογητὸς ὁ Θεός. Αὐτὸν τὸ λόγο εἶπα ὅταν ἔφευγα ἐξορία, αὐτὸν λέγω καὶ πάλι, μᾶλλον δὲ καὶ βρισκόμενος ἐκεῖ δὲν τὸν ἄφησα ἀπὸ τὸ στόμα μου. Θυμᾶστε ὅτι σᾶς μίλησα γιὰ τὸν Ἰὼβ καὶ ἔλεγα, «ἂς εἶναι τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένο στοὺς αἰῶνες»[1]. Αὐτὸν τὸν ἀποχαιρετισμὸ σᾶς ἄφησα, αὐτὴν τὴν εὐχαριστία ἐπαναλαμβάνω· «ἂς εἶναι τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένο στοὺς αἰῶνες. Διαφορετικὲς οἱ καταστάσεις, ἀλλὰ μία ἡ δοξολογία. Ὅταν μὲ ἔδιωχναν εὐλογοῦσα, τώρα ποὺ ἐπέστρεψα εὐλογῶ. Διαφορετικὰ τὰ πράγματα, ἀλλὰ ἕνας ὁ σκοπὸς τοῦ χειμώνα καὶ τοῦ θέρους· ἕνας ὁ σκοπός, ἡ ἀφθονία παραγωγῆς τῆς γῆς. Εὐλογητὸς ὁ Θεὸς ποὺ ἐπέτρεψε νὰ ἐξορισθῶ· ἂς εἶναι εὐλογητὸς πάλι ποὺ μὲ κάλεσε νὰ ἐπιστρέψω. Εὐλογητὸς ὁ Θεὸς ποὺ ἄφησε τὴν τρικυμία· ἂς εἶναι εὐλογητὸς ὁ Θεὸς ποὺ κατέπαυσε τὴν τρικυμία καὶ ἔκαμε γαλήνη. Αὐτὰ τὰ λέγω γιὰ νὰ σᾶς διδάξω νὰ εὐλογεῖτε τὸ Θεό. Συνέβηκαν καλά; Εὐλόγησε τὸ Θεὸ καὶ παραμένουν τὰ καλά. Συνέβηκαν κακά; Εὐλόγησε τὸ Θεό, καὶ σταματοῦν τὰ κακά. Γιατὶ καὶ ὁ Ἰὼβ ὅταν ἦταν πλούσιος εὐχαριστοῦσε, καὶ ὅταν ἔγινε φτωχὸς δοξολογοῦσε. Οὔτε τότε ἅρπαξε, οὔτε τότε βλασφήμησε.

Διαφορετικὲς οἱ περιστάσεις, καὶ μία ἡ γνώμη. Καὶ τὴ

γενναῖον οὔτε ἡ γαλήνη ἐκλύει, οὔτε ὁ χειμὼν βαπτίζει. Εὐλογητὸς ὁ Θεός, καὶ ὅτε ὑμῶν ἐχωρίσθην, καὶ ὅτε ὑμᾶς ἀπελάμβανον. Ἀμφότερα τῆς αὐτῆς κηδεμονίας. Ἐχωρίσθην ὑμῶν τῷ σώματι, ἀλλ' οὐκ ἐχωρίσθην ὑμῶν τῇ γνώμῃ. Ἴδετε πόσα εἰργάσατο τῶν ἐχθρῶν ἡ ἐπιβουλή. Τὴν σπουδὴν ἐπέτεινε, τὸ φίλτρον ἀνῆψε, μυρίους ἐρωτάς μοι κατεσκεύασεν· πρὸ τούτου γὰρ οἱ ἐμοί με ἐφίλουν, νῦν δὲ καὶ Ἰουδαῖοι τιμῶσι. Προσεδόκησάν με χωρίσαι τῶν ἐμῶν, καὶ ἀλλότριά μοι προσέθηκαν. Ἀλλ' οὐκ ἐκείνοις χάρις, ἀλλὰ τῇ τοῦ Θεοῦ προσηγορίᾳ, ὅτι γε τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν ἡμετέραν τιμὴν ἀπεχρήσατο· ἐπεὶ καὶ οἱ Ἰουδαῖοι ἐσταύρωσαν τὸν Κύριον ἡμῶν, καὶ ἡ οἰκουμένη ἐσώθη· οὐκ Ἰουδαίων ἔχω χάριν, ἀλλὰ τοῦ σταυρωθέντος.

Ὁράτωσαν ὡς ὁ Θεὸς ἡμῶν· οἵαν εἰρήνην ἔτεκεν ἡ ἐπιβουλὴ αὐτῶν, οἵαν δόξαν κατεσκεύασεν. Πρὸ τούτου γὰρ ἡ ἐκκλησία μόνη πεπλήρωται, νῦν δὲ καὶ ἡ ἀγορὰ ἐκκλησία ἐγένετο· μία κεφαλὴ ἐκεῖθεν ἕως ὧδε· οὐδεὶς ἔπαυσεν ὑμῶν τὸν χορόν, πάντες ἐν σιγῇ, πάντες ἐν κατανύξει. Οἱ μὲν ἔψαλλον, οἱ δὲ ἐμακάριζον τοὺς ψάλλοντας. Ἱπποδρομία σήμερον, καὶ οὐδεὶς ἐκεῖ, ἀλλὰ πάντες εἰς τὴν ἐκκλησίαν ὡς χείμαρροι· τοῦτο δὲ ἐγένετο ὑμῶν τὸ πλῆθος, καὶ ποταμὸς φωναὶ εἰς τὸν οὐρανὸν ἀναβαίνουσαι, τὸ περὶ τὸν πατέρα φίλτρον ἐπιδεικνύμεναι. Εὐχαὶ ὑμῶν ἐμοὶ διαδήματος λαμπρότεραι. Ἄνδρες ὁμοῦ καὶ γυναῖκες· «ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι ἄρσεν καὶ θῆλυ». Πῶς λαλήσω τὰς δυναστείας τοῦ Κυρίου; Οἴδατε πῶς ὃ λέγω ἀεὶ ἀληθές ἐστιν· ὅτι ἐάν τις γενναίως φέρῃ πειρασμόν, καὶ καρπὸν ἀπ' αὐτοῦ μέγαν τρυγᾷ.

2. Διὰ τοῦτο ὑμᾶς ἐκάλεσα πρὸς τοὺς Ἀποστόλους. Ἤλθομεν οἱ διωχθέντες πρὸς τοὺς ἐλαθέντας. Ἡμεῖς ἐπεβουλεύθημεν, ἐκεῖνοι ἠλάθησαν. Ἤλθομεν πρὸς Τιμόθεον τὸν νέον Παῦλον. Ἤλθομεν

2. Γαλ. 3.28.

γενναιότητα τοῦ κυβερνήτη οὔτε ἡ γαλήνη τὴ διαλύει, οὔτε ἡ τρικυμία τὴ βυθίζει. Εὐλογητὸς ὁ Θεός, καὶ ὅταν χωρίσθηκα ἀπὸ σᾶς, καὶ ὅταν σᾶς ξαναπόκτησα. Καὶ τὰ δύο εἶναι ἀποδείξεις τῆς ἴδιας φροντίδας. Χωρίσθηκα ἀπὸ σᾶς μὲ τὸ σῶμα, ἀλλὰ δὲ χωρίσθηκα μὲ τὴν ψυχή. Κοιτάξτε πόσα ἔκαμε ἡ ἐπιβουλὴ τῶν ἐχθρῶν. Αὔξησε τὸ ζῆλο, ἄναψε τὴν ἀγάπη, μοῦ δημιούργησε ἄπειρους ἔρωτες· γιατὶ πρὶν ἀπ' αὐτὸ μὲ ἀγαποῦσαν οἱ δικοί μου, ἐνῶ τώρα μὲ τιμοῦν καὶ οἱ Ἰουδαῖοι. Περίμεναν νὰ μὲ χωρίσουν ἀπὸ τὰ δικά μου, καὶ μοῦ πρόσθεσαν ξένα. Ὅμως δὲν ἀνήκει εὐγνωμοσύνη σ' ἐκείνους, ἀλλὰ στὸ ὄνομα τοῦ Θεοῦ, γιατὶ χρησιμοποίησε τὴν πονηρία τους γιὰ τὴ δική μου τιμή. Ἐπειδὴ καὶ οἱ Ἰουδαῖοι σταύρωσαν τὸν Κύριο μας, καὶ σώθηκε ἡ οἰκουμένη· δὲν εὐγνωμονῶ τοὺς Ἰουδαίους, ἀλλ' ἐκεῖνον ποὺ σταυρώθηκε.

Ἂς βλέπουν ὅπως ὁ Θεός μας· ποιά εἰρήνη γέννησε ἡ ἐπιβουλή τους, ποιά δόξα κατασκεύασε. Γιατὶ πρὶν ἀπ' αὐτὸ ἡ ἐκκλησία μόνο ἦταν γεμάτη, τώρα ὅμως καὶ ἡ ἀγορὰ ἔγινε ἐκκλησία. Ἕνα κεφάλι ἀπὸ ἐκεῖ μέχρι ἐδῶ. Κανένας δὲ σταμάτησε τὸ χορό σας, ὅλοι σιωποῦσαν, ὅλοι βρίσκονταν σὲ κατάνυξη. Ἄλλοι ἔψαλλαν καὶ ἄλλοι μακάριζαν αὐτοὺς ποὺ ἔψαλλαν. Σήμερα γίνεται ἱπποδρομία καὶ κανένας δὲν πηγαίνει ἐκεῖ, ἀλλὰ ὅλοι στὴν ἐκκλησία σὰν χείμαρροι. Καὶ αὐτὸ ἔγινε τὸ πλῆθος σας καὶ ποταμὸς οἱ φωνὲς ποὺ ἀνεβαίνουν στὸν οὐρανὸ καὶ παρουσιάζουν τὴν ἀγάπη γιὰ τὸν πατέρα. Οἱ εὐχές σας εἶναι γιὰ μένα πιὸ λαμπρὲς ἀπὸ τὸ στέμμα. Ἄνδρες μαζὶ καὶ γυναῖκες· «στὸν Ἰησοῦ Χριστὸ δὲν ὑπάρχει ἄνδρας καὶ γυναίκα»[2]. Πῶς νὰ διακηρύξω τὴν ἐξουσία τοῦ Κυρίου; Ξέρετε πῶς αὐτὸ ποὺ λέγω πάντοτε εἶναι ἀλήθεια· ὅτι δηλαδή, ἂν κάποιος ἀντέξει τὸν πειρασμὸ μὲ γενναιότητα, τρυγάει ἀπ' αὐτὸν καὶ μεγάλο καρπό.

2. Γι' αὐτὸ σᾶς κάλεσα στὸ ναὸ τῶν Ἀποστόλων. Ἤρθαμε ἐμεῖς ποὺ διωχθήκαμε πρὸς αὐτοὺς ποὺ καταδιώχθηκαν. Ἐμεῖς ἀπειληθήκαμε, ἐκεῖνοι καταδιώχθηκαν. Ἤρθαμε πρὸς τὸν Τι-

*πρὸς τὰ σώματα ἅγια τοῦ Χριστοῦ βαστάσαντα τὰ στίγματα. Μηδέποτε φοβηθῆς πειρασμόν, ἐὰν γενναίαν ἔχῃς τὴν ψυχήν· πάντες οἱ ἅγιοι οὕτως ἐστεφανώθησαν. Πολλὴ μὲν ἡ θλῖψις τῶν σωμάτων, μείζων δὲ ἡ ἄνεσις τῶν ψυχῶν. Γένοιτο ὑμᾶς ἀεὶ θλίβεσθαι. Οὕτω καὶ ποιμὴν χαίρει ὑπὸ προβάτων καταπονούμενος. Τί λαλήσω; ποῦ σπείρω; Οὐκ ἔχω χώραν ἔρημον. Ποῦ ἐργάσομαι; Οὐκ ἔχω ἄμπελον γεγυμνωμένην. Ποῦ οἰκοδομήσω; Ἀπήρτισται ὁ ναός· τὰ δίκτυά μου διαρρήγνυνται ὑπὸ τῶν ἰχθύων. Τί ποιήσω; Ἐργάσασθαι καιρὸν οὐκ ἔχω. Διὰ τοῦτο παρακαλῶ, οὐχ ὡς δεομένων ὑμῶν διδασκαλίας, ἀλλ' ἵνα δείξω τὴν πρὸς υμᾶς ἀγάπην γνησίαν. Πανταχοῦ στάχυες κομῶσιν. Τοσαῦτα πρόβατα καὶ οὐδαμοῦ λύκος· τοσοῦτοι στάχυες, καὶ οὐδαμοῦ ἄκανθοι· τοσαῦται ἄμπελοι, καὶ οὐδαμοῦ ἀλώπηξ. Αἱ δάκες κατεποντίσθησαν, καὶ οἱ λύκοι ἔφυγον. Τίς αὐτοὺς ἐδίωξεν; Οὐχ ὁ ποιμὴν ἐγώ, ἀλλ' ὑμεῖς τὰ πρόβατα.*

*Ὢ προβάτων εὐγένεια· ἀπόντος τοῦ ποιμένος τοὺς λύκους ἤλασαν. Ὢ κάλλος νύμφης, μᾶλλον δὲ καὶ σωφροσύνη· μὴ παρόντος τοῦ ἀνδρὸς τοὺς μοιχοὺς ἀπήλασεν. Ὢ κάλλος καὶ σωφροσύνη νύμφης· ἔδειξε γυμνὸν αὐτῆς τὸ κάλλος· ἔδειξεν αὐτῆς τὴν σεμνότητα. Πῶς ἤλασας τοὺς μοιχούς; Τὸν ἄνδρα ἐπιποθοῦσα. Πῶς ἤλασας τοὺς μοιχούς; Τῇ τῆς σωφροσύνης ὑπερβολῇ. Οὐκ ἔλαβον ὅπλα, οὐκ ἔλαβον δόρατα, οὐδὲ ἀσπίδας· ἔδειξα αὐτοῖς τὸ κάλλος μου, καὶ οὐκ ἤνεγκαν τὴν λαμπηδόνα. Ποῦ νῦν ἐκεῖνοι; Ἐν αἰσχύνῃ. Ποῦ δὲ ἡμεῖς; Ἐν ἀγαλλιάσει. Βασιλεῖς μεθ' ἡμῶν· ἄρχοντες μεθ' ἡμῶν. Καὶ τί εἴπω; τί λαλήσω; Προσθείη Κύριος καὶ ἐφ' ὑμᾶς καὶ ἐπὶ τὰ τέκνα ὑμῶν, καὶ τὴν προθυμίαν ὑμῶν σαγηνεύσῃ.*

*Ἐνταῦθα δὲ καταπαύσωμεν τὸν λόγον, εὐχαριστοῦντες ἐπὶ πᾶσι τῷ φιλανθρώπῳ Θεῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*

μόθεο, τὸ νέο Παῦλο. Ἤρθαμε στὰ ἅγια σώματα ποὺ βάσταξαν τὰ στίγματα τοῦ Χριστοῦ. Μὴ φοβηθεῖς ποτὲ τὸν πειρασμό, ἂν ἔχεις γενναία τὴν ψυχή. Ὅλοι οἱ ἅγιοι ἔτσι στεφανώθηκαν. Εἶναι μεγάλη ἡ θλίψη τῶν σωμάτων, ἀλλὰ μεγαλύτερη ἡ ἄνεση τῶν ψυχῶν. Εἴθε πάντοτε νὰ θλίβεστε. Ἔτσι καὶ ὁ ποιμένας χαίρεται, κουράζόμενος πολὺ ἀπὸ τὰ πρόβατα. Τί νὰ πῶ; ποῦ νὰ σπείρω; Δὲν ἔχω τόπο ἔρημο. Ποῦ νὰ ἐργασθῶ; Δὲν ἔχω ἀμπέλι γυμνό. Ποῦ νὰ οἰκοδομήσω; Ὁλοκληρώθηκε ὁ ναός· τὰ δίχτυα μου σχίζονται ἀπὸ τὰ ψάρια. Τί νὰ κάμω; Δὲν ἔχω καιρὸ νὰ ἐργασθῶ. Γι' αὐτὸ παρακαλῶ, ὄχι ἐπειδὴ ἔχετε ἀνάγκη διδασκαλίας, ἀλλὰ γιὰ νὰ δείξω γνήσια τὴν ἀγάπη μου σὲ σᾶς. Παντοῦ τὰ στάχυα εἶναι ἄφθονα. Τόσα πολλὰ πρόβατα, καὶ πουθενὰ λύκος. Τόσα πολλὰ στάχυα, καὶ πουθενὰ ἀγκάθια. Τόσα πολλὰ ἀμπέλια, καὶ πουθενὰ ἀλεποῦ. Τὰ ἐπικίνδυνα θηρία καταποντίσθηκαν, καὶ οἱ λύκοι ἔφυγαν. Ποιός τοὺς ἔδιωξε; Ὄχι ἐγὼ ὁ ποιμένας, ἀλλὰ σεῖς τὰ πρόβατα.

Πὼ πὼ εὐγένεια προβάτων! Ὅταν ὁ ποιμένας ἀπουσίαζε, ἀπομάκρυναν τοὺς λύκους. Πὼ πὼ ὀμορφιὰ νύφης, ἢ καλύτερα καὶ σωφροσύνη· χωρὶς νὰ εἶναι παρὼν ὁ ἄνδρας, ἔδιωξε τοὺς μοιχούς. Πὼ πὼ ὀμορφιὰ καὶ σωφροσύνη νύφης! Ἔδειξε γυμνὴ τὴν ὀμορφιά της, ἔδειξε τὴ σεμνότητά της. Πῶς ἀπομάκρυνες τοὺς μοιχούς; Ποθοῦσα πολὺ τὸν ἄνδρα μου. Πῶς ἀπομάκρυνες τοὺς μοιχούς; Μὲ τὴν ὑπερβολική μου σωφροσύνη. Δὲν πῆρα ὅπλα, δὲν πῆρα δόρατα, οὔτε ἀσπίδες. Τοὺς ἔδειξα τὴν ὀμορφιά μου, καὶ δὲν ἄντεξαν τὴ λάμψη της. Πῶς εἶναι τώρα αὐτοί; Καταντροπιασμένοι. Καὶ πῶς εἴμαστε ἐμεῖς; Γεμάτοι ἀπὸ μεγάλη χαρά. Οἱ βασιλεῖς εἶναι μαζί μας, οἱ ἄρχοντες μαζί μας. Καὶ τί νὰ πῶ; τί νὰ λαλήσω; «Εἴθε νὰ προσθέσει ὁ Κύριος σὲ σᾶς καὶ στὰ παιδιά σας νέες εὐλογίες»[3], καὶ νὰ σαγηνεύσει τὴν προθυμία σας.

Ἐδῶ ὅμως ἂς τελειώσουμε τὸ λόγο εὐχαριστώντας γιὰ ὅλα τὸ φιλάνθρωπο Θεό, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.

3. Ψαλμ. 113,22.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ

## ΕΠΕΣΤΡΕΨΕ ΑΠΟ ΤΗΝ ΠΡΩΤΗ ΕΞΟΡΙΑ



# ΟΜΙΛΙΑ

## ΕΠΑΝΕΛΘΟΝΤΟΣ ΑΥΤΟΥ ΑΠΟ ΤΗΣ ΠΡΟΤΕΡΑΣ ΕΞΟΡΙΑΣ

*1. Ὅτε τὴν Σάρραν ἀπὸ τοῦ Ἀβραὰμ ἥρπασεν ὁ Φαραώ, τὴν καλὴν καὶ εὐειδῆ γυναῖκα ὁ πονηρὸς καὶ βάρβαρος καὶ Αἰγύπτιος, ἀδίκοις ὀφθαλμοῖς ἰδὼν αὐτῆς τὸ κάλλος, καὶ μοιχείας ἐργάσασθαι δρᾶμα βουλόμενος, τότε δή, τότε παρὰ μὲν τὴν ἀρχὴν οὐκ ἐκόλασεν ὁ Θεός, ἵνα δειχθῇ καὶ τοῦ δικαίου ἡ ανδρεία καὶ τῆς γυναικὸς ἡ σωφροσύνη, καὶ τοῦ βαρβάρου ἡ ἀκολασία, καὶ ἡ τοῦ Θεοῦ φιλανθρωπία· τοῦ δικαίου ἡ ἀνδρεία, ὅτι ἔφερεν εὐχαρίστως τὸ γενόμενον· τῆς γυναικὸς ἡ σωφροσύνη, ὅτι ἐνέπεσεν εἰς τὰς βαρβαρικὰς χεῖρας, καὶ τὴν σεμνότητα διετήρησε· τοῦ βαρβάρου ἡ ἀκολασία, ὅτι ἀλλοτρίᾳ ἐπῆλθε εὐνῇ· τοῦ Θεοῦ ἡ φιλανθρωπία, ὅτι μετὰ ἀπόγνωσιν ἀνθρώπων, τότε τὸν στέφανον ἤνεγκε τῷ δικαίῳ.*

*Ταῦτα ἐγίνετο τότε ἐπὶ τοῦ Ἀβραάμ, ἐγένετο δὲ σήμερον ἐπὶ τῆς Ἐκκλησίας. Αἰγύπτιος οὗτος, ὡς ἐκεῖνος Αἰγύπτιος· οὗτος δορυφόρους εἶχεν, ἐκεῖνος ὑπασπιστάς· ἐκεῖνος τὴν Σάρραν, οὗτος τὴν Ἐκκλησίαν· μίαν νύκτα ἐκεῖνος συνέσχε, μίαν ἡμέραν οὗτος εἰσῆλθεν· οὐδ' ἂν τὴν μίαν συνεχωρήθη, ἀλλ' ἵνα δειχθῇ τῆς νύμφης ἡ σωφροσύνη, ὅτι εἰσέρχεται, καὶ οὐ διεφθάρη αὐτῆς τὸ κάλλος τῆς σωφροσύνης, καίτοι μοιχὸν ἡτοίμασε, καὶ τὰ γραμματεῖα συνετε-*

1. Βλ. Γεν. 12,10–20.



# ΟΜΙΛΙΑ

## ΟΤΑΝ ΕΠΕΣΤΡΕΨΕ ΑΠΟ ΤΗΝ ΠΡΩΤΗ ΕΞΟΡΙΑ

1. Ὅταν ὁ Φαραὼ ἅρπαξε ἀπὸ τὸν Ἀβραὰμ τὴ Σάρρα[1], τὴν καλὴ καὶ ὄμορφη γυναίκα ὁ πονηρὸς καὶ βάρβαρος Αἰγύπτιος, γιατὶ εἶδε μὲ ἄδικα μάτια τὴν ὀμορφιά της καὶ θέλησε νὰ κάμει τὸ ἔργο τῆς μοιχείας, τότε ἀκριβῶς, τότε στὴν ἀρχὴ δὲν τὸν τιμώρησε ὁ Θεός, γιὰ ν' ἀποδειχθεῖ καὶ ἡ ἀνδρεία τοῦ δικαίου καὶ ἡ ἐγκράτεια τῆς γυναίκας, καὶ ἡ ἀκολασία τοῦ βαρβάρου, καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ. Ἡ ἀνδρεία τοῦ δικαίου, γιατὶ ἄντεξε μὲ εὐχαρίστηση τὸ γεγονός· ἡ ἐγκράτεια τῆς γυναίκας, γιατὶ ἔπεσε στὰ βαρβαρικὰ χέρια καὶ διατήρησε τὴ σεμνότητά της· ἡ ἀκολασία τοῦ βαρβάρου, γιατὶ μπῆκε σὲ ξένο συζυγικὸ κρεβάτι· ἡ φιλανθρωπία τοῦ Θεοῦ, γιατὶ μετὰ τὴν ἀπελπισία τῶν ἀνθρώπων χάρισε τὸ στεφάνι στὸ δίκαιο.

Αὐτὰ γίνονταν τότε ἐναντίον τοῦ Ἀβραάμ, ἔγιναν ὅμως καὶ σήμερα ἐναντίον τῆς Ἐκκλησίας. Αἰγύπτιος αὐτός, ὅπως καὶ ἐκεῖνος Αἰγύπτιος[2]· αὐτὸς εἶχε δορυφόρους, ἐκεῖνος ὑπασπιστές· ἐκεῖνος ἅρπαξε τὴ Σάρρα, αὐτὸς τὴν Ἐκκλησία· ἐκεῖνος μιὰ νύχτα τὴν κράτησε, αὐτὸς μιὰ ἡμέρα ἀνέλαβε τὴν ἐξουσία της· οὔτε τὴ μία θὰ ἐπέτρεπε ὁ Θεός, ἀλλὰ γιὰ ν' ἀποδειχθεῖ ἡ ἁγνότητα τῆς νύφης, ὅτι κυριεύεται, καὶ δὲν καταστρά-

2. Ἀναφέρεται στὸν ἐπίσκοπο Ἀλεξανδρείας Θεόφιλο.

*λεῖτο, καὶ πολλοὶ τῶν τῆς οἰκίας ὑπέγραφον. Ἀπηρτίσθη ἡ μηχανή, καὶ τὸ τέλος οὐκ ἐγένετο. Ἐφάνη ἐκείνου ἡ πονηρία, καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία. Ἀλλ' ὁ μὲν βάρβαρος τότε ἐκεῖνος ἐπιγνοὺς τὸ ἁμάρτημα, ὡμολόγησε τὸ παρανόμημα· λέγει γὰρ τῷ Ἀβραάμ· «τί ἐποίησας τοῦτο; Εἰς τί εἶπας, ὅτι ἀδελφή μού ἐστι; καὶ μικροῦ ἂν ἥμαρτον»· οὗτος δὲ μετὰ τὴν παρανομίαν ἐπηγωνίσατο. Ἄθλιε καὶ ταλαίπωρε, «ἥμαρτες, ἡσύχασον», μὴ πρόσθες ἁμαρτίαν ἐφ' ἁμαρτίαν. Κἀκείνη μὲν ἐπανῆλθε, πλοῦτον ἔχουσα τὸν Αἰγυπτιακόν· ἡ δὲ Ἐκκλησία ἐπανῆλθε, πλοῦτον ἔχουσα τὸν ἀπὸ τῆς γνώμης, καὶ σωφρονεστέρα ἐφάνη. Ὅρα δὲ τὴν μανίαν τοῦ βαρβάρου. Ἐξέβαλες τὸν ποιμένα· τί τὴν ἀγέλην διέσπασας; Ἀπέστησας τὸν κυβερνήτην· τί τοὺς οἴακας κατέκλασας; Τὸν ἀμπελουργὸν ἐξέβαλες· τί τὰς ἀμπέλους ἀνέσπασας; τί τὰ μοναστήρια διέφθειρας; Βαρβάρων ἔφοδον ἐμιμήσω.*

*2. Ἐποίησεν ἅπαντα, ἵνα δειχθῇ ὑμῶν ἡ ἀνδρεία· ἐποίησεν ἅπαντα, ἵνα μάθῃ ὅτι ποίμνη ἐστὶν ἐνταῦθα ὑπὸ Χριστοῦ ποιμαινομένη. Ἔξω ὁ ποιμήν, καὶ ἡ ἀγέλη συνεκροτεῖτο, καὶ τὸ ἀποστολικὸν ἐπληροῦτο ῥῆμα. «Οὐκ ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ καὶ ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε». Καὶ τοιαῦτα ἠπείλουν δεδοικότες ὑμῶν τὴν ἀνδρείαν καὶ τῆς ἀγάπης τὸ φίλτρον, καὶ τὸν πόθον τὸν περὶ ἐμέ. Οὐδὲν τολμῶμεν, φησίν, ἐν τῇ πόλει· δότε ἡμῖν αὐτὸν ἔξω. Λάβετέ με ἔξω, ἵνα μάθητε τὸν πόθον τῆς Ἐκκλησίας, μάθητε τῶν ἐμῶν τέκνων τὴν εὐγένειαν, τῶν στρατιωτῶν τὴν ἰσχύν, τῶν ὁπλιτῶν τὴν δύναμιν, τῶν διαδημάτων τὴν περιφάνειαν, τοῦ πλούτου τὴν περιουσίαν, τῆς ἀγάπης τὸ μέγεθος, τῆς καρτερίας τὴν ὑπομονήν, τῆς ἐλευθερίας τὸ ἄνθος, τῆς νίκης τὸ περιφανές, τῆς ἥττης σου τὸν γέλωτα.*

---

3. Γεν. 12,18–19.
4. Γεν. 4,7.

φηκε ἡ ὀμορφιὰ τῆς ἀγνότητάς της, παρ' ὅλο ποὺ ἑτοίμασε μοιχὸ καὶ τὰ ἔγγραφα συμπληρώνονταν καὶ πολλοὶ σπιτικοὶ τὰ ὑπέγραφαν. Ὁλοκληρώθηκε ἡ σκευωρία, καὶ τὸ ἀποτέλεσμα δὲν ἦρθε. Φάνηκε ἡ πονηρία ἐκείνου, καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ. Ἀλλὰ τότε ὁ βάρβαρος ἐκεῖνος ἀναγνωρίζοντας τὸ ἁμάρτημά του ὁμολόγησε τὴν παρανομία του –καθόσον λέγει στὸν Ἀβραάμ· «Γιατὶ τὸ ἔκανες αὐτό; Γιατὶ εἶπες πὼς εἶναι ἀδελφή σου; Παρὰ λίγο θὰ ἁμάρτανα»[3]–, αὐτὸς ὅμως μετὰ τὴν παρανομία συνεχίζει τὸν ἀγώνα του. Ἄθλιε καὶ ταλαίπωρε, «ἁμάρτησες, ἡσύχασε»[4], μὴν προσθέσεις ἁμαρτία ἐπάνω στὴν ἁμαρτία. Καὶ ἐκείνη βέβαια ἐπέστρεψε ἔχοντας πλοῦτο αἰγυπτιακό, ἐνῶ ἡ Ἐκκλησία ἐπέστρεψε ἔχοντας πλοῦτο πνευματικὸ καὶ φάνηκε πιὸ ἁγνή. Βλέπε ὅμως τὴ μανία τοῦ βαρβάρου. Ἐξόρισες τὸν ποιμένα· γιατὶ σκόρπισες τὸ ποίμνιο; Ἀπομάκρυνες τὸν κυβερνήτη· γιατὶ ἔσπασες τὸ πηδάλι; Ἔδιωξες τὸν ἀμπελουργό· γιατὶ ξερρίζωσες τὰ ἀμπέλια; γιατὶ κατέστρεψες τὰ μοναστήρια; Μιμήθηκες βαρβαρικὴ ἐπίθεση.

2. Τὰ πάντα ἔκαμε γιὰ ν' ἀποδειχθεῖ ἡ ἀνδρεία σας. Τὰ πάντα ἔκαμε γιὰ νὰ μάθει ὅτι ἐδῶ ὑπάρχει ποίμνη ποὺ τὴν ποιμαίνει ὁ Χριστός. Ὁ ποιμένας ἦταν ἐξορία καὶ τὸ ποίμνιο συγκεντρωνόταν καὶ ἐκπληρωνόταν ὁ ἀποστολικὸς λόγος, «ὄχι μόνο στὴν παρουσία μου, ἀλλὰ καὶ στὴν ἀπουσία μου, μὲ φόβο καὶ τρόμο νὰ κερδίζετε τὴ σωτηρία σας»[5]. Καὶ ἀπειλοῦσαν τέτοια πράγματα ἐπειδὴ φοβοῦνταν τὴν ἀνδρεία σας, τὴ δύναμη τῆς ἀγάπης σας καὶ τὸν πόθο σας γιὰ μένα. Δὲν τολμοῦσε, λέγει, τίποτε στὴν πόλη· δῶστε τον σὲ μᾶς ἔξω. Πάρτε με ἔξω, γιὰ νὰ μάθετε τὸν πόθο τῆς Ἐκκλησίας, νὰ μάθετε τὴν εὐγένεια τῶν τέκνων μου, τὴν ἰσχὺ τῶν στρατιωτῶν, τὴ δύναμη τῶν ὁπλιτῶν, τὴ δόξα τῶν διαδημάτων, τὴν ἀφθονία τοῦ πλούτου, τὸ μέγεθος τῆς ἀγάπης, τὴν ὑπομονὴ τῆς καρτερίας, τὸ ἄνθος τῆς ἐλευθερίας, τὴ λαμπρότητα τῆς νίκης, τὴ γελοία ἧττα σου.

---

5. Φιλιπ. 2,12.

*Ὢ καινῶν καὶ παραδόξων πραγμάτων· ὁ ποιμὴν ἔξω, καὶ ἡ ἀγέλη σκιρτᾷ· ὁ στρατηγὸς πόρρω, καὶ οἱ στρατιῶται ὡπλίζοντο. Οὐκέτι ἡ ἐκκλησία εἶχε τὸ στρατόπεδον μόνον, ἀλλὰ καὶ ἡ πόλις ἐκκλησία ἐγένετο. Αἱ ῥῦμαι, αἱ ἀγοραί, ὁ ἀὴρ ἡγιάζετο· αἱρετικοὶ ἐπεστρέφοντο, οἱ Ἰουδαῖοι βελτίους ἐγένοντο· οἱ ἱερεῖς κατεδικάζοντο, καὶ οἱ Ἰουδαῖοι τὸν Θεὸν εὐφήμουν, καὶ ἡμῖν προσέτρεχον. Οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ἐγένετο. Καϊάφας ἐσταύρωσε, καὶ λῃστὴς ὡμολόγησεν. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων· ἱερεῖς ἀπέκτειναν, καὶ μάγοι προσεκύνησαν. Μὴ ξενιζέτω ταῦτα τὴν Ἐκκλησίαν. Εἰ μὴ ταῦτα ἐγένετο, ὁ πλοῦτος ἡμῶν οὐκ ἂν ἐφάνη· ἦν μέν, οὐκ ἂν δὲ ἐφάνη. Ὥσπερ γὰρ ὁ Ἰὼβ δίκαιος μὲν ἦν, οὐκ ἂν δὲ ἐφάνη, εἰ μὴ τὰ τραύματα καὶ οἱ σκώληκες, οὕτω καὶ ὁ ὑμέτερος πλοῦτος, εἰ μὴ αἱ ἐπιβουλαί, οὐκ ἄν ἐφάνη. Ἀπολογούμενος δὲ τῷ Ἰὼβ ὁ Θεός φησιν, ὅτι «οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς;».*

*Ἐπεβούλευσαν ἐκεῖνοι, ἐπολέμησαν, καὶ ἡττήθησαν. Πῶς ἐπολέμησαν; Ῥοπάλοις. Πῶς ἡττήθησαν; Εὐχαῖς. «Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην». Σὺ ῥόπαλα εἰσφέρεις εἰς τὴν ἐκκλησίαν καὶ πολεμεῖς· ὅπου εἰρήνη πᾶσι, πολέμου ἀρχῇ· οὐδὲ τὸν τόπον ᾐδέσθης, ἄθλιε καὶ ταλαίπωρε, οὐδὲ τῆς ἱερωσύνης τὸ ἀξίωμα, οὐδὲ τῆς ἀρχῆς τὸ μέγεθος. Τὸ φωτιστήριον αἱμάτων ἐμπέπλησται· ὅπου ἁμαρτημάτων ἄφεσις, αἱμάτων ἔκχυσις. Ἐν ποίᾳ παρατάξει ταῦτα γίνεται; Βασιλεὺς εἰσέρχεται καὶ ῥίπτει ἀσπίδα καὶ διάδημα· σὺ εἰσῆλθες, καὶ ῥόπαλα ἥρπασας. Ἐκεῖνος καὶ τὰ συνθήματα τῆς βασιλείας ἔξω ἀφίησι· σὺ τὰ συνθήματα τοῦ πολέμου ἐνταῦθα εἰσήνεγκας. Ἀλλὰ τὴν νύμφην μου οὐδὲν ἔβλαψας, ἀλλὰ μένει τὸ κάλλος αὐτῆς ἐπιδεικνυμένη.*

---

6. Ἰὼβ 40,8.

Πὼ πὼ καινούργια καὶ παράδοξα πράγματα! Ὁ ποιμένας βρίσκεται ἐξορία, καὶ τὸ ποίμνιο σκιρτᾶ ἀπὸ χαρά· ὁ στρατηγὸς εἶναι μακριά, καὶ οἱ στρατιῶτες ὁπλίζονται. Δὲν εἶχε ἡ ἐκκλησία μόνο τὸ στρατό της, ἀλλὰ καὶ ἡ πόλη ἔγινε ἐκκλησία. Οἱ δρόμοι, οἱ ἀγορές, ὁ ἀέρας ἁγιαζόταν· αἱρετικοὶ ἐπέστρεφαν, οἱ Ἰουδαῖοι γίνονταν καλύτεροι· οἱ ἱερεῖς καταδικάζονταν, καὶ οἱ Ἰουδαῖοι δοξολογοῦσαν τὸ Θεὸ καὶ ἔτρεχαν σ' ἐμᾶς. Ἔτσι ἔγινε καὶ στὸ Χριστό. Ὁ Καϊάφας τὸν σταύρωσε, καὶ ὁ ληστὴς τὸν ὁμολόγησε. Πὼ πὼ καινούργια καὶ παράδοξα πράγματα! Ἱερεῖς τὸν φόνευσαν, καὶ μάγοι τὸν προσκύνησαν. Ἂς μὴν παραξενεύουν αὐτὰ τὴν Ἐκκλησία. Ἂν δὲ γίνονταν αὐτά, δὲ θὰ φαινόταν ὁ πλοῦτος μας· ὑπῆρχε βέβαια, ἀλλὰ δὲ θὰ φαινόταν. Ὅπως δηλαδὴ ὁ Ἰώβ, ἦταν βεβαία δίκαιος, δὲ θὰ φαινόταν ὅμως ἂν δὲν ὑπῆρχαν οἱ πληγὲς καὶ τὰ σκουλήκια, ἔτσι καὶ ὁ πλοῦτος σας, ἂν δὲν ὑπῆρχαν οἱ ἐπιβουλές, δὲ θὰ φαινόταν. Καὶ ὅταν ὁ Θεὸς ἀπολογοῦνταν στὸν Ἰὼβ τοῦ λέγει, «νομίζεις ὅτι σὲ μεταχειρίσθηκα ἔτσι γιὰ ἄλλο λόγο, παρὰ μόνο γιὰ νὰ ἀναδειχθεῖς δίκαιος;»[6].

Συνωμότησαν ἐκεῖνοι, πολέμησαν καὶ νικήθηκαν. Πῶς πολέμησαν; Μὲ ρόπαλα. Πῶς νικήθηκαν; Μὲ προσευχές. «Ἂν κάποιος σὲ ραπίσει στὸ δεξὶ σαγόνι, νὰ τοῦ στρέψεις καὶ τὸ ἄλλο»[7]. Ἐσὺ ρόπαλα φέρνεις στὴν ἐκκλησία καὶ πολεμᾶς· ὅπου σ' ὅλους εἰρήνη, ἀρχίζεις πόλεμο· οὔτε τὸν τόπο σεβάσθηκες, ἄθλιε καὶ ταλαίπωρε, οὔτε τὸ ἀξίωμα τῆς ἱερωσύνης, οὔτε τὸ μέγεθος τῆς ἐξουσίας. Τὸ βαπτιστήριο ἔχει γεμίσει αἵματα· ὅπου συγχωροῦνται ἁμαρτίες, χύθηκαν αἵματα. Σὲ ποιά παράταξη γίνονται αὐτά; Ὁ βασιλιὰς μπαίνει μέσα καὶ βγάζει τὴν ἀσπίδα καὶ τὸ στέμμα· ἐσὺ μπῆκες, καὶ ἅρπαξες ρόπαλα. Ἐκεῖνος καὶ τὰ σύμβολα τῆς βασιλείας τὰ ἀφήνει ἔξω· ἐσὺ τὰ σύμβολα τοῦ πολέμου τὰ ἔφερες ἐδῶ μέσα. Ὅμως δὲν ἔβλαψες καθόλου τὴ νύφη μου, ἀλλὰ ἐξακολουθεῖ νὰ φανερώνει τὴν ὀμορφιά της.

7. Ματθ. 5,39.

3. Διὰ τοῦτο χαίρω, οὐχ ὅτι ἐνικήσατε. Εἰ παρήμην, ἐμεριζόμην μεθ' ὑμῶν τὴν νίκην· ἐπειδὴ δὲ ἀνεχώρησα, γυμνὸν ὑμῶν τὸ τρόπαιον ἐφάνη. Ἀλλὰ καὶ τοῦτο ἐμὸν ἐγκώμιον, καὶ πάλιν μερίζομαι ἐγὼ μεθ' ὑμῶν τὴν νίκην, ὅτι οὕτως ὑμᾶς ἀνέθρεψε, ὡς καὶ ἀπόντος τοῦ πατρὸς τὴν οἰκείαν εὐγένειαν ἐπιδείκνυσθαι. Ὥσπερ γὰρ οἱ γενναῖοι τῶν ἀθλητῶν καὶ ἀπόντος τοῦ παιδοτρίβου τὴν ἑαυτῶν ρώμην ἐπιδείκνυνται, οὕτω καὶ ἡ εὐγένεια τῆς ὑμετέρας πίστεως καὶ ἀπόντος τοῦ διδασκάλου τὴν οἰκείαν εὐμορφίαν ἐπεδείξατο. Τίς χρεία λόγων; Οἱ λίθοι βοῶσιν, οἱ τοῖχοι φωνὴν ἀφιᾶσιν. Ἄπελθε εἰς βασιλικὰς αὐλάς, καὶ ἀκούεις εὐθέως, οἱ λαοὶ Κωνσταντινουπόλεως. Ἄπελθε εἰς τὴν θάλατταν, εἰς τὴν ἔρημον, εἰς τὰ ὄρη, εἰς τὰς οἰκίας, τὸ ἐγκώμιον ὑμῶν ἀναγέγραπται. Ἐν τίνι ἐνικήσατε; Οὐ χρήμασιν, ἀλλὰ πίστει.

Ὦ λαὸς φιλοδιδάσκαλος, ὦ λαὸς φιλοπάτωρ, μακαρία ἡ πόλις, οὐ διὰ κίονας καὶ χρυσοῦν ὄροφον, ἀλλὰ διὰ τὴν ὑμετέραν ἀρετήν. Τοσαῦται αἱ ἐπιβουλαί, καὶ αἱ εὐχαὶ ὑμῶν ἐνίκησαν· καὶ μάλα εἰκότως· καὶ γὰρ ἐκτενεῖς ἦσαν αἱ εὐχαί, καὶ αἱ πηγαὶ τῶν δακρύων ἐπέρρεον. Ἐκεῖνοι βέλη, ὑμεῖς δὲ δάκρυα· ἐκεῖνοι θυμόν, ὑμεῖς δὲ πραΰτητα. Ὃ βούλει ποίησον· ὑμεῖς εὔχεσθε. Κἀκεῖνοι, οἳ ἀντέλεγον, ποῦ νῦν εἰσιν· Ὅπλα ἐκινήσαμεν; μὴ τόξα ἐτείναμεν; μὴ βέλη ἀφήκαμεν; Εὐχόμεθα, κἀκεῖνοι ἔφυγον· ὡς γὰρ ἀράχνη διεσπάσθησαν, καὶ ὑμεῖς ὡς πέτρα ἑστήκατε. Μακάριος ἐγὼ δι' ὑμᾶς· ᾔδειν μὲν καὶ πρὸ τούτου ἡλίκον ἔχω πλοῦτον, ἐθαύμασα δὲ καὶ νῦν. Πόρρω ἤμην, καὶ πόλις μετῳκίζετο. Δι' ἕνα ἄνθρωπον τὸ πέλαγος πόλις ἐγίνετο. Γυναῖκες, ἄνδρες, παιδία ἄωρα τὴν ἡλικίαν, γυναῖκες βαστάζουσαι παιδία, κατετόλμων πελάγους, κατεφρόνησαν κυμάτων. Οὐ δοῦλος ἐδεδοίκει δεσπότην, οὐ γυνὴ τῆς φυσικῆς ἀσθενείας ἐμέμνητο. Γέγονεν ἡ ἀγορὰ ἐκκλησία, τὰ πανταχοῦ δι' ἡμᾶς.

3. Γι' αὐτὸ χαίρομαι, ὄχι γιατὶ νικήσατε. Ἂν ἤμουν παρών, θὰ μοιραζόμουν μαζί σας τὴ νίκη· ἐπειδὴ ὅμως ἀναχώρησα, φάνηκε γυμνὸ τὸ τρόπαιό σας. Ἀλλὰ καὶ αὐτὸ εἶναι δικός μου ἔπαινος, καὶ πάλι μοιράζομαι μαζί σας τὴ νίκη, γιατὶ σᾶς ἀνέθρεψα ἔτσι, ὥστε, καὶ ὅταν ὁ πατέρας σας ἀπουσιάζει, νὰ φανερώνετε τὴ δική σας εὐγένεια. Γιατί, ὅπως οἱ γενναῖοι ἀθλητὲς καὶ ὅταν ἀκόμη ἀπουσιάζει ὁ γυμναστής τους φανερώνουν τὴ δύναμή τους, ἔτσι καὶ ἡ εὐγένεια τῆς πίστης σας καὶ ὅταν ἀκόμη ἀπουσίαζε ὁ διδάσκαλός σας φανέρωσε τὴν ὁμορφιά της. Τί χρειάζονται τὰ λόγια; Οἱ πέτρες φωνάζουν, οἱ τοῖχοι βγάζουν φωνή. Πήγαινε στὶς βασιλικὲς αὐλές, καὶ θ' ἀκούσεις ἀμέσως, 'οἱ πιστοὶ τῆς Κωνσταντινουπόλεως'. Πήγαινε στὴ θάλασσα, στὴν ἔρημο, στὰ βουνά, στὰ σπίτια, τὸ ἐγκώμιό σας εἶναι παντοῦ γραμμένο. Μὲ τί νικήσατε; Ὄχι μὲ χρήματα, ἀλλὰ μὲ τὴν πίστη.

Πὼ πὼ λαὸς ποὺ ἀγαπάει τὸ διδάσκαλό του, πὼ πὼ λαὸς ποὺ ἀγαπάει τὸν πατέρα του! Εἶναι μακάρια ἡ πόλη, ὄχι γιὰ τοὺς κίονες καὶ τὴ χρυσὴ ὀροφή, ἀλλὰ γιὰ τὴ δική σας ἀρετή. Τόσες πολλὲς οἱ ἐπιβουλές, καὶ οἱ προσευχές σας νίκησαν. Καὶ πολὺ φυσικά· γιατὶ καὶ οἱ προσευχὲς ἦταν ἀκατάπαυστες, καὶ οἱ πηγὲς τῶν δακρύων ἔτρεχαν. Ἐκεῖνοι εἶχαν βέλη, ἐσεῖς ὅμως δάκρυα· ἐκεῖνοι θυμό, ἐσεῖς ὅμως πραότητα. Ὅ,τι θέλεις κάνε, ἐσεῖς προσεύχεστε. Καὶ ἐκεῖνοι ποὺ ἀντέλεγαν ποῦ βρίσκονται τώρα; Μήπως πήραμε ὅπλα; μήπως τεντώσαμε τόξα; μήπως ρίξαμε βέλη; Προσευχόμασταν, καὶ ἐκεῖνοι ἔφυγαν· σὰν ἀράχνη διασκορπίσθηκαν καὶ σεῖς σὰν πέτρα σταθήκατε. Εἶμαι εὐτυχισμένος ἐξ αἰτίας σας. Γνώριζα βέβαια καὶ πρὶν ἀπ' αὐτὸ πόσο μεγάλο πλοῦτο ἔχω, ἀλλὰ τὸν θαύμασα καὶ τώρα. Ἤμουν μακριά, καὶ ἡ πόλη μετανάστευε. Γιὰ ἕνα ἄνθρωπο τὸ πέλαγος γινόταν πόλη. Γυναῖκες, ἄνδρες, παιδιὰ μικρὰ στὴν ἡλικία, γυναῖκες ποὺ βάσταζαν παιδιά, ριψοκηνδύνευαν στὸ πέλαγος, περιφρόνησαν τὰ κύματα. Ὁ δοῦλος δὲ φοβόταν τὸν κύριο, ἡ γυναίκα δὲ θυμόταν τὴ φυσική της ἀδυναμία. Ἔγινε ἡ ἀγορὰ ἐκκλησία, παντοῦ ὅλα γιὰ μένα.

*Τίνα γὰρ οὐκ ἐπαιδεύσατε; Βασιλίδα συγχορεύουσαν ἐλάβετε· οὐ γὰρ ἀποκρύψομαι τὸν ζῆλον αὐτῆς. Οὐ βασιλίδα κολακεύων, ταῦτα λέγω, ἀλλ' εὐσέβειαν θεραπεύων· οὐ γὰρ ἀποκρύψομαι αὐτῆς τὸν ζῆλον. Οὐ γὰρ ὅπλα ἔλαβεν, ἀλλὰ κατορθώματα ἀρετῆς. Ἀπηγόμην τότε, ἴστε πῶς. Δεῖ γὰρ καὶ τὰ λυπηρὰ εἰπεῖν, ἵνα μάθητε τὰ χρηστά· ἀλλὰ μάθητε πῶς ἀπηγόμην, καὶ πῶς ἐπανῆλθον. «Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον, βάλλοντες τὰ σπέρματα αὐτῶν. Ἐρχόμανοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν». Ταῦτα τὰ ρήματα ἐγένετο πράγματα. Μετ' εὐχαριστίας ὑπεδέξασθε ὃν ὀδυνώμενοι προεπέμψατε. Καὶ οὐδὲ ἐν μακρῷ χρόνῳ· μετὰ μίαν ἡμέραν πάντα ἐλύθη. Καὶ γὰρ ἡ ἀναβολὴ ἐγένετο δι' ὑμᾶς, ἐπεὶ ὁ Θεὸς ἐξ ἀρχῆς ἔλυσε.*

*4. Λέγω ὑμῖν τὸ ἀπόρρητον. Ἐπεραιώθην τὸ πέλαγος μόνος τὴν Ἐκκλησίαν βαστάζων· ἡ γὰρ ἀγάπη οὐ στενοῦται. Οὐκ ἐστενοχωρεῖτο τὸ πλοῖον· «οὐ στενοχωρεισθε γὰρ ἐν ἡμῖν». Ἀπῄειν τὰ ὑμέτερα μεριμνῶν, κεχωρισμένος μὲν τῷ σώματι, συνημμένος δὲ τῇ γνώμῃ· ἀπῄειν τὸν Θεὸν παρακαλῶν, καὶ παρακατατιθέμενος ὑμῶν τὴν ἀγάπην· ἀπῄειν, ἐκαθεζόμην μόνος τὰ ὑμέτερα μεριμνῶν, βουλευόμενος περὶ ἀποδημίας μόνος. Ἀθρόον ἀωρίας γενομένης γράμματα ἔπεμψεν ἡ θεοφιλεστάτη αὕτη ἐν τῇ πρώτῃ ἡμέρᾳ, ταῦτα λέγουσα τὰ ρήματα (δεῖ γὰρ αὐτῆς καὶ τὰ ρήματα εἰπεῖν)· «Μὴ νομίσῃ σου ἡ ἁγιωσύνη ὅτι ἔγνων τὰ γεγενημένα. Ἀθῶος ἐγὼ ἀπὸ τοῦ αἵματός σου. Ἄνθρωποι πονηροὶ καὶ διεφθαρμένοι ταύτην τὴν μηχανὴν διεσκεύασαν· τῶν δὲ ἐμῶν δακρύων μάρτυς ὁ Θεός, ᾧ ἱερεύω». Οἵαν σπονδὴν ἐξέχεε; τὰ γὰρ δάκρυα αὐτῆς σπονδὴ ἐγένετο. «Ὧ ἱερεύω». Ἡ ἱέρεια, αὐτοχειροτόνητος θύουσα τῷ Θεῷ καὶ*

8. Ψαλμ. 125,5–6.

Γιατὶ ποιόν δὲ διορθώσατε; Τὴ βασίλισσα πήρατε στὸ χορό σας· γιατὶ δὲ θὰ κρύψω τὸ ζῆλο της. Δὲν τὰ λέγω αὐτὰ γιὰ νὰ κολακέψω τὴ βασίλισσα, ἀλλὰ γιὰ νὰ τιμήσω τὴν εὐσέβειά της. Γιατὶ δὲν πῆρε ὅπλα, ἀλλὰ κατορθώματα ἀρετῆς. Ἐξοριζόμουν τότε, γνωρίζετε πῶς. Γιατὶ πρέπει νὰ πῶ καὶ τὰ λυπηρά, γιὰ νὰ μάθετε τὰ εὐχάριστα. Ἀλλὰ μάθετε πῶς ἐξοριζόμουν καὶ πῶς ἐπέστρεψα. «Ὅσοι σπέρνουν μὲ δάκρυα, θὰ θερίσουν μὲ ἀγαλλίαση. Πηγαίνοντας στὰ χωράφια ρίχνουν μὲ δάκρυα τοὺς σπόρους. Ἐπιστρέφοντας ὅμως θὰ ἔρθουν μὲ ἀγαλλίαση, φέροντας μαζί τους τὰ δεμάτια τους»[8]. Αὐτὰ τὰ λόγια ἔγιναν πράξεις. Μὲ εὐχαριστία ὑποδεχθήκατε αὐτὸν ποὺ μὲ ὀδύνη ἀποχαιρετήσατε. Καὶ οὔτε μετὰ ἀπὸ πολὺν καιρό· ὕστερα ἀπὸ μία ἡμέρα ὅλα διαλύθηκαν. Γιατὶ πραγματικὰ ἡ ἀναβολὴ ἔγινε γιὰ σᾶς, ἐπειδὴ ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴ τὰ διέλυσε.

4. Σᾶς λέγω τὸ μυστικό. Πέρασα τὸ πέλαγος μόνος βαστάζοντας τὴν Ἐκκλησία· γιατὶ ἡ ἀγάπη δὲ στενεύει. Τὸ πλοῖο δὲν ἦταν στενό· «δὲν ὑπάρχει στενότητα σ' ἐμᾶς»[9]. Ἔφευγα καὶ μεριμνοῦσα γιὰ τὰ δικά σας, χωρισμένος μὲ τὸ σῶμα, ἀλλὰ ἑνωμένος μὲ τὴ σκέψη. Ἔφευγα καὶ παρακαλοῦσα τὸ Θεό, καὶ τοῦ παρέδινα τὴν ἀγάπη σας. Ἔφευγα, καθόμουν μόνος καὶ μεριμνοῦσα γιὰ τὰ δικά σας, καὶ σκεπτόμουν μόνος γιὰ τὴν ἐξορία. Ἀμέσως ὅταν ξημέρωσε, τὴν πρώτη ἡμέρα, ἡ θεοφιλέστατη αὐτὴ ἔστειλε γράμματα, λέγοντας αὐτὰ τὰ λόγια (γιατὶ πρέπει καὶ τὰ λόγια της νὰ πῶ)· Νὰ μὴ νομίσει ἡ ἁγιωσύνη σου ὅτι γνώριζα αὐτὰ ποὺ ἔγιναν. Ἐγὼ εἶμαι ἀθώα ἀπὸ τὸ αἷμα σου. Ἄνθρωποι πονηροὶ καὶ διεφθαρμένοι κατασκεύασαν αὐτὴ τὴ σκευωρία. Μάρτυρας γιὰ τὰ δάκρυά μου ὁ Θεός, στὸν ὁποῖο θυσιάζω'. Ποιά θυσία πρόσφερνε; Τὰ δάκρυά της ἔγιναν θυσία. Στὸν ὁποῖο θυσιάζω'. Ἡ ἱέρεια, χειροτονημένη ἀπὸ μόνη της, θυσίαζε στὸ Θεὸ καὶ πρόσφερνε δάκρυα καὶ ἐξομολόγηση καὶ

9. Β' Κορ. 6,12.

*σπένδουσα δάκρυα καὶ ἐξομολόγησιν καὶ μετάνοιαν, οὐχ ὑπὲρ ἱερέως, ἀλλ' ὑπὲρ Ἐκκλησίας, ὑπὲρ δήμου διεσπαρμένου. Ἐμέμνητο, ἐμέμνητο καὶ τῶν παιδίων καὶ τοῦ βαπτίσματος. «Μέμνημαι ὅτι διὰ τῶν χειρῶν τῶν σῶν τὰ παιδία τὰ ἐμὰ ἐβαπτίσθη».*

*Ταῦτα ἡ βασίλισσα· οἱ δὲ ἱερεῖς παρὰ φθόνου πάντες ἠγνόουν τὸ χωρίον, ἔνθα κατέλυον. Καὶ τὸ δὴ θαυμαστὸν εἰπεῖν, ἐκείνη μὲν ὡς ὑπὲρ τέκνου τρέμουσα περιήει τῶν στρατιωτῶν. Οὐ γὰρ κατείληφε τὸ χωρίον, ἔνθα διῆγον. Πανταχοῦ ἔπεμπε μεριμνῶσα μὴ δολοφονηθῇ, μὴ ἀναιρεθῇ, καὶ ἀπολέσωμεν τὸ θήραμα. Τοῦτο μόνον, καὶ τὰ παρ' ἐμαυτῆς ἐπιδείκνυμι. Ζητῶ μόνον, καὶ οὐ περιγίνονται. Οἱ ἐχθροὶ πανταχοῦ περιήεσαν δίκτυα ἁπλοῦντες, ἵνα λάβωσι καὶ ἐπαναγάγουσιν εἰς τὰς ἐκείνων χεῖρας. Εἶτα καὶ παρεκάλει, καὶ τῶν γονάτων ἥπτετο τῶν βασιλικῶν, κοινωνὸν τὸν ἄνδρα ποιοῦσα τοῦ θηράματος· καθάπερ ὁ Ἀβραὰμ τὴν Σάρραν, οὕτως αὐτὴ τὸν ἄνδρα. Ἀπωλέσαμεν, φησίν, τὸν ἱερέα, ἀλλ' ἐπαναγάγωμεν. Οὐκ ἔστιν ἡμῖν οὐδεμία ἐλπὶς τῆς βασιλείας, ἐὰν μὴ ἐκεῖνον ἐπαναγάγωμεν. Ἀμήχανον ἐμὲ κοινωνῆσαί τινι τῶν ταῦτα ἐργασαμένων· δάκρυα ἐξαφιεῖσα, τὸν Θεὸν ἱκετεύουσα, πᾶσαν μηχανὴν ἐπιδεικνυμένη.*

*Ἴστε καὶ ὑμεῖς μεθ' ὅσης εὐνοίας ἡμᾶς ὑπεδέξατο, πῶς ἐνηγκαλίσατο ὡς οἰκεῖα μέλη, πῶς μεθ' ὑμῶν ἔλεγε καὶ αὐτὴ σπουδάζειν. Οὐδὲ γὰρ ταῦτα τὰ ρήματα ἔλαθε τὴν εὐγνωμοσύνην ὑμῶν, ὅτι ἀπεδέξασθε τὴν μητέρα τῶν Ἐκκλησιῶν, τὴν τροφὸν τῶν μοναζόντων, καὶ προστάτιν τῶν ἁγίων, τῶν πτωχῶν τὴν βακτηρίαν. Ὁ ἔπαινος ἐκείνης δόξα εἰς Θεὸν γίνεται, στέφανος τῶν Ἐκκλησιῶν. Εἴπω θερμὸν αὐτῆς πόθον; εἴπω φιλοτιμίαν τὴν περὶ ἐμέ; Ἐν ἑσπέρᾳ βαθείᾳ χθὲς ἀπέστειλε ταῦτα λέγουσα τὰ ρήματα· εἰπὲ πρὸς αὐτόν· ἡ εὐχή μου πεπλήρωται· ἀπήτησα τὸ κατόρθωμα· ἐστεφανώθην μᾶλλον τοῦ διαδήματος· ἀπέλαβον τὸν ἱερέα, ἀπέδωκα τὴν κεφαλὴν τῷ σώματι, τὸν κυβερνήτην τῇ νηΐ, τὸν ποιμένα τῇ ποίμνῃ, τὸν νυμφίον τῇ παστάδι.*

μετάνοια, ὄχι γιὰ τὸν ἱερέα, ἀλλὰ γιὰ τὴν Ἐκκλησία, γιὰ τὸ διασκορπισμένο λαό. Θυμόταν, θυμόταν καὶ τὰ παιδιὰ καὶ τὸ βάπτισμα. «Θυμᾶμαι ὅτι μὲ τὰ δικά σου χέρια βαπτίσθηκαν τὰ δικά μου παιδιά».

Αὐτὰ ἔγραφε ἡ βασίλισσα· καὶ οἱ ἱερεῖς ἀπὸ φθόνο ὅλοι δὲ γνώριζαν τὸν τόπο, ὅπου ἔμεινα. Καὶ τὸ πιὸ θαυμαστὸ ποὺ θὰ πῶ, ἐκείνη τρέμοντας ὅπως γιὰ δικό της παιδὶ τριγυρνοῦσε παντοῦ, ὄχι ἡ ἴδια, ἀλλὰ μὲ τὴν ἰδιαίτερη ἀποστολὴ τῶν στρατιωτῶν. Γιατὶ δὲ βρῆκε τὸν τόπο ὅπου ἔμενα. Παντοῦ ἔστελνε φροντίζοντας νὰ μὴ δολοφονηθεῖ, νὰ μὴ θανατωθεῖ καὶ χάσουμε τὸ θήραμα. Αὐτὸ μόνο, καὶ προσφέρω τὰ δικά μου. Ζητῶ μόνο, καὶ δὲν τὸ κατορθώνουν. Οἱ ἐχθροὶ παντοῦ περιτριγύριζαν ἁπλώνοντας δίχτυα, γιὰ νὰ μὲ συλλάβουν καὶ νὰ μὲ ξαναφέρουν στὰ δικά τους χέρια. Ἔπειτα καὶ παρακαλοῦσε, καὶ ἔπιανε τὰ γόνατα τοῦ βασιλιᾶ, κάνοντας τὸν ἄνδρα της νὰ πάρει μέρος στὸ κυνήγι· ὅπως ἀκριβῶς ὁ Ἀβραὰμ παρακαλοῦσε τὴ Σάρρα, ἔτσι αὐτὴ τὸν ἄνδρα της. Χάσαμε, λέγει, τὸν ἱερέα, ἀλλὰ νὰ τὸν ξαναφέρουμε. Δὲν ὑπάρχει σὲ μᾶς καμιὰ ἐλπίδα γιὰ τὴ βασιλεία, ἂν δὲν τὸν ξαναφέρουμε. Μοῦ εἶναι ἀδύνατο νὰ ἐπικοινωνήσω μὲ κάποιον ἀπ' αὐτοὺς ποὺ τὰ ἔκαμαν αὐτά. Καὶ ἔχυνε δάκρυα, ἱκέτευε τὸ Θεό, μεταχειριζόταν κάθε μέσο.

Γνωρίζετε καὶ σεῖς μὲ πόση συμπάθεια μὲ ὑποδέχθηκε, πῶς μὲ ἀγκάλιασε σὰν δικά της μέλη, πῶς ἔλεγε ὅτι καὶ αὐτὴ φροντίζει μαζί σας. Καὶ οὔτε αὐτὰ τὰ λόγια ξέφυγαν ἀπὸ τὴν εὐγνωμοσύνη σας, γιατὶ δεχθήκατε τὴ μητέρα τῶν Ἐκκλησιῶν, τὴν τροφὸ τῶν μοναχῶν, τὴν προστάτιδα τῶν ἁγίων, τὸ στήριγμα τῶν φτωχῶν. Ὁ ἔπαινος γι' αὐτὴ γίνεται δόξα στὸ Θεό, στεφάνι τῶν ἐκκλησιῶν. Νὰ πῶ ἕνα θερμό της πόθο; νὰ πῶ τὴ γενναιοδωρία της γιὰ μένα; Ἀργὰ τὴ νύχτα χθὲς ἔστειλε κάποιον λέγοντας αὐτὰ τὰ λόγια· πές του, ἡ προσευχή μου ἐκπληρώθηκε· κατόρθωσα ὅ,τι ζητοῦσα· στεφανώθηκα καλύτερα καὶ ἀπὸ τὸ στέμμα· ξαναπόκτησα τὸν ἱερέα, ἀπέδωσα τὴν κεφαλὴ στὸ σῶμα, τὸν κυβερνήτη στὸ πλοῖο, τὸν ποιμένα στὴν ποίμνη, τὸ νυμφίο στὸ νυφικὸ θάλαμο.

5. *Κατῃσχύνθησαν οἱ μοιχοί. Ἐὰν ζήσω, ἐὰν ἀποθάνω, οὐκέτι μοι μέλει. Ἴδετε τοῦ πειρασμοῦ τὰ κατορθώματα. Τί ποιήσω, ἵνα ὑμῖν ἀξίαν ἀποδῶ τῆς ἀγάπης τὴν ἀμοιβήν; Ἀξίαν μὲν οὐ δύναμαι, ἣν δὲ ἔχω, δίδωμι. Ἀγαπῶ ἑτοίμως τὸ αἷμά μου ἐκχέειν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. Οὐδεὶς ἔχει τέκνα τοιαῦτα, οὐδεὶς ἀγέλην τοιαύτην, οὐδεὶς ἄρουραν οὕτως εὐθαλῆ. Οὐ χρεία μοι γεωργίας· ἐγὼ καθεύδω, καὶ οἱ στάχυες κομῶσιν. Οὐ χρεία μοι πόνου· ἐγὼ ἡσυχάζω, καὶ τὰ πρόβατα τῶν λύκων περιγίνονται. Τί ὑμᾶς καλέσω; πρόβατα ἢ ποιμένας ἢ κυβερνήτας ἢ στρατιώτας καὶ στρατηγούς; Πάντα ὑμῖν ἐπαληθεύω τὰ ῥήματα. Ὅταν ἴδω τὴν εὐταξίαν, πρόβατα καλῶ· ὅταν ἴδω τὴν πρόνοιαν, ποιμένας προσαγορεύω· ὅταν ἴδω τὴν σοφίαν, κυβερνήτας ὀνομάζω· ὅταν ἴδω τὴν ἀνδρείαν καὶ τὴ εὐτονίαν, στρατιώτας καὶ στρατηγοὺς ὑμᾶς ἅπαντας λέγω.*

*Ὢ πόνος, ὢ πρόνοια λαοῦ· ἠλάσατε τοὺς λύλους, καὶ οὐκ ἀμεριμνήσετε. Οἱ ναῦται οἱ μεθ' ὑμῶν καθ' ὑμῶν γεγόνασιν, οἵτινες τὸν πόλεμον τῷ πλοίῳ κατεσκεύασαν. Βοᾶτε ἔξω τὸν κλῆρον, καὶ ἄλλον κλῆρον τῇ Ἐκκλησίᾳ. Τίς χρεία βοῆς; Ἀπῆλθον, καὶ ἀπηλάθησαν, μηδενὸς διώκοντος ἐφυγαδεύθησαν. Οὐ κατηγορεῖ αὐτῶν ἄνθρωπος, ἀλλὰ τὸ συνειδός. «Εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν». Οἱ μεθ' ἡμῶν καθ' ἡμῶν γεγόνασιν· οἱ μεθ' ἡμῶν τὸ πλοῖον κυβερνῶντες, τὸ πλοῖον καταποντίσαι ἠθέλησαν. Ἐθαύμασα ὑμῶν τὴν σύνεσιν. Ταῦτα λέγω, οὐκ εἰς στάσιν ὑμᾶς ἀλείφων. Στάσις γὰρ τὰ ἐκείνων, τὰ δὲ ὑμέτερα ζῆλος. Οὐ γὰρ ἠξιώσατε αὐτοὺς ἀναιρεθῆναι, ἀλλὰ κωλυθῆναι τοῦτο καὶ ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ τῆς Ἐκκλησίας, ἵνα μὴ πάλιν ὑποβρύχιος γένηται. Ἡ γὰρ ἀνδρεία ὑμῶν οὐκ ἀφῆκε γενέσθαι τὸν χειμῶνα, ἀλλ' ἡ γνώμη ἐκείνων τὸ κλυδώνιον εἰργάσατο.*

5. Κατανιροπιάσθηκαν οἱ μοιχοί. Ἂν ζήσω, ἂν πεθάνω, δὲ μὲ μέλει πιά. Κοιτάξτε τὰ κατορθώματα τῆς δοκιμασίας. Τί νὰ κάμω γιὰ νὰ σᾶς ἀνταποδώσω ἀντάξια τὴν ἀμοιβὴ τῆς ἀγάπης σας; Ἀντάξια βέβαια δὲν μπορῶ, αὐτὴν ὅμως ποὺ ἔχω τὴ δίνω. Ἀπὸ ἀγάπη εἶμαι ἕτοιμος νὰ χύσω τὸ αἷμα μου γιὰ τὴ δική σας σωτηρία. Κανένας δὲν ἔχει τέτοια τέκνα, κανένας δὲν ἔχει τέτοιο ποίμνιο, κανένας δὲν ἔχει τόσο ἀνθηρὴ γῆ. Δὲ χρειάζεται νὰ τὴν καλλιεργῶ· ἐγὼ κοιμᾶμαι καὶ τὰ στάχυα ὡριμάζουν. Δὲ χρειάζεται νὰ κοπιάζω· ἐγὼ ἡσυχάζω, καὶ τὰ πρόβατα νικοῦν τοὺς λύκους. Τί νὰ σᾶς ὀνομάσω; πρόβατα ἢ ποιμένες, κυβερνῆτες ἢ στρατιῶτες καὶ στρατηγούς; Ὅλα τὰ ὀνόματα ἀποδεικνύονται ἀληθινὰ σὲ σᾶς. Ὅταν δῶ τὴν πειθαρχία σας, σᾶς καλῶ πρόβατα· ὅταν δῶ τὴν πρόνοιά σας, σᾶς προσφωνῶ ποιμένες· ὅταν δῶ τὴ σοφία σας, σᾶς ὀνομάζω κυβερνῆτες· ὅταν δῶ τὴν ἀνδρεία καὶ τὴ γενναιότητά σας, σᾶς λέγω ὅλους στρατιῶτες καὶ στρατηγούς.

Τὶ κόπος, τὶ πρόνοια λαοῦ! Ἀπομακρύνατε τοὺς λύκους καὶ δὲν ἀδιαφορήσατε. Οἱ ναῦτες ποὺ ἦταν μαζί σας στράφηκαν ἐναντίον σας, αὐτοὶ προετοίμασαν τὸν πόλεμο κατὰ τοῦ πλοίου. Φωνάζετε 'ἔξω ὁ κλῆρος καὶ ἄλλος κλῆρος στὴν Ἐκκλησία'. Τί χρειάζονται οἱ φωνές; Ἔφυγαν καὶ ἀπομακρύνθηκαν, χωρὶς κανένας νὰ τοὺς διώκει τράπηκαν σὲ φυγή. Δὲν τοὺς κατηγορεῖ αὐτοὺς ἄνθρωπος, ἀλλὰ ἡ συνείδησή τους. «Ἂν μὲ κατηγοροῦσε ἐχθρός, θὰ ὑπέφερα τὴν κατηγορία»[10]. Αὐτοὶ ποὺ ἦταν μαζί μας στράφηκαν ἐναντίον μας· αὐτοὶ ποὺ κυβερνοῦσαν μαζί μας τὸ πλοῖο, θέλησαν νὰ καταποντίσουν τὸ πλοῖο. Θαύμασα τὴ σύνεσή σας. Αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ σᾶς ἑτοιμάσω γιὰ στάση. Γιατὶ στάση ἦταν οἱ δικές τους ἐνέργειες, ἐνῶ οἱ δικές σας ζῆλος. Γιατὶ δὲν ἀξιώσατε νὰ θανατωθοῦν αὐτοί, ἀλλὰ νὰ ἐμποδισθεῖ κάτι τέτοιο καὶ γιὰ σᾶς καὶ γιὰ τὴν Ἐκκλησία, γιὰ νὰ μὴ βυθισθεῖ πάλι. Ἡ ἀνδρεία σας λοιπὸν δὲν ἄφησε νὰ γίνει ἡ τρικυμία, ἀλλὰ ἡ δική τους διάθεση προκάλεσε τὴ θαλασσοταραχή.

10. Ψαλμ. 54,13.

*Ἐγὼ δέ, οὐ τῷ τέλει, ἀλλὰ τῇ γνώμῃ ἐκείνων λογίζομαι. Ἄνθρωπος θυσιαστηρίῳ παρεστηκώς, δήμου τοσούτου ἐγκεχειρισμένος πρόνοιαν, ὀφείλων καταστέλλειν τὰ λυπηρά, ηὔξησας τὸν χειμῶνα, κατὰ σαυτοῦ τὸ ξίφος ἤλασας, τὰ τέκνα τὰ σὰ ἀναλώσας τῇ γνώμῃ, εἰ καὶ μὴ τῇ πείρᾳ. Ἀλλ' ὁ Θεὸς ἐκώλυσεν. Ὥστε θαυμάζω ὑμᾶς καὶ ἐπαινῶ, ὅτι μετὰ τὸν πόλεμον καὶ τῆς εἰρήνης γενομένης σκοπεῖτε, ὅπως ἂν τελεία γένηται εἰρήνη. Δεῖ γὰρ τὸν κυβερνήτην μετὰ τῶν ναυτῶν ὁμόνοιαν ἔχειν· ἐὰν γὰρ διαστασιάζωσι, καταποντίζεται τὸ σκάφος. Ὑμεῖς κατορθώσατε τὴν εἰρήνην μετὰ τὴν τοῦ Θεοῦ χάριν· ὑμᾶς κοινωνοὺς ποιήσομαι τῆς ἀσφαλείας. Χωρὶς ὑμῶν οὐδὲν ἐργάσομαι, εἶτα καὶ τῆς θεοφιλεστάτης Αὐγούστης. Καὶ γὰρ κἀκείνη φροντίζει καὶ μεριμνᾷ καὶ πάμπολλα ποιεῖ, ὥστε τὸ φυτευθὲν μεῖναι βέβαιον, ὥστε τὴν Ἐκκλησίαν ἀκλυδώνιστον μεῖναι. Ἐπήνεσα οὖν καὶ ὑμῶν τὴν σύνεσιν καὶ τῶν βασιλέων τὴν πρόνοιαν. Οὐ γὰρ οὕτως αὐτοῖς μέλει περὶ πολέμου, ὡς περὶ Ἐκκλησίας, οὐχ οὕτω περὶ πόλεως, ὡς περὶ Ἐκκλησίας.*


*Παρακαλέσωμεν τὸν Θεόν, ἀξιώσωμεν ἐκείνην, παραμείνωμεν ταῖς εὐχαῖς, καὶ μή, ἐπειδὴ ἐλύθη τὰ δεινά, χαυνότεροι γενώμεθα. Διὰ τοῦτο ἕως τῆς σήμερον εὐχόμεθα λυθῆναι τὰ δεινά. Εὐχαριστήσωμεν τῷ Θεῷ, ὥσπερ τότε ἀνδρεῖοι, οὕτω καὶ σήμερον σπουδαῖοι. Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Υἱῷ σὺν τῷ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ἐγὼ ὅμως δὲ λογαριάζω τὸ τέλος, ἀλλὰ τὴ διάθεσή τους. Ἐσύ[11], ἄνθρωπος ποὺ στάθηκες κοντὰ στὸ θυσιαστήριο, ποὺ ἀνέλαβες τὴ φροντίδα γιὰ τόσο πολὺ λαό, ποὺ εἶσαι ὑποχρεωμένος νὰ καταστέλλεις τὰ ληπηρά, μεγάλωσες τὴν τρικυμία, ἔστρεψες ἐναντίον σου τὸ ξίφος, ἀφοῦ κατέστρεψες τὰ δικά σου τέκνα μὲ τὴ σκέψη σου, ἂν ὄχι καὶ στὴν πράξη. Ἀλλὰ ὁ Θεὸς σὲ ἐμπόδισε. Ἐπομένως σᾶς θαυμάζω καὶ σᾶς ἐπαινῶ, γιατὶ σκέπτεστε μετὰ τὸν πόλεμο καὶ ἀφοῦ ἔγινε ἡ εἰρήνη, μὲ ποιὸ τρόπο θὰ γίνει τέλεια ἡ εἰρήνη. Καθόσον πρέπει ὁ κυβερνήτης νὰ ἔχει ὁμόνοια μὲ τοὺς ναῦτες· γιατί, ἂν συγκρούονται, καταποντίζεται τὸ σκάφος. Ἐσεῖς κατορθώσατε τὴν εἰρήνη μὲ τὴ χάρη τοῦ Θεοῦ· ἐσᾶς θὰ κάνω συμμέτοχους γιὰ τὴν ἀσφάλειά της. Χωρὶς ἐσᾶς δὲ θὰ κάμω τίποτε, καὶ χωρὶς τὴ θεοφιλέστατη Αὐγούστα. Γιατὶ καὶ ἐκείνη φροντίζει καὶ μεριμνάει καὶ πάρα πολλὰ κάνει, ὥστε αὐτὸ ποὺ φυτεύθηκε νὰ μείνει βέβαιο, ὥστε ἡ Ἐκκλησία νὰ μείνει χωρὶς ταραχές. Ἐπαίνεσα λοιπὸν καὶ τὴ δική σας σύνεση καὶ τῶν βασιλέων τὴν πρόνοια. Γιατὶ δὲν τοὺς ἐνδιαφέρει αὐτοὺς τόσο γιὰ τὸν πόλεμο, ὅσο γιὰ τὴν Ἐκκλησία, ὄχι τόσο γιὰ τὴν πόλη, ὅσο γιὰ τὴν Ἐκκλησία.

Ἂς παρακαλέσουμε τὸ Θεό, ἂς τιμήσουμε τὴν Ἐκκλησία, ἂς δείξουμε ἐπιμονὴ στὶς προσευχές καὶ ἂς μὴ γίνουμε πιὸ χαλαροὶ ἐπειδὴ τελείωσαν τὰ δεινά. Γι' αὐτὸ προσευχόμαστε μέχρι σήμερα νὰ τελειώσουν τὰ δεινά. Ἂς εὐχαριστήσουμε τὸ Θεό, ὅπως τότε ἀνδρεῖοι, ἔτσι καὶ σήμερα ἂς εἴμαστε πρόθυμοι. Καὶ γιὰ ὅλα αὐτὰ ἂς εὐχριστήσουμε τὸ Θεό, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, συγχρόνως καὶ στὸν Υἱὸ καὶ στὸ ἀγαθὸ καὶ ζωοποιὸ Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

11. Ἀπευθύνεται στὸ Θεόφιλο.



# ΟΜΙΛΙΑ

## ΣΤΗΝ ΕΠΙΛΥΣΗ ΤΗΣ ΧΑΝΑΝΑΙΑΣ

**Ἐκφωνήθηκε μετὰ τὴν ἐπιστροφή του ἀπὸ τὴν ἐξορία**



# *ΟΜΙΛΙΑ*

## *ΕΙΣ ΤΗΝ ΕΠΙΛΥΣΙΝ ΤΗΣ ΧΑΝΑΝΑΙΑΣ*

*Ἐρρήθη δὲ μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἐκ τῆς ἐξορίας.*

*1. Πολὺς ὁ χειμών, ἀλλὰ τὴν προθυμίαν τῶν παραγενομένων οὐ διεκώλυσε· πολλοὶ οἱ πειρασμοί, ἀλλὰ τὸν πόθον ὑμῶν οὐκ ἐξέλυσαν. Οὐ παύεται ἡ Ἐκκλησία πολεμουμένη καὶ νικῶσα, ἐπιβουλευομένη καὶ περιγινομένη. Ὅσον ἄλλοι ἐπιβουλεύουσι, τοσοῦτον αὕτη αὔξεται· καὶ τὰ μὲν κύματα διαλύεται, ἡ δὲ πέτρα ἕστηκεν ἀκίνητος. Ἐν ἡμέρᾳ διδασκαλία, ἐν νυκτὶ παννυχίδες· ἡ ἡμέρα πρὸς τὴν νύκτα ἁμιλλᾶται· ἐκεῖ συνάξεις, καὶ ἐνταῦθα συνάξεις. Ἡ νὺξ τὴν ἀγορὰν ἐκκλησίαν ἐργάζεται· ἡ δὲ προθυμία πυρὸς σφοδροτέρα. Οὐ δεῖσθε παραινέσεως, καὶ ἐπιδείκνυσθε τὴν σπουδήν. Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειεν; Οὐ μόνον οἱ ὄντες οὐκ ἀπελείφθησαν, ἀλλὰ καὶ οἱ μὴ ὄντες προσεγένοντο. Τοιοῦτον τῶν πειρασμῶν τὸ κέρδος· καθάπερ γὰρ ὑετὸς εἰς τὴν γῆν κατιὼν διεγείρει τὰ σπέρματα, οὕτω καὶ ὁ πειρασμὸς εἰς τὴν ψυχὴν εἰσιὼν διεγείρει τὴν προθυμίαν.*

*Λόγος ἐστὶ τοῦ Θεοῦ· ἀκίνητος ἡ Ἐκκλησία· «πῦλαι ᾄδου οὐ κατισχύσουσιν αὐτῆς». Ὁ πολεμῶν ἑαυτὸν καταλύει, τὴν δὲ Ἐκκλησίαν ἰσχυροτέραν δείκνυσιν· ὁ πολεμῶν τὴν ἰσχὺν ἑαυτοῦ καταβάλλει, ἡμῶν δὲ λαμπρότερον ἐργάζεται τὸ τρόπαιον. Ὁ Ἰὼβ ἦν*

1. Ματθ. 16,18.



# ΟΜΙΛΙΑ

## ΣΤΗΝ ΕΠΙΛΥΣΗ ΤΗΣ ΧΑΝΑΝΑΙΑΣ

Ἐκφωνήθηκε μετὰ τὴν ἐπιστροφή του ἀπὸ τὴν ἐξορία

1. Εἶναι μεγάλη ἡ τρικυμία, ἀλλὰ δὲν ἐμπόδισε τὴν προθυμία σας καὶ ἤρθατε ἐδῶ· πολλοὶ οἱ πειρασμοί, ἀλλὰ δὲν ἐξάλειψε τὸν πόθο σας. Δὲ σταματάει ἡ Ἐκκλησία νὰ πολεμεῖται καὶ νὰ νικάει, νὰ ἀπειλεῖται καὶ νὰ ὑπερισχύει. Ὅσο οἱ ἄλλοι τὴν ἐπιβουλεύονται, τόσο αὐτὴ αὐξάνεται· καὶ τὰ κύματα διαλύονται, ἐνῶ ἡ πέτρα στέκεται ἀκίνητη. Τὴν ἡμέρα διδασκαλία, τὴ νύχτα παννυχίδες. Ἡ ἡμέρα συναγωνίζεται τὴ νύχτα· ἐκεῖ συγκεντρώσεις, καὶ ἐδῶ συγκεντρώσεις. Ἡ νύχτα κάνει τὴν ἀγορὰ ἐκκλησία καὶ ἡ προθυμία σας εἶναι πιὸ δυνατὴ ἀπὸ τὴ φωτιά. Δὲν ἔχετε ἀνάγκη ἀπὸ παραίνεση καὶ φανερώνετε τὸ ζῆλο σας. Ποιός δὲ θὰ ἐκπλαγεῖ; Ποιός δὲ θὰ θαυμάσει; Ὄχι μόνο αὐτοὶ ποὺ ἦταν δὲν ἀπουσίασαν, ἀλλὰ καὶ αὐτοὶ ποὺ δὲν ἦταν πλησίασαν. Τέτοιο εἶναι τὸ κέρδος τῶν πειρασμῶν. Γιατί, ὅπως ἡ βροχὴ πέφτοντας στὴ γῆ ἀφυπνίζει τὰ σπέρματα, ἔτσι καὶ ὁ πειρασμὸς μπαίνοντας στὴν ψυχὴ ἀφυπνίζει τὴν προθυμία.

Εἶναι λόγος τοῦ Θεοῦ· ἀκίνητη ἡ Ἐκκλησία· «οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴ νικήσουν»[1]. Ἐκεῖνος ποὺ τὴν πολεμάει, καταστρέφει τὸν ἑαυτό του καὶ ἀποδεικνύει πιὸ δυνατὴ τὴν Ἐκκλησία. Ἐκεῖνος ποὺ τὴν πολεμάει, νικάει τὴ δική του δύναμη καὶ

*καλὸς καὶ πρὸ τούτου· μετὰ δὲ ταῦτα βελτίων ἐφάνη. Οὐχ οὕτω καλὸς ἦν, ὅτε ἀσινὴς ἦν τὸ σῶμα, ὡς καλὸς ἦν ὅτε τῷ ἰχῶρι τῶν τραυμάτων ἐστεφανοῦτο. Μηδέποτε φοβηθῇς πειρασμόν, ἐὰν ψυχὴν παρεσκευασμένην ἔχῃς. Οὐ βλάπτει ἡ θλῖψις, ἀλλ' ὑπομονὴν κατεργάζεται. Ὥσπερ γὰρ τὸ χρυσίον οὐ βλάπτει ἡ κάμινος, οὕτως οὐδὲ τὸν γενναῖον διαφθείρει ἡ θλῖψις. Τί ποιεῖ ἡ κάμινος τῷ χρυσίῳ; Καθαρὸν ἀποτελεῖ. Τί ἐργάζεται ἡ θλῖψις τῷ φέροντι; Τὴν ὑπομονήν. Ὑψηλότερον κατασκευάζει, ῥᾳθυμίαν περικόπτει, συνάγει τὴν ψυχήν, σωφρονέστερον ποιεῖ τὸν λογισμόν. Ἐπήγαγον πειρασμόν, ἵνα τὰ πρόβατα ἀπελάσωσι, καὶ τὸ ἐναντίον ἐξέβη· εἰσήγαγε γὰρ ποιμένα.*

*Ἐν τίσι τὰ ἡμέτερα; Ἐν εὐδοκιμήσει. Ἐν τίσι τὰ ἐκείνων; Ἐν αἰσχύνῃ. Ποῦ εἰσι τὰ ἐκείνων; Οὐδὲ φαίνονται. Τὴν ἀγορὰν περιέρχομαι, καὶ οὐδένα βλέπω. Φύλλα ἦν, καὶ ἀνέμου φυσήσαντος ἐξέπεσεν· ἄχυρα ἦν, καὶ ἀνερριπίσθη, καὶ ὁ σῖτος ἐφάνη ὥριμος· μόλυβδος ἦν, καὶ ἐτάκη, καὶ τὸ χρυσίον διέμεινε καθαρόν. Τίς αὐτοὺς ἐλαύνει; Οὐδείς· ἀλλὰ τὸ συνειδὸς πολέμιον ἔχουσι συνοικοῦντα μετὰ τὴν ἁμαρτίαν. Ἴσασι τί ἔπραξαν. Ἐπεὶ καὶ ὁ Κάϊν ἐβούλετο σφάξαι τὸν ἀδελφὸν αὐτοῦ· ἀλλ' ὅτε ἐβούλετο σφάξαι, ἡ ἐπιθυμία ἤνθει· ἐπειδὴ δὲ τὴν ἁμαρτίαν εἰργάσατο, στένων καὶ τρέμων πανταχοῦ τῆς οἰκουμένης περιήρχετο. Οὗτοι δέ, εἰ καὶ μὴ ἔσφαξαν τῇ πείρᾳ, ἀλλ' ἔσφαξαν τῇ γνώμῃ. Ἡ σφαγὴ προεχώρησεν ὅσον κατὰ τὴ ἐκείνων πονηρίαν· ἡ δὲ ζωὴ συνεχωρήθη διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ταῦτα λέγω, τὴν προθυμίαν τὴν ὑμετέραν ἐπαλείφων, ἵνα μηδέποτε φοβηθῆτε πειρασμόν. Πέτρα εἶ; Μὴ φοβοῦ τὰ κύματα. «Ἐπὶ γὰρ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς», φησί. Ποτὲ ἔξωθεν οἱ πόλεμοι, ποτὲ ἔνδοθεν· ἀλλὰ οὐδεὶς καταποντίζει τὸ σκάφος.*

κάνει πιὸ λαμπρὸ τὸ τρόπαιό μας. Ὁ Ἰὼβ ἦταν καλὸς καὶ πρὶν ἀπ' αὐτό, ἀλλὰ ὕστερα φάνηκε καλύτερος. Δὲν ἦταν τόσο καλὸς ὅταν ἦταν ὑγιὴς στὸ σῶμα, ὅσο καλὸς ἦταν ὅταν στεφανωνόταν μὲ τὸ πύο τῶν πληγῶν του. Νὰ μὴ φοβηθεῖς ποτὲ τὸν πειρασμό, ἂν ἔχεις προετοιμασμένη τὴν ψυχή σου. Ἡ θλίψη δὲ βλάπτει, ἀλλὰ δημιουργεῖ τὴν ὑπομονή. Ὅπως δηλαδὴ τὸ χρυσάφι δὲν τὸ βλάπτει τὸ καμίνι, ἔτσι καὶ τὸ γενναῖο δὲν τὸν διαφθείρει ἡ θλίψη. Τί κάνει τὸ καμίνι στὸ χρυσάφι; Το καθιστᾶ καθαρό. Τί προκαλεῖ ἡ θλίψη σ' αὐτὸν ποὺ τὴν ὑποφέρει; Τὴν ὑπομονή. Τὸν κάνει ἀνώτερο, σταματάει τὴν ἀδιαφορία, συγκεντρώνει τὴν ψυχή, κάνει πιὸ συνετὸ τὸ λογισμό. Προκάλεσαν πειρασμὸ γιὰ νὰ ἀπομακρύνουν τὰ πρόβατα, καὶ ἔγινε τὸ ἀντίθετο, γιατὶ ἔφερε τὸν ποιμένα.

Σὲ ποιά κατάσταση βρίσκονται τὰ δικά μας; Σὲ εὐδοκίμηση. Σὲ ποιά κατάσταση βρίσκονται τὰ δικά τους; Γεμάτα ντροπή. Ποῦ εἶναι τὰ δικά τους; Οὔτε φαίνονται. Τριγυρίζω τὴν ἀγορὰ καὶ δὲ βλέπω κανένα. Φύλλα ἦταν, καὶ ὅταν φύσηξε ὁ ἄνεμος ἔπεσαν· ἄχυρα ἦταν καὶ τὰ σκόρπισε ὁ ἄνεμος, καὶ φάνηκε ὥριμο τὸ σιτάρι· μόλυβδος ἦταν καὶ ἔλειωσε, καὶ ἔμεινε καθαρὸ τὸ χρυσάφι. Ποιός τοὺς καταδιώκει; Κανένας· ἀλλὰ τὴ συνείδησή τους ἔχουν ἐχθρὸ ποὺ κατοικεῖ μέσα τους μετὰ τὴν ἁμαρτία. Ξέρουν τὶ ἔκαμαν. Ἐπειδὴ καὶ ὁ Κάιν ἤθελε νὰ σφάξει τὸν ἀδελφό του, καὶ ὅταν ἤθελε νὰ τὸν σφάξει, φούντωνε ἡ ἐπιθυμία, ὅταν ὅμως ἔκαμε τὴν ἁμαρτία τριγύριζε παντοῦ στὴν οἰκουμένη μὲ στεναγμοὺς καὶ τρόμο. Αὐτοὶ ὅμως, ἂν καὶ δὲν ἔσφαξαν στὴν πράξη, ἔσφαξαν μὲ τὴ διάθεσή τους. Ἡ σφαγὴ προχώρησε ἀνάλογα μὲ τὴν πονηρία τους, καὶ ἡ ζωή μου χαρίσθηκε ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Αὐτὰ τὰ λέγω, παρακινώντας τὴν προθυμία σας, γιὰ νὰ μὴ φοβηθεῖτε ποτὲ πειρασμό. Εἶσαι πέτρα; Νὰ μὴ φοβᾶσαι τὰ κύματα, γιατὶ «ἐπάνω σ' αὐτὴ τὴν πέτρα θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου, καὶ οἱ πύλες τοῦ ἅδη δὲ θὰ τὴ νικήσουν», λέγει. Πότε ἀπὸ ἔξω οἱ πόλεμοι, πότε ἀπὸ μέσα, ἀλλὰ κανεὶς δὲν καταποντίζει τὸ σκάφος.

*2. Ἀλλ' ἵνα μὴ τὸν ἅπαντα καιρὸν εἰς τὰ ἐκείνων ἐγκλήματα ἀναλώσωμεν, παραδόντες ἑαυτοὺς τῷ φόβῳ τοῦ συνειδότος, καὶ τὸν δήμιον ἀφέντες ταλανίζειν αὐτῶν τὴν διάνοιαν καὶ τὸν λογισμὸν τῶν ἀκαίρων ἐπιθυμιῶν, ἀφέντες εἶναι φυγάδας, μηδενὸς ἐλαύνοντος, ἀφέντες εἶναι ἀτίμους, μηδενὸς αὐτοῖς πολεμοῦντος· ἡμεῖς τὴν συνήθη παραθήσωμεν τράπεζαν. Οὐδὲ γὰρ δίκαιον τὸν καιρὸν ἀναλῶσαι εἰς τὰ ἐγκλήματα τῶν ἐχθρῶν, καὶ τὰ παιδία λιμῷ τηκόμενα παριδεῖν. Χθὲς τοίνυν ὁ Παῦλος τὴν τράπεζαν ἡμῖν παρέθηκε, σήμερον ὁ Ματθαῖος· χθὲς ὁ σκηνοποιός, σήμερον ὁ τελώνης· χθὲς ὁ βλάσφημος, σήμερον ὁ ἅρπαξ· χθὲς ὁ διώκτης, σήμερον ὁ πλεονέκτης. Ἀλλ' ὁ βλάσφημος οὐκ ἔμεινε βλάσφημος, ἀλλ' ἐγένετο ἀπόστολος· καὶ ὁ ἅρπαξ οὐκ ἔμεινε ἅρπαξ, ἀλλ' ἐγένετο εὐαγγελιστής. Λέγω καὶ τὴν προτέραν κακίαν, καὶ τὴν μετὰ ταῦτα ἀρετήν, ἵνα μάθῃς ὅση τῆς μετανοίας ἡ ὠφέλεια, ἵνα μηδέποτέ σου τῆς σωτηρίας ἀπογνῷς.*

*Οἱ διδάσκαλοι ἡμῶν ἀπὸ ἁμαρτίας ἔλαμπον πρὸ τούτου, ἀλλ' ὕστερον ἔλαμψαν ἀπὸ δικαιοσύνης, τελώνης καὶ βλάσφημος, τὰ ἀκροθίνια τῆς πονηρίας. Τί γάρ ἐστι τελώνιον; Ἁρπαγὴ ἔννομος, βία πεπαρρησιασμένη, ἀδικία νόμον ἔχουσα συνήγορον· λῃστῶν χαλεπώτερος ὁ τελώνης. Τί ἐστι τελώνιον; Βία νόμον εἰς συνηγορίαν προβαλλομένη, τὸν ἰατρὸν ἔχουσα δήμιον. Συνήκατε ὃ εἶπον; Οἱ νόμοι ἰατροί εἰσι, ἔπειτα καὶ δήμιοι γίνονται· οὐ γὰρ λύουσι τὸ ἕλκος, ἀλλὰ αὔξουσι. Τί ἐστι τελώνιον; Ἀναίσχυντος ἁμαρτία, ἁρπαγὴ πρόφασιν οὐκ ἔχουσα, λῃστείας χαλεπώτερον. Ὁ λῃστὴς κἂν αἰσχύνεται κλέπτων· οὗτος δὲ παρρησιάζεται ἁρπάζων. Ἀλλ' οὗτος ὁ τελώνης ἀθρόον εὐαγγελιστὴς ἐγένετο. Πῶς καὶ τίνι τρόπῳ; «Παράγων», φησίν, «ὁ Ἰησοῦς, εἶδε Ματθαῖον ἐπὶ τὸ*

2. Ἀλλὰ γιὰ νὰ μὴν καταναλώσουμε ὅλο τὸν καιρό μας στὰ δικά τους ἐγκλήματα, ἀφοῦ παρέδωσαν τὸν ἑαυτό τους στὸ φόβο τῆς συνείδησης καὶ ἀφοῦ ἀφήσουμε τὸ δήμιο νὰ ταλανίζει τὴν ψυχή τους καὶ τὸ λογισμὸ τῶν ἀνοήτων ἐπιθυμιῶν, ἀφοῦ τοὺς ἀφήσουμε νὰ εἶναι ἀτιμασμένοι χωρὶς νὰ τοὺς πολεμάει κανείς, ἐμεῖς ἂς παραθέσουμε τὴ συνηθισμένη τράπεζα. Γιατὶ δὲν εἶναι δίκαιο νὰ καταναλώσουμε τὸ χρόνο στὰ ἐγκλήματα τῶν ἐχθρῶν καὶ νὰ παραβλέψουμε τὰ παιδιά μας ποὺ λειώνουν ἀπὸ τὴν πείνα. Χθὲς λοιπὸν μᾶς παρέθεσε τὸ τραπέζι ὁ Παῦλος, σήμερα ὁ Ματθαῖος. Χθὲς ὁ σκηνοποιός, σήμερα ὁ τελώνης· χθὲς ὁ βλάσφημος, σήμερα ὁ ἅρπαγας· χθὲς ὁ διώκτης, σήμερα ὁ πλεονέκτης. Ὅμως ὁ βλάσφημος δὲν ἔμεινε βλάσφημος, ἀλλ' ἔγινε ἀπόστολος· καὶ ὁ ἅρπαγας δὲν ἔμεινε ἅρπαγας, ἀλλ' ἔγινε εὐαγγελιστής. Ἀναφέρω καὶ τὴν προηγούμενη κακία καὶ τὴ μεταγενέστερη ἀρετή, γιὰ νὰ μάθεις πόση εἶναι ἡ ὠφέλεια τῆς μετάνοιας, γιὰ νὰ μὴν ἀπελπισθεῖς ποτὲ γιὰ τὴ σωτηρία σου.

Οἱ διδάσκαλοί μας ἔλαμπαν πρὶν ἀπ' αὐτὸ ἀπὸ τὴν ἁμαρτία τους, ἀλλὰ ὕστερα ἔλαμψαν ἀπὸ τὴ δικαιοσύνη τους, ὁ τελώνης καὶ ὁ βλάσφημος, οἱ πιὸ καλοὶ καρποὶ τῆς πονηρίας. Γιατί τί εἶναι τὸ τελωνεῖο; Ἁρπαγὴ νόμιμη, βία θαρραλέα, ἀδικία ποὺ ἔχει συνήγορο τὸ νόμο. Χειρότερος ἀπὸ ληστὲς εἶναι ὁ τελώνης. Τί σημαίνει τελωνεῖο; Βία ποὺ προβάλλει τὸ νόμο γιὰ ὑπεράσπιση, ποὺ ἔχει τὸν ἰατρὸ δήμιο. Καταλάβατε αὐτὸ ποὺ εἶπα; Οἱ νόμοι εἶναι ἰατροί, ἔπειτα γίνονται καὶ δήμιοι, γιατὶ δὲ θεραπεύουν τὴν πληγή, ἀλλὰ τὴ μεγαλώνουν. Τί σημαίνει τελωνεῖο; Ἁμαρτία ἀναίσχυντη, ἁρπαγὴ χωρὶς πρόφαση, πράγμα χειρότερο ἀπὸ ληστεία. Ὁ ληστὴς τουλάχιστο ντρέπεται ὅταν κλέβει, ἐνῶ αὐτὸς μιλάει μὲ παρρησία ὅταν ἁρπάζει. Καὶ ὅμως ὁ τελώνης αὐτὸς ἔγινε ἀμέσως εὐαγγελιστής. Πῶς καὶ μὲ ποιὸν τρόπο; «Προχωρώντας», λέγει, «ὁ Ἰησοῦς εἶδε τὸ Ματθαῖο νὰ κάθεται στὸ τελωνεῖο καὶ τοῦ λέγει, ἀκολούθα με»[2]. Πόση δύ-

2. Ματθ. 9,9.

*τελώνιον καθήμενον, καὶ λέγει αὐτῷ, ἀκολούθει μοι». Ὢ λόγου δύναμις· εἰσῆλθε τὸ ἄγκιστρον, καὶ τὸν αἰχμάλωτον στρατιώτην ἐποίησε, τὸν πηλὸν χρυσὸν εἰργάσατο· εἰσῆλθε τὸ ἄγκιστρον, «καὶ εὐθέως ἀναστὰς ἠκολούθησεν αὐτῷ». Εἰς τὸ βάθος ἦν τῆς πονηρίας, καὶ εἰς τὴν ἀψῖδα ἀνέβη τῆς ἀρετῆς.*

*Μηδεὶς τοίνυν, ἀγαπητοί, ἀπογινωσκέτω τῆς ἑαυτοῦ σωτηρίας. Οὐκ ἔστι φύσεως τὰ τῆς πονηρίας· προαιρέσει τετιμήμεθα καὶ ἐλευθερίᾳ. Τελώνης εἶ; Δύνασαι γενέσθαι εὐαγγελιστής. Βλάσφημος εἶ; Δύνασαι γενέσθαι ἀπόστολος. Ληστὴς εἶ; Δύνασαι παράδεισον συλῆσαι. Μάγος εἶ; Δύνασαι προσκυνῆσαι τὸν Δεσπότην. Οὐκ ἔστιν οὐδεμία κακία μετανοίᾳ μὴ λυομένη. Διὰ τοῦτο τὰ ἀκροθίνια τῆς πονηρίας ἐξελέξατο ὁ Χριστός, ἵνα μηδεὶς πρὸς τὸ τέλος ἀποφυγεῖν ἔχοι.*

*3. Μή μοι λέγε, ἀπωλόμην, καὶ τί λοιπόν; μή μοι λέγε, ἡμάρτηκα, καὶ τί ποιήσω; Ἰατρὸν ἔχεις ἀνώτερον τῆς ἀρρωστίας, ἰατρὸν ἔχεις νικῶντα τοῦ νοσήματος τὴν φύσιν, ἰατρὸν ἔχεις νεύματι θεραπεύοντα, ἰατρὸν ἔχεις θελήματι διορθούμενον, καὶ δυνάμενον καὶ βουλόμενον. Οὐκ ὄντα σε παρήγαγεν· ὄντα σε καὶ διαστραφέντα πολλῷ μᾶλλον διορθῶσαι δυνήσεται. Οὐκ ἤκουσας ὡς τὸ πρότερον ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον; πῶς τὴν γῆν σάρκα ἐποίησε; πῶς νεῦρα; πῶς ὀστέα; πῶς δέρμα; πῶς φλέβας; πῶς ῥῖνα; πῶς ὀφθαλμούς; πῶς βλέφαρα; πῶς ὀφρῦν; πῶς γλῶτταν; πῶς θώρακα; πῶς χεῖρας; πῶς πόδας; πῶς τὰ ἄλλα πάντα; Γῆ ἦν τὸ ὑποκείμενον, μία οὐσία· καὶ εἰσῆλθεν ἡ τέχνη, καὶ ποικίλην εἰργάσατο τὴν δημιουργίαν.*

*Μὴ δύνασαι τὸν τρόπον εἰπεῖν καθ' ὅνπερ ἐδημιουργήθης; Οὕτως οὐδὲ τὸν τρόπον δύνασαι εἰπεῖν καθ' ὃν καθαιρεῖται τὰ ἁμαρτήματα. Εἰ γὰρ τὸ πῦρ ἐμπῖπτον εἰς τὰς ἀκάνθας, ἀναλίσκει αὐτάς, πολλῷ μᾶλλον τὸ βούλημα τοῦ Θεοῦ τὰ πλημμελήματα ἡμῶν δαπανᾷ καὶ πρόρριζα ἀνασπᾷ, καὶ τοῦ μὴ ἡμαρτηκότος τὸν*

ναμη ἔχει ὁ λόγος αὐτός! Μπῆκε μέσα του τὸ ἀγγίστρι, καὶ ἔκαμε στρατιώτη τὸν αἰχμάλωτο, καὶ κατέστησε χρυσάφι τὸν πηλό. Μπῆκε μέσα του τὸ ἀγγίστρι, «καὶ ἀμέσως σηκώθηκε καὶ τὸν ἀκολούθησε». Ἦταν στὸ βάθος τῆς κακίας, καὶ ἀνέβηκε στὴν κορυφὴ τῆς ἀρετῆς.

Κανεὶς λοιπόν, ἀγαπητοί, ἂς μὴν ἀπελπίζεται γιὰ τὴ σωτηρία του. Δὲν εἶναι φυσικὴ ἡ κακία· ἔχουμε τιμηθεῖ μὲ προαίρεση καὶ ἐλευθερία. Εἶσαι τελώνης; Μπορεῖς νὰ γίνεις εὐαγγελιστής. Εἶσαι βλάσφημος; Μπορεῖς νὰ γίνεις ἀπόστολος. Εἶσαι ληστής; Μπορεῖς νὰ λεηλατήσεις τὸν παράδεισο. Εἶσαι μάγος; Μπορεῖς νὰ προσκυνήσεις τὸν Κύριο. Δὲν ὑπάρχει καμιὰ ἁμαρτία ποὺ νὰ μὴ σβήνεται ἀπὸ τὴ μετάνοια. Γι' αὐτὸ ὁ Κύριος διάλεξε τοὺς πιὸ καλοὺς καρποὺς τῆς πονηρίας, γιὰ νὰ μὴν μπορεῖ κανεὶς στὸ τέλος νὰ ἀπαλλαγεῖ ἀπὸ τὴν κατηγορία.

3. Μὴ μοῦ λές, χάθηκα καὶ τί νὰ κάνω πλέον; μὴ μοῦ λές, ἁμάρτησα καὶ τί θὰ κάμω; Ἔχεις ἰατρὸ ἀνώτερο ἀπὸ τὴν ἀρρώστια, ἔχεις ἰατρὸ ποὺ νικάει τὴ φύση τοῦ νοσήματος, ἔχεις ἰατρὸ ποὺ μὲ νεῦμα θεραπεύει, ἔχεις ἰατρὸ ποὺ μὲ τὴ θέλησή του διορθώνει, ποὺ μπορεῖ καὶ θέλει νὰ σὲ θεραπεύσει. Χωρὶς νὰ ὑπάρχεις σὲ δημιούργησε· τώρα ποὺ ὑπάρχεις καὶ ἔγινες κακὸς πολὺ περισσότερο θὰ μπορέσει νὰ σὲ διορθώσει. Δὲν ἄκουσες ὅτι τὴν πρώτη φορὰ ἔλαβε χῶμα ἀπὸ τὴ γῆ καὶ ἔπλασε τὸν ἄνθρωπο; Πῶς τὸ χῶμα τὸ ἔκαμε σάρκα; πῶς ἔκαμε τὰ νεῦρα; πῶς τὰ ὀστᾶ; πῶς τὸ δέρμα; πῶς τὶς φλέβες; πῶς τὴ μύτη; πῶς τὰ μάτια; πῶς τὰ βλέφαρα; πῶς τὸ φρύδι; πῶς ὅλα τὰ ἄλλα; Χῶμα ἦταν ἡ πρώτη ὕλη, μία οὐσία· καὶ μεσολάβησε ἡ τέχνη καὶ ἔκαμε τὴν ποικιλία τῆς δημιουργίας.

Μήπως μπορεῖς νὰ πεῖς τὸν τρόπο μὲ τὸν ὁποῖο δημιουργήθηκες; Ἔτσι δὲν μπορεῖς νὰ πεῖς καὶ τὸν τρόπο μὲ τὸν ὁποῖο ἐξαλείφονται τὰ ἁμαρτήματα. Γιατί, ἂν ἡ φωτιὰ ποὺ πέφτει ξαφνικὰ στὰ ἀγκάθια τὰ κατατρώγει, πολὺ περισσοτερο ἡ θέληση τοῦ Θεοῦ κατατρώγει τὰ ἁμαρτήματά μας καὶ τὰ ξερριζώνει σύρριζα, καὶ κάνει αὐτὸν ποὺ ἁμάρτησε ὅμοιο μ' ἐκεῖνον ποὺ

*ἡμαρτηκότα ὅμοιον κατασκευάζει. Μὴ ζήτει τὸν τρόπον, μὴ περιεργάζου τὸ γινόμενον, ἀλλὰ πίστευε τῷ θαύματι. Ἡμάρτηκα, λέγεις, πολλὰ καὶ μεγάλα. Καὶ τίς ἐστιν ἀναμάρτητος; Ἀλλ᾽ ἐγὼ χαλεπά, φησί, καὶ μεγάλα καὶ ὑπὲρ πάντα ἄνθρωπον. Ἀρκεῖ σοι εἰς θυσίαν τοῦτο· «λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς». Ἐπίγνωθι ὅτι ἥμαρτες, καὶ ἀρχή σοι διορθώσεως τοῦτο γενήσεται. Στύγνασον, γενοῦ κατηφής, ἔκχεε δάκρυα. Μὴ γὰρ ἄλλο τι ἐξέχεεν ἡ πόρνη; Οὐδὲν ἕτερον, ἢ δάκρυα καὶ μετάνοιαν· ἔλαβε χειραγωγὸν τὴν μετάνοιαν, καὶ προσῆλθε τῇ πηγῇ.*

[4] *Τί δέ φησιν ὁ τελώνης καὶ ὁ εὐαγγελιστής, ἀκούσωμεν. «Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐκεῖθεν, ἦλθεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος· καὶ ἰδοὺ γυνή». Θαυμάζει ὁ εὐαγγελιστής· «ἰδοὺ γυνή», τὸ παλαιὸν ὅπλον τοῦ διαβόλου, ἡ τοῦ παραδείσου με ἐκβαλοῦσα, ἡ μήτηρ τῆς ἁμαρτίας, ἡ ἀρχηγὸς τῆς παραβάσεως· αὕτη ἐκείνη ἡ γυνὴ ἔρχεται, αὕτη ἡ φύσις· καινὸν θαῦμα καὶ παράδοξον. Ἰουδαῖοι φεύγουσι, καὶ ἡ γυνὴ καταδιώκει. «Καὶ ἰδοὺ γυνὴ ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, παρεκάλει αὐτὸν λέγουσα· Κύριε, υἱὲ Δαυίδ, ἐλέησόν με». Εὐαγγελίστρια γίνεται ἡ γυνή, καὶ τὴν θεότητα καὶ τὴν οἰκονομίαν ὁμολογεῖ· «Κύριε», τὴν δεσποτείαν· «υἱὲ Δαυίδ», τῆς σαρκὸς τὴν ἀνάληψιν. «Ἐλέησόν με». Ὅρα φιλόσοφον ψυχήν. «Ἐλέησόν με»· οὐκ ἔχω κατορθώματα βίου, οὐκ ἔχω παρρησίαν πολιτείας· ἐπὶ ἔλεον καταφεύγω, ἐπὶ τὸν κοινὸν τῶν ἡμαρτηκότων λιμένα· ἐπὶ ἔλεον καταφεύγω, ὅπου δικαστήριον οὐκ ἔστιν, ὅπου ἀνεξέταστος ἡ σωτηρία· καίτοι οὕτω πονηρὰ οὖσα καὶ παράνομος, ἐτόλμησε προσελθεῖν.*

*Καὶ ὅρα γυναικὸς φιλοσοφίαν· οὐ παρακαλεῖ Ἰάκωβον, οὐ δέεται Ἰωάννου, οὐδὲ προσέρχεται Πέτρῳ, οὐδὲ διέτεμε τὸν χορόν. Οὐκ ἔχω μεσίτου χρείαν, ἀλλὰ λαβοῦσα τὴν μετάνοιαν συνήγορον, αὐτῇ τῇ πηγῇ προσέρχομαι. Διὰ τοῦτο κατέβη, διὰ τοῦτο σάρκα*

---

3. Ἡσ. 43,26.
4. Στὴ συνέχεια ὁ Χρυσόστομος ἑρμηνεύει τὸ Ματθ. 15,21–28, ποὺ ἀναφέρε-

δὲν ἁμάρτησε. Νὰ μὴ ζητᾶς τὸν τρόπο, νὰ μὴν πολυεξετάζεις αὐτὸ ποὺ γίνεται, ἀλλὰ νὰ πιστεύεις στὸ θαῦμα. Ἔκαμα, λές, πολλὲς καὶ μεγάλες ἁμαρτίες. Καὶ ποιός εἶναι ἀναμάρτητος; Ἐγὼ ὅμως ἔκαμα, λέγει, φοβερὲς καὶ μεγάλες καὶ πιὸ πολλὲς ἁμαρτίες ἀπὸ κάθε ἄνθρωπο. Σοῦ εἶναι ἀρκετὸ γιὰ θυσία αὐτό· «λέγε πρῶτος ἐσὺ τὶς ἁμαρτίες σου γιὰ νὰ δικαιωθεῖς»[3]. Ἀναγνώρισε ὅτι ἁμάρτησες, καὶ αὐτὸ θὰ σοῦ γίνει ἡ ἀρχὴ γιὰ τὴ διόρθωση. Στενοχωρήσου, γίνε σκυθρωπός, χύνε δάκρυα. Μήπως δηλαδὴ ἡ πόρνη ἔχυνε κάτι ἄλλο; Τίποτε ἄλλο, παρὰ δάκρυα καὶ μετάνοια· πῆρε ὁδηγὸ τὴ μετάνοια καὶ ἦρθε στὴν πηγή.

4. Ἀλλ' ἂς ἀκούσουμε τί λέγει ὁ τελώνης καὶ ὁ εὐαγγελιστής[4]. «Καὶ ἀφοῦ βγῆκε ἀπὸ ἐκεῖ, ἦρθε στὰ μέρη τῆς Τύρου καὶ τῆς Σιδώνας· καὶ νὰ μιὰ γυναίκα». Θαυμάζει ὁ εὐαγγελιστής. «Νὰ μιὰ γυναίκα», τὸ παλαιὸ ὅπλο τοῦ διαβόλου, αὐτὴ ποὺ μὲ ἔβγαλε ἀπὸ τὸν παράδεισο, ἡ μητέρα τῆς ἁμαρτίας, ὁ ἀρχηγὸς τῆς παράβασης· ἡ ἴδια αὐτὴ γηναίκα ἔρχεται, ἡ ἴδια φύση. Καινούριο καὶ παράξενο θαῦμα· οἱ Ἰουδαῖοι φεύγουν καὶ ἡ γυναίκα τὸν καταδιώκει. «Καὶ νὰ μιὰ γυναίκα ἀπὸ τὴν περιοχὴ ἐκείνη βγῆκε καὶ τὸν παρακαλοῦσε λέγοντας· Κύριε, υἱὲ τοῦ Δαβίδ, ἐλέησέ με». Ἡ γυναίκα γίνεται εὐαγγελίστρια καὶ ὁμολογεῖ τὴ θεότητα καὶ τὴν οἰκονομία. «Κύριε», λέγει καὶ ἐννοεῖ τὴν ἐξουσία· «Υἱὲ τοῦ Δαβίδ», τὴν ἐναθρώπηση. «Ἐλέησέ με». Πρόσεχε φιλόσοφη ψυχή. «Ἐλέησέ με»· δὲν ἔχω κατορθώματα ζωῆς, δὲν ἔχω παρρησία συμπεριφορᾶς· καταφεύγω στὸ ἔλεος, ὅπου δὲν ὑπάρχει δικαστήριο, ὅπου ἡ σωτηρία εἶναι χωρὶς ἀνάκριση. Καὶ παρ' ὅλο ποὺ ἦταν τόσο κακὴ καὶ παράνομη τόλμησε νὰ τὸν πλησιάσει.

Καὶ πρόσεχε φιλοσοφία γυναίκας. Δὲν παρακαλεῖ τὸν Ἰάκωβο, δὲν ἱκετεύει τὸν Ἰωάννη, οὔτε πλησιάζει τὸν Πέτρο, οὔτε διέσχισε τὸ χορὸ τῶν ἀποστόλων. Δὲν ἔχω ἀνάγκη ἀπὸ μεσίτη, ἀλλὰ πῆρα συνήγορο τὴ μετάνοια καὶ ἔρχομαι στὴν ἴδια τὴν πηγή. Γι' αὐτὸ κατέβηκε, γι' αὐτὸ ἔλαβε σάρκα, γιὰ νὰ μι-

ται στὴ θεραπεία τῆς κόρης τῆς Χαναναίας.

*ἀνέλαβεν, ἵνα κἀγὼ αὐτῷ διαλεχθῶ. Ἄνω τὰ Χερουβὶμ αὐτὸν τρέμει, καὶ κάτω πόρνη αὐτῷ διαλέγεται. «Ἐλέησόν με». Ψιλὸν τὸ ῥῆμα, καὶ πέλαγος ἀχανὲς σωτηρίας εὑρίσκει. «Ἐλέησον με»· διὰ τοῦτο παρεγένου, διὰ τοῦτο σάρκα ἀνέλαβες, διὰ τοῦτο ἐγένου ὅπερ ἐγώ εἰμι. Ἄνω τρόμος, καὶ κάτω παρρησία. «Ἐλέησόν με»· οὐ χρείαν ἔχω μεσίτου, «ἐλέησόν με». Τί ἔχεις; Ἔλεον ζητῶ. Τί πάσχεις; «Ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται»· ἡ φύσις βασανίζεται, ἡ συμπάθεια γυμνάζεται. Ἐξῆλθε συνήγορος τοῦ θυγατρίου· οὐ φέρει τὴν νοσοῦσαν, ἀλλὰ φέρει τὴν πίστιν· Θεός ἐστι, καὶ τὰ πάντα βλέπει. «Ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Πένθος χαλεπόν· τὸ κέντρον τῆς φύσεως τὴν μήτραν διέσχισε, τὸ κλυδώνιον ἐν τοῖς σπλάχνοις. Τί ποιήσω; ἀπόλλυμαι.*

*Καὶ διὰ τί μὴ λέγεις, ἐλέησον τὴν θυγατέρα μου, ἀλλά, «ἐλέησόν με»; Ἐκείνη ἐν ἀναισθησίᾳ ἔχει τὸ πάθος, οὐκ οἶδε τί πάσχει, οὐκ αἰσθάνεται τῆς ὀδύνης, παραπέτασμα τῆς συμφορᾶς ἔχουσα τὸ ἀνώδυνον, μᾶλλον δὲ τὸ ἀναίσθητον. Ἐμὲ δὲ ἐλέησον τὴν θεωρὸν τῶν καθημερινῶν κακῶν· θέατρον ἔχω συμφορᾶς ἐν τῇ οἰκίᾳ. Ποῦ ἀπέλθω; Εἰς τὴν ἔρημον; Ἀλλ' οὐ τολμῶ αὐτὴν καταλιπεῖν μόνην. Ἀλλὰ εἰς τὴν οἰκίαν; Ἀλλ' εὑρίσκω τὸν πολέμιον ἔνδον, τὰ κύματα ἐν τῷ λιμένι, θέατρον συμφορᾶς. Τί αὐτὴν καλέσω; Νεκράν; Ἀλλὰ κινεῖται. Ἀλλὰ ζῶσαν; Ἀλλ' οὐκ οἶδε τί ποιεῖ. Οὐκ οἶδα εὑρεῖν ὄνομα ἑρμηνεῦον τὸ πάθος. «Ἐλέησόν με». Εἰ ἐτεθνήκει τὸ θυγάτριον, οὐκ ἂν τοιαῦτα ἔπασχον· παρέδωκα ἂν τοῖς κόλποις τῆς γῆς τὸ σῶμα, καὶ τῷ χρόνῳ τὴν λήθην ἂν εἰσήγαγον, καὶ διεφόρησα ἂν τὸ ἕλκος· νῦν δὲ νεκρὸν ἔχω διηνεκῆ θεωρίαν μοι ἐργαζόμενον, ὑφαίνοντά μοι τὸ τραῦμα, πλεονάζοντά μοι τὸ πάθος. Πῶς ἴδω ὀφθαλμοὺς διαστρεφομένους; χεῖρας στραγγαλουμένας; πλοκάμους λυομένους; ἀφρὸν προϊέμενον; τὸν δήμιον ἔνδον ὄντα καὶ μὴ φαινόμενον; τὸν μαστίζοντα μὴ ὁρώμενον, τὰς δὲ μάστιγας φαινομένας; Ἕστηκα θεωρὸς τῶν ἀλλορίων κακῶν, ἕστηκα τῆς φύσεώς με κεντριζούσης· «ἐλέησόν με». Χαλεπὸν τὸ κλυδώνιον, πάθος καὶ*

λήσω καὶ ἐγὼ μαζί του. Ἐπάνω τὰ χερουβὶμ τὸν τρέμουν, καὶ κάτω ἡ πόρνη συζητάει μαζί του. «Ἐλέησέ με»· γι' αὐτὸ ἦρθες, γι' αὐτὸ πῆρες σάρκα, γι' αὐτὸ ἔγινες ὅπως εἶμαι ἐγώ. Ἐπάνω τρόμος καὶ κάτω παρρησία. «Ἐλέησέ με»· δὲν ἔχω ἀνάγκη ἀπὸ μεσίτη, «ἐλέησέ με». Τί ἔχεις; Ἔλεος ζητῶ. Τί ἔχεις πάθει; «Ἡ θυγατέρα μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο». Ἡ φύση βασανίζεται, ἡ συμπάθεια γυμνάζεται. Βγῆκε συνήγορος τῆς κόρης της. Δὲ φέρνει τὴν ἄρρωστη, ἀλλὰ φέρνει τὴν πίστη. Θεὸς εἶναι καὶ τὰ βλέπει ὅλα. «Ἡ θυγατέρα μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο». Πένθος φοβερό· τὸ καρφὶ τῆς φύσης ξέσχισε τὴ μήτρα, ἡ τρικυμία βρίσκεται στὰ σπλάχνα της. Τί νὰ κάνω; χάνομαι.

Καὶ γιατί δὲ λές, 'ἐλέησε τὴ θυγατέρα μου', ἀλλά, «ἐλέησέ με»; Ἐκείνη δὲν αἰσθάνεται τὸ πάθος, δὲν ξέρει τί πάσχει, δὲν καταλαβαίνει τὸν πόνο, ἐπειδὴ ἔχει παραπέτασμα τῆς συμφορᾶς τὸ ἀνώδυνο ἢ καλύτερα τὸ ἀναίσθητο. Ἐμένα ὅμως ἐλέησε ποὺ βλέπω τὰ καθημερινὰ κακά· θέατρο συμφορᾶς ἔχω στὸ σπίτι μου. Ποῦ νὰ πάω; Στὴν ἔρημο; Ἀλλὰ δὲν τολμῶ νὰ τὴν ἀφήσω μόνη. Μήπως στὸ σπίτι; Ἀλλὰ βρίσκω τὸν ἐχθρὸ μέσα, τὰ κύματα στὸ λιμάνι, θέατρο συμφορᾶς. Τί νὰ τὴν ὀνομάσω; Νεκρή; Ὅμως κινεῖται. Μήπως ζωντανή; Ἀλλὰ δὲν ξέρει τὶ κάνει. Δὲν ξέρω νὰ βρῶ ὄνομα ποὺ νὰ ἑρμηνεύει τὸ πάθος της. «Ἐλέησέ με». Ἂν πέθαινε ἡ κόρη μου, δὲ θὰ πάθαινα τέτοια· θὰ παρέδινα στούς κόλπους τῆς γῆς τὸ σῶμα της, καὶ μὲ τὸν καιρὸ θὰ ἔφερνα τὴ λήθη καὶ θὰ ἀπομάκρυνα τὴ λύπη. Τώρα ὅμως ἔχω ἕνα νεκρὸ ποὺ μὲ κάνει νὰ τὸν βλέπω συνέχεια, νὰ μοῦ ἐρεθίζει τὸ τραῦμα, νὰ μοῦ αὐξάνει τὸ πάθος. Πῶς νὰ δῶ τὰ μάτια της νὰ ἀλλοιθωρίζουν; τὰ χέρια της νὰ συστρέφονται; τὰ μαλλιά της νὰ ξεπλέκονται; ἀφρὸ νὰ βγαίνει ἀπὸ τὸ στόμα της; τὸ δήμιο νὰ εἶναι μέσα καὶ νὰ μὴ φαίνεται; αὐτὸν ποὺ μαστιγώνει νὰ μὴ φαίνεται, ἐνῶ οἱ μαστιγώσεις νὰ φαίνονται; Στάθηκα θεατὴς τῶν ξένων κακῶν, στάθηκα ἐνῶ ἡ φύση μὲ κεντρίζει. «Ἐλέησέ με». Φοβερὴ ἡ τρικυμία, φοβερὸ τὸ πάθος καὶ φοβε-

*φόβος· πάθος φύσεως, καὶ φόβος δαίμονος. Προσελθεῖν οὐ δύναμαι, οὐδὲ κατασχεῖν. Ὠθεῖ με τὸ πάθος, καὶ διακρούεταί με ὁ φόβος. «Ἐλέησόν με».*

*5. Ἐννόησον γυναικὸς φιλοσοφίαν. Οὐκ ἀπῆλθε πρὸς μάγους, οὐκ ἐκάλεσε μάντεις, οὐ περίαπτα ἐποίησεν, οὐ μαγγανευτρίας γυναῖκας ἐμισθώσατο, ταύτας τὰς γοητευούσας δαίμονας καὶ αὐξούσας τὸ ἕλκος· ἀλλ' ἀφῆκε τοῦ διαβόλου τὸ ἐργαστήριον, καὶ ἔρχεται ἐπὶ τὸν Σωτῆρα τῶν ψυχῶν τῶν ἡμετέρων. «Ἐλέησόν με· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Εἶδες τὴν φιλοσοφίαν τῆς γυναικός; εἶδες τὴν καρτερίαν; τὴν ἀνδρείαν; τὴν ὑπομονήν; «Ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον». Καινὰ πράγματα. Παρακαλεῖ, δέεται, κλαίει τὴν συμφοράν, αὔξει τὴν τραγῳδίαν, διηγεῖται τὸ πάθος· καὶ ὁ φιλάνθρωπος οὐκ ἀποκρίνεται· ὁ Λόγος σιωπᾷ, ἡ πηγὴ κλείεται, ὁ ἰατρὸς τὰ φάρμακα συστέλλει. Τί τὸ καινόν; τί τὸ παράδοξον; Ἄλλοις ἐπιτρέχεις, καὶ ταύτην ἐπιτρέχουσαν ἐλαύνεις; Ἀλλ' ἐννόησον τοῦ ἰατροῦ τὴν φιλοσοφίαν. «Ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον». Τίνος ἕνεκα; Ὅτι οὐ τὰ ῥήματα ἐξήταζεν, ἀλλὰ τὰ ἀπόρρητα τῆς διανοίας κατεμάνθανεν.*

*«Ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον». Τί δὲ οἱ μαθηταί; ἐπειδὴ οὐκ ἔτυχεν ἡ γυνὴ ἀποκρίσεως, προσελθόντες αὐτῷ λέγουσιν· «ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν». Ἀλλὰ σὺ τῆς ἔξωθεν ἀκούεις κραυγῆς, ἐγὼ δὲ τῆς ἔνδοθεν· μεγάλη ἡ φωνὴ τοῦ στόματος, ἀλλὰ μείζων ἡ τῆς διανοίας. «Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν»· ἄλλος δὲ λέγει εὐαγγελιστής, «ἔμπροσθεν ἡμῶν». Ἐναντία τὰ εἰρημένα, ἀλλ' οὐ ψευδῆ· ἀμφότερα γὰρ ἐποίει. Πρότερον γὰρ ὄπισθεν ἔκραζεν· ὅτε δὲ οὐκ ἀπεκρίθη, ἦλθεν ἔμπροσθεν, καθάπερ κύων λείχων τοὺς πόδας τοῦ κυρίου αὐτοῦ. «Ἀπόλυσον αὐτήν»· θέατρον περιέστησε, δῆμον συνήγαγε· τὴν ὀδύνην ἐθεώ-*

ρὸς ὁ φόβος· τὸ πάθος τῆς φύσης, καὶ ὁ φόβος τοῦ δαίμονα. Δὲν μπορῶ νὰ τὴν πλησιάσω, οὔτε νὰ τὴ συγκρατήσω. Μὲ ὠθεῖ τὸ πάθος καὶ μὲ ἀποκρούει ὁ φόβος. «Ἐλέησέ με».

5. Σκέψου τὴν πίστη τῆς γυναίκας. Δὲν πῆγε σὲ μάγους, δὲν κάλεσε μάντεις, δὲν ἔκαμε φυλαχτά, δὲν πλήρωσε γυναῖκες ποὺ χρησιμοποιοῦν μαγγανεῖες, αὐτὲς ποὺ γοητεύουν τοὺς δαίμονες καὶ αὐξάνουν τὴν πληγή. Ἀλλ' ἄφησε τὸ ἐργαστήριο τοῦ διαβόλου καὶ ἔρχεται στὸ Σωτήρα τῶν ψυχῶν μας. «Ἐλέησέ με· ἡ θυγατέρα μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο». Γνωρίζετε τὸ πάθος, ὅσοι γίνατε πατέρες· βοηθῆστε μου στὸ λόγο, ὅσες γίνατε μητέρες. Δὲν μπορῶ νὰ ἐξηγήσω τὴν τρικυμία ποὺ ὑπέφερε ἡ γυναίκα. «Ἐλέησέ με· ἡ θυγατέρα μου βασανίζετε φρικτὰ ἀπὸ δαιμόνιο». Εἶδες τὴν πίστη τῆς γυναίκας; εἶδες τὴν καρτερία της; τὴν ἀνδρεία της; τὴν ὑπομονή της; «Αὐτὸς ὅμως δὲν τῆς ἀπάντησε οὔτε λέξη». Καινούρια πράγματα. Παρακαλεῖ, ἱκετεύει, κλαίει τὴ συμφορά της, μεγαλώνει τὴν τραγωδία, διηγεῖται τὸ πάθος· καὶ ὁ φιλάνθρωπος δὲν ἀπαντάει. Ὁ Λόγος σιωπᾶ, ἡ πηγὴ κλείνεται, ὁ ἰατρὸς κρύβει τὰ φάρμακα. Τί τὸ καινούριο; τί τὸ παράδοξο; Τρέχεις κοντὰ σ' ἄλλους καὶ διώχνεις αὐτὴν ποὺ τρέχει κοντά σου; Ἀλλὰ σκέψου τὴ φιλοσοφία τοῦ ἰατροῦ. «Αὐτὸς ὅμως δὲν τῆς ἀπάντησε οὔτε λέξη». Γιὰ ποιό λόγο; Γιατὶ δὲν ἐξέταζε τὰ λόγια, ἀλλ' ἐρευνοῦσε τὰ μυστικὰ τῆς ψυχῆς της.

«Αὐτὸς ὅμως δὲν τῆς ἀπάντησε οὔτε λέξη». Καὶ τί ἔκαμαν οἱ μαθητές; Ἐπειδὴ ἡ γυναίκα δὲν πῆρε ἀπάντηση, τὸν πλησίασαν καὶ τοῦ λέγουν· «Διῶξε την, γιατὶ φωνάζει ἀπὸ πίσω μας». Ἐσὺ ὅμως ἀκοῦς τὴ φωνὴ ἀπὸ ἔξω, ἐνῶ ἐγὼ τὴ φωνὴ ἀπὸ μέσα. Εἶναι μεγάλη ἡ φωνὴ τοῦ στόματος, μεγαλύτερη ὅμως ἡ φωνὴ τῆς ψυχῆς. «Διῶξε την, γιατὶ φωνάζει ἀπὸ πίσω μας»· καὶ ἄλλος εὐαγγελιστὴς λέγει, «μπροστά μας»[5]. Ἀντίθετα τὰ λόγια, ἀλλὰ ὄχι ψεύτικα, γιατὶ ἔκανε καὶ τὰ δύο. Πρῶτα δηλαδὴ φώναζε ἀπὸ πίσω, καὶ ὅταν δὲν ἀπάντησε, ἦρθε μπροστά του. σὰν σκυλὶ ποὺ γλύφει τὰ πόδια τοῦ κυρίου του. «Διῶξε την»·

5. Βλ. Μάρκ. 7,25.

*ρουν τὴν ἀνθρωπίνην ἐκεῖνοι, ὁ δὲ Δεσπότης τὴν φιλανθρωπίαν καὶ τὴν σωτηρίαν τῆς γυναικός. «Ἀπόλυσον αὐτὴν ὅτι κράζει ὄπισθεν ἡμῶν». Τί οὖν ὁ Χριστός; «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ». Ὅτε ἀπεκρίνατο, χεῖρον αὐτῆς ἐποίησε τὸ ἕλκος· ἰατρὸς γὰρ ἦν τέμνων, οὐχ ἵνα διέλῃ, ἀλλ' ἵνα συνάψῃ.*

*6. Ἐνταῦθα προσέχετέ μοι μετὰ ἀκριβείας, καὶ συντείνατέ μοι τὴν διάνοιαν. Ζήτημα γὰρ βαθὺ ἀνερευνῆσαι βούλομαι. «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ». Τοῦτο ὅλον; Διὰ τοῦτο ἄνθρωπος ἐγένου, σάρκα ἀνέλαβες, οἰκονομίας τοσαύτας εἰργάσω, ἵνα μίαν γωνίαν σώσῃς, καὶ ταύτην ἀπολλυμένην; ἡ δὲ οἰκουμένη πᾶσα ἔρημος, Σκύθαι, Θρᾷκες, Ἰνδοί, Μαῦροι, Κίλικες, Καππάδοκες, Σύροι, Φοίνικες, ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν; Διὰ Ἰουδαίους μόνους ἦλθες, τὰ δὲ ἔθνη ἐν ἐρημίᾳ ὑπερορᾷς; καὶ περιορᾷς κνίσσαν; περιορᾷς καπνόν; περιορᾷς τὸν Πατέρα σου ὑβριζόμενον; εἴδωλα προσκυνούμενα; δαίμονας θεραπευομένους;*

*Καίτοι οἱ προφῆται οὐ ταῦτα λέγουσιν, ἀλλ' ὁ πρόγονός σου ὁ κατὰ σάρκα τί φησιν; «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς». Ἠσαΐας δὲ ὁ τῶν Σεραφὶμ θεωρός· «καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτὸν ἔθνη ἐλπιοῦσι». Καὶ Ἰακώβ· «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν». Καὶ Μαλαχίας· «διότι ἐν ὑμῖν συγκλεισθήσονται πύλαι χαλκαῖ, καὶ οὐκ ἀλλάξονται τὸ προκείμενον, ὅτι ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν ἡλίου τὸ ὄνομά σου δοξάζεται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ Κυρίῳ, καὶ θυσία καθαρά». Καὶ ὁ Δαυὶδ πάλιν· «πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε*

---

6. Ψαλμ. 2,8.
7. Ἡσ. 11,10.
8. Γεν. 49,10.

ἔστησε θέατρο γύρω, μάζεψε πλῆθος. Ἐκεῖνοι ἔβλεπαν τὸν ἀνθρώπινο πόνο, ἐνῶ ὁ Κύριος τὴ φιλανθρωπία καὶ τὴ σωτηρία τῆς γυναίκας. «Διῶξε την, γιατὶ φωνάζει ἀπὸ πίσω μας». Τί λοιπόν εἶπε ὁ Χριστός; «Δὲν εἶμαι σταλμένος παρὰ στὰ πρόβατα τὰ χαμένα τοῦ οἴκου τοῦ Ἰσραήλ». Ὅταν ἀπάντησε, ἔκαμε χειρότερη τὴν πληγή της· γιατὶ ἦταν ἰατρὸς γιὰ νὰ ἐγχειρίζει· ὄχι γιὰ νὰ χωρίσει, ἀλλὰ γιὰ νὰ ἑνώσει.

6. Ἐδῶ ἐντείνατε πάρα πολὺ τὴν προσοχή σας καὶ συγκεντρῶστε, σᾶς παρακαλῶ, τὸ νοῦ σας. Γιατὶ θέλω νὰ ἐρευνήσω ζήτημα βαθύ. «Δὲν εἶμαι σταλμένος παρὰ μόνο στὰ πρόβατα τὰ χαμένα τοῦ οἴκου τοῦ Ἰσραήλ». Αὐτὸ εἶναι ὅλο; Γι' αὐτὸ ἔγινες ἄνθρωπος, ἀνέλαβες σάρκα, ἔκαμες τόσο μεγάλες οἰκονομίες, γιὰ νὰ σώσεις μιὰ γωνία τῆς γῆς, καὶ αὐτὴ χαμένη; Καὶ ἡ οἰκουμένη ὅλη θὰ μείνει ἔρημος, Σκύθες, Θράκες, Ἰνδοί, Μαῦροι, Κίλικες, Καππαδόκες, Σύροι, Φοίνικες, ὅση γῆ ἐπιβλέπει ὁ ἥλιος; Γιὰ τοὺς Ἰουδαίους μόνο ἦρθες, καὶ περιφρονεῖς τοὺς ἐθνικοὺς ποὺ βρίσκονται μέσα στὴν ἐρημιά; Καὶ ἀνέχεσαι τὴν κνίσσα; ἀνέχεσαι τὸν καπνό; Ἀνέχεσαι νὰ βρίζεται ὁ Πατέρας σου; νὰ προσκυνοῦνται τὰ εἴδωλα; νὰ λατρεύονται οἱ δαίμονες;

Ἂν καὶ οἱ προφῆτες δὲ λέγουν αὐτά, ὅμως ὁ πρόγονός σου κατὰ σάρκα τί λέγει; «Ζήτησε ἀπὸ μένα, καὶ θὰ σοῦ δώσω τὰ ἔθνη ὡς κληρονομία σου καὶ τὴν ἐξουσία σου θὰ ἐπεκτείνω στὰ πέρατα τῆς γῆς»[6]. Καὶ ὁ Ἠσαΐας ποὺ εἶδε τὰ σεραφὶμ λέγει· «καὶ ὁ ἀπόγονος τοῦ Ἰεσσαὶ θὰ ἐμφανισθεῖ ὡς ἄρχοντας τῶν ἐθνῶν· ἐπάνω σ' αὐτὸν θὰ στηρίξουν τὶς ἐλπίδες τους τὰ ἔθνη»[7]. Καὶ ὁ Ἰακώβ· «δὲ θὰ λείψει ἄρχοντας ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, οὔτε ἀρχηγὸς ἀπὸ τοὺς ἀπογόνους του, μέχρι νὰ ἔρθει ἐκεῖνος, στὰ χέρια τοῦ ὁποίου βρίσκονται οἱ ἐξουσίες, καὶ αὐτὸς θὰ εἶναι ἡ προσδοκία τῶν ἐθνῶν»[8]. Καὶ ὁ Μαλαχίας· «γιατὶ σ' ἐσᾶς θὰ κλεισθοῦν οἱ χάλκινες πύλες, καὶ δὲ θὰ ἀλλάξουν τὴ θυσία, γιατὶ ἀπὸ τὴν ἀνατολὴ μέχρι τὴ δύση τοῦ ἥλιου τὸ ὄνομά σου δοξάζεται στὰ ἔθνη, καὶ σὲ κάθε τόπο προσφέρεται στὸν Κύριο θυμίαμα καὶ θυσία καθαρή»[9]. Καὶ ὁ Δαβὶδ πάλι· «ὅλα τὰ

9. Μαλαχ. 1,10–11.

*τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος». Καὶ ἄλλος· «εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ»·*

*Καὶ σὺ αὐτὸς ἐλθὼν οὐ μάγους εὐθέως ἐκάλεσας, τὴν ἀκρόπολιν τῶν ἐθνῶν; τὴν τυραννίδα τοῦ διαβόλου; τὴν δύναμιν τῶν δαιμόνων; οὐ καταβὰς προφήτας αὐτοὺς ἐποίησας; Σὺ μάγους καλεῖς· οἱ προφῆται περὶ ἐθνῶν λέγουσιν. Ἀναστὰς ἀπὸ τοῦ ᾅδου λέγεις τοῖς μαθηταῖς· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸν ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος»· καὶ ὅτε ἦλθεν ἡ ἀθλία, ἡ ταλαίπωρος, ὑπὲρ θυγατρὸς παρακαλοῦσα, συμφορὰν δεομένη λῦσαι, τότε λέγεις· «οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»; Καὶ ὅτε μὲν ἑκατόνταρχος προσῆλθε, λέγεις· «ἐγὼ ἐλθὼν ἰάσομαι αὐτὸν»· ὅτε ὁ λῃστής, «σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»· ὅτε ὁ παραλυτικός, «ἐγερθεὶς ἆρον σου τήν κλίνην, καὶ ὕπαγε»· ὅτε ὁ Λάζαρος, «Λάζαρε δεῦρο ἔξω», καὶ ἐξῆλθε τετραήμερος. Λεπροὺς καθαίρεις, νεκροὺς ἐγείρεις, παραλυτικὸν σφίγγεις, τυφλοὺς θεραπεύεις, λῃστὰς σώζεις, πόρνην παρθένου σωφρονεστέραν ποιεῖς, καὶ ταύτῃ οὐδὲν ἀποκρίνῃ; Τί τὸ καινόν; τί τὸ ξένον; τί τὸ παράδοξον;*

*7. Προσέχετε ἀκριβῶς, ἵνα μάθητε γυναικὸς ἀνδρείαν καὶ Δεσπότου σοφίαν καὶ κηδεμονίαν, ἵνα μάθητε μέλλησιν κέρδος ἔχουσαν, ἵνα μάθητε παραίτησιν πλοῦτον παρεχομένην· ἵνα κἂν εὔξῃ καὶ σύ, καὶ μὴ λάβῃς, μηδέποτε ἀποστῇς. Πρόσεχε καὶ σύντεινον σεαυτόν. Ὅτε τῆς αἰγυπτιακῆς ἀπηλλάγησαν Ἰουδαῖοι τυραννίδος,*

---

10. Ψαλμ. 46,2–3 · 6
11. Δευτ. 32,43.
12. Ματθ. 28,19.
13. Ματθ. 8,7.

ἔθνη χειροκροτῆστε, φωνάξτε δυνατὰ στὸ Θεὸ μὲ φωνὴ μεγάλης χαρᾶς· γιατὶ ὁ Κύριος εἶναι ὕψιστος, φοβερός, βασιλιὰς μεγάλος σὲ ὅλη τὴ γῆ. Ἀνέβηκε ὁ Θεὸς μὲ ἀλαλαγμό, ὁ Κύριος μὲ φωνὴ σάλπιγγας»[10]. Καὶ ἄλλος· «Χαρεῖτε ἔθνη μαζὶ μὲ τὸ λαό του»[11].

Καὶ σὺ ὁ ἴδιος ὅταν ἦρθες δὲν κάλεσες ἀμέσως τοὺς μάγους, τὴν ἀκρόπολη τῶν ἐθνῶν; τὴν ἐξουσία τοῦ διαβόλου; τὴ δύναμη τῶν δαιμόνων; δὲν τοὺς ἔκαμες προφῆτες ὅταν κατέβηκες; Ἐσὺ καλεῖς μάγους, οἱ προφῆτες ὁμιλοῦν γιὰ τὰ ἔθνη. Ὅταν ἀναστήθηκες ἀπὸ τὸν ἅδη λέγεις στοὺς μαθητές, «πηγαίνετε νὰ διδάξετε ὅλα τὰ ἔθνη, βαπτίζοντας αὐτοὺς στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος»[12], καὶ ὅταν ἦρθε αὐτὴ ἡ ἄθλια, ἡ ταλαίπωρη, νὰ παρακαλέσει γιὰ τὴ θυγατέρα της καὶ νὰ ἱκετεύσει νὰ λύσεις τὴ συμφορά της τότε λές, «δὲν εἶμαι σταλμένος, παρὰ μόνο στὰ πρόβατα τὰ χαμένα τοῦ οἴκου Ἰσραήλ»; Καὶ ὅταν ἦρθε σὲ σένα ὁ ἑκατόνταρχος τοῦ λέγεις, «ἐγὼ θὰ ἔρθω καὶ θὰ τὸν θεραπεύσω»[13]· ὅταν ὁ ληστής, «σήμερα θὰ εἶσαι μαζί μου στὸν παράδεισο»[14]· ὅταν ὁ παραλυτικός, «σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε»[15]· ὅταν ὁ Λάζαρος, «Λάζαρε, ἔλα ἔξω»[16], καὶ βγῆκε ἂν καὶ ἦταν τέσσερις ἡμέρες πεθαμένος. Λεπροὺς καθαρίζεις, νεκροὺς ἀνασταίνεις, παραλυτικὸ στερεώνεις, τυφλοὺς θεραπεύεις, ληστὲς σώζεις, πόρνη κάνεις πιὸ ἐγκρατὴ ἀπὸ παρθένο, καὶ σ' αὐτὴ δὲν ἀπαντᾶς τίποτε; Τί τὸ πρωτάκουστο; τί τὸ παράξενο; τί τὸ παράδοξο;

7. Προσέχετε καλά, γιὰ νὰ μάθετε τὴν ἀνδρεία τῆς γυναίκας καὶ τὴ σοφία καὶ τὴ μέριμνα τοῦ Κυρίου, γιὰ νὰ μάθετε μιὰ ἀναβολὴ ποὺ ἔχει κέρδος, γιὰ νὰ μάθετε μιὰ ἄρνηση ποὺ προσφέρει πλοῦτο, γιὰ νὰ μὴν ἀπομακρυνθεῖς ποτὲ καὶ σὺ ὅταν προσευχηθεῖς καὶ δὲ λάβεις. Πρόσεχε καὶ συγκεντρώσου. Ὅταν οἱ Ἰουδαῖοι ἀπαλλάχθηκαν ἀπὸ τὴν τυραννία τῶν Αἰγυπτίων καὶ βά-

---

14. Λουκᾶ 23,43.
15. Ματθ. 9,6.
16. Ἰω. 11,43.

*καὶ τοῦ Φαραὼ τὰς χεῖρας ἀποφυγόντες ἐπὶ τὴν ἔρημον ᾔεσαν, καὶ ἔμελλον εἰσιέναι τὴν Χαναναίων γῆν, τῶν εἰδωλομανῶν καὶ ἀσεβῶν ἀνθρώπων, προσκυνούντων λίθους, θεραπευόντων ξύλα, πολλὴν ἀσέβειαν ἐπιδεικνυμένων, δέδωκεν αὐτοῖς ὁ Θεὸς τὸν νόμον τοῦτον, λέγων· «μὴ λάβῃς παρὰ τῶν υἱῶν εἰς γαμβρούς, μηδὲ δῷς τὴν θυγατέρα σου νύμφην αὐτοῖς. Μὴ μεταδῷς αὐτοῖς χρυσίον, μήτε τραπέζης κοινωνίαν, μηδὲ συνουσίαν, μηδὲ ἄλλου μηδενὸς τῶν τοιούτων, ὅτι παράνομα τὰ ἔθνη, εἰς ἃ εἰσάγω σε κληρονομῆσαι αὐτῶν».*

*Τοῦτο οὖν αὐτοῖς ὁ νόμος μονονουχὶ ἐντέλλετο· μὴ ἀγοράσῃς, μὴ πωλήσῃς, μὴ γάμον ἐπιτελέσῃς, μηδὲ συμβόλαια, ἀλλ' ἔσο, εἰ καὶ τῷ τόπῳ ἐγγύς, ἀλλὰ τῷ τρόπῳ κεχωρισμένος. Μηδέν σοι κοινὸν πρὸς αὐτούς, μὴ συναλλάγματα, μὴ πράσεις, μὴ ἀγορασίαι, μὴ ἐπιγαμίαι, μὴ ἐπιγαμβρίαι, ἵνα μὴ τῆς συγγενείας ἡ ἀνάγκη εἰς ἀσέβειάν σε ἐξολισθῆσαι παρασκευάσῃ, ἵνα μὴ τὸ δοῦναι καὶ τὸ λαβεῖν ποιῇ σε φίλον αὐτῶν· ἀλλ' ἐχθρὸς ἀεὶ ἔσο αὐτοῖς. Μηδέν σοι καὶ Χαναναίοις· μὴ χρυσὸν αὐτῶν λάβῃς, μηδὲ ἀργύριον, μὴ ἱματισμόν, μὴ θυγατέρα, μὴ υἱόν, μὴ ἄλλο τι τῶν τοιούτων μηδέν· ἀλλ' αὐτὸς καθ' ἑαυτὸν ἔσο. Γλῶτταν ἔχεις χωρίζουσάν σε, καὶ νόμον σοι ἔδωκα· διὰ τοῦτο καὶ ὁ νόμος φραγμὸς λέγεται.. Ὥσπερ γὰρ ἀμπελῶνι φραγμὸς περίκειται, οὕτω καὶ τοῖς Ἰουδαίοις ὁ νόμος, ἵνα μὴ ὑπερβάντες ἀναμιγῶσι τοῖς Χαναναίοις. Ἦσαν γὰρ παρ' αὐτοῖς παράνομοι ἐπιμιξίαι, διεφθαρμένοι τῆς φύσεως οἱ νόμοι, εἴδωλα προσκυνούμενα, ξύλα θεραπευόμενα, Θεὸς ὑβριζόμενος, τέκνα σφαττόμενα, πατέρες ἐμπτυόμενοι, μητέρες ἀτιμαζόμεναι, πάντα ἠλλοίωτο, πάντα ἀνατέτραπτο, δαιμόνων ζωὴν ἔζων.*

*Διὰ τοῦτο οὐδέποτε συναλλάγματα ἐποίουν, οὐ συμβόλαια, οὐ πράσεις μετ' ἐκείνων· ἀλλ' ὁ νόμος ἐπὶ τοῖς μεγίστοις κείμενος,*

διζαν στὴν ἔρημο, ἀφοῦ ξέφυγαν ἀπὸ τὰ χέρια τοῦ Φαραώ, καὶ ὅταν ἐπρόκειτο νὰ μποῦν στὴ χώρα τῶν Χαναναίων, τῶν ἀνθρώπων ποὺ ἦταν εἰδωλολάτρες καὶ ἀσεβεῖς, ποὺ προσκυνοῦσαν λίθους, ποὺ λάτρευαν ξύλα, ποὺ ἔδειχναν πολλὴ ἀσέβεια, τοὺς ἔδωσε ὁ Θεὸς αὐτὸν τὸ νόμο λέγοντας· 'νὰ μὴν πάρεις γαμπροὺς ἀπὸ τὰ παιδιά τους, οὔτε νὰ δώσεις τὴ θυγατέρα σου νύφη σ' αὐτούς. Νὰ μὴν τοὺς προσφέρεις χρυσάφι, οὔτε θέση στὸ τραπέζι σου, οὔτε συναναστροφή, οὔτε τίποτε ἄλλο ἀπ' αὐτα, γιατὶ εἶναι παράνομα τὰ ἔθνη, στὰ ὁποῖα σὲ ὁδηγῶ νὰ τὰ κληρονομήσεις'[17].

Σὰν δηλαδὴ ὁ νόμος νὰ τοὺς πρόσταζε αὐτό· νὰ μὴν ἀγοράσεις, νὰ μὴν πουλήσεις, νὰ μὴν κάνεις γάμο, οὔτε συμβόλαια, ἀλλὰ νὰ εἶσαι ὡς πρὸς τὸν τρόπο ζωῆς χωρισμένος ἀπ' αὐτούς, ἂν καὶ ὡς πρὸς τὸν τόπο εἶσαι κοντά τους. Νὰ μὴν ἔχεις κανένα κοινὸ μ' αὐτούς, οὔτε συναλλαγές, οὔτε πωλήσεις, οὔτε ἀγορές, οὔτε γάμους, οὔτε συμπεθεριά, γιὰ νὰ μὴ σὲ κάνει ἡ ἀνάγκη τῆς συγγένειας νὰ γλιστρήσεις στὴν ἀσέβεια, γιὰ νὰ μὴ σὲ κάνουν φίλο τους οἱ δοσοληψίες μαζί τους· ἀλλὰ νὰ εἶσαι πάντοτε ἐχθρὸς μ' αὐτούς. Τίποτε τὸ καινὸ ἀνάμεσα σὲ σένα καὶ στοὺς Χαναναίους· νὰ μὴν πάρεις τὸ χρυσάφι τους, οὔτε τὸ ἀσήμι τους, οὔτε τὰ ροῦχα τους, οὔτε θυγατέρα, οὔτε υἱό τους, οὔτε κανένα ἄλλο ἀπ' αὐτά, ἀλλὰ νὰ εἶσαι κλεισμένος στὸν ἑαυτό σου. Ἔχεις γλῶσσα ποὺ σὲ χωρίζει, σοῦ ἔδωσα καὶ τὸ νόμο· γι' αὐτὸ καὶ ὁ νόμος λέγεται φραγμός. Γιατί, ὅπως γύρω ἀπὸ τὸ ἀμπέλι βρίσκεται ὁ φράκτης, ἔτσι καὶ στοὺς Ἰουδαίους εἶναι ὁ νόμος, γιὰ νὰ μὴν τὸν παραβοῦν καὶ ἀναμιχθοῦν μὲ τοὺς Χαναναίους. Γιατὶ σ' αὐτὸν ὑπῆρχαν παράνομες ἐπιμιξίες, οἱ νόμοι τῆς φύσης εἶχαν διαφθαρεῖ, εἴδωλα προσκυνοῦνταν, ξύλα λατρεύονταν, ὁ Θεὸς ὑβριζόταν, παιδιὰ σφάζονταν, πατέρες περιφρονοῦνταν, μητέρες ἀτιμάζονταν, ὅλα ἀλλοιώνονταν, ὅλα εἶχαν ἀνατραπεῖ, ζοῦσαν τὴ ζωὴ τῶν δαιμόνων.

Γι' αὐτὸ ποτὲ δὲν ἔκαναν συναλλαγές, οὔτε συμβόλαια, οὔτε πωλήσεις μαζί τους. Καὶ ὁ νόμος ποὺ ἴσχυε γιὰ τὰ πιὸ με-

17. Βλ. Δευτ. 7,3 . Ἐξ. 23,24.

*εἶργε μετ' ἀλλήλων τοὺς γάμους, τὰ συμβόλαια, τὰς ἐπιγαμβρίας· οὐδὲν κοινὸν πρὸς ἐκείνους εἶχον. Ἀπειρημένον οὖν ἦν τῷ νόμῳ τὸ συναλλάξαι Χαναναίοις, τὸ χρυσίον μεταδοῦναι, ἢ ἕτερόν τι, ἵνα μὴ τῆς φιλίας ἡ ὑπόθεσις ἀσεβείας ἀφορμὴ γένηται· ὁ νόμος περιέκειτο ἀντὶ φραγμοῦ· «ἀμπελῶνα», φησίν, «ἐφύτευσα, καὶ φραγμὸν περιέθηκα», τουτέστι νόμον, οὐχὶ ἀπὸ ἀκανθῶν, ἀλλ' ἀπὸ ἐντολῶν, τειχίζοντα καὶ ἀπείργοντα αὐτούς. Ἀπειρημένοι οὖν οἱ Χαναναῖοι, βδελυροί, ἀσεβεῖς, ἐναγεῖς, μιαροί, ἀκάθαρτοι· διὸ καὶ οὐδὲ ἀκοῦσαι αὐτῶν ἠνείχοντο οἱ Ἰουδαῖοι τὸν νόμον πληροῦντες αὐτὸν λοιπόν. Ἐπεὶ οὖν αὕτη ἡ γυνὴ ἀπὸ τῶν Χαναναίων ἦν («ἰδοὺ γὰρ γυνή», φησίν, «ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα»), ἐπεὶ οὖν αὕτη ἡ γυνὴ ἀπὸ τῶν Χαναναίων ἦν, προσῆλθε δὲ τῷ Χριστῷ, διὰ τοῦτο ἔλεγε, «τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ παρέβην τὸν νόμον; Ἐπειδὴ γὰρ ἄνθρωπος ἦν, καὶ τὰ ἀνθρώπινα ἐπεδείκνυτο.*

*8. Λοιπὸν προσέχετε μετὰ ἀκριβείας τῷ λόγῳ. Ἐπειδὴ ἡ γυνὴ Χαναναία ἦν, καὶ τῶν ὁρίων ἐκείνων, ἔνθα καὶ λύσσαι, καὶ μανία, καὶ ἀσέβεια, ἔνθα διαβόλου τυραννὶς καὶ δαιμόνων βακχεῖαι καὶ φύσις πατουμένη, καὶ εἰς ἀλόγων ἀλογίας κατηνέχθησαν, εἰς δαιμόνων μανίας, ἐπέταττε δὲ καὶ ὁ νόμος, μηδέν σοι καὶ Χαναναίοις, μὴ δῷς, μὴ λάβῃς, μὴ συμβόλαια ποιήσῃς, μὴ συναλλάγματα· διὰ τοῦτο δὲ φραγμὸν περιέθηκα· ἐλθὼν δὲ ὁ Χριστός, καὶ τὰ τῶν ἀνθρώπων ἀναλαβὼν ὅπλα, αὐθωρὸν περιετμήθη, θυσίας προσήνεγκε, προσφοράς, τὰ ἄλλα πάντα, ἔμελλε δὲ λύειν τὸν νόμον· ἵνα μὴ λέγωσιν, ὅτι ἀτονήσας πληρῶσαι αὐτόν, διὰ τοῦτο ἔλυσε, πρότερον αὐτὸν πληροῖ, καὶ τότε λύει, ἵνα μὴ νομίσῃς ὅτι ἀτονεῖ, ἀλλὰ πληροῖ πάντα κατὰ τὸ ἔθος. Διὰ τοῦτο βοᾷ καὶ λέγει, «τίς ἐξ ὑμῶν*

---

18. Ἡσ.5,1–2.

γάλα ἐμπόδιζε τοὺς γάμους μεταξύ τους, τὰ συμβόλαια, τὰ συμπεθεριά. Τίποτε κοινὸ δὲν εἶχαν μ' ἐκείνους. Ἦταν λοιπὸν ἀπαγορευμένες ἀπὸ τὸ νόμο οἱ συναλλαγὲς μὲ τοὺς Χαναναίους καὶ οἱ δοσοληψίες γιὰ χρυσάφι ἢ κάτι ἄλλο, γιὰ νὰ μὴ γίνει ἡ αἰτία τῆς φιλίας ἀφορμὴ γιὰ ἀσέβεια. Ὁ νόμος βρισκόταν γύρω τους σὰν φράκτης. «Ἀμπέλι», λέγει, «φύτεψα καὶ ἔβαλα ὁλόγυρά του φράχτη»[18], δηλαδὴ τὸ νόμο, ὄχι φράχτη ἀπὸ ἀγκάθια, ἀλλὰ ἀπὸ ἐντολές, ποὺ τοὺς ὀχύρωνε καὶ τοὺς ἐμπόδιζε. Ἀπαγορευμένοι λοιπὸν γι' αὐτοὺς ἦταν οἱ Χαναναῖοι, βδελυροί, ἀσεβεῖς, μολυσμένοι, μιαροί, ἀκάθαρτοι· γι' αὐτὸ οὔτε νὰ τοὺς ἀκούσουν ἀνέχονταν οἱ Ἰουδαῖοι, γιατὶ τηροῦσαν στὸ ἑξῆς τὸ νόμο αὐτόν. Ἐπειδὴ λοιπὸν αὐτὴ ἡ γυναίκα ἦταν ἀπὸ τοὺς Χαναναίους («νὰ μιὰ γυναίκα», λέγει, «ποὺ βγῆκε ἀπὸ τὴν περιοχὴ ἐκείνη»), ἐπειδὴ λοιπὸν αὐτὴ ἡ γυναίκα ἦταν ἀπὸ τοὺς Χαναναίους, καὶ ἦρθε στὸ Χριστό, γι' αὐτὸ ἔλεγε, «ποιός ἀπὸ σᾶς μπορεῖ νὰ μὲ ἐλέγξει γιὰ ἁμαρτία;»[19]· μήπως παρέβηκα τὸ νόμο; Γιατί, ἀφοῦ ἦταν ἄνθρωπος, παρουσίαζε καὶ ἀνθρώπινη συμπεριφορά.

8. Ἀλλὰ προσέχετε μὲ ἀκρίβεια στὸ λόγο. Ἀφοῦ ἡ γυναίκα ἦταν Χαναναία καὶ ἀπὸ τὴν περιοχὴ ἐκείνη, ὅπου ὑπῆρχαν καὶ λύσσες καὶ μανία καὶ ἀσέβεια, ὅπου ὑπῆρχε ἡ ἐξουσία τοῦ διαβόλου, καὶ τὰ ὄργια τῶν δαιμόνων, καὶ φύση καταπατημένη, καὶ ὅπου κατάντησαν στοὺς παραλογισμοὺς τῶν ζώων καὶ στὶς μανίες τῶν δαιμόνων, ἀλλὰ καὶ ὁ νόμος πρόσταζε, νὰ μὴν ἔχεις τίποτε κοινὸ μὲ τοὺς Χαναναίους, νὰ μὴ δώσεις οὔτε νὰ πάρεις ἀπ' αὐτούς, νὰ μὴν πάρεις γυναίκα, νὰ μὴν πάρεις υἱό, νὰ μὴν κάνεις συμβόλαια οὔτε συναλλαγές –γι' αὐτὸ ἔβαλα ὁλόγυρα φράχτη–· ἀλλὰ καὶ ὅταν ὁ Χριστὸς ἦρθε καὶ ἀνέλαβε τὰ ἀνθρώπινα ὅπλα, ἀμέσως περιτμήθηκε, πρόσφερε θυσίες, προσφορές, ὅλα τὰ ἄλλα, καὶ ἐπρόκειτο νὰ καταργήσει τὸ νόμο, γιὰ νὰ μὴ λέγουν, 'ἐπειδὴ δὲν εἶχε τὴ δύναμη νὰ ἐκπληρώσει τὸ νόμο, γι' αὐτὸ τὸν κατάργησε', πρῶτα τὸν ἐκπληρώνει καὶ ὕστερα τὸν καταργεῖ, γιὰ νὰ μὴ νομίσεις πὼς δὲν ἔχει τὴν ἀπαραίτητη δύ-

19. Ἰω. 8,46.

*ἐλέγχει με περὶ ἁμαρτίας;». Ἐπεὶ οὖν καὶ τοῦτο νόμιμον ἦν, τὸ μηδὲν κοινὸν ἔχειν μετὰ Χαναναίων, ἵνα μὴ ἄρξωνται ἐγκαλεῖν αὐτῷ οἱ Ἰουδαῖοι καὶ λέγειν, διὰ τοῦτο οὐκ ἐπιστεύσαμέν σοι· παράνομος γὰρ ἧς, ἔλυσας τὸν νόμον· ἀπῆλθες εἰς τὴν Χαναναίων χώραν, Χαναναίοις ἀνεμίγης, τοῦ νόμου λέγοντος· «μὴ ἀναμιγῇς»· διὰ τοῦτο αὐτῇ οὐδὲν λαλεῖ τέως.*

*Πρόσεχε πῶς πληροῖ τὸν νόμον, καὶ οὐ προδίδωσι τὴν σωτηρίαν· καὶ Ἰουδαίους ἐπιστομίζει, καὶ ταύτην ἀνακτᾶται. «Ὁ δὲ οὐκ ἀπεκρίνατο», φησίν, «αὐτῇ λόγον». Μή μοι προφάσεις εἴπης. Ἴδε, οὐ λαλῶ· ἴδε, οὐ διαλέγομαι· ἴδε συμφορά, καὶ ὁ κυβερνήτης οὐκ ἀναλύω τὸν χειμῶνα διὰ τὴν ὑμετέραν ἀγνωμοσύνην, ἵνα μὴ ἔχητε πρόφασιν. Ἴδε, γυνὴ θέατρόν μοι περιέστηκε, καὶ οὔπω λαμβάνει ἀπόκρισιν, ἵνα μὴ λέγητε, ὅτι ἐπέδωκας σεαυτὸν Χαναναίοις, καὶ παρέβης τὸν νόμον, καὶ ταύτην πρόφασιν ἔχομεν τοῦ μὴ πιστεῦσαί σοι. Σκόπει πῶς διὰ τοῦτο οὐκ ἀπεκρίνατο τῇ γυναικί, ἵνα ἀποκριθῇ Ἰουδαίοις· ἡ πρὸς τὴν γυναῖκα σιγή, φωνὴ ἀγνωμοσύνης τοῖς Ἰουδαίοις ἐγίνετο.*

*9. Ταῦτα δὲ ἐποίει οὐ πρὸς τὴν οἰκείαν ἀξίαν, ἀλλὰ πρὸς τὴν ἐκείνων συγκαταβαίνων ἀσθένειαν. Καὶ γὰρ ὅτε τὸν λεπρὸν ἐκαθάρισε, λέγει· «ἄπελθε, προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς». Σὺ ἐκάθαρας, καὶ πέμπεις αὐτὸν εἰς τὸν νόμον Μωϋσέως; Ναί. Διὰ τί; Διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ ἄρξωνται ἐγκαλεῖν, ὅτι παρέβην τὸν νόμον. Διὰ τοῦτο καὶ ὅτε ἐθεράπευσε τὸν λεπρόν, ξένως ἐθεράπευσεν αὐτόν· καὶ ἄκου πῶς. «Καὶ ἰδοὺ λεπρὸς προσελθὼν παρεκάλει αὐτὸν λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἥψατο αὐτοῦ λέγων· θέλω, καθαρίσθητι». Ἐν τῷ νόμῳ οὐκ ἐχρῆν ἅπτεσθαι λεπροῦ. Ὅτε οὖν ἦλθε*

---

20. Ματθ. 8,4.

ναμη, ἀλλὰ τὰ ἐκπληρώνει ὅλα κατὰ τὸ νόμο. Γι' αὐτὸ φωνάζει καὶ λέγει, «ποιός ἀπὸ σᾶς μπορεῖ νὰ μὲ ἐλέγξει γιὰ ἁμαρτία;». Ἀφοῦ λοιπὸν καὶ αὐτὸ ἦταν νόμιμο, τὸ νὰ μὴν ἔχουν δηλαδὴ τίποτε τὸ κοινὸ μὲ τοὺς Χαναναίους, γιὰ νὰ μὴν ἀρχίσουν νὰ τὸν κατηγοροῦν οἱ Ἰουδαῖοι καὶ νὰ τοῦ λέγουν, 'γι' αὐτὸ δὲν πιστέψαμε σὲ σένα, γιατὶ εἶσαι παράνομος, κατάργησες τὸ νόμο, πῆγες στὴ χώρα τῶν Χαναναίων, ἀναμίχθηκες μὲ τοὺς Χαναναίους, ἐνῶ ὁ νόμος ἔλεγε νὰ μὴν ἀναμιχθεῖς', γι' αὐτὸ στὴν ἀρχὴ δὲν τῆς λέγει οὔτε λέξη.

Πρόσεχε πῶς ἐκπληρώνει τὸ νόμο καὶ δὲν προδίδει τὴ σωτηρία, ἀποστομώνοντας καὶ τοὺς Ἰουδαίους καὶ αὐτὴν κερδίζοντας. «Αὐτὸς ὅμως δὲν ἀπάντησε», λέγει, «οὔτε λέξη». Μὴ μοῦ προβάλεις προφάσεις. Νά, δὲ μιλῶ· νά, δὲ συζητῶ· νὰ συμφορά, καὶ δὲν κάνω τὸ δικό μου ἔργο· νὰ ναυάγιο, καὶ ἐγὼ ὁ κυβερνήτης δὲ σταματῶ τὴν τρικυμία ἐξ αἰτίας τῆς ἀχαριστίας σας, γιὰ νὰ μὴν ἔχετε πρόφαση. Νά, μιὰ γυναίκα μοῦ ἔστησε ὁλόγυρα θέατρο καὶ δὲν παίρνει ἀκόμη ἀπάντηση, γιὰ νὰ μὴ λέτε ὅτι παρέδωσες τὸν ἑαυτό σου στοὺς Χαναναίους, παρέβηκες τὸ νόμο καὶ ἔχουμε αὐτὴν τὴν πρόφαση γιὰ νὰ μὴν πιστέψουμε σὲ σένα. Κοίταζε πῶς γι' αὐτὸ δὲν ἀπάντησε στὴ γυναίκα, γιὰ ν' ἀπαντήσει στοὺς Ἰουδαίους. Ἡ σιωπὴ πρὸς τὴ γυναίκα, γινόταν φωνὴ ἀχαριστίας στοὺς Ἰουδαίους.

9. Καὶ τὰ ἔκανε αὐτὰ ὄχι σύμφωνα μὲ τὴ δική του δύναμη, ἀλλὰ ἀπὸ συγκατάβαση πρὸς τὴ δική τους ἀδυναμία. Γιατὶ καὶ ὅταν καθάρισε τὸ λεπρὸ λέγει· «πήγαινε, πρόσφερε τὸ δῶρο ποὺ πρόσταξε ὁ Μωυσῆς»[20]. Ἐσὺ τὸν καθάρισες καὶ τὸν στέλνεις στὸ νόμο τοῦ Μωυσῆ; Ναί. Γιατί; Ἐξ αἰτίας τῶν Ἰουδαίων, γιὰ νὰ μὴν ἀρχίσουν νὰ μὲ κατηγοροῦν ὅτι παρέβηκα τὸ νόμο. Γι' αὐτὸ καὶ ὅταν θεράπευσε τὸ λεπρό, τὸν θεράπευσε μὲ τρόπο παράξενο· καὶ ἄκου πῶς. «Καὶ νὰ ἕνας λεπρός, ἀφοῦ τὸν πλησίασε τὸν παρακαλοῦσε καὶ ἔλεγε, 'Κύριε, ἂν θέλεις, μπορεῖς νὰ μὲ καθαρίσεις'. Καὶ ὁ Ἰησοῦς ἅπλωσε τὸ χέρι του, τὸν ἄγγιξε καὶ λέγει, 'θέλω, καθαρίσου'[21]. Σύμφωνα μὲ τὸ νόμο δὲν

21. Ματθ. 8,2–3.

*Νεαιμὰν ὁ στρατηλάτης πρὸς Ἐλισσαῖον τὸν προφήτην λέπρᾳ κετεχόμενος, λέγει αὐτῷ ὁ μαθητής, ἰδοὺ λεπρὸς στρατηλάτης ἔξω. Ὁ δὲ πέμπει τὸν μαθητὴν ἐξελθεῖν καὶ εἰπεῖν αὐτῷ, «ἄπελθε λοῦσαι εἰς τὸν Ἰορδάνην». Καὶ οὐκ ἐτόλμησεν ἐξελθεῖν αὐτὸς καὶ ἰδεῖν τὸν λεπρόν, καὶ ἅψασθαι αὐτοῦ.*

*Ἐπεὶ οὖν ἐκαθάρισεν ὁ Ἐλισσαῖος λεπρόν, ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι ὁμοίως Ἐλισσαίῳ ἐκαθάρισε, διὰ τοῦτο ἐκεῖνος μὲν οὐ τολμᾷ ἅψασθαι, οὗτος δὲ ἅπτεται, καὶ λέγει, «θέλω, καθαρίσθητι»· καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἥψατο τοῦ λεπροῦ. Διὰ τί ἥψατο; Ἵνα σε διδάξῃ ὅτι οὐκ ἔστι δοῦλος ὑποκείμενος νόμῳ, ἀλλὰ Δεσπότης ἐπικείμενος τῷ νόμῳ. Πῶς οὖν ἐτήρησε τὸν νόμον; Τῷ εἰπεῖν, «θέλω, καθαρίσθητι», καὶ μὴ εὐθέως αὐτοῦ ἅψασθαι. Προέλαβεν ὁ λόγος, ἐδραπέτευσε τὸ νόσημα, εἶτα ἥψατο τοῦ ἀκαθάρτου, καὶ εἶπε, «θέλω, καθαρίσθητι». Πῶς; «Εὐθέως ἐκαθαρίσθη». Οὐχ εὑρίσκει ὁ εὐαγγελιστὴς εἰπεῖν (καὶ γὰρ τὸ εὐθέως βραδύ ἐστιν), οὐχ εὑρίσκει λόγον ἰσόρροπον τῷ τάχει τῆς ἐνεργείας. «Εὐθέως»· πῶς; Ἅμα ἐξέβη ὁ λόγος, καὶ ἐδραπέτευσε τὸ νόσημα, ἐφυγαδεύθη ἡ λέπρα, λοιπὸν καθαρὸς ὁ λεπρός. Διὰ τοῦτο λέγει· «ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς». Τίσι; Τοῖς Ἰουδαίοις, ἵνα μὴ λέγωσιν ὅτι παραβαίνω τὸν νόμον. Ἐγὼ ἐθεράπευσα, καὶ λέγω, «προσένεγκε τὸ δῶρον τοῦ νόμου», ἵνα ἐκείνῃ τῇ ἡμέρᾳ ὁ λεπρὸς αὐτῶν κατηγορήσῃ λέγων, ἐμοὶ προσέταξε δῶρον κατὰ νόμον προσενεγκεῖν.*

*Καὶ ὥσπερ πολλὰ ἕνεκεν Ἰουδαίων ἐποίει ὁ Χριστός, ἀναπολογήτους αὐτοὺς εἰς πάντα ποιῶν, οὕτω καὶ ἐνταῦθα. «Ἐλέησόν με, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίνετο αὐτῇ λόγον. Προσελθόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν, ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν». Τί οὖν αὐτός; «Οὐκ ἀπεστά-*

23. Δ' Βασ. 5,10.

ἐπιτρεπόταν κανεὶς ν' ἀγγίζει λεπρό. Ὅταν λοιπὸν ὁ στρατηγὸς Νεαιμάν, ποὺ κατεχόταν ἀπὸ λέπρα, ἦρθε στὸν Ἐλισσαῖο τὸν προφήτη[22], τοῦ λέγει ὁ μαθητής του, νὰ ἕνας λεπρὸς στρατηγὸς εἶναι ἔξω. Καὶ αὐτὸς στέλνει τὸ μαθητὴ νὰ βγεῖ καὶ νὰ τοῦ πεῖ, «πήγαινε νὰ λουσθεῖς στὸν Ἰορδάνη»[23]. Καὶ δὲν τόλμησε αὐτὸς νὰ βγεῖ καὶ νὰ δεῖ τὸ λεπρὸ καὶ νὰ τὸν ἀγγίξει.

Ἐπειδὴ λοιπὸν ὁ Ἐλισσαῖος καθάρισε ἕνα λεπρό, γιὰ νὰ μὴν λέγουν οἱ Ἰουδαῖοι, ὅτι τὸν καθάρισε ὅμοια μὲ τὸν Ἐλισσαῖο, γι' αὐτὸ ἐκεῖνος δὲν τολμάει νὰ τὸν ἀγγίξει, ἐνῶ αὐτὸς τὸν ἀγγίζει καὶ λέγει, «θέλω, καθαρίσου»· καὶ ἁπλώνοντας τὸ χέρι του ἄγγιξε τὸ λεπρό. Γιατί τὸν ἄγγιξε; Γιὰ νὰ σὲ δείξει πὼς δὲν εἶναι δοῦλος ποὺ βρίσκεται κάτω ἀπὸ τὸ νόμο, ἀλλὰ Κύριος ποὺ εἶναι πάνω ἀπὸ τὸ νόμο. Πῶς λοιπὸν τήρησε τὸ νόμο; Μὲ τὸ νὰ πεῖ, «θέλω, καθαρίσου», καὶ νὰ μὴν τὸν ἀγγίξει ἀμέσως. Προηγήθηκε ὁ λόγος, δραπέτευσε ἡ ἀρρώστια, καὶ ἔπειτα ἄγγιξε τὸν ἀκάθαρτο καὶ εἶπε, «θέλω, καθαρίσου». Πῶς; «Ἀμέσως καθαρίσθηκε». Δὲ βρίσκει ὁ εὐαγγελιστὴς νὰ πεῖ (γιατὶ καὶ τὸ ἀμέσως εἶναι ἀργό), δὲ βρίσκει λόγο ἰσοδύναμο μὲ τὴν ταχύτητα τῆς ἐνέργειας. «Ἀμέσως»· πῶς; Μόλις βγῆκε ὁ λόγος καὶ δραπέτευσε ἡ ἀρρώστια, διώχθηκε ἡ λέπρα καὶ ὁ λεπρὸς ἦταν πιὰ καθαρός. Γι' αὐτὸ λέγει· «πήγαινε, δεῖξε τὸν ἑαυτό σου στὸν ἱερέα καὶ πρόσφερε τὸ δῶρο ποὺ πρόσταξε ὁ Μωυσῆς, γιὰ βεβαίωση σ' αὐτούς». Σὲ ποιούς; Στοὺς Ἰουδαίους, γιὰ νὰ μὴ λέγουν πὼς παραβαίνω τὸ νόμο. Ἐγὼ θεράπευσα καὶ λέγω, «πρόσφερε τὸ δῶρο τοῦ νόμου», γιὰ νὰ τοὺς κατηγορήσει ἐκείνη τὴν ἡμέρα ὁ λεπρὸς λέγοντας, μοῦ πρόσταξε νὰ προσφέρω δῶρο σύμφωνα μὲ τὸ νόμο.

Καὶ ὅπως πολλὰ ἔκανε ὁ Χριστὸς ἐξ αἰτίας τῶν Ἰουδαίων, καθιστώντας αὐτοὺς ἀναπολόγητους σὲ ὅλα, ἔτσι καὶ ἐδῶ. «Ἐλέησέ με, γιατὶ ἡ θυγατέρα μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο. Αὐτὸς ὅμως δὲν τῆς ἀπάντησε οὔτε λέξη. Καὶ ἦρθαν οἱ μαθητές του καὶ τοῦ λέγουν, διῶξε την, γιατὶ φωνάζει ἀπὸ πίσω μας». Τί εἶπε αὐτὸς τότε; «Δὲν εἶμαι σταλμένος παρὰ μόνο στὰ

22. Βλ. Δ' Βασ. 5,1–19.

*λην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»· ἵνα μὴ λέγωσιν Ἰουδαῖοι, ὅτι 'ἀφῆκας ἡμᾶς, καὶ ἀπῆλθες ἔξω, καὶ διὰ τοῦτό σοι οὐκ ἐπιστεύσαμεν' ἰδού, φησί, καὶ ἀπὸ ἐθνῶν ἔρχονται, καὶ οὐ δέχομαι αὐτούς· ὑμᾶς δὲ καὶ φεύγοντας καλῶ, «δεῦτε πρός με πάντες οἱ κοπιῶντες», καὶ οὐκ ἔρχεσθε· ταύτην ἀπορρίπτω, καὶ παραμένει. «Λαός, ὃν οὐκ ἔγνω, ἐδούλευσέ μοι», φησίν· «εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου»· καὶ ἀλλαχοῦ· «ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσι, καὶ εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν». «Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν».*

*Ἴδωμεν οὖν τί φησιν ὁ Χριστός. «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ». Οὐκ ἦν τὰ ῥήματα ἀποτρεπτικά; Μονονουχὶ γὰρ λέγει, ἀπόστηθι, ὅτι οὐδὲν κοινὸν ἔχεις πρὸς ἐμέ· οὐκ ἦλθον διὰ σέ, ἀλλ' ἦλθον διὰ Ἰουδαίους. «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ». Ἡ δὲ ἀκούσασα εἶπε· «ναί, Κύριε, βοήθει μοι, καὶ προσεκύνει, λέγουσα»· ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ. Ἀλλὰ ὅρα ἀπόκρισιν· «οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις». Ὢ κηδεμονία ἰατροῦ· ἐν ἀπαγορεύσει ἐπισπᾶται αὐτήν. «Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων»· τίνων; Τῶν Ἰουδαίων· «καὶ δοῦναι τοῖς κυναρίοις», τουτέστιν, ὑμῖν.*

*10. Ὄντως εἰς αἰσχύνην Ἰουδαίων ταῦτα εἴρηκεν ὁ Κύριος· τέκνα γὰρ καλούμενοι, κύνες ἐγένοντο. Διὰ τοῦτο καὶ Παῦλος λέγει· «βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή»· οἱ ἐθνικοὶ κύνες ἐκλήθησαν, καὶ ἐγένοντο τέκνα. «Τέκνα μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Τὸ ἐγκώμιον τοῦτο, Ἰουδαίου κα-*

24. Ματθ. 11,28.
25. Ψαλμ. 17,44-45.
26. Ἡσ. 65,1.

πρόβατα τὰ χαμένα τοῦ οἴκου Ἰσραήλ», γιὰ νὰ μὴ λέγουν οἱ Ἰουδαῖοι, 'μᾶς ἄφησες καὶ πῆγες ἔξω, καὶ γι' αὐτὸ δὲν πιστέψαμε σὲ σένα'. Νά, λέγει, καὶ ἀπὸ τὰ ἔθνη ἔρχονται καὶ δὲν τοὺς δέχομαι, ἐνῶ ἐσᾶς καὶ ὅταν φεύγετε σᾶς καλῶ, «ελᾶτε σὲ μένα ὅλοι ὅσοι κοπιάζετε»[24], καὶ δὲν ἔρχεστε· αὐτὴν τὴ διώχνω, καὶ παραμένει. «Λαὸς ποὺ δὲν τὸν γνώριζα μὲ ὑπηρέτησε», λέγει, «μὲ πρόθυμο αὐτὶ μὲ ὑπάκουσε»[25]. Καὶ ἀλλοῦ λέγει· «ἔγινα φανερὸς σ' ἐκείνους ποὺ δὲ μὲ ζητοῦν καὶ βρέθηκα ἀπὸ ἐκείνους ποὺ δὲν ἐρωτοῦν γιὰ μένα»[26]. «Διῶξε την, γιατὶ φωνάζει ἀπὸ πίσω μας»

Ἂς δοῦμε λοιπὸν τί λέγει ὁ Χριστός. «Δὲν εἶμαι σταλμένος παρὰ μόνο στὰ πρόβατα τὰ χαμένα τοῦ οἴκου Ἰσραήλ». Δὲν ἦταν τὰ λόγια αὐτὰ ἀποτρεπτικά; Γιατὶ σχεδὸν λέγει, φύγε μακριὰ γιατὶ δὲν ἔχεις τίποτε κοινὸ μὲ μένα· δὲν ἦρθα γιὰ σένα, ἀλλὰ ἦρθα γιὰ τοὺς Ἰουδαίους. «Δὲν εἶμαι σταλμένος παρὰ μόνο στὰ πρόβατα τὰ χαμένα τοῦ οἴκοι Ἰσραήλ». Καὶ ἐκείνη ὅταν ἄκουσε αὐτὰ εἶπε, «ναί, Κύριε, βοήθα μου, καὶ προσκυνοῦσε ὅταν τὰ ἔλεγε»· αὐτὸς ὅμως δὲν τῆς ἀπάντησε. Ἀλλὰ πρόσεχε ἀπάντηση. «Δὲν εἶναι σωστὸ νὰ πάρω τὸ ψωμὶ τῶν παιδιῶν καὶ νὰ τὸ ρίξω στὰ σκυλάκια». Πὼ πὼ φροντίδα ἰατροῦ! μὲ τὴν ἀπαγόρευση τὴν προσελκύει. «Δὲν εἶναι σωστὸ νὰ πάρω τὸ ψωμὶ τῶν παιδιῶν»· ποιῶν; Τῶν Ἰουδαίων. «Καὶ νὰ τὸ δώσω στὰ σκυλάκια», δηλαδή, σὲ σᾶς.

10. Πραγματικὰ τὰ εἶπε αὐτὰ ὁ Κύριος γιὰ νὰ ντροπιάσει τοὺς Ἰουδαίους· γιατί, ἂν καὶ ὀνομάζονταν τέκνα, ἔγιναν σκυλιά. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «προσέχετε ἀπὸ τὰ σκυλιά, προσέχετε ἀπὸ τοὺς κακοὺς ἐργάτες, προσέχετε ἀπὸ ἐκείνους ποὺ κόβουν τὴ σάρκα. Γιατὶ ἐμεῖς εἴμαστε οἱ ἀληθινὰ περιτμημένοι»[27]. Οἱ ἐθνικοὶ ὀνομάσθηκαν σκυλιὰ καὶ ἔγιναν τέκνα. «Τέκνα μου, γιὰ τὰ ὁποῖα πάλι δοκιμάζω πόνους τοκετοῦ μέχρι νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός»[28]. Ὁ ἔπαινος αὐτὸς εἶναι κατηγορία γιὰ

27. Ἐφ. 3,2–3.
28. Γαλ. 4,19.

τηγορία ἐστίν. «Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις». Τί οὖν ἡ γυνή; «Ναί, Κύριε». Ὢ βία γυναικός, ὢ φιλονεικία ψυχῆς. Ὁ ἰατρὸς λέγει, «οὐχὶ» καὶ αὐτὴ λέγει «ναί». Ὁ Δεσπότης λέγει, «οὐκ»· αὕτη λέγει, «ναί»· οὐ κατηγοροῦσα, οὐδὲ ἀναισχυντοῦσα, ἀλλὰ σωτηρίαν ἐκδεχομένη.

«Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ δοῦναι τοῖς κυναρίοις. Ναί, Κύριε». Κύνα με καλεῖς, ἐγὼ δέ σε Κύριον καλῶ· σύ με ὑβρίζεις, ἐγὼ δέ σε ὑμνῶ. «Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τῶν κυρίων αὐτῶν». Ὢ σοφία γυναικός· ἀπὸ τοῦ ὑποδείγματος εὗρε λόγον πρέποντα. Κύνα με καλεῖς, ὡς κύων τρέφομαι. Οὐ παραιτοῦμαι τὸ ὄνειδος· οὐ φεύγω τὴν κλῆσιν· λάβω οὖν τὴν τροφὴν τοῦ κυνός· καὶ λέγει πρᾶγμα ἐν συνηθείᾳ συμβαῖνον. Σὺ τὰ σὰ στῆσον· κύνα με ἐκέλεσας, δός μοι ψιχίον· συνήγορος ἐγένου μοι τῇ αἰτήσει· ἐν τῇ παραιτήσει τὴν συγκατάθεσιν ἐπίδειξον. «Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίουσιν ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν». Τί οὖν ὁ παραιτούμενος, ὁ διώκων, ὁ ἐλαύνων, ὁ λέγων, «οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυνάριοις»; ὁ λέγων, «οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»; «Ὦ γύναι, μεγάλη σου ἡ πίστις».

Ἐπαινέτης ἀθρόον ἐγένου; ἀνακηρύττεις τὴν γυναῖκα; οὐκ ἤλαυνες, οὐκ ἐδίωκες; Θάρσει· διὰ τοῦτο ἀνεβαλόμην. Εἰ γὰρ ἐξαρχῆς αὐτὴν ἀπέλυσα, οὐκ ἂν ἔμαθες αὐτῆς τὴν πίστιν. Εἰ ἐκ προοιμίων ἔλαβεν, ἀνεχώρει ἂν ταχύ, καὶ τὸν θησαυρὸν αὐτῆς οὐκ ἂν ἠπίστατό τις. Διὰ τοῦτο ἀνεβαλόμην τὴν δόσιν, ἵνα ἅπασι δείξω τὴν πίστιν. «Ὦ γύναι». Θεὸς λέγει, «ὦ γύναι». Ἀκουέτωσαν οἱ εὐχόμενοι μετὰ βαναυσίας. Ὅταν εἴπω τινί, παρακάλεσον τὸν Θεόν, δεήθητι αὐτοῦ, ἱκέτευσον αὐτόν, λέγει· παρεκάλεσα ἅπαξ, δεύτε-

τὸν Ἰουδαῖο. «Δὲν εἶναι σωστὸ νὰ πάρω τὸ ψωμί τῶν τέκνων καὶ νὰ τὸ δώσω στὰ σκλάκια». Τί λέγει τότε ἡ γυναίκα; «Ναί, Κύριε». Πῶ πῶ δύναμη γυναίκας, πῶ πῶ ἐπιμονὴ ψυχῆς! Ὁ ἰατρὸς λέγει «ὄχι» καὶ αὐτὴ λέγει «ναί»· ὁ Κύριος λέγει «δέν», αὐτὴ λέγει «ναί»· ὄχι μὲ σκοπὸ νὰ κατηγορήσει οὔτε νὰ γίνει ἀναίσχυντη, ἀλλὰ περιμένοντας τὴ σωτηρία.

«Δὲν εἶναι σωστὸ νὰ πάρω τὸ ψωμὶ τῶν τέκνων καὶ νὰ τὸ δώσω στὰ σκυλάκια. Ναί, Κύριε». Σκυλὶ μὲ ὀνομάζεις, ἐγὼ ὅμως Κύριο σὲ λέγω· ἐσὺ μὲ βρίζεις, ἐγὼ ὅμως σὲ ὑμνῶ. «Ναί, Κύριε, ἀλλὰ καὶ τὰ σκυλάκια τρώγουν ἀπὸ τὰ ψίχουλα ποὺ πέφτουν ἀπὸ τὸ τραπέζι τῶν κυρίων τους». Πῶ πῶ σοφία γυναίκας! Ἀπὸ τὸ παράδειγμα βρῆκε λόγο ποὺ ταίριαζε. Σκυλὶ μὲ ὀνομάζεις, σὰν σκυλὶ τρέφομαι. Δὲν ἀρνοῦμαι τὴν προσβολή, δὲν ἀποφεύγω τὸ ὄνομα· ἂς πάρω λοιπὸν τὴν τροφὴ τοῦ σκυλιοῦ. Καὶ λέγει ἕνα πράγμα ποὺ συνήθως συμβαίνει. Ἐσὺ κάνε τὰ δικά σου· μὲ ὀνόμασες σκυλί, δῶσε μου ἕνα ψίχουλο· ἔγινες συνήγορος στὴν αἴτησή μου, φανέρωσε τὴ συγκατάθεση στὴν ἄρνησή σου. «Ναί, Κύριε, ἀλλὰ καὶ τὰ σκυλάκια τρώγουν ἀπὸ τὰ ψίχουλα ποὺ πέφτουν ἀπὸ τὸ τραπέζι τῶν κυρίων τους». Τί λοιπὸν εἶπε ἐκεῖνος ποὺ ἀρνοῦνταν, ποὺ ἔδιωχνε, ποὺ ἀπομάκρυνε, ποὺ ἔλεγε «δὲν εἶναι σωστὸ νὰ πάρω τὸ ψωμὶ τῶν τέκνων καὶ νὰ τὸ ρίξω στὰ σκυλάκια» καὶ «δὲν εἶμαι σταλμένος παρὰ μόνο στὰ πρόβατα τὰ χαμένα τοῦ οἴκου Ἰσραήλ»; «Ὦ γυναίκα, εἶναι μεγάλη ἡ πίστη σου».

Ξαφνικὰ ἄρχισες νὰ τὴν ἐπαινεῖς; ἐγκωμιάζεις τὴ γυναίκα; Δὲν τὴν ἀπομάκρυνες, δὲν τὴν ἔδιωχνες; Ἔχε θάρρος· γι' αὐτὸ ἀνέβαλα. Γιατί, ἂν ἀπὸ τὴν ἀρχὴ τὴν ἔδιωχνα, δὲ θὰ μάθαινες τὴν πίστη της. Ἂν ἀπὸ τὴν ἀρχὴ τὴν ἔδιωχνα, θὰ ἔφευγε γρήγορα, καὶ κανείς δὲ θὰ γνώριζε καλὰ τὸ θησαυρό της. Γι' αὐτὸ καθυστεροῦσα τὴ χορήγηση, γιὰ νὰ φανερώσω σὲ ὅλους τὴν πίστη της. «Ὦ γυναίκα». Ὁ Θεὸς λέγει, «ὦ γυναίκα». Ἂς ἀκοῦν αὐτοὶ ποὺ προσεύχονται χωρὶς αἰσθήματα. Ὅταν πῶ σὲ κάποιον, 'παρακάλεσε τὸ Θεό, προσευχήσου σ' αὐτόν, ἱκέτευσέ

*ρον, τρίτον, δέκατον, εἰκοστόν· καὶ οὐκέτι οὐκ ἔλαβον. Μὴ ἀποστῇς, ἀδελφέ, ἕως ἂν λάβῃς· τέλος αἰτήσεως, ἡ δόσις τοῦ αἰτουμένου. Τότε ἀπόστηθι, ὅταν λάβῃς, μᾶλλον δὲ μηδὲ τότε, ἀλλὰ καὶ τότε παράμενε. Κἂν μὴ λάβῃς, αἴτει ἵνα λάβῃς· ὅταν δὲ λάβῃς, εὐχαρίστησον, ὅτι ἔλαβες.*

*Εἰσέρχονται πολλοὶ ἐν τῇ ἐκκλησίᾳ, ἀπαρτίζουσι μυρίους στίχους εὐχῆς, καὶ ἐξέρχονται, καὶ οὐκ οἴδασι τί εἶπον· τὰ χείλη κινεῖται, ἡ δὲ ἀκοὴ οὐκ ἀκούει. Σὺ οὐκ ἀκούεις τῆς εὐχῆς σου, καὶ τὸν Θεὸν θέλεις εἰσακοῦσαι τῆς εὐχῆς σου; Ἔκλινα, λέγεις, τὰ γόνατα, ἀλλ' ἡ διάνοιά σου ἔξω ἐπέτετο· τὸ σῶμά σου ἔνδον τῆς ἐκκλησίας, καὶ ἡ γνώμη σου ἔξω· τὸ στόμα ἔλεγε τὴν εὐχήν, καὶ ἡ διάνοια ἠρίθμει τόκους, συμβόλαια, συναλλάγματα, χωρία, κτήματα, φίλων συνουσίας. Ὁ γὰρ διάβολος πονηρὸς ὤν, καὶ εἰδὼς ὅτι ἐν καιρῷ εὐχῆς μεγάλα ἀνύομεν, τότε ἐπέρχεται. Πολλάκις κείμεθα ὕπτιοι ἐν κλίνῃ, καὶ οὐδὲν λογιζόμεθα· ἤλθομεν εὔξασθαι, καὶ μυρίοι λογισμοί, ἵνα ἐκβάλῃ ἡμᾶς κενούς.*

*11. Ταῦτα τοίνυν εἰδὼς ἐν ταῖς εὐχαῖς, ἀγαπητέ, γίνεσθαι, τὴν Χαναναίαν μίμησαι, ὁ ἀνὴρ τὴν γυναῖκα, τὴν ἀλλόφυλον, τὴν ἀσθενῆ, τὴν ἀπερριμμένην καὶ εὐκαταφρόνητον. Ἀλλ' οὐκ ἔχεις θυγατέρα δαιμονιζομένην; Ἀλλ' ἔχεις ψυχὴν ἁμαρτάνουσαν. Τί εἶπεν ἡ Χαναναία; «Ἐλέησόν με· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται»· εἰπὲ καὶ σύ, «ἐλέησόν με»· ἡ ψυχή μου κακῶς δαιμονίζεται. Μέγας γὰρ δαίμων ἡ ἁμαρτία. Ὁ δαιμονῶν ἐλεεῖται, ὁ ἁμαρτάνων μισεῖται· ἐκεῖνος συγγνώμην ἔχει, οὗτος ἀπολογίας ἐστέρηται. «Ἐλέησόν με»· βραχὺ τὸ ῥῆμα, καὶ πέλαγος εὗρε φιλανθρωπίας· ὅπου γὰρ ἔλεος, πάντα τὰ ἀγαθά.*

*Κἂν ἔξω ᾖς, κράζε καὶ λέγε, «ἐλέησόν με», μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν· καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός. Οὐ*

τον', λέγει, 'τὸν παρακάλεσα μιὰ φορά, δυό, τρεῖς, δέκα, εἴκοσι φορές, καὶ ἀκόμη δὲν ἔλαβα'. Μὴν παραιτηθεῖς, ἀδελφέ, μέχρι ποὺ νὰ λάβεις· τέλος τῆς αἴτησης ἂς εἶναι ἡ χορήγηση ἐκείνου ποὺ ζητᾶς. Τότε παραιτήσου, ὅταν λάβεις, ἢ καλύτερα οὔτε τότε, ἀλλὰ καὶ τότε νὰ ἐπιμένεις. Καὶ ἂν δὲ λάβεις, ζήτα γιὰ νὰ λάβεις· ὅταν ὅμως λάβεις, εὐχαρίστησε, γιατὶ ἔλαβες.

Μπαίνουν πολλοὶ στὴν ἐκκλησία, ἀπευθύνουν ἄπειρους στίχους προσευχῆς, ὕστερα βγαίνουν, καὶ δὲν ξέρουν τί εἶπαν. Τὰ χείλη κινοῦναι, καὶ ἡ ἀκοὴ δὲν ἀκούει. Ἐσὺ δὲν ἀκοῦς τὴν προσευχή σου καὶ θέλεις ὁ Θεὸς νὰ εἰσακούσει τὴν προσευχή σου; Γονάτισα, λές, ἀλλὰ ὁ νοῦς σου πετοῦσε ἔξω· τὸ σῶμα σου ἦταν μέσα στὴν ἐκκλησία, καὶ ἡ ψυχή σου ἔξω· τὸ στόμα ἔλεγε τὴν προσευχή, καὶ ὁ νοῦς μετροῦσε τόκους, συμβόλαια, συναλλαγές, χωράφια, κτήματα, συναναστροφὲς μὲ φίλους. Γιατὶ ὁ διάβολος, ἐπειδὴ εἶναι πονηρὸς καὶ γνωρίζει πὼς τὴν ὥρα τῆς προσευχῆς κερδίζουμε μεγάλα πράγματα, τότε ἐπιτίθεται. Πολλὲς φορὲς ἀναπαυόμαστε ξαπλωμένοι στὸ κρεβάτι, καὶ δὲ σκεπτόμαστε τίποτε· ἤρθαμε νὰ προσευχηθοῦμε, καὶ ἔρχονται ἄπειρες σκέψεις, γιὰ νὰ μᾶς βγάλουν κενούς.

11. Γνωρίζοντας λοιπόν, ἀγαπητέ, ὅτι αὐτὰ γίνονται στὶς προσευχές, μιμήσου τὴ Χαναναία, ὁ ἄνδρας τὴ γυναίκα, τὴν ἀλλόφυλη, τὴν ἀδύνατη, τὴν ἀπόβλητη καὶ περιφρονημένη. Ἀλλὰ δὲν ἔχεις θυγατέρα ποὺ βασανίζεται ἀπὸ δαιμόνιο; Ἔχεις ὅμως ψυχὴ ποὺ ἁμαρτάνει. Τί εἶπε ἡ Χαναναία; «Ἐλέησέ με, ἡ θυγατέρα μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο». Πὲς καὶ σύ, 'ἐλέησέ με, ἡ ψυχή μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο'. Γιατὶ ἡ ἁμαρτία εἶναι μεγάλος δαίμονας. Ὅποιος βασανίζεται ἀπὸ δαιμόνιο ἐλεεῖται, ὅποιος ἁμαρτάνει μισεῖται· ἐκεῖνος βρίσκει συγχώρηση, αὐτὸς δὲν ἔχει δικαιολογία. «Ἐλέησέ με»· μικρὸς ὁ λόγος, καὶ βρῆκε πέλαγος φιλανθρωπίας. Γιατί, ὅπου ὑπάρχει ἔλεος, ὑπάρχουν ὅλα τὰ ἀγαθά.

Καὶ ἂν εἶσαι ἔξω, κραύγαζε καὶ λέγε, «ἐλέησέ με», χωρὶς νὰ κινεῖς τὰ χείλη, ἀλλὰ φωνάζοντας μὲ τὴν ψυχή σου· γιατὶ ὁ

ζητεῖται τόπος, ἀλλ' ἀρχὴ τρόπου. Ὁ Ἱερεμίας ἐν βορβόρῳ ἦν, καὶ τὸν Θεὸν ἐπεσπάσατο· ὁ Δανιὴλ ἐν λάκκῳ λεόντων, καὶ τὸν Θεὸν ἐξευμενίσατο· οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ ἦσαν, καὶ Θεὸν ὑμνοῦντες ἐδυσώπησαν· ὁ λῃστὴς ἐσταυρώθη, καὶ οὐκ ἐκώλυσεν ὁ σταυρός, ἀλλὰ παράδεισον ἤνοιξεν· ὁ Ἰὼβ ἐν κοπρίᾳ ἦν, καὶ τὸν Θεὸν ἵλεων κατεσκεύασεν· ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, καὶ τὸν Θεὸν ὑπήκοον ἔσχε. Κἂν ἐν βαλανείῳ ᾖς, εὔχου, κἂν ἐν ὁδῷ, κἂν ἐπὶ κλίνης· ὅπου ἐὰν ᾖς, εὔχου. Ναὸς εἶ τοῦ Θεοῦ, μὴ ζήτει τόπον· γνώμης χρεία μόνον. Κἂν δικαστῇ παραστῇ, εὔχου· ὅταν ὀργίζεται ὁ δικαστής, εὔχου. Θάλαττα ἦν ἔμπροσθεν, ὄπισθεν Αἰγύπτιοι, μέσος ὁ Μωϋσῆς· πολλὴ ἐν τῇ εὐχῇ στενοχωρία, ἀλλὰ μέγα τὸ πλάτος τῆς εὐχῆς ἦν. Ὄπισθεν οἱ Αἰγύπτιοι ἐδίωκον, ἔμπροσθεν ἡ θάλασσα, μέση ἡ εὐχή· καὶ οὐδὲν ἐλάλει ὁ Μωϋσῆς· καὶ λέγει αὐτῷ ὁ Θεός· «τί βοᾷς πρός με;». Τὸ μὲν στόμα οὐ λαλεῖ, ἡ δὲ διάνοια βοᾷ.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, ὅταν παραστῇς δικαστῇ μαινομένῳ, τυραννοῦντι, τὰ μέγιστα ἀπειλοῦντι, καὶ ἄλλοις δημίοις τὰ αὐτὰ ποιοῦσιν, εὖξαι σὺ τῷ Θεῷ, καὶ εὐχομένου σου τὰ κύματα καταστέλλεται. Ὁ δικαστὴς ἐπὶ σέ; Σὺ ἐπὶ τὸν Θεὸν κατάφευγε. Ὁ ἄρχων πλησίον σου; Σὺ τὸν Δεσπότην κάλεσον. Μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπέλθῃς εἰς τόπον; Θεὸς ἀεὶ ἐγγύς ἐστιν. Ἐὰν θέλῃς παρακαλέσαι ἄνθρωπον, ἐρωτᾷς τί ποιεῖ, καθεύδει, ἀσχολεῖται· διακονῶν οὐκ ἀποκρίνεταί σοι. Ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τούτων· ὅπου ἐὰν ἀπέλθῃς καὶ καλέσῃς, ἀκούει· οὐκ ἀσχολία, οὐ μεσίτης, οὐ διάκονος διατειχίζει. Εἰπέ, «ἐλέησόν με», καὶ παρευθὺ Θεὸς παραγίνεται· «ἔτι γάρ», φησίν, «λαλοῦντός σου, ἐρῶ· ἰδοὺ ἐγὼ πάρειμι».

29. Ἐξ. 14,15.

Θεὸς μᾶς ἀκούει καὶ ὅταν σιωποῦμε. Δὲν ἐξετάζεται ὁ τόπος, ἀλλὰ ὁ τρόπος τῆς προσευχῆς. Ὁ Ἱερεμίας μέσα σὲ βόρβορο βρισκόταν καὶ προκάλεσε τὴν προσοχὴ τοῦ Θεοῦ· ὁ Δανιὴλ ἦταν μέσα σὲ λάκκο λιονταριῶν, καὶ κέρδισε τὴν εὔνοια τοῦ Θεοῦ· ὁ ληστὴς σταυρώθηκε, καὶ δὲν τὸν ἐμπόδισε ὁ σταυρός, ἀλλὰ τοῦ ἄνοιξε τὸν παράδεισο· ὁ Ἰὼβ ἦταν στὴν κοπριά, καὶ ἔκαμε εὐσπλαχνικὸ τὸ Θεό· ὁ Ἰωνᾶς βρισκόταν στὴν κοιλιὰ τοῦ κήτους, καὶ τὸν ἄκουσε ὁ Θεός. Καὶ ἂν εἶσαι σὲ λουτρό, νὰ προσεύχεσαι, καὶ ἂν εἶσαι σὲ δρόμο, καὶ ἂν εἶσαι στὸ κρεβάτι, ὅπου καὶ ἂν εἶσαι, νὰ προσεύχεσαι. Εἶσαι ναὸς τοῦ Θεοῦ, νὰ μὴ ζητᾶς τόπο· χρειάζεται μόνο διάθεση. Καὶ ἂν παρουσιασθεῖς σὲ δικαστή, νὰ προσεύχεσαι· ὅταν ὀργίζεται ὁ δικαστής, νὰ προσεύχεσαι. Ἡ θάλασσα ἦταν μπροστά, οἱ Αἰγύπτιοι πίσω, ὁ Μωυσῆς στὴ μέση· ἦταν μεγάλη ἡ στενότητα τοῦ χώρου κατὰ τὴν προσευχή, ἀλλὰ τὸ πλάτος τῆς προσευχῆς ἦταν μεγάλο. Πίσω τοὺς καταδίωκαν οἱ Αἰγύπτιοι, μπροστὰ ἦταν ἡ θάλασσα, στὴ μέση ἡ' προσευχή· καὶ τίποτε δὲ μιλοῦσε ὁ Μωυσῆς· καὶ τοῦ λέγει ὁ Θεός· «Γιατί φωνάζεις σὲ μένα;»[29]. Τὸ στόμα του βέβαια δὲ μιλάει, ἡ ψυχή του ὅμως φωνάζει.

Καὶ σὺ λοιπόν, ἀγαπητέ, ὅταν παρουσιασθεῖς σὲ δικαστὴ ποὺ ὀργίζεται πάρα πολύ, ποὺ τυραννάει, ποὺ ἀπειλεῖ μὲ τὶς πιὸ μεγάλες ἀπειλές, καὶ σ' ἄλλους δήμιους ποὺ κάνουν τὰ ἴδια, προσευχήσου στὸ Θεό, καὶ προσευχόμενος τὰ κύματα ἠρεμοῦν. Ὁ δικαστὴς εἶναι ἐναντίον σου; Ἐσὺ νὰ καταφεύγεις στὸ Θεό. Ὁ ἄρχοντας εἶναι κοντά σου; Ἐσὺ κάλεσε τὸν Κύριο. Μήπως δηλαδὴ εἶναι ἄνθρωπος, γιὰ νὰ πᾶς σὲ κάποιον τόπο; Ὁ Θεὸς εἶναι πάντοτε κοντά. Ἂν θέλεις νὰ παρακαλέσεις ἕνα ἄνθρωπο, ἐρωτᾶς τί κάνει, κοιμᾶται, ἀσχολεῖται· καὶ ἂν ἔχει ὑπηρεσία δὲ σοῦ ἀπαντάει. Στὸ Θεὸ ὅμως δὲ συμβαίνει τίποτε ἀπ' αὐτά. Ὅπου καὶ ἂν πᾶς καὶ τὸν καλέσεις, ἀκούει· οὔτε ἀσχολία, οὔτε μεσίτης, οὔτε ὑπηρέτης ἐμποδίζει. Πές, «ἐλέησέ με», καὶ ἀμέσως ὁ Θεὸς ἔρχεται κοντά σου· γιατὶ λέγει, «ἐνῶ ἀκόμη ἐσὺ μιλᾶς, θὰ πῶ, νὰ ἐγὼ εἶμαι παρών»[30]. Πὼ πὼ λόγος γεμάτος ἠπιό-

30. Ἠσ. 58,9.

*Ὢ ῥῆμα ἡμερότητος γέμον. Οὐδὲ ἀναμένει τελέσαι τὴν εὐχήν· οὔπω τελεῖς τὴν εὐχήν, καὶ λαμβάνεις τὴν δόσιν.*

*«Ἐλέησόν με». Ταύτην μιμησώμεθα τὴν Χαναναίαν, παρακαλῶ· «ἐλέησόν με· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Ὁ δὲ Κύριος λέγει πρὸς αὐτήν· «ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις». Ποῦ ὁ αἱρετικός; Μὴ εἶπε, 'παρακαλέσω μου τὸν Πατέρα'; μὴ εἶπεν, 'ἱκετεύσω τὸν γεννήσαντά με'; μὴ εὐχῆς χρεία ἐνταῦθα; Οὐδαμῶς. Διὰ τί; Ἐπειδὴ μεγάλη ἦν ἡ πίστις, μέγα ἦν τὸ σκεῦος, μεγάλη καὶ ἡ χάρις ἐξεχύθη. Ὅπου δεῖ εὐχῆς, ἀσθενὲς τὸ σκεῦος. «Ὦ γύναι, μεγάλη σου ἡ πίστις». Οὐ νεκρὸν εἶδες ἐγειρόμενον, οὐ λεπρὸν καθαριζόμενον, οὐ προφητῶν ἤκουσας, οὐ νόμον ἐμελέτησας, οὐ θάλατταν εἶδες σχιζομένην, οὐχ ἕτερόν τι σημεῖον ἑώρακας παρ' ἐμοῦ γενόμενον· ὑβρίσθης δὲ μᾶλλον παρ' ἐμοῦ, καὶ ἐξηπορήθης· ἀπηγόρευσά σου τὸ πάθος, καὶ οὐκ ἀνεχώρησας, ἀλλὰ παρέμεινας· λοιπὸν ἀπόλαβε καὶ σὺ παρ' ἐμοῦ ἀξίαν καὶ πρέπουσαν εὐφημίαν· «ὦ γύναι, μεγάλη σου ἡ πίστις».*

*Ἀπέθανεν ἡ γυνή, καὶ τὸ ἐγκώμιον αὐτῆς μένει, διαδήματος ὂν λαμπρότερον. Ὅπου ἐὰν ἀπέλθῃς, ἀκούεις τοῦ Χριστοῦ λέγοντος, «ὦ γύναι, μεγάλη σου ἡ πίστις». Εἴσελθε εἰς Περσῶν τὴν ἐκκλησίαν, καὶ ἀκούσεις τοῦ Χριστοῦ λέγοντος, «ὦ γύναι, μεγάλη σου ἡ πίστις»· εἰς τὴν Γότθων, εἰς τὴν βαρβάρων, εἰς τὴν Ἰνδῶν, εἰς τὴν Μαύρων, ὅσην ἥλιος ἐφορᾷ γῆν· ἕνα λόγον ὁ Χριστὸς ἐφθέγξατο, καὶ οὐ σιωπᾷ ὁ λόγος, ἀλλὰ μεγάλῃ τῇ φωνῇ ἀνακηρύττει τὴν πίστιν αὐτῆς, λέγων, «ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις». Οὐκ εἶπε, 'θεραπευθήτω τὸ θυγάτριόν σου', ἀλλ', «ὡς θέλεις». Σὺ αὐτὴν θεράπευσον· σὺ γενοῦ ἰατρός· σοὶ ἐγχειρίζω τὸ φάρμακον· ὕπαγε, ἐπίθες, «γενηθήτω σοι ὡς θέλεις». Τὸ θέλημά σου θεραπευσάτω αὐτήν.*

*Ἡ Χαναναία θελήματι ἐθεράπευσε, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀφ'*

τητα! Δὲν περιμένει νὰ τελειώσεις τὴν προσευχή· δὲν τελειώνεις ἀκόμη τὴν προσευχή σου, καὶ παίρνεις τὴ χορήγηση.

«Ἐλέησέ με». Αὐτὴν τὴ Χαναναία ἂς μιμηθοῦμε, παρακαλῶ. «Ἐλέησέ με, ἡ θυγατέρα μου βασανίζεται φρικτὰ ἀπὸ δαιμόνιο». Καὶ ὁ Κύριος λέγει σ' αὐτην· «Ὦ γυναίκα, μεγάλη εἶναι ἡ πίστη σου· ἂς σοῦ γίνει ὅπως θέλεις». Ποῦ εἶναι ὁ αἱρετικός; Μήπως εἶπε, θα παρακαλέσω τὸν Πατέρα μου; μήπως εἶπε, θὰ ἱκετεύσω αὐτὸν ποὺ μὲ γέννησε; μήπως χρειαζόταν προσευχὴ ἐδῶ; Καθόλου. Γιατί; Ἐπειδὴ μεγάλη ἦταν ἡ πίστη, μεγάλο ἦταν τὸ σκεῦος, μεγάλη ξεχύθηκε καὶ ἡ χάρη. Ὅπου χρειάζεται προσευχή, εἶναι ἀδύνατο τὸ σκεῦος. «Ὦ γυναίκα, μεγάλη εἶναι ἡ πίστη σου». Δὲν εἶδες νεκρὸ νὰ ἀνασταίνεται, οὔτε λεπρὸ νὰ καθαρίζεται, δὲν ἄκουσες προφῆτες, δὲ μελέτησες τὸ νόμο, δὲν εἶδες τὴ θάλασσα νὰ σχίζεται, δὲν ἔχεις δεῖ κάποιο ἄλλο θαῦμα νὰ ἔγινε ἀπὸ μένα· μᾶλλον περιφρονήθηκες ἀπὸ μένα, καὶ βρέθηκες σὲ δύσκολη θέση· ἀρνήθηκα τὴ συμφορά σου, καὶ δὲν ἔφυγες, ἀλλὰ παρέμεινες· πάρε τώρα καὶ σὺ ἀπὸ μένα τὸν ἔπαινο ὅπως σοῦ ἀξίζει καὶ σοῦ ταιριάζει. «Ὦ γυναίκα, μεγάλη εἶναι ἡ πίστη σου».

Πέθανε ἡ γυναίκα καὶ ὁ ἔπαινός της μένει, γιατὶ εἶναι πιὸ λαμπρὸς ἀπὸ στέμμα. Ὅπου καὶ ἂν πᾶς, ἀκοῦς τὸ Χριστὸ νὰ λέγει, «ὦ γυναίκα, μεγάλη εἶναι ἡ πίστη σου». Πήγαινε στὴν ἐκκλησία τῶν Περσῶν καὶ θ' ἀκούσεις τὸ Χριστὸ νὰ λέγει, «ὦ γυναίκα, μεγάλη εἶναι ἡ πίστη σου»· πήγαινε στὴν ἐκκλησία τῶν Γότθων, στῶν βαρβάρων, στῶν Ἰνδῶν, στῶν Μαύρων, σὲ ὅση γῆ ἐπιβλέπει ὁ ἥλιος. Ἕνα λόγο εἶπε ὁ Χριστός, καὶ ὁ λόγος δὲ σιωπᾶ, ἀλλὰ μὲ μεγάλη φωνὴ διαλαλεῖ τὴν πίστη της λέγοντας· «ὦ γυναίκα, μεγάλη εἶναι ἡ πίστη σου· ἂς σοῦ γίνει ὅπως θέλεις». Δὲν εἶπε, 'ἂς θεραπευθεῖ ἡ μικρή σου κόρη', ἀλλά, «ἂς γίνει ὅπως θέλεις». Ἐσὺ θεράπευσέ την, ἐσὺ γίνε ἰατρός, σὲ σένα ἐμπιστεύομαι τὸ φάρμακο· πήγαινε, δῶσε το, «ἂς σοῦ γίνει ὅπως θέλεις». Ἡ θέλησή σου ἂς τὴ θεραπεύσει.

Ἡ Χαναναία θεράπευσε μὲ τὴ θέλησή της, καὶ ὁ Υἱὸς τοῦ


*ἑαυτοῦ οὐ θεραπεύει; «Γενηθήτω σοι ὡς θέλεις». Οὐδὲ ἐκέλευσεν ἡ γυνή, οὐδὲ ἐπέταξε τῷ δαιμονίῳ, ἀλλ' ἠθέλησε μόνον, καὶ τὸ θέλημα τῆς γυναικὸς ἐθεράπευσε, καὶ δαίμονας ἐξέβαλε. Ποῦ εἰσιν οἱ τολμῶντες λέγειν, ὅτι δι' εὐχῆς ὁ Υἱὸς ἤνυσε; «Γενηθήτω σοι ὡς θέλεις». Βλέπε καὶ τῆς λέξεως τὴν εὐγένειαν· τὸν Πατέρα τὸν ἑαυτοῦ μιμεῖται. Ὅτε γὰρ ἐποίει τὸν οὐρανὸν ὁ Θεός, εἶπε, γενηθήτω ὁ οὐρανός, καὶ ἐγένετο ὁ οὐρανός· γενηθήτω ἥλιος, καὶ ἐγένετο ἥλιος· γενηθήτω γῆ, καὶ ἐγένετο γῆ· ἐπιτάγματι τὴν οὐσίαν ἤγαγεν. Οὕτω καὶ αὐτός, «γενηθήτω σοι ὡς θέλεις». Ἡ συγγένεια τῆς λέξεως τὴν κοινωνίαν τῆς φύσεως ἔδειξε. «Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς». Πότε; «Ἀπὸ τῆς ὥρας ἐκείνης»· οὐκ ἐξ ὅτου ἦλθεν ἡ μήτηρ αὐτῆς ἐν τῷ οἴκῳ, ἀλλὰ πρὶν ἐλθεῖν. Ἦλθεν εὑρεῖν δαιμονιῶσαν, καὶ εὗρεν ὑγιαίνουσαν, τῷ θελήματι αὐτῆς θεραπευθεῖσαν.*

*Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*



Θεοῦ δὲ θεραπεύει ἀπὸ μόνος του; «Ἂς σοῦ γίνει ὅπως θέλεις». Δὲν πρόσταξε ἡ γυναίκα, οὔτε διέταξε τὸ δαιμόνιο, ἀλλὰ μόνο θέλησε, καὶ τὸ θέλημα τῆς γυναίκας θεράπευσε καὶ ἔδιωξε τοὺς δαίμονες. Ποῦ εἶναι αὐτοὶ ποὺ τολμοῦν νὰ λέγουν, ὅτι μὲ προσευχὴ τὸ κατόρθωσε αὐτὸ ὁ Υἱός; «Ἂς σοῦ γίνει ὅπως θέλεις». Πρόσεχε καὶ τὴν εὐγένεια τῆς λέξης· μιμεῖται τὸν Πατέρα του. Γιατί, ὅταν ὁ Θεὸς ἔκανε τὸν οὐρανό, εἶπε, 'ἂς γίνει ὁ οὐρανός, καὶ ἔγινε ὁ οὐρανός· ἂς γίνει ὁ ἥλιος, καὶ ἔγινε ὁ ἥλιος· ἂς γίνει ἡ γῆ, καὶ ἔγινε ἡ γῆ'· μὲ προσταγὴ δημιουργοῦσε τὴν ουσία τους. Ἔτσι καὶ αὐτὸς εἶπε, «ἂς σοῦ γίνει ὅπως θέλεις». Ἡ συγγένεια τῆς λέξης ἔδειξε τὴν κοινὴ φύση τους. «Καὶ θεραπεύθηκε ἡ θυγατέρα της». Πότε; «Ἀπὸ τὴν ὥρα ἐκείνη». Ὄχι ἀπὸ τότε ποὺ ἦρθε ἡ μητέρα της στὸ σπίτι, ἀλλὰ πρίν ἔρθει. Ἦρθε νὰ τὴ βρεῖ δαιμονισμένη, καὶ τὴ βρῆκε ὑγιή, γιατὶ θεραπεύθηκε μὲ τὴ δική της θέληση.

Γιὰ ὅλα λοιπὸν αὐτὰ ἂς εὐχαριστήσουμε τὸ Θεό, γιατὶ σ' αὐτὸν ἁρμόζει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.






# ΟΜΙΛΙΑ

## ΠΡΟΣ ΤΟΥΣ ΣΚΑΝΔΑΛΙΣΘΕΝΤΑΣ

Ἐξ αἰτίας τῶν κακῶν ἡμερῶν ποὺ ἦρθαν
καὶ τῆς καταδιώξεως ποὺ ὑπέστη ὁ λαὸς καὶ πολλοὶ ἱερεῖς.
Ἐπίσης γίνεται λόγος
Περὶ τῆς συκοφαντίας τοῦ ἀκαταλήπτου τοῦ Θεοῦ
καθὼς καὶ κατὰ τῶν Ἰουδαίων



## *ΠΡΟΣ ΤΟΥΣ ΣΚΑΝΔΑΛΙΣΘΕΝΤΑΣ*

*ἐπὶ ταῖς δυσημερίαις ταῖς γενομέναις, καὶ τῇ τοῦ λαοῦ αὶ πολλῶν ἱερέων διώξει καὶ διαστροφῇ καὶ περὶ ἀκαταλήπτου, καὶ κατὰ Ἰουδαίων.*

*Ἰατρῶν μὲν παῖδες, ὅταν πυρέττοντάς τινας, ἢ ἕτερόν τι νόσημα νοσοῦντας μέλλωσι θεραπεύειν, αὐτοὺς πρῶτον ζητοῦσι τοὺς κάμνοντας ἰδεῖν, ὅτι πόρρωθεν αὐτῶν ὄντες, οὐκ ἂν δύναιντο τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν· τοιοῦτον γὰρ καὶ ἡ τέχνη καὶ αὐτὴ τῶν νοσημάτων ἡ φύσις ἐκείνων. Ἡμεῖς δὲ οὐχ ἕνα που καὶ δεύτερον, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκουμένην σκανδαλιζομένους θεραπεύειν ἐσπουδακότες οὐ δεόμεθά τινος τοιούτου. Οὐδὲ γὰρ εἰς οἶκόν τινος τῶν νοσούντων εἰσελθεῖν αἰτοῦμεν, οὐδ' ἔνθα κατάκεινται μαθεῖν, ἀλλ' οὐδὲ αὐτοὺς τοὺς ἀρρώστους ἰδεῖν ἐπιζητοῦμεν. Οὐκ ὄργανα μεταχειρίζομεν, οὐ χρημάτων ποιούμεθα δαπάνην, τὰ πρὸς ἰατρείαν ὠνεῖσθαι κελεύοντες τοὺς ἀσθενοῦντας· ἀλλὰ κἂν ἄγνωστοι ἡμῖν ὦσι κἂν πρὸς αὐτὰς ἀπῳκισμένοι τὰς τῆς οἰκουμένης ἐσχατιάς, κἂν ἐν μέσοις βαρβάροις κἂν ἐν αὐτῷ κείμενοι τῷ τῆς πτωχείας πυθμένι κἂν πένητες τοσαύτην πενίαν, ὥστε καὶ τῆς ἀναγκαίας ἀπορεῖν τροφῆς, οὐδὲν ἡμῖν τούτων πρὸς τὴν ἰατρείαν γίνεται κώλυμα· ἀλλ' ἐνὶ ἱδρυμένοι χωρίῳ, χωρὶς ὀργάνων καὶ φαρμάκων καὶ σιτίων καὶ ποτῶν καὶ χρημάτων καὶ μακρᾶς ἀποδημίας, τὴν νόσον ἀπελαύνομεν ταύτην. Πῶς καὶ ποίῳ τρόπῳ; Τὸ τοῦ λόγου κα-*



## ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΣΚΑΝΔΑΛΙΣΘΗΚΑΝ

για τὶς κακὲς ἡμέρες ποὺ ἦρθαν, καὶ γιὰ τὴν καταδίωξη ποὺ ἔπαθε ὁ λαὸς καὶ πολλοὶ ἱερεῖς καὶ τὴν συκοφαντία καὶ γιὰ τὸ ἀκατάληπτο, καὶ κατὰ τῶν Ἰουδαίων.

Οἱ ἰατροί, ὅταν πρόκειται νὰ θεραπεύσουν ἀρρώστους μὲ πυρετὸ ἢ μὲ κάποιο ἄλλο νόσημα, ζητοῦν νὰ δοῦν πρῶτα τοὺς ἴδιους ποὺ πάσχουν, γιατὶ μακριὰ ἀπ' αὐτοὺς δὲν μποροῦν νὰ προσφέρουν τὴ βοήθειά τους. Γιατὶ τέτοια εἶναι καὶ ἡ τέχνη τους καὶ τέτοια εἶναι ἡ φύση τῶν νοσημάτων ἐκείνων. Ἐμεῖς ὅμως ποὺ φροντίζουμε νὰ θεραπεύσουμε ὄχι ἕνα καὶ δύο ἀλλὰ ὅλους ποὺ σκανδαλίζονται στὴν οἰκουμένη, δὲ χρειαζόμαστε τίποτε τέτοιο. Γιατὶ οὔτε ζητοῦμε νὰ μποῦμε στὸ σπίτι κάποιου ἀρρώστου, οὔτε νὰ μάθουμε ποῦ βρίσκονται, ἀλλὰ οὔτε ἐπιδιώκουμε νὰ δοῦμε τοὺς ἴδιους τοὺς ἀρρώστους. Ἐργαλεῖα δὲν χρησιμοποιοῦμε, χρήματα δὲν ξοδεύουμε, προστάζοντας ν' ἀγοράζουν οἱ ἀσθενεῖς τὰ φάρμακά τους. Ἀλλὰ καὶ ἂν ἀκόμη μᾶς εἶναι ἄγνωστοι, καὶ ἂν ἀκόμη κατοικοῦν στὰ ἄκρα τῆς οἰκουμένης, καὶ ἂν ἀκόμη ἀνάμεσα στοὺς βαρβάρους, καὶ ἂν ἀκόμη βρίσκονται στὸ βάθος τῆς φτώχειας, καὶ ἂν ἀκόμη εἶναι φτωχοὶ μὲ τόσο μεγάλη φτώχεια, ὥστε νὰ μὴν ἔχουν καὶ τὴν ἀπαραίτητη τροφή, τίποτε ἀπ' αὐτὰ δὲ μᾶς ἐμποδίζει στὴ θεραπεία τους· ἀλλὰ μένοντας σ' ἕνα τόπο, χωρὶς ἐργαλεῖα καὶ φάρμακα καὶ τρόφιμα καὶ ποτὰ καὶ χρήματα καὶ μακρινὸ ταξίδι, διώχνουμε τὴν ἀσθένεια αὐτή. Πῶς καὶ μὲ ποιὸ τρόπο; Κατα-

*τασκευάζοντες φάρμακον τὸ ταῦτα πάντα γινόμενον τοῖς νοσοῦσι καὶ ἄμεινον ἢ τὰ εἰρημένα ἅπαντα. Καὶ γὰρ καὶ ἄρτου τρέφει μᾶλλον καὶ φαρμάκου διορθοῦται πλέον καὶ πυρὸς εὐτονώτερον καίει, ἀλγηδόνα μὲν οὐδεμίαν παρέχον, τῶν δὲ πονηρῶν λογισμῶν τὰ δυσώδη ρεύματα ἀναστέλλον· καὶ σιδήρου τομώτερον τέμνει τὰ σεσηπότα ἀνωδύνως· καὶ τοῦτο ποιοῦν δαπάνην οὐδεμίαν ἐργάζεται χρημάτων, οὐδὲ ἐπιτρίβει πενίαν. Τοῦτο οὖν κατασκευάσαντες τὸ φάρμακον, πᾶσι παραπεμπόμεθα καὶ πάντες οἶδ' ὅτι ἀπολαύσονται θεραπείας, μόνον εἰ τοῖς λεγομένοις μετὰ ἀκριβείας καὶ εὐγνωμοσύνης προσέχοιεν.*

*1. Ἐπειδὴ δὲ καὶ ἐπὶ τῶν σωμάτων οὐ μικρόν, ἀλλὰ καὶ μέγιστον πρὸς τὴν τῆς ἀρρωστίας ἀπαλλαγὴν συντελεῖν εἴωθε τὸ μαθεῖν τὸν κάμνοντα τῆς ἀρρωστίας τὴν ὑπόθεσιν (οὐ γὰρ δὴ μόνον τῆς κατεχούσης αὐτὸν ἀπαλλαγήσεται νόσου τοῦτο μαθών, ἀλλ' οὐδὲ μετὰ ταῦτα αὐτῇ περιπεσεῖται, τὴν αἰτίαν γνούς, ἀφ' ἧς αὐτῇ περιέπεσεν ἅπαξ, καὶ φυλαττόμενος), φέρε καὶ ἡμεῖς τοῦτο πρῶτον τοὺς τὰ τοιαῦτα νοσοῦντας διδάξωμεν, πόθεν αὐτοῖς τὸ νόσημα τοῦτο γέγονε τοῦ σκανδάλου. Εἰ γὰρ δὴ τοῦτο μάθοιεν καὶ βουληθεῖεν φυλάξασθαι μετὰ ἀκριβείας αὐτό, οὐ ταύτης μόνον ἀπαλλαγήσονται τῆς ἀρρωστίας, οὐδὲ νῦν μόνον, ἀλλὰ καὶ διηνεκῶς καὶ ταύτης καὶ ἑτέρων πλειόνων. Τοιαύτη γὰρ καὶ ἡ τοῦ φαρμάκου τούτου φύσις ἐστίν, ὡς καὶ τὸ παρὸν θεραπεῦσαι καὶ τῶν ἄλλων γενέσθαι προφυλακτικὸν παθῶν. Οὐ γὰρ ἓν καὶ δύο καὶ τρία, ἀλλὰ καὶ πολλὰ κατὰ τὸν παρόντα βίον ἐστὶ τὰ σκανδαλίζοντα τοὺς ἀσθενεστέρους· καὶ τούτων ἁπάντων ὁ λόγος ἡμῶν ἐπαγγέλλεται τοὺς ἁλόντας ἐλευθεροῦν, μόνον εἰ βουληθεῖεν (ὅπερ καὶ ἔμπροσθεν εἶπον) καὶ μαθεῖν καὶ φυλάξαι τὰ λεγόμενα.*

*Ποιοῦμαι δὲ τὴν θεραπείαν ταύτην, οὐκ ἀπὸ τῶν θεϊκῶν μόνον Γραφῶν συντιθείς, ἀλλὰ καὶ ἀπὸ τῶν κατὰ τὸν παρόντα*

σκευάζοντας τὸ φάρμακο τοῦ λόγου, ποὺ γίνεται ὅλα αὐτὰ γιὰ τοὺς ἀσθενεῖς καὶ εἶναι καλύτερο ἀπ' ὅλα ποὺ εἴπαμε. Γιατὶ πραγματικὰ καὶ ἀπὸ τὸ ψωμὶ τρέφει καλύτερα καὶ ἀπὸ τὸ φάρμακο θερεπεύει περισσότερο καὶ ἀπὸ τὴ φωτιὰ καίει πιὸ δυνατά, χωρὶς νὰ προκαλεῖ κανένα πόνο, ἀλλὰ σταματώντας τὰ βρώμικα ὑγρὰ τῶν πονηρῶν λογισμῶν. Καὶ πιὸ εὔκολα ἀπὸ τὸ νυστέρι κόβει τὰ σάπια μέλη χωρὶς πόνο. Καὶ παρ' ὅλο ποὺ κάνει αὐτὸ δὲν ξοδεύει καθόλου χρήματα, οὔτε ἐρεθίζει τὴ φτώχεια. Ἀφοῦ λοιπὸν κατασκευάσαμε αὐτὸ τὸ φάρμακο, τὸ στέλνουμε σὲ ὅλους, καὶ ξέρω ὅτι ὅλοι θὰ χαροῦν τὴ θεραπεία τους, ἂν προσέχουν μόνο στὰ λεγόμενα μὲ ἀκρίβεια καὶ εὐγνωμοσύνη.

1. Ἐπειδὴ ὅμως καὶ στὰ σώματα συνήθως συντελεῖ ὄχι λίγο ἀλλὰ πάρα πολὺ στὴν ἀπαλλαγὴ ἀπὸ τὴν ἀρρώστια, τὸ νὰ μάθει ὁ ἀσθενὴς τὴν αἰτία τῆς ἀρρώστιας του (γιατὶ ὅταν τὸ μάθει αὐτὸ δὲ θ' ἀπαλλαχθεῖ μόνο ἀπὸ τὴ νόσο ποὺ τὸν κατέχει, ἀλλὰ καὶ δὲ θὰ πέσει ὕστερα σ' αὐτή, ἐπειδὴ γνώρισε τὴν αἰτία, ἀπὸ τὴν ὁποία τὴν πρώτη φορὰ ἔπεσε σ' αὐτή, καὶ φυλάγεται), ἐμπρὸς καὶ μεῖς αὐτὸ πρῶτα ἂς διδάξουμε τοὺς ἀσθενεῖς αὐτούς, ἀπὸ ποῦ δηλαδὴ προῆλθε σ' αὐτοὺς ἡ ἀρρώστια αὐτὴ τοῦ σκανδαλισμοῦ. Γιατὶ ἂν τὸ μάθουν αὐτὸ καὶ θελήσουν νὰ τὸ φυλάξουν μὲ ἀκρίβεια, δὲ θ' ἀπαλλαχθοῦν μόνο ἀπὸ τὴν ἀρρώστια αὐτή, οὔτε τώρα μόνο, ἀλλὰ καὶ παντοτινὰ καὶ ἀπ' αὐτὴν καὶ ἀπὸ ἄλλες περισσότερες. Γιατὶ τέτοια εἶναι καὶ ἡ φύση αὐτοῦ τοῦ φαρμάκου, ὥστε καὶ τὸ παρὸν πάθος νὰ θεραπεύει καὶ νὰ προφυλάγει ἀπὸ τὰ ἄλλα πάθη. Καὶ δὲν εἶναι ἕνα καὶ δύο καὶ τρία, ἀλλὰ καὶ πολλὰ αὐτὰ ποὺ σκανδαλίζουν τοὺς πιὸ ἀσθενεῖς· καὶ ἀπ' ὅλα αὐτὰ ὁ λόγος μας ὑπόσχεται νὰ ἐλευθερώσει ὅσους κυριεύθηκαν ἀπ' αὐτά, μόνον ἂν θελήσουν (πράγμα ποὺ εἶπα καὶ πιὸ μπροστά), καὶ νὰ μάθουν καὶ νὰ φυλάξουν τὰ λεγόμενα.

Καὶ δὲν κάνω τὴ θεραπεία αὐτὴ μαζεύοντας μόνο ἀπὸ τὶς θεῖες Γραφές, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ γίνονται καὶ συμβαίνουν

*βίον γινομένων καὶ συμβαινόντων διηνεκῶς· ὥστε καὶ τοῖς μὴ προσέχουσι Γραφαῖς κοινὴν γενέσθαι τὴν διόρθωσιν, εἰ βουληθεῖεν· οὐ γὰρ παύσομαι τοῦτο συνεχῶς ἐπιλέγων. Ἀνάγκη γὰρ καὶ βίᾳ καὶ μὴ βουλομένῳ οὐκ ἔνι ταύτην ποτὲ θεραπευθῆναι τὴν ἰατρείαν καὶ τοὺς θείους μὴ καταδεχομένῳ χρησμούς· καὶ ἐντεῦθεν, μᾶλλον δὲ πλέον ἐντεῦθεν, ἢ ἐκ τῆς τῶν πραγμάτων ἀποδείξεως. Τῶν γὰρ ὁρωμένων ἀξιοπιστοτέραν δεῖ τὴν τοῦ Θεοῦ ἀπόφασιν πιστεύειν εἶναι. Διά τοι τοῦτο καὶ ὶ χαλεπωτέρα τούτους μένει τιμωρία μὴ διορθουμένους, ὅτι δεξάμενοι τὰς Γραφάς, οὐδὲν ἐκεῖθεν εἰς τὴν τοιαύτην καρποῦνται ὠφέλειαν. Ἵν' οὖν μὴ τοῦτο πάσχωσι, φέρε ἀψώμεθα τῆς διορθώσεως λοιπόν, τὴν αἰτίαν εἰπόντες τοῦ νοσήματος πρῶτον.*

*2. Τίς οὖν ἡ αἰτία τῆς ἀρρωστίας τῆς τοσαύτης ἐστίν; Ἡ πολυπράγμων καὶ περίεργος γνώμη καὶ τὸ βούλεσθαι πάντων τῶν γινομένων εἰδέναι τὰς αἰτίας ἁπάσας καὶ φιλονεικεῖν τὴν ἀκατάληπτον καὶ ἄρρητον τοῦ Θεοῦ πρόνοιαν, τὴν ἀπέραντον καὶ ἀνεξιχνίαστον περιεργάζεσθαι ἀναισχύντως καὶ πολυπραγμονεῖν. Καίτοι τίς τοῦ Παύλου σοφώτερος γέγονεν; Εἰπὲ γάρ μοι, οὐ σκεῦος ἐκλογῆς ἦν οὗτος; Οὐ πολλὴν καὶ ἄφατον ἐπεσπάσατο τοῦ Πνεύματος τὴν χάριν; Οὐ τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα; Οὐκ ἀπορρήτων ἐκοινώνησε τοῦ Θεοῦ ῥημάτων; Οὐχ ἃ μηδενὶ ἀνθρώπων λαλῆσαι ἐξὸν ἦν, μόνος ἤκουσεν ἐκεῖνος; Οὐκ εἰς παράδεισον ἡρπάγη; Οὐκ εἰς τρίτον οὐρανὸν ἀνηνέχθη; Οὐ γῆν καὶ θάλασσαν περιέδραμεν; Οὐ βαρβάρους φιλοσοφεῖν ἔπεισεν; Οὐ πολλὰς καὶ ποικίλας εἶχε τοῦ Πνεύματος ἐνεργείας; Οὐ δήμους ὁλοκλήρους καὶ πόλεις ἐρρύθμιζεν; Οὐ τὴν οἰκουμένην ἅπασαν εἰς χεῖρας αὐτῷ φέρων ἔθηκεν ὁ Θεός;*

*Ἀλλ' ὅμως ὁ τοσοῦτος καὶ τηλικοῦτος ὁ σοφὸς οὕτω καὶ δυνατὸς καὶ πνευματικὸς ἀνήρ, ὁ τοσούτων ἀπολελαυκώς, ὅταν εἰς τὴν ἐξέτασιν τῆς τοῦ Θεοῦ προνοίας ἐμπέσῃ καὶ οὐδὲ ὁλο-*

διαρκῶς στὴν παρούσα ζωή, ὥστε καὶ σ' ἐκείνους πού δὲν προσέχουν στὶς Γραφὲς νὰ γίνει κοινὴ ἡ θεραπεία, ἂν τὸ θελήσουν· γιατὶ δὲ θὰ σταματήσω νὰ τὸ λέγω συνέχεια αὐτό. Γιατὶ μὲ ἐξαναγκασμὸ καὶ βία καὶ ὅταν δὲ θέλει κανεὶς καὶ δὲν ἀποδέχεται τοὺς θείους νόμους, δὲν εἶναι δυνατὸ ποτὲ νὰ θεραπευθεῖ μ' αὐτὴ τὴ θεραπεία· καὶ ἀπὸ ἐδῶ, καὶ μάλιστα πιὸ πολὺ ἀπὸ ἐδῶ, παρὰ ἀπὸ τὴν ἀπόδειξη τῶν πραγμάτων. Γιατὶ πρέπει νὰ πιστεύουμε πὼς ἡ ἀπόφαση τοῦ Θεοῦ εἶναι πιὸ ἀξιόπιστη ἀπ' αὐτὰ ποὺ βλέπουμε. Καὶ ἀκριβῶς γι' αὐτὸ τοὺς περιμένει αὐτοὺς ποὺ δὲ διορθώνονται πιὸ φοβερὴ τιμωρία, γιατὶ παρ' ὅλο ποὺ δέχθηκαν τὶς Γραφές, δὲν κερδίζουν ἀπ' αὐτὲς καμιὰ τέτοια ὠφέλεια. Γιὰ νὰ μὴ παθαίνουν λοιπὸν αὐτό, ἐμπρὸς ἂς ἀρχίσουμε τὴ διόρθωση στὴ συνέχεια, ἀφοῦ πρῶτα ποῦμε τὴν αἰτία τοῦ νοσήματος.

2. Ποιὰ λοιπὸν εἶναι ἡ αἰτία τῆς τόσο μεγάλης ἀρρώστιας; Ἡ πολυάσχολη καὶ περίεργη διάθεση καὶ τὸ νὰ θέλουμε νὰ γνωρίζουμε ὅλες τὶς αἰτίες ὅλων τῶν γεγονότων, καὶ νὰ ἀντιμαχόμαστε τὴν ἀκατάληπτη καὶ ἀνέκφραστη πρόνοια τοῦ Θεοῦ, τὴν ἀπέραντη καὶ ἀνεξιχνίαστη, νὰ τὴν περιεργαζόμαστε ἀναίσχυντα καὶ νὰ τὴν πολυεξετάζουμε. Καὶ ὅμως ποιός ἔγινε πιὸ σοφὸς ἀπὸ τὸν Παῦλο; Γιατὶ πές μου, δὲν ἦταν αὐτὸς ὄργανο ἐκλεκτό; Δὲν ἀπέσπασε πλούσια τὴ χάρη τοῦ Πνεύματος; Δὲν εἶχε μέσα του τὸ Χριστὸ ποὺ μιλοῦσε; Δὲν ἔγινε μέτοχος τῶν ἀπόρρητων λόγων τοῦ Θεοῦ; Δὲν ἄκουσε μόνος αὐτὸς ἐκεῖνα, ποὺ δὲν μποροῦσε νὰ μιλήσει κανεὶς ἀπὸ τοὺς ἀνθρώπους; Δὲν (ὁδηγήθηκε) ἁρπάχθηκε στὸν παράδεισο; Δὲν ὑψώθηκε στὸν τρίτο οὐρανό; Δὲν ἔτρεξε γῆ καὶ οὐρανό; Δὲν ἔπεισε τοὺς βαρβάρους νὰ πιστεύουν; Δὲν εἶχε πολλὲς καὶ ποικίλες ἐνέργειες τοῦ Πνεύματος; Δὲν καθοδηγοῦσε λαοὺς ὁλόκληρους καὶ πόλεις; Δὲν τοῦ ἐμπιστεύθηκε στὰ χέρια του ὁλόκληρη τὴν οἰκουμένη ὁ Θεός;

Ἀλλ' ὅμως, αὐτὸς ὁ τόσο μεγάλος καὶ σπουδαῖος, ὁ τόσο σοφὸς καὶ δυνατὸς καὶ πνευματικὸς ἄνδρας, ποὺ τόσα πολλὰ ἀπόλαυσε, ὅταν πέσει στὴν ἐξέταση τῆς προνοίας τοῦ Θεοῦ,

*κλήρου προνοίας, ἀλλὰ μόνον εἰς μέρος αὐτῆς, ἄκουσον πῶς ἐκπλήττεται, πῶς ἰλιγγιᾷ, πῶς ἀποπηδᾷ ταχέως τῷ ἀκαταλήπτῳ παραχωρῶν. Ὅτε οὖν ἐσκοπεῖτο, οὐχ ὅπως ἀγγέλων προνοεῖ καὶ ἀρχαγγέλων ὁ Θεὸς καὶ τῶν Χερουβεὶμ καὶ τῶν Σεραφεὶμ καὶ τῶν ἄλλων ἀοράτων δυνάμεων, οὐδὲ πῶς ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, οὐδὲ πῶς τοῦ γένους τῶν ἀνθρώπων παντός, οὐδὲ πῶς ἀλόγων καὶ φυτῶν καὶ σπερμάτων καὶ βοτανῶν καὶ ἀέρων καὶ πνευμάτων καὶ πηγῶν καὶ ποταμῶν, οὐδὲ τῆς κατὰ φύσιν γεννήσεως καὶ αὐξήσεως καὶ διατροφῆς καὶ τῶν ἄλλων τῶν τοιούτων, ἀλλ᾽ ἕν τι μέρος ἀπολαβὼν τῆς προνοίας αὐτοῦ τὸ κατὰ Ἰουδαίους καὶ Ἕλληνας (καὶ γὰρ περὶ τούτων τὸν ἅπαντα διεξήει λόγον, διδάσκων πῶς μὲν τοὺς ἐξ ἐθνῶν ἐκάλεσε, πῶς δὲ τοὺς ἐξ Ἰουδαίων ἀπώσατο καὶ πῶς ἐλέῳ τὴν ἑκατέρων σωτηρίαν ἐπραγματεύσατο), ἄκουσον οἷά φησιν.*

*Ἰδὼν γὰρ πέλαγος ἀχανὲς ἀνεῳχθὲν καὶ ἐν αὐτῷ τῷ μέρει τούτῳ καὶ πρὸς αὐτὸ τῆς προνοίας αὐτοῦ ταύτης τὸ βάθος διακύψαι βουληθείς, ὥσπερ τινὶ σκοτοδίνῳ κατασχεθεὶς τῷ ἀρρήτῳ τῆς οἰκονομίας ταύτης καὶ θαυμάσας καὶ ἐκπλαγεὶς τὸ ἄφατον, τὸ ἀπέραντον, τὸ ἄρρητον καὶ ἀκατάληπτον τῆς τοῦ Θεοῦ σοφίας τε καὶ προνοίας, ἀπεπήδησε, ταύτας ἀφεὶς τὰς φωνὰς καὶ μετὰ πολλῆς τῆς ἐκπλήξεως ἀνακεκραγὼς ταῦτα τὰ ῥήματα· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ». Εἶτα δεικνύς, ὅτι τὸ βάθος μὲν εἶδε, πόσον δὲ μαθεῖν οὐκ ἠδυνήθη, ἐπήγαγεν· «ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». Οὐκ εἶπεν ἀκατάληπτα μόνον, ἀλλὰ καὶ ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ». Οὐ μόνον γὰρ καταλαβεῖν τις οὐ δύναται, ἀλλ᾽ οὐδὲ ἀρχὴν ἐρεύνης ποιήσασθαι· ὥστε οὐ μόνον εἰς τὸ πέρας τις ἐλθεῖν οὐκ ἰσχύει, ἀλλ᾽ οὐδὲ τὴν ἀρχὴν ἐξιχνιάσαι τῶν οἰκονομιῶν αὐτοῦ.*

---

1. Ρωμ. 11,33.

καὶ ὄχι ὁλόκληρης τῆς πρόνοιας, ἀλλὰ μόνο σ' ἕνα μέρος της ἄκουσε πόση ἔκπληξη νιώθει, πόσος ἴλιγγος τὸν πιάνει, πόσ( γρήγορα τὸ ἐγκαταλείπει καὶ παραδέχεται ὅτι εἶναι ἀκατάληπτ( αὐτό. Ὅταν λοιπὸν ἐξέταζε ὄχι πῶς ὁ Θεὸς προνοεῖ γιὰ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους, καὶ γιὰ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ καὶ τὶς ἄλλες ἀόρατες δυνάμεις, οὔτε πῶς προνοεῖ γιὰ τὸν ἥλιο καὶ τὴ σελήνη καὶ τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα, οὔτε πῶς προνοεῖ γιὰ ὁλόκληρο τὸ γένος τῶν ἀνθρώπων, οὔτε πῶς γιὰ τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τοὺς σπόρους καὶ τὰ χόρτα καὶ τοὺς καιροὺς καὶ τοὺς ἀνέμους καὶ τὶς πηγὲς καὶ τὰ ποτάμια, οὔτε γιὰ τὴ φυσικὴ γέννηση καὶ αὔξηση καὶ διατροφὴ καὶ ἄλλα τέτοια, ἀλλὰ ὅταν ἔμαθε ἕνα μόνο μέρος τῆς πρόνοιάς του, τὸ σχετικὸ μὲ τοὺς Ἰουδαίους καὶ τοὺς ἐθνικοὺς (γιατὶ πάντοτε μιλοῦσε γι' αὐτούς, διδάσκοντας πῶς ὁ Θεὸς κάλεσε τοὺς προερχόμενους ἀπὸ τὰ ἔθνη καὶ πῶς ἀρνήθηκε τοὺς προερχόμενους ἀπὸ τοὺς Ἰουδαίους καὶ πῶς μὲ εὐσπλαγχνία φρόντισε τὴ σωτηρία καὶ τῶν δύο), ἄκουσε τί λέγει.

Ἐπειδὴ λοιπὸν εἶδε ὅτι ἄνοιξε πέλαγος ἄπειρο, καὶ σ' αὐτὸ τὸ μέρος μόνο, καὶ ἐπειδὴ ἤθελε νὰ ἐρευνήσει τὸ ἴδιο τὸ βάθος τῆς πρόνοιας τοῦ Θεοῦ, ἀφοῦ κυριεύτηκε ἀπὸ τὸ ἀνέκφραστο τῆς οἰκονομίας αὐτῆς σὰν ἀπὸ κάποια σκοτοδίνη καὶ ἀφοῦ θαύμασε καὶ ἔνιωσε ἔκπληξη γιὰ τὸ ἀπερίγραπτο, τὸ ἀπέραντο, τὸ ἀνέκφραστο καὶ τὸ ἀκατάληπτο καὶ τῆς σοφίας καὶ τῆς πρόνοιας τοῦ Θεοῦ, ἐγκατέλειψε τὴν προσπάθειά του, ἀφήνοντας αὐτὲς τὶς λέξεις καὶ φωνάζοντας μὲ πολλὴ ἔκπληξη αὐτὰ τὰ λόγια· «ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσης τοῦ Θεοῦ!»[1]. Στὴ συνέχεια, ἀποδεικνύοντας ὅτι εἶδε τὸ βάθος ἀλλὰ δὲν μπόρεσε νὰ μάθει πόσο εἶναι, πρόσθεσε· «πόσο ἀνεξερεύνητες εἶναι οἱ κρίσεις του καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του!». Δὲν εἶπε ἀκατανόητες μόνο ἀλλὰ καὶ «ἀνεξερεύνητες οἱ κρίσεις του». Γιατὶ ὄχι μόνο δὲν μπορεῖ νὰ τὶς καταλάβει κανείς, ἀλλ' οὔτε νὰ κάνει ἀρχὴ τῆς ἔρευνας· ὥστε ὄχι μόνο δὲν ἔχει τὴ δύναμη κανεὶς νὰ ἔρθει στὸ τέλος, ἀλλ' οὔτε νὰ βρεῖ τὴν ἀρχὴ τῶν οἰκονομιῶν του.

Εἰπὼν δέ, «ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ», καὶ θαυμάσας καὶ ἐκπλαγείς, εἰς δοξολογίαν τὸν λόγον κατέπαυσεν, οὕτως ἐπάγων καὶ λέγων· «τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; Ἢ τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ; Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν». Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· αὐτὸς πηγή, αὐτὸς αἴτιος τῶν ἀγαθῶν, οὐδενὸς δεῖται κοινωνοῦ, οὐδενὸς δεῖται συμβούλου· οὐ παρ' ἑτέρου δανειζόμενος γνῶσιν, ἢ σύνεσιν, οὕτω βουλεύεται· θαυματουργεῖ· ἀλλ' αὐτὸς ἀρχὴ καὶ αἰτία καὶ πηγὴ πάντων τῶν ἀγαθῶν, αὐτὸς δημιουργός, αὐτὸς αὐτὰ οὐκ ὄντα παρήγαγε καὶ αὐτὸς παραχθέντα διακρατεῖ καὶ διατηρεῖ ὡς βούλεται. Τὸ γάρ, «ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα», τοῦτό ἐστι δηλοῦντος, ὅτι αἴτιος τῶν ὄντων αὐτὸς καὶ δημιουργὸς καὶ διακρατῶν καὶ συνέχων τὰ πάντα.

Εἶτα πάλιν τῆς δωρεᾶς μνησθεὶς τῆς εἰς ἡμᾶς γεγενημένης, ἀλλαχοῦ λέγει· «χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ». Καὶ τὴν εἰρήνην δὲ τὴν δοθεῖσαν ἡμῖν, οὐχὶ λόγον νικᾶν μόνον, οὐδὲ διήγησιν ὑπερβαίνειν, ἀλλὰ καὶ νοῦ παντὸς ἀνωτέραν εἶναι δηλοῖ, διὸ λέγει· «ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν». Εἰ τοίνυν τὸ βάθος ἄπειρον τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως καὶ τὰ κρίματα αὐτοῦ ἀνεξερεύνητα καὶ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι καὶ ἡ δωρεὰ αὐτοῦ ἀνεκδιήγητος καὶ ἡ εἰρήνη ὑπερέχει πάντα νοῦ, οὐ τὸν ἐμὸν καὶ τὸν σὸν καὶ τοῦ δεῖνος, οὐδὲ τὸν τοῦ Παύλου καὶ Πέτρου μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν τῶν ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων, ποίαν ἕξεις αὐτὸς ἀπολογίαν, εἰπέ

2. Ρωμ. 11,34–36.
3. Β' Κορ. 9,15.

Ἀφοῦ εἶπε «πόσο ἀνεξερεύνητες εἶναι οἱ κρίσεις του καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του!» καὶ ἀφοῦ θαύμασε καὶ ἀπόρησε, τελείωσε τὸ λόγο του σὲ δοξολογία, προσθέτοντας καὶ λέγοντας τὰ ἑξῆς· «ποιός γνώρισε τὴ σκέψη τοῦ Κυρίου, ἢ ποιός ἔγινε σύμβουλός του; Ἢ ποιὸς τοῦ ἔδωσε πρῶτος κάτι, γιὰ νὰ τοῦ τὸ ἀνταποδώσει; Γιατὶ ἀπ' αὐτὸν προέρχονται καὶ μέσα ἀπ' αὐτὸν κατευθύνονται καὶ σ' αὐτὸν ἀποβλέπουν τὰ πάντα. Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν»[2]. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· αὐτὸς εἶναι ἡ πηγή, αὐτὸς εἶναι ἡ αἰτία τῶν ἀγαθῶν, δὲ χρειάζεται κανένα βοηθό, δὲ χρειάζεται κανένα σύμβουλο. Χωρὶς νὰ δανείζεται γνώση ἢ σύνεση ἀπ' ἄλλον σκέπτεται καὶ κάνει θαύματα, ἀλλ' αὐτὸς εἶναι ἡ ἀρχὴ καὶ ἡ αἰτία καὶ ἡ πηγὴ ὅλων τῶν ἀγαθῶν, αὐτὸς ὁ δημιουργός, αὐτὸς ἐνῶ δὲν ὑπῆρχαν αὐτὰ τὰ δημιούργησε καὶ αὐτὸς μετὰ τὴ δημιουργία τους τὰ συγκρατεῖ καὶ τὰ διατηρεῖ ὅπως θέλει. Γιατὶ τὸ «ἀπ' αὐτὸν καὶ μέσα ἀπ' αὐτὸν καὶ σ' αὐτὸν τὰ πάντα» αὐτὸ σημαίνει, ὅτι δηλαδὴ αὐτὸς εἶναι ἡ αἰτία τῶν ὄντων καὶ ὁ δημιουργὸς καὶ αὐτὸς διατηρεῖ καὶ συγκρατεῖ τὰ πάντα.

Ἔπειτα πάλι θυμήθηκε τὴ δωρεὰ ποὺ ἔγινε σὲ μᾶς καὶ λέγει ἀλλοῦ· «ἂς γίνει εὐχαριστία στὸ Θεὸ γιὰ τὴν ἀπερίγραπτη δωρεά του»[3]. Ἐπίσης φανερώνει πὼς καὶ ἡ εἰρήνη ποὺ μᾶς ἔδωσε ὄχι μόνο νικάει τὸ λόγο, ὄχι μόνο ξεπερνάει τὴ διήγηση, ἀλλὰ πὼς εἶναι ἀνώτερη καὶ ἀπὸ κάθε σκέψη, γι' αὐτὸ λέγει· θὰ φρουρήσει τὶς καρδιές σας»[4]. Ἂν λοιπὸν εἶναι ἄπειρο τὸ βάθος τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσης τοῦ Θεοῦ καὶ ἀνεξερεύνητες οἱ κρίσεις του, καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του καὶ ἀπερίγραπτη ἡ δωρεά του, καὶ ἡ εἰρήνη εἶναι ἀνώτερη ἀπὸ κάθε νοῦ, ὄχι μόνο ἀπὸ τὸ δικό μου καὶ τὸ δικό σου καὶ τοῦ τάδε, οὔτε τοῦ Παύλου καὶ τοῦ Πέτρου μόνο, ἀλλὰ καὶ τῶν ἀρχαγγέλων καὶ τῶν δυνάμεων τοῦ οὐρανοῦ, πές μου, ποιὰ δικαιολογία θὰ ἔχεις καὶ ποιὰ συγχώρηση θὰ βρεῖς, ὅταν μὲ τόσο με-

---

4. Φιλιπ. 4,7.

μοι; Τίνα δὲ συγνώμην, τοσαύτῃ κεχρημένος μανίᾳ καὶ ἀπονοίᾳ, τὰ ἀνεξιχνίαστα βουλόμενος καταλαβεῖν καὶ περὶ πάσης τῆς τοῦ Θεοῦ προνοίας λόγον ἀπαιτῶν;

Εἰ γὰρ ὁ τοσαύτης ἀπολελαυκὼς γνώσεως καὶ παρρησίαν οὕτως ἄφατον ἔχων καὶ τῶν τοσούτων χαρισμάτων ἐμπεπλησμένος Παῦλος παραχωρεῖ καὶ ἐξίσταται τῆς ὑπὸ τὴν ζήτησιν γνώσεως καὶ οὐ μόνον εὑρεῖν οὐ δύναται, ἀλλ' οὐδὲ ἐρευνῆσαι τὴν ἀρχήν, ἐπεὶ μηδὲ δυνατόν, πῶς οὐ πάντων ἀθλιώτερος καὶ τὴν χαλεπωτάτην μαινόμενος μανίαν, ὁ τὴν ἐναντίαν ὁδὸν ἐρχόμενος ἐκείνῳ; Οὐδὲ γὰρ ταῦτα εἴρηκε μόνον, ἀλλὰ καὶ περὶ γνώσεώς ποτε Κορινθίοις ἐπιστέλλων καὶ δεικνύς, ὅπως, εἰ καὶ πολλὰ μεμαθήκαμεν, ἀλλ' ὀλίγον καὶ σφόδρα ἐλάχιστον μέτρον γνώσεως ἔχομεν, οὕτω πώς φησιν· «εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω εἶδε καθὼς δεῖ γνῶναι». Εἶτα δηλῶν ὅτι πολὺ λείπει τῆς γνώσεως ἡμῖν καὶ τὸ πλέον ἐν τῷ μέλλοντι τεταμίευται χρόνῳ, ὀλίγον δέ τι ἡμῖν δέδοται, ἐπήγαγεν· «ἐκ μέρους γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν. Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται».

Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεῖξαι βουλόμενος πόσον τὸ μέσον ταύτης κἀκείνης τῆς γνώσεως καὶ ὅτι πολὺ τὸ λειπόμενον, διὰ εἰκόνων τινῶν σαφὲς τοῦτο ποιεῖ λέγων· «ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, τὰ τοῦ νηπίου κατήργηκα. Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον». Εἶδες πόσον τὸ μέσον; Ὅσον νηπίου παιδός, καὶ ἀνδρὸς τελείου· ὅσον ἐσόπτρου καὶ αἰνίγματος καὶ τῆς ἄλλης τῆς ἀσαφοῦς τῶν πραγμάτων ὄψεως πρὸς σαφῆ ὄψιν· τοῦτο γάρ ἐστι, «πρόσωπον πρὸς πρόσωπον». Τί οὖν μαίνῃ καὶ λυττᾷς, τῶν κεκωλυμένων κατατολμῶν εἰκῇ καὶ μάτην; Τί δὲ

5. Α' Κορ. 8,2.

6. Α' Κορ. 13,9–10.

γάλη μανία καὶ παραφροσύνη θέλεις νὰ καταλάβεις τὰ ἀνεξερεύνητα καὶ ζητᾶς τὸ λόγο γιὰ ὅλη τὴν πρόνοια τοῦ Θεοῦ;

Ἂν λοιπὸν ὁ Παῦλος ποὺ ἀπόλαυσε τόση γνώση καὶ εἶχε τόση ἀνέκφραση παρρησία καὶ ἦταν γεμάτος ἀπὸ τόσα χαρίσματα ὑποχωρεῖ καὶ θαυμάζει τὴ γνώση ποὺ ἀναζητάει καὶ ὄχι μόνο δὲν μπορεῖ νὰ βρεῖ, ἀλλ' οὔτε νὰ ἐρευνήσει τὴν ἀρχή, γιατὶ οὔτε εἶναι δυνατό, πῶς δὲν εἶναι ἀπ' ὅλους πιὸ ἄθλιος καὶ δὲν ἔχει τὴ χειρότερη μανία ἐκεῖνος ποὺ βαδίζει τὸν ἀντίθετο δρόμο πρὸς τὸν Παῦλο; Γιατί δὲν εἶπε αὐτὰ μόνο, ἀλλὰ καὶ ὅταν ἔγραφε κάποτε γιὰ τὴ γνώση στοὺς Κορινθίους καὶ ἔδειχνε ὅτι, ἂν καὶ ἔχουμε μάθει πολλά, γνωρίζουμε λίγο καὶ μάλιστα ἐλάχιστο μέρος, κάπως ἔτσι λέγει· «ἂν νομίζει κανεὶς ὅτι γνωρίζει κάτι, δὲν ξέρει ἀκόμη πῶς πρέπει νὰ γνωρίζει»[5]. Στὴ συνέχεια, φανερώνοντας ὅτι ὑστερεῖ πολὺ ἡ γνώση μας καὶ ὅτι τὸ περισσότερο μέρος της φυλάγεται στὴ μέλλουσα ζωὴ καὶ ὅτι κάτι λίγο μᾶς ἔχει δοθεῖ, πρόσθεσε· «μερικὴ γνώση ἔχουμε καὶ μερικὴ προφητεία. Ἀλλ' ὅταν ἔρθει τὸ τέλειο, τότε τὸ μερικὸ θὰ καταργηθεῖ»[6].

Καὶ οὔτε ἐδῶ σταμάτησε, ἀλλὰ θέλοντας νὰ δείξει πόση εἶναι ἡ διαφορὰ ἀνάμεσα σ' αὐτὴ καὶ ἐκείνη τὴ γνώση καὶ ὅτι πολὺ ὑπολείπεται, τὸ κάνει αὐτὸ φανερὸ μὲ κάποιες εἰκόνες λέγοντας· «ὅταν ἤμουν νήπιο, μιλοῦσα σὰν νήπιο, σκεπτόμουν σὰν νήπιο, συλλογιζόμουν σὰν νήπιο· ὅταν ὅμως ἔγινα ἄνδρας, κατάργησα τοὺς νηπιακοὺς τρόπους. Γιατὶ τώρα βλέπουμε μέσα ἀπὸ καθρέφτη μὲ αἴνιγμα, τότε ὅμως θὰ δοῦμε πρόσωπο μὲ πρόσωπο»[7]. Εἶδες πόση εἶναι ἡ διαφορά; Ὅση εἶναι ἡ διαφορὰ ἀνάμεσα στὸ νήπιο παιδὶ καὶ τὸν τέλειο ἄνδρα· ὅση εἶναι ἀνάμεσα στὸν καθρέφτη καὶ τὸ αἴνιγμα καὶ τὴν ἄλλη θαμπὴ ὄψη τῶν πραγμάτων ἀπὸ τὴν ὄψη τὴν καθαρή· γιατὶ αὐτὸ σημαίνει τὸ «πρόσωπο μὲ πρόσωπο». Γιατί λοιπὸν μαίνεσαι καὶ λυσσᾶς, τολμώντας ἄσκοπα καὶ μάταια νὰ μάθεις αὐτὰ ποὺ δὲν ἐπιτρέ-

7. Α' Κορ. 13,11-12.

οὐ πείθῃ Παύλῳ λέγοντι· «μενοῦν γε σὺ τίς εἶ, ἄνθρωπε, ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;».

Ὁρᾷς πόσην ἀπαιτεῖ τὴν ὑπακοήν; πόσην τὴν σιγήν; Οὐ γὰρ δὴ τὸ αὐτεξούσιον ἡμῶν ἀναιρῶν τοῦτο λέγει· μὴ γένοιτο· ἀλλὰ δηλῶν, ὅτι τὸν ταῦτα ζητοῦντα οὕτως ἄφωνον εἶναι δεῖ, ὡς ἡ τοῦ πηλοῦ φύσις, ἑπομένη ᾗπερ ἂν ὁ τεχνίτης ἄγῃ, μὴ ἀντιτείνοντα, μηδὲ περιεργαζόμενον. Διὸ καὶ τῆς φύσεως ἡμᾶς ἀναμιμνήσκει τῆς ἡμετέρας καὶ πηλοῦ μέμνηται καὶ κεραμέως. Καίτοιγε κεραμέως καὶ πηλοῦ ἡ αὐτὴ οὐσία. Εἰ δὲ ἔνθα ἡ αὐτὴ οὐσία, τοσαύτη ἡ ὑπακοή· ἔνθα ἄπειρον τὸ μέσον καὶ οὐσίας καὶ γνώσεως καὶ τῶν ἄλλων ἁπάντων, ποίας τεύξεται συγγνώμης ὁ οὕτως ἰταμὸς καὶ ἀναιδής, ὥστε πολυπραγμονεῖν τὰ τοῦ πεποιηκότος αὐτὸν Θεοῦ; Ἐννόησον, ὦ ἄνθρωπε, τίς εἶ· τοῦτο γὰρ δηλοῖ δι' ὧν λέγει, «σὺ τίς εἶ;». Οὐχὶ πηλός; οὐχὶ τέφρα καὶ σποδός; οὐχὶ κόνις; οὐ καπνός; οὐ χόρτος; οὐκ ἄνθος χόρτου; Ταύτας γὰρ πάσας τὰς εἰκόνας εἰς μέσον οἱ προφῆται συνεχῶς ἔχουσι, τὴν εὐτέλειαν ἡμῶν τῆς φύσεως παραστῆσαι φιλονεικοῦντες. Ὁ δὲ πολυπραγμονούμενος ὑπὸ σοῦ ἀνώλεθρος, ἀναλλοίωτος, ἀεὶ ὢν καὶ ὡσαύτως ὤν, ἄναρχος, ἀτελεύτητος, ἀπερινόητος, ὑπερβαίνων νοῦν, νικῶν λογισμόν, ἀνέκφραστος, ἄρρητος, ἀκατάληπτος οὐκ ἐμοὶ καὶ σοὶ μόνον καὶ προφήταις καὶ ἀποστόλοις, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσι, ταῖς καθαραῖς, ταῖς ἀοράτοις, ταῖς ἀσωμάτοις, ταῖς διηνεκῶς ἐν οὐρανῷ διατριβούσαις.

3. Ὅταν οὖν ἴδῃς τὰ Σεραφεὶμ τὰ περιιπτάμενα τὸν θρόνον τὸν ὑψηλὸν ἐκεῖνον καὶ ἐπηρμένον, τῇ προβολῇ τῶν πτερύγων ἀποτειχίζοντα τὰς ἑαυτῶν ὄψεις καὶ τοὺς πόδας καλύπτοντα καὶ νῶτα καὶ πρόσωπα καὶ κραυγὴν ἀφιέντα ἐκπλήξεως γέμουσαν, μὴ πτερὰ νόμιζε καὶ πόδας καὶ πτέρυγας αὐταῖς εἶναι· ἀόρατοι

πονται; Καὶ γιατί δὲν πείθεσαι στὸν Παῦλο ποὺ λέγει, «ἀλλὰ ποιός εἶσαι ἐσύ, ἄνθρωπε, ποὺ ἀντιλέγεις στὸ Θεό; Μήπως θὰ πεῖ τὸ πλάσμα στὸν πλάστη του, γιατί μ' ἔπλασες ἔτσι;»[8].

Βλέπεις πόση ὑπακοὴ ἀπαιτεῖ; Πόση σιωπή; Βέβαια δὲν τὸ λέγει αὐτὸ γιὰ νὰ καταργήσει τὸ αὐτεξούσιό μας –μακριὰ μιὰ τέτοια σκέψη–, ἀλλὰ γιὰ νὰ φανερώσει ὅτι ἐκεῖνος ποὺ τὰ ἐρευνάει αὐτὰ πρέπει νὰ εἶναι τόσο ἄφωνος, ὅσο εἶναι ἡ φύση τοῦ πηλοῦ, ποὺ παραδέχεται ὅτι θὰ τὴν κάνει ὁ τεχνίτης, χωρὶς νὰ ἀντιστέκεται καὶ χωρὶς νὰ πολυεξετάζει. Γι' αὐτὸ καὶ τὴ δική μας φύση μᾶς θυμίζει καὶ θυμᾶται τὸν πηλὸ καὶ τὸν κεραμοποιό. Ἂν καὶ εἶναι ἡ ἴδια ἡ οὐσία καὶ τοῦ κεραμοποιοῦ καὶ τοῦ πηλοῦ. Ἂν ὅμως ὅπου εἶναι ἡ ἴδια ἡ οὐσία ἡ ὑπακοὴ εἶναι τόσο μεγάλη, ἐκεῖ ποὺ εἶναι ἄπειρη ἡ διαφορὰ καὶ στὴν οὐσία καὶ στὴ γνώση καὶ σὲ ὅλα τὰ ἄλλα, ποιά συγχώρηση θὰ ἐπιτύχει ὁ τόσο αὐθάδης καὶ ἀναιδής, ὥστε νὰ πολυεξετάζει ὅσα ἀνήκουν στὸ Θεὸ τὸ δημιουργό του; Σκέψου, ἄνθρωπε, ποιός εἶσαι· γιατὶ αὐτὸ φανερώνει μὲ ὅσα λέγει «ἐσὺ ποιός εἶσαι;». Δὲν εἶσαι πηλός; δὲν εἶσαι τέφρα καὶ στάχτη; δὲν εἶσαι σκόνη; δὲν εἶσαι καπνός; δὲν εἶσαι χορτάρι; δὲν εἶσαι ἄνθος τοῦ χορταριοῦ; Γιατὶ αὐτὲς ὅλες τὶς εἰκόνες τὶς παρουσιάζουν συνέχεια οἱ προφῆτες, προσπαθώντας νὰ παραστήσουν τὸ ἀσήμαντο τῆς ἀνθρώπινης φύσης. Καὶ ἐκεῖνος ποὺ πολυεξετάζεις ἐσὺ εἶναι ἄφθορος, ἀναλλοίωτος, αἰώνιος, παντοτινός, ἄναρχος, ἀτελεύτητος, ἀκατάληπτος, ξεπερνάει τὸ νοῦ, νικάει τὸ λογισμό, ἀνέκφραστος, ἀνείπωτος, ἀκατανόητος ὄχι σὲ μένα καὶ σένα μόνο καὶ στοὺς προφῆτες καὶ τοὺς Ἀποστόλους, ἀλλὰ καὶ στὶς οὐράνιες δυνάμεις, τὶς καθαρές, τὶς ἀόρατες, τὶς ἀσώματες, ποὺ πάντοτε μένουν στὸν οὐρανό.

3. Ὅταν λοιπὸν δεῖς τὰ σεραφὶμ ποὺ πετοῦν γύρω ἀπὸ τὸ θρόνο ἐκεῖνο τὸν ὑψηλὸ καὶ δυσθεώρητο νὰ κρύβουν τὶς ὄψεις τους μὲ τὶς ἀνοιγμένες πτέρυγές τους καὶ νὰ σκεπάζουν τὰ πόδια τους καὶ τὸ σῶμα καὶ τὰ πρόσωπά τους καὶ νὰ βγάζουν φωνὴ γεμάτη ἔκπληξη, νὰ μὴ νομίζεις πὼς ἔχουν φτερὰ καὶ πό-

8. Ρωμ. 9,20.

*γὰρ αἱ δυνάμεις ἐκεῖναι· ἀλλὰ διὰ τῶν εἰκόνων τούτων τὸ ἀπρόσιτον, τὸ ἀκατάληπτον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου λογίζου. Καὶ γὰρ καὶ ἐκείναις ἀκατάληπτος καὶ ἀπρόσιτός ἐστι, καίτοι συγκαταβαίνων· οὐδὲ γὰρ ὅπερ ἦν ἐφαίνετο τότε. Θεὸς γὰρ οὐ κάθηται, οὐδὲ θρόνῳ περιέχεται, οὐδὲ τόπῳ περιείληπται. Εἰ δὲ καθήμενον καὶ ἐπὶ θρόνου ἱδρυμένον καὶ κυκλούμενον ὑπ' αὐτῶν (ἅπερ ἐστὶν ἅπαντα συγκαταβαίνοντος, οὐ καθημένου), οὐκ ἴσχυσαν ἰδεῖν, ἀλλὰ μὴ φέρουσαι τὴν ἐκεῖθεν ἐκπηδῶσαν ἀστραπὴν τῇ προβολῇ τῶν πτερύγων τὰς ὄψεις ἀπετείχιζον καὶ μόνον ἐδοξολόγουν, μόνον ὕμνουν, μετὰ πολλῆς τῆς φρίκης τὸ μυστικὸν ἐκεῖνο τοῦ ἁγιασμοῦ ἀναφέρουσαι μέλος· οὐκ ἀπελθὼν κατορύξεις σεαυτὸν καὶ καταδύσεις, τῆς ἀρρήτου καὶ ἀφράστου καὶ ταῖς ἄνω δυνάμεσιν ἀκαταλήπτου Θεοῦ δυνάμεως τὴν πρόνοιαν μετὰ τοσαύτης περιεργάζεσθαι βουλόμενος τῆς ἰταμότητος;*

*Τὰ γὰρ ἐκείνου Υἱῷ καὶ Πνεύματι ἁγίῳ δῆλα μόνον ἅπαντα μετ' ἀκριβείας, ἑτέρῳ δὲ οὐδενί· καὶ τούτων τὸ μὲν Ἰωάννης ὁ εὐαγγελιστής, τὸ δὲ Παῦλος ὁ ἀπόστολος παρεδήλωσεν. Ὁ μὲν οὖν τῆς βροντῆς υἱός, καὶ σφόδρα ἐπέραστος ὢν τῷ Χριστῷ καὶ τοῦτο παράσημον ἔχων ὅπερ ἦν μεγίστης ἀρετῆς ἀπόδειξις καὶ τοσαύτης ἀπολαύων παρρησίας, ὡς καὶ ἐπὶ τὸ στῆθος αὐτοῦ κατακλίνεσθαι, οὕτω φησί· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε»· ὅρασιν τὴν γνῶσιν λέγων· «ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο». Τοῦτο καὶ ὁ Χριστὸς δηλοποιῶν δι' ἑαυτοῦ πάλαι τῷ δήμῳ τῶν Ἑβραίων διαλεγόμενός φησιν· «οὐδεὶς ἑώρακε τὸν Πατέρα, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ· οὗτος ἑώρακε τὸν Πατέρα». Τὸ δὲ σκεῦος τῆς ἐκλογῆς εἰς τὸν τῆς οἰκονομίας αὐτοῦ λόγον ἐμπεσὼν καὶ τὰ ἀπόρρητα, ἅπερ ἔμαθεν, ἅπαντα βουλόμενος εἰπεῖν, πῶς αὐτὰ ἔγνω, οὕτω λέγει· «λαλοῦμεν δὲ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων, εἰς δόξαν ἡμῶν,*

δια καὶ πτερύγια –γιατὶ οἱ δυνάμεις αὐτὲς εἶναι ἀόρατες–, ἀλλὰ μὲ τὶς εἰκόνες αὐτὲς νὰ ἐννοεῖς τὸ ἀπρόσιτο, τὸ ἀκατάληπτο ἐκείνου ποὺ κάθεται πάνω στὸ θρόνο. Γιατὶ πραγματικὰ καὶ στὶς δυνάμεις αὐτὲς εἶναι ἀκατάληπτος καὶ ἀπρόσιτος, παρ' ὅλο ποὺ εἶναι συγκαταβατικός· οὔτε βέβαια αὐτὸ ποὺ ἦταν φαινόταν τότε. Γιατὶ ὁ Θεὸς δὲν κάθεται, οὔτε σὲ θρόνο περικλείεται, οὔτε σὲ τόπο περιέχεται. Ἂν ὅμως τὰ σεραφὶμ δὲ μπόρεσαν νὰ τὸν δοῦν ἐνῶ καθόταν καὶ ἦταν τοποθετημένος ἐπάνω στὸ θρόνο καὶ ἦταν τριγυρισμένος ἀπ' αὐτὰ (πράγματα ποὺ ὅλα δείχνουν συγκατάβαση, ὄχι ἐξουσία), ἀλλὰ σκέπαζαν μὲ τὰ ἀνοιγμένα πτερύγια τὰ πρόσωπά τους, ἐπειδὴ δὲν ἄντεχαν τὴ λάμψη ποὺ χυνόταν ἀπὸ ἐκεῖ, καὶ δοξολογοῦσαν μόνο, ὑμνοῦσαν μόνο, ἀναπέμποντας μὲ πολλὴ φρίκη τὴ μυστικὴ ἐκείνη μελωδία τοῦ ἁγιασμοῦ, δὲ θὰ πᾶς ἐσὺ νὰ τρυπώσεις βαθιὰ καὶ νὰ κρυφθεῖς, ποὺ θέλεις μὲ τόσο μεγάλη ἀναίδεια νὰ περιεργάζεσαι τὴν ἀνέκφραστη καὶ ἀπερίγραπτη καὶ ἀκατάληπτη στὶς οὐράνιες δυνάμεις πρόνοια τοῦ Θεοῦ;

Τὰ σχετικὰ μὲ τὸ Θεὸ εἶναι ὅλα φανερὰ μὲ ἀκρίβεια στὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα μόνο καὶ σὲ κανένα ἄλλον· καὶ τὸ ἕνα ἀπ' αὐτὰ τὸ ὑπαινίχθηκε ὁ εὐαγγελιστὴς Ἰωάννης καὶ τὸ ἄλλο ὁ ἀπόστολος Παῦλος. Ὁ υἱὸς τῆς βροντῆς λοιπόν, ὁ ὁποῖος ἦταν πάρα πολὺ ἀγαπημένος στὸ Χριστὸ καὶ τὸ εἶχε αὐτὸ παράσημο, πράγμα ποὺ ἦταν ἀπόδειξη μέγιστης ἀρετῆς, καὶ ἀπολάμβανε τόσο μεγάλη παρρησία, ὥστε νὰ πλαγιάζει καὶ στὸ στῆθος του, ἔτσι λέγει· «τὸ Θεὸ κανεὶς δὲν τὸν εἶδε ποτὲ» –ὅραση ἐννοεῖ τὴ γνώση–, «ὁ μονογενὴς Υἱὸς ποὺ εἶναι στὸν κόλπο τοῦ Πατέρα ἐκεῖνος τὸν ἔκανε γνωστό»[9]. Αὐτὸ καὶ ὁ Χριστὸς γιὰ νὰ φανερώσει ὁ ἴδιος πρωτύτερα μιλώντας στὸ λαὸ τῶν Ἑβραίων λέγει· «κανεὶς δὲν εἶδε τὸν Πατέρα παρὰ μόνο ἐκεῖνος ποὺ εἶναι ἀπὸ τὸ Θεό, αὐτὸς εἶδε τὸν Πατέρα»[10]. Καὶ τὸ ἐκλεκτὸ ὄργανο ἐπίσης μιλώντας γιὰ τὴν οἰκονομία τοῦ Θεοῦ καὶ θέλοντας νὰ πεῖ πῶς γνώρισε ὅλα τὰ ἀπόρρητα ποὺ ἔμαθε, ἔτσι λέγει· «λαλοῦμε σοφία μυστική, ποὺ ἦταν κρυμμένη, ποὺ τὴν προόρισε ὁ Θεὸς

9. Ἰω. 1,18. 10. Ἰω. 6,46.

*ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνω. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἀλλά, καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».*

*Πῶς οὖν αὐτὰ ἔγνωμεν ἡμεῖς, ὦ Παῦλε; Τίς ὁ μηνύσας καὶ δῆλα καταστήσας αὐτὰ τὰ ἀθέατα, τὰ ἀνήκουστα, τὰ εἰς καρδίαν ἀνθρώπου μὴ ἀναβάντα; Εἰπὲ καὶ δεῖξον τίς ὁ τοσαύτην ἡμῖν γνῶσιν κομίσας; «Ἡμῖν δέ», φησίν, «ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ». Εἶτα ἵνα μή τις νομίσῃ, ὅτι ταῦτα μόνον ἐπίσταται, ἅπερ ἀπεκάλυψεν ἡμῖν ὁ Θεὸς δι᾽ αὐτοῦ, οὐχὶ δὲ καὶ πᾶσαν ἔχει τὴν γνῶσιν, ἐπήγαγε· «τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ ἄνθρωπος αὐτὸς οἶδε τὰ ἑαυτοῦ καὶ ἃ βουλεύεται καὶ ἐν διανοίᾳ ἔχει, μετὰ ἀκριβείας ἐπίσταται πάντα, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον μετὰ ἀκριβείας οἶδε τοῦ Θεοῦ τὴν ἀπόρρητον γνῶσιν ἅπασαν. Εἰπὼν τοίνυν, «οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ», οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὴν ἄνω κτίσιν ἅπασαν τῆς ἀκριβοῦς ταύτης ἐξέβαλε γνώσεως.*

*Διὸ καὶ σοφός τις παραινεῖ λόγος· «χαλεπώτερά σου μὴ ζήτει καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲ ταῦτα ἅπερ ἔχεις, οἴκοθεν μαθὼν*

---

11. Α΄ Κορ. 2,7–9.
12. Α΄ Κορ. 2,20.

πρὶν ἀπὸ τοὺς αἰῶνες γιὰ τὴ δική μας δόξα, τὴν ὁποία κανεὶς ἀπὸ τοὺς ἄρχοντες τοῦ κόσμου αὐτοῦ δὲν τὴ γνώρισε. Γιατί, ἂν τὴ γνώριζαν, δὲ θὰ σταύρωναν τὸν Κύριο τῆς δόξας. Ἀλλά, καθὼς εἶναι γραμμένο, ἐκεῖνα ποὺ μάτι δὲν τὰ εἶδε καὶ αὐτὶ δὲν τὰ ἄκουσε καὶ νοῦς ἀνθρώπου δὲν τὰ συνέλαβε, ἐκεῖνα ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν»[11].

Πῶς λοιπὸν τὰ γνωρίσαμε αὐτὰ ἐμεῖς, Παῦλε; Ποιός μᾶς τὰ πληροφόρησε καὶ ποιός μᾶς τὰ ἔκαμε φανερὰ αὐτὰ τὰ ἀθέατα, τὰ ἀνήκουστα, αὐτὰ ποὺ δὲ συνέλαβε νοῦς ἀνθρώπου; Πὲς καὶ δεῖξε ποιός μᾶς ἔφερε τόσο μεγάλη γνώση; «Σ' ἐμᾶς ὅμως», λέγει, «ὁ Θεὸς τὰ ἀποκάλυψε μὲ τὸ Πνεῦμα του»[12]. Ἔπειτα γιὰ νὰ μὴ νομίσει κανεὶς ὅτι αὐτὰ μόνο γνωρίζει ποὺ μᾶς ἀποκάλυψε ὁ Θεὸς μ' αὐτὸ καὶ ὅτι δὲν ἔχει ὅλη τὴ γνώση, πρόσθεσε· «γιατὶ τὸ Πνεῦμα τὰ ἐρευνάει ὅλα, ἀκόμη καὶ τὰ βάθη τοῦ Θεοῦ. Ποιός ἀπὸ τοὺς ἀνθρώπους ξέρει τί εἶναι ὁ ἄνθρωπος παρὰ μόνο τὸ πνεῦμα τοῦ ἀνθρώπου ποὺ εἶναι μέσα του; Ἔτσι καὶ τί εἶναι Θεὸς κανεὶς δὲν τὸ ξέρει παρὰ μόνο τὸ Πνεῦμα τοῦ Θεοῦ»[13]. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὅπως ὁ ἄνθρωπος μόνο ξέρει τὰ δικά του καὶ αὐτὰ ποὺ σκέπτεται καὶ αὐτὰ ποὺ ἔχει στὸ νοῦ του, ὅλα τὰ γνωρίζει μὲ ἀκρίβεια, ἔτσι καὶ τὸ ἅγιο Πνεῦμα ξέρει μὲ ἀκρίβεια ὅλη τὴν ἀπόρρητη γνώση τοῦ Θεοῦ. Λέγοντας λοιπόν, «ἔτσι καὶ τί εἶναι Θεὸς κανεὶς δὲ τὸ ξέρει παρὰ μόνο τὸ Πνεῦμα τοῦ Θεοῦ», ἀπέρριψε ἀπὸ τὴν ἀκριβὴ αὐτὴ γνώση ὄχι μόνο τοὺς ἀνθρώπους ἀλλὰ καὶ ὅλη τὴν οὐράνια κτίση.

Γι' αὐτὸ καὶ κάποιος σοφὸς λόγος συμβουλεύει· «μὴν ἐπιζητᾶς πιὸ δύσκολα πράγματα ἀπὸ σένα καὶ μὴν ἐξετάζεις πιὸ δυνατὰ ἀπὸ σένα· ἐκεῖνα γιὰ τὰ ὁποῖα ἔλαβες ἐντολή, αὐτὰ νὰ σκέπτεσαι, γιατὶ ὅσα διδάχθηκες εἶναι ἀνώτερα ἀπὸ τὴ διάνοια τῶν ἀνθρώπων»[14]. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· οὔτε αὐτὰ ποὺ ἔχεις μάθει τὰ ἔμαθες μόνος σου, οὔτε σοῦ ἦταν ἀρκε-

---

13. Α' Κορ. 2,11.
14. Σοφ. Σειρ. 3,21–23.

*ἔχεις ἅπαντα, οὐδὲ ἤρκεσέ σοι ἡ φύσις πρὸς τὴν τῶν ἁπάντων εἴδησιν, ἀλλ' ἄνωθεν τῶν πλειόνων ἔλαβες τὴν γνῶσιν· πολλῷ γὰρ μείζονα ἦν, ἢ ὥστε τῇ συνέσει καταληφθῆναι τῇ σῇ. Τί τοίνυν οἴκοθεν φιλονεικεῖς τὰ βαθύτερα ἐρευνᾶν, ὅταν καὶ αὐτῶν ὧν οἶδας πολλὰ ὑπερβαίνῃ σου τὴν φρόνησιν, καὶ ταῦτα ἑτέρωθεν ἔχῃς; Τοῦτο καὶ ὁ Παῦλος παραδηλῶν ἔλεγε· «τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;». Παῦσαι τοίνυν ὀψὲ γοῦν ποτε τῆς τοσαύτης φιλονεικίας, καὶ ἀνέχου τῆς σοφωτάτης συμβουλῆς ἐκείνης τῆς λεγούσης· «μὴ εἴπῃς, τί τοῦτο; Εἰς τί τοῦτο; Πάντα γὰρ εἰς χρείαν αὐτῶν ἔκτισται».*

*4. Διὰ γάρ τοι τοῦτο, ἐπειδὴ πᾶσα ἡ κτίσις ἐγένετο καὶ τὸν οἰκεῖον κόσμον ἀπέλαβε καὶ παναρμόνιον τοῦτο καὶ παράδοξον καὶ πολλῆς γέμον ἐκπλήξεως ἔργον εἰς μέσον προὔκειτο, ἔμελλον δὲ πολλοὶ τῶν ἀνοήτων καὶ μαινομένων ἐπιλαμβάνεσθαι τῶν γενομένων, ὅρα πῶς προαναστέλλων αὐτῶν τὴν ἄκαιρον κρίσιν καὶ μανιώδη ψῆφον, ἑνὶ ῥήματι πᾶσαν ἀναίσχυντον ἐνέφραξε γλῶσσαν ὁ νομοθέτης εἰπών· «εἶδεν ὁ Θεὸς πάντα, ὅσα ἐποίησε καὶ ἰδοὺ καλὰ λίαν». Ἐπειδὴ γὰρ ἐν τοῖς ὁρωμένοις ἦν οὐχὶ φῶς μόνον, ἀλλὰ καὶ σκότος· οὐ καρποὶ μόνον, ἀλλὰ καὶ ἄκανθαι· οὐ δένδρα ἥμερα, ἀλλὰ καὶ ἄγρια· οὐχ ὕπτια πεδία, ἀλλὰ καὶ ὄρη καὶ νάπαι καὶ φάραγγες· οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἑρπετὰ ἰοβόλα· οὐκ ἰχθύες μόνον, ἀλλὰ καὶ κήτη· οὐχ ἥμερα πελάγη, ἀλλὰ καὶ ἄπατος θάλασσα· οὐχ ἥλιος μόνον καὶ σελήνη καὶ ἄστρα, ἀλλὰ καὶ κεραυνοὶ καὶ πρηστῆρες· οὐκ ἄνεμοι μόνον προσηνεῖς, ἀλλὰ καὶ καταιγίδες· οὐ περιστεραὶ μόνον καὶ ὄρνιθες ᾠδικοί, ἀλλὰ καὶ ἰκτῖνοι καὶ κόρακες καὶ γῦπες καὶ ἕτερα ἀνθρωποφάγα ζῶα· οὐ πρόβατα καὶ βόες, ἀλλὰ καὶ λύκοι καὶ παρδάλεις καὶ λέοντες· οὐκ ἔλαφοι καὶ λαγῳοὶ καὶ δορκάδες, ἀλλὰ καὶ σκόρπιοι καὶ ἔχεις καὶ δράκοντες· καὶ ἐν βοτάναις*

---

15. Α' Κορ. 4,7.

τὴ ἡ φύση σου γιὰ νὰ τὰ μάθεις ὅλα, ἀλλὰ τὰ περισσότερα τὰ ἔμαθες ἀπὸ τὸ Θεό, γιατὶ ἦταν πολὺ μεγαλύτερα γιὰ νὰ τὰ καταλάβει ἡ δική σου διάνοια. Γιατί λοιπὸν ἀγωνίζεσαι ἀπὸ μόνος σοὺ νὰ ἐρευνᾶς τὰ βαθύτερα, ὅταν πολλὰ καὶ ἀπ' αὐτὰ ποὺ ξέρεις ὑπερβαίνουν τὴ δική σου φρόνηση καὶ μάλιστα τὰ ἔχεις αὐτὰ καὶ ἀπὸ ἀλλοῦ; Αὐτὸ καὶ ὁ Παῦλος ὑπονοώντας ἔλεγε· «τί ἔχεις ποὺ νὰ μὴν τὸ ἔλαβες; Καὶ ἂν τὸ ἔλαβες, γιατί καυχιέσαι σὰν νὰ μὴν τὸ ἔλαβες;»[15]. Σταμάτησε λοιπὸν ἔστω καὶ τώρα τὴν τόσο μεγάλη προσπάθεια καὶ παραδέξου τὴ σοφότατη ἐκείνη συμβουλὴ ποὺ λέγει· «μὴν πεῖς, τί εἶναι αὐτό; γιατί ἔγινε ἐκεῖνο; γιατὶ ὅλα δημιουργήθηκαν γιὰ ἕνα χρήσιμο σκοπό»[16].

4. Γι' αὐτὸ λοιπόν, ὅταν ἔγινε ὅλη ἡ κτίση καὶ ἔλαβε τὸ δικό της στολισμό, καὶ συντελέσθηκε αὐτὸ τὸ τέλειο καὶ παράδοξο καὶ πολὺ ἐκπληκτικὸ ἔργο καὶ ἐπρόκειτο πολλοὶ ἀνόητοι καὶ τρελλοὶ νὰ συζητοῦν ὅσα ἔγιναν, πρόσεχε πῶς ὁ νομοθέτης, συγκρατώντας ἀπὸ πρὶν τὴν ἄπρεπη κρίση καὶ τὴν ἀνόητη γνώμη, μ' ἕνα λόγο ἔκλεισε κάθε ἀναίσχυντο στόμα λέγοντας· «εἶδε ὁ Θεὸς ὅλα ὅσα δημιούργησε, καὶ πραγματικὰ ἦταν πολὺ καλά»[17]. Ἐπειδὴ δηλαδὴ ἀνάμεσα σ' αὐτὰ ποὺ βλέπουμε ἦταν ὄχι μόνο φῶς ἀλλὰ καὶ σκοτάδι, ὄχι μόνο καρποὶ ἀλλὰ καὶ ἀγκάθια, ὄχι δέντρα ἥμερα ἀλλὰ καὶ ἄγρια, ὄχι ὁμαλὲς πεδιάδες ἀλλὰ καὶ βουνὰ καὶ κοιλάδες καὶ φαράγγια, ὄχι μόνο ἄνθρωποι ἀλλὰ καὶ φαρμακερὰ ἑρπετά, ὄχι μόνο ψάρια ἀλλὰ καὶ κήτη, ὄχι ἥμερα πελάγη ἀλλὰ καὶ ἀδιαπέραστη θάλασσα, ὄχι μόνο ἥλιος καὶ σελήνη καὶ ἄστρα ἀλλὰ καὶ κεραυνοὶ καὶ θύελλες, ὄχι μόνο ἄνεμοι εὐνοϊκοὶ ἀλλὰ καὶ καταιγίδες, ὄχι μόνο περιστέρια καὶ ᾠδικὰ πουλιὰ ἀλλὰ καὶ γεράκια καὶ κοράκια καὶ γύπες καὶ ἄλλα ἀνθρωποφάγα ζῶα, ὄχι πρόβατα καὶ βόδια ἀλλὰ καὶ λύκοι καὶ λεοπαρδάλεις καὶ λεοντάρια, ὄχι ἐλάφια καὶ λαγοὶ καὶ ζαρκάδια ἀλλὰ καὶ σκορπιοὶ καὶ ὀχιὲς καὶ δράκοντες, καὶ ἀνάμεσα στὰ χόρτα πάλι ὄχι μόνο θεραπευτικὰ φυτὰ ἀλλὰ καὶ

16. Σοφ. Σειρ. 39,21.
17. Γεν. 1,31.

δὲ οὐχὶ σωτήρια μόνον φυτά, ἀλλὰ καὶ δηλητήρια καὶ πολλοὶ ἐντεῦθεν σκανδαλίζεσθαι ἔμελλον καὶ αἱρέσεις τίκτειν· μετὰ τὸ γενέσθαι τὰ γενόμενα καὶ τὸν οἰκεῖον ἕκαστον ἀπολαβεῖν κόσμον, καθ' ἕκαστον δείκνυσι τὸν δημιουργὸν ἐπαινοῦντα τὸ γεγενημένον, μᾶλλον δὲ καθ' ἕνα αὐτῶν καὶ κοινῇ πάντα, ἵνα τὴν ἐκείνου κρίσιν μαθών, κἂν σφόδρα τις ἰταμὸς καὶ ἀναίσχυντος ᾖ, μηδὲν περιεργάζηται λοιπὸν τῶν ὁρωμένων.

Διὰ τοῦτο εἰπών, ὅτι ἐγένετο φῶς, ἐπήγαγε, «καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν», καὶ καθέκαστον οὕτως. Εἶτα, ἵνα μὴ πάντα κατ' ὄνομα εἰπών, μηκύνῃ τὸν λόγον, ὁμοῦ περὶ πάντων ἀποφαίνεται ἀπαξαπλῶς καὶ πάλιν λέγει· «εἶδεν ὁ Θεὸς πάντα, ὅσα ἐποίησε καὶ ἰδοὺ καλὰ λίαν». Οὐκ ἐπειδὴ μετὰ τὸ γενέσθαι ἔγνω ὁ Θεὸς ὅτι καλὸν τὸ γενόμενον· ἄπαγε. Εἰ γὰρ τεχνίτης ἄνθρωπος καὶ πρὸ τοῦ γενέσθαι τὰ τῆς τέχνης μαθών, οἶδεν ὅτι καλὰ τὰ παρ' αὐτοῦ μέλλοντα γίνεσθαι, πολλῷ μᾶλλον ἡ ἄρρητος ἐκείνη σοφία βουλήματι μόνῳ τὰ πάντα παραγαγοῦσα καὶ πρὸ τῆς γεννήσεως ᾔδει ὅτι καλά. Οὐδὲ γὰρ ἂν αὐτὰ παρήγαγεν, εἰ ἠγνόει. Τίνος οὖν ἕνεκεν οὕτως εἴρηται; Διὰ τὴν αἰτίαν, ἣν εἶπον. Ἀκούσας τοίνυν τοῦ προφήτου πρὸς σὲ λέγοντος, ὅτι ὁ Θεὸς αὐτὰ εἶδε καὶ ἐπήνεσε, μὴ ζήτει λοιπὸν ἑτέραν βάσανον καὶ ἀπόδειξιν τοῦ κάλλους αὐτῶν, μηδὲ λέγε, πῶς καλά; Τῆς γὰρ διὰ τῶν ἔργων ἀποδείξεως σαφεστέρα ἡ διὰ τῆς ψήφου καὶ τῆς κρίσεως τοῦ ποιήσαντος ἀπόφασις. Διά τοι τοῦτο καὶ παχυτέρᾳ κέχρηται τῇ λέξει.

Ὥσπερ γὰρ εἴ τις φάρμακα βουλόμενος ὠνεῖσθαι, ἄπειρος ὤν, κελεύοι πρότερον ἐπιδείκνυσθαι τῷ ἰατρῷ ταῦτα κἂν μάθῃ σαφῶς, ὅτι ἰδὼν ἐκεῖνος ἐπήνεσεν, οὐδεμίαν ἑτέραν ἀπόδειξιν τῆς τούτων ἀρετῆς ἐπιζητεῖ, ἀλλ' ἀκούσας ὅτι εἶδεν αὐτὰ ὁ ἰατρὸς καὶ ἐπήνεσεν, ἀρκεῖται τῇ ψήφῳ τοῦ τεχνίτου, οὕτω δὴ καὶ

δηλητηριώδη, καὶ πολλοὶ ἐπρόκειτο νὰ σκανδαλίζονται ἀπὸ ἐδῶ καὶ νὰ δημιουργοῦν αἱρέσεις, ἀφοῦ τελείωσε ἡ δημιουργία καὶ τὸ καθένα ἔλαβε τὸ δικό του στολισμό, δείχνει τὸ δημιουργὸ νὰ ἐπαινεῖ τὸ κάθε δημιούργημα, ἢ καλύτερα καὶ τὸ καθένα ἀπ' αὐτὰ καὶ ὅλα μαζί, ὥστε, καὶ ἂν ἀκόμη κανεὶς εἶναι πάρα πολὺ τιποτένιος καὶ ἀδιάντροπος, ἀφοῦ μάθει τὴ γνώμη τοῦ Θεοῦ, νὰ μὴν πολυεξετάζει στὴ συνέχεια τίποτε ἀπ' αὐτὰ ποὺ βλέπει.

Γι' αὐτό, ἀφοῦ εἶπε ὅτι ἔγινε φῶς, πρόσθεσε· «καὶ εἶδε ὁ Θεὸς τὸ φῶς ὅτι ἦταν καλό»[18], καὶ γιὰ τὸ καθένα τὸ ἴδιο. Στὴ συνέχεια, γιὰ νὰ μὴ μακρύνει τὸ λόγο λέγοντας ὅλα μὲ τὸ ὄνομά τους, ἀποφαίνεται γιὰ ὅλα μαζὶ γενικὰ καὶ λέγει πάλι· «εἶδε ὁ Θεὸς ὅλα ὅσα δημιούργησε καὶ πραγματικὰ ἦταν πολὺ καλά». Ὄχι γιατὶ μετὰ τὴ δημιουργία γνώρισε ὁ Θεὸς ὅτι ἦταν καλὸ τὸ δημιούργημα, μακριὰ μιὰ τέτοια σκέψη. Γιατί, ἀφοῦ ὁ τεχνίτης ποὺ εἶναι ἄνθρωπος γνωρίζει τὴν τέχνη του καὶ πρὶν νὰ κάμει κάτι, καὶ ξέρει ὅτι εἶναι καλὰ ἐκεῖνα ποὺ πρόκειται νὰ κάνει, πολὺ περισσότερο ἡ ἀνέκφραστη ἐκείνη σοφία ποὺ δημιούργησε τὰ πάντα μόνο μὲ τὴ θέλησή της ἤξερε καὶ πρὶν ἀπὸ τὴ δημιουργία τους ὅτι ἦταν καλά. Γιατὶ δὲ θὰ τὰ δημιουργοῦσε αὐτά, ἂν δὲν τὰ γνώριζε. Γιὰ ποιὸ λοιπὸν λόγο εἶπε ἔτσι; Γιὰ τὴν αἰτία ποὺ εἶπα. Ἀφοῦ ἄκουσες λοιπὸν τὸν προφήτη ποὺ λέγει σὲ σένα, ὅτι ὁ Θεὸς τὰ εἶδε αὐτὰ καὶ τὰ ἐπαίνεσε, μὴ ζητᾶς πιὰ ἄλλη δοκιμασία καὶ ἀπόδειξη τῆς ὀμορφιᾶς τους, οὔτε νὰ λέγεις, πῶς εἶναι καλά; Γιατὶ ἀπὸ τὴν ἀπόδειξη ποὺ δίνουν τὰ ἔργα εἶναι σαφέστερη ἡ ἀπόφαση ποὺ γίνεται μὲ τὴ γνώμη καὶ τὴν κρίση τοῦ δημιουργοῦ. Γι' αὐτὸ ἀκριβῶς χρησιμοποιεῖ καὶ λέξη βαρύτερη.

Ὅπως δηλαδὴ κάποιος ποὺ θέλει ν' ἀγοράσει φάρμακα, ἐνῶ δὲν τὰ ξέρει, προτείνει νὰ τὰ δείξουν πρῶτα στὸν ἰατρό, καὶ ἂν μάθει καλὰ ὅτι αὐτὸς τὰ εἶδε καὶ τὰ ἐπιδοκίμασε, δὲ ζητάει καμιὰ ἄλλη ἀπόδειξη γιὰ τὴ χρησιμότητά τους, ἀλλὰ ἀφοῦ ἄκουσε ὅτι τὰ εἶδε ὁ ἰατρὸς καὶ τὰ ἐπιδοκίμασε, ἀρκεῖται

18. Γεν. 1.4.

*ὁ Μωϋσῆς πᾶσαν περιεργίαν ἀναίσχυντον περιελεῖν βουλόμενος τῶν μετὰ ταῦτα μελλόντων ἀπολαύειν τῆς κτίσεως, ἀπήγγελε καὶ εἶπεν, ὅτι εἶδεν αὐτὰ ὁ Θεὸς καὶ ἐπῄνεσε καὶ ἐψηφίσατο εἶναι καλά, καὶ οὐχ ἁπλῶς καλά, ἀλλὰ καὶ καλὰ λίαν. Μὴ τοίνυν περιεργάζου, μηδὲ πολυπραγμόνει λογισμοῖς τὰ γεγενημένα, τοιαύτην ἔχων τοῦ κάλλους αὐτῶν μαρτυρίαν. Εἰ γὰρ μὴ ἀρκεσθῇς τῷ ρήματι τούτῳ, ἀλλὰ βουληθῇς εἰς ζήτησιν τῶν γεγενημένων ἐλθεῖν, εἰς εὔριπον λογισμῶν καὶ κύματα πολὺν ἐργαζόμενα χειμῶνα σαυτὸν ἐμβαλὼν μόνον, εἴσῃ μὲν πλέον οὐδέν, ναυάγιον δὲ ἐργάσῃ σεαυτῷ χαλεπόν. Οὐδὲ γὰρ δυνήσῃ τοὺς λόγους ἅπαντας ἑκάστου τῶν γεγενημένων εὑρεῖν, ἀλλὰ καὶ τῶν δοκούντων εἶναί σοι νῦν καλῶν πολλὰ διαβαλεῖς, ἐὰν ἀγνώμονι κεχρημένος ᾖς τῇ γνώμῃ.*

*Οὕτω γὰρ ἀσθενὴς τῶν ἀνθρώπων ὁ λογισμός, ὡς εἰς ἐναντία περιαχθῆναι πολλάκις, καὶ ἐκ διαμέτρου κατὰ ἀλλήλων στῆναι πολλοὺς ἐν τῇ περὶ τῆς κτίσεως ψήφῳ. Ἑλλήνων μὲν γὰρ παῖδες ὑπὲρ τὸ δέον αὐτὴν θαυμάσαντες, τὸ μέτρον ὑπερεκβάντες καὶ Θεὸν εἶναι αὐτὴν ἐνόμισαν· Μανιχαῖοι δὲ καὶ ἕτεροι πάλιν αἱρετικοί, οἱ μὲν οὐκ ἀγαθοῦ Θεοῦ ἔργον ἔφησαν αὐτὴν εἶναι· οἱ δὲ ἓν αὐτῆς ἀποτεμόντες μέρος, αὐτομάτῳ τινὶ προσέρριψαν ὕλῃ, καὶ ἀναξίαν ἔκριναν τῆς τοῦ Θεοῦ δημιουργίας εἶναι. Οὕτως, ὥσπερ ἔφθην εἰπών, εἴ τις λογισμοῖς καὶ ἀγνώμονι χρήσαιτο γνώμῃ, καὶ τῶν δοκούντων εἶναι καλῶν πολλὰ διαβαλεῖ.*

*Τί γάρ σοι ὡραιότερον ἡλίου εἶναι δοκεῖ; Ἀλλ' ὅμως τοῦτο τὸ φαιδρὸν ἄστρον καὶ γλυκὺ καὶ ὀφθαλμοὺς λυμαίνεται ἀσθενοῦντας καὶ γῆν κατακαίει θερμοτέρας ἀφεὶς τὰς ἀκτῖνας καὶ πυρετοὺς τίκτει καὶ καρπὸν πολλάκις κατεξήρανε καὶ ἐποίησεν ἄχρηστον καὶ δένδρα ἄκαρπα εἰργάσατο καὶ μέρος τῆς οἰκουμέ-*

στὴ γνώμη τοῦ εἰδικοῦ, ἔτσι ἀκριβῶς καὶ ὁ Μωυσῆς θέλοντας νὰ ἀπομακρύνει κάθε ἀδιάντροπη περιέργεια ἐκείνων ποὺ πρόκειται ἀργότερα νὰ ἀπολαμβάνουν τὴν κτίση διηγήθηκε καὶ εἶπε, ὅτι ὁ Θεὸς τὰ εἶδε αὐτὰ καὶ τὰ ἐπαίνεσε καὶ διατύπωσε τὴ γνώμη ὅτι εἶναι καλά, καὶ ὄχι ἁπλῶς καλά, ἀλλὰ καὶ πολὺ καλά. Μὴ λοιπὸν πολυεξετάζεις καὶ μὴν περιεργάζεσαι μὲ λογισμοὺς τὰ δημιουργημένα, ἀφοῦ ἔχεις τέτοια μαρτυρία γιὰ τὴν ὀμορφιά τους. Γιατὶ ἂν δὲν ἀρκεσθεῖς στὸ λόγο αὐτόν, ἀλλὰ θελήσεις νὰ ἐξετάσεις τὰ δημιουργήματα, ρίχνοντας τὸν ἑαυτό σου μόνο σὲ παλίρροια λογισμῶν καὶ σὲ κύματα ποὺ προκαλοῦν μεγάλη τρικυμία, δὲ θὰ γνωρίσεις βέβαια τίποτε περισσότερο, ἀλλὰ θὰ προκαλέσεις στὸν ἑαυτό σου ναυάγιο φοβερό. Οὔτε ἀσφαλῶς θὰ μπορέσεις νὰ βρεῖς ὅλες τὶς αἰτίες γιὰ τὸ καθένα ἀπ' αὐτὰ ποὺ ἔγιναν, ἀλλὰ καὶ ἀπ' αὐτὰ ποὺ σοῦ φαίνονται τώρα πὼς εἶναι καλὰ πολλὰ θὰ κατηγορήσεις, ἂν χρησιμοποιήσεις γνώμη ἀχάριστη.

Γιατὶ ὁ λογισμὸς τῶν ἀνθρώπων εἶναι τόσο ἀδύνατος, ὥστε νὰ περιέρχεται στὰ ἀντίθετα πολλὲς φορὲς καὶ νὰ κάνει πολλοὺς νὰ στέκονται ἀντίθετοι μεταξύ τους στὴ γνώμη τους γιὰ τὴν κτίση. Γιατὶ οἱ Ἕλληνες ποὺ τὴ θαύμασαν περισσότερο ἀπ' ὅσο ἔπρεπε ξεπέρασαν τὸ μέτρο καὶ τὴ νόμισαν πὼς εἶναι θεός. Οἱ Μανιχαῖοι ὅμως καὶ ἄλλοι πάλι αἱρετικοί, ἄλλοι εἶπαν ὅτι αὐτὴ εἶναι ἔργο ὄχι ἀγαθοῦ θεοῦ, ἄλλοι ξεχωρίζοντας ἕνα μέρος της τὴν ἀπέδωσαν σὲ κάποια αὐτόματη ὕλη καὶ θεώρησαν πὼς εἶναι ἀνάξια τῆς δημιουργίας τοῦ Θεοῦ. Ἔτσι, ὅπως εἶπα προηγουμένως, ἂν κάποιος χρησιμοποιήσει λογισμοὺς καὶ γνώμη ἀχάριστη, θὰ κατηγορήσει πολλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ φαίνονται πὼς εἶναι καλά.

Γιατὶ τί σοῦ φαίνεται πὼς εἶναι ὡραιότερο ἀπὸ τὸν ἥλιο; Ἀλλ' ὅμως αὐτὸ τὸ λαμπρὸ καὶ γλυκὸ ἄστρο καὶ μάτια ἀδύνατα καταστρέφει καὶ τὴ γῆ κατακαίει ὅταν ἐκπέμπει θερμότερες τὶς ἀκτίνες του καὶ πυρετοὺς προξενεῖ καὶ καρπὸ πολλὲς φορὲς καταξήρανε καὶ τὸν ἔκαμε ἄχρηστο καὶ δέντρα ἔκαμε ἄκαρπα καὶ

*νης ἀοίκητον κατέστησεν ἡμῖν. Τί οὖν, εἰπέ μοι; Διαβαλοῦμεν τὸν ἥλιον διὰ τοῦτο; Ἄπαγε· ἀλλὰ τοὺς λογισμοὺς ἡσυχάζειν ἀφέντες καὶ τὸν τούτων θόρυβον, ἐπιληψώμεθα τῆς πέτρας ἐκείνης, καὶ τῆς ρήσεως τῆς λεγούσης, «καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε καὶ ἰδοὺ καλὰ λίαν»· ἐπεὶ καὶ αὐτά, ἃ ἀπηριθμησάμην νῦν, καλὰ λίαν καὶ χρηστά. Ἀλλ', ὅπερ ἔμπροσθεν εἶπον, ἐπὶ τὴν ρῆσιν ἐκείνην ἐπανιέναι χρὴ διαπαντὸς καὶ λέγειν, ἰδοὺ πάντα, ὅσα ἐποίησεν ὁ Θεός, καλὰ λίαν. Ἀλλὰ τὸ τρυφᾶν καὶ γελᾶν καὶ ἐν ἡδονῇ εἶναι, καλόν; Οὐκοῦν ἄκουε Σολομῶντος, τοῦ πᾶν εἶδος τρυφῆς ἐπελθόντος, λέγοντος, «ἀγαθὸν πορευθῆναι εἰς οἶκον πότου».*

*Ἀλλὰ νὺξ φαῦλον; (Δεῖ γὰρ ἐκ τῶν ἐναντίων μεταχειρίσασθαι τὸν λόγον). Ἀλλὰ καὶ αὕτη πόνων ἀνάπαυσις, φροντίδων ἀπαλλαγή, νοσημάτων παραμυθία, φόβων καὶ κινδύνων οὐ μικρὰ ἀναψυχή· νεαρὸν ποιεῖ τὸ σῶμα, ἀκμάζουσαν τὴν διάνοιαν, ἀναπαύει τὴν σάρκα πεπονηκυῖαν. Ἀλλὰ νόσος κακόν; Πόθεν οὖν ὁ Λάζαρος ἐστεφανώθη; Ἀλλὰ πενία; Καὶ πόθεν ὁ Ἰὼβ εὐδοκίμησεν; Ἀλλὰ θλίψεις ἐπάλληλοι καὶ συνεχεῖς; Καὶ πόθεν οἱ Ἀπόστολοι ἀνεκηρύχθησαν; Ποία δὲ ὁδὸς ἡ εἰς τὴν ζωὴν ἄγουσα; οὐχ ἡ στενὴ καὶ τεθλιμμένη; Μὴ τοίνυν λέγε, διὰ τί τοῦτο; εἰς τί τοῦτο; Ἀλλὰ καὶ ἐπὶ τῶν οἰκονομιῶν καὶ ἐπὶ τῶν κτισμάτων τοῦ Θεοῦ, ἣν παρέχει σιγὴν ὁ πηλὸς τῷ κεραμεῖ, ταύτην καὶ αὐτὸς τῷ ποιήσαντί σε Θεῷ πάρεχε, ἄνθρωπε.*

5. *Τί οὖν; φησίν· οὐ βούλει με εἰδέναι σαφῶς καὶ πιστεύειν ὅτι προνοεῖ πάντων ὁ Θεός; Καὶ μάλα καὶ βούλομαι καὶ εὔχομαι καὶ ἐπιθυμῶ σφόδρα· οὐ μὴν περιεργάζεσθαι τὴν πρόνοιαν, οὐδὲ πολυπραγμονεῖν. Εἰ μὲν γὰρ οἶσθα καὶ πέπεικας σεαυτόν, μὴ ζήτει· εἰ δὲ ἀμφιβάλλεις, ἐρώτησον τὴν γῆν, τὸν οὐρανόν, τὸν*

ἕνα μέρος τῆς γῆς μᾶς τὸ κατέστησε ἀκατοίκητο. Τί λοιπὸν, πές μου; Θὰ κατηγορήσουμε τὸν ἥλιο γι' αὐτό; Μακριὰ μιὰ τέτοια σκέψη· ἀλλὰ ἀφήνοντας τοὺς λογισμοὺς καὶ τὴν ταραχή τους νὰ ἡσυχάζουν, ἂς κρατηθοῦμε ἀπὸ τὴν πέτρα ἐκείνη καὶ τὸ ρητὸ ποὺ λέγει, «καὶ εἶδε ὁ Θεὸς ὅλα ὅσα ἔκαμε καὶ πραγματικὰ ἦταν πολὺ καλά», ἐπειδὴ καὶ αὐτὰ ποὺ ἀπαρίθμησα τώρα εἶναι πολὺ καλὰ καὶ χρήσιμα. Ἀλλά, πράγμα ποὺ εἶπα πιὸ μπροστά, πρέπει νὰ ἐπανερχόμαστε διαρκῶς στὸ ρητὸ ἐκεῖνο καὶ νὰ λέμε, 'πραγματικὰ ὅλα ὅσα ἔκαμε ὁ Θεὸς εἶναι πολὺ καλά'. Ἀλλὰ τὸ νὰ ζεῖς μὲ ἀπολαύσεις καὶ νὰ γελᾶς καὶ τὸ νὰ ζεῖς στὴν ἡδονὴ εἶναι καλό; Ἄκου λοιπὸν τὸ Σολομῶντα ποὺ δοκίμασε κάθε εἶδος ἀπόλαυσης νὰ λέγει· «καλὸ εἶναι νὰ ἐπισκεφθεῖ κανεὶς σπίτι ὅπου ὑπάρχει πένθος παρὰ νὰ πάει σὲ σπίτι ὅπου παρατίθεται συμπόσιο»[19].

Μήπως ἡ νύχτα εἶναι κάτι κακό; –Γιατὶ πρέπει νὰ μεταχειρισθοῦμε τὸ λόγο ἀπὸ τὰ ἀντίθετα. Ἀλλὰ καὶ αὐτὴ εἶναι ἀνάπαυση ἀπὸ τοὺς κόπους, ἀπαλλαγὴ ἀπὸ τὶς φροντίδες, παρηγοριὰ γιὰ τὶς ἀρρώστιες, μεγάλη ἀνακούφιση ἀπὸ τοὺς φόβους καὶ τοὺς κινδύνους· ξανανιώνει τὸ σῶμα, δυναμώνει τὴ σκέψη, ξεκουράζει τὴν κουρασμένη σάρκα. Μήπως ἡ ἀρρώστια εἶναι κακό; Ἀπὸ ποῦ λοιπὸν στεφανώθηκε ὁ Λάζαρος; Μήπως ἡ φτώχεια; Καὶ ἀπὸ ποῦ εὐδοκίμησε ὁ Ἰώβ; Μήπως οἱ ἀλλεπάλληλες καὶ ἀδιάκοπες θλίψεις; Καὶ ἀπὸ ποῦ ἀνακηρύχθηκαν νικητὲς οἱ Ἀπόστολοι; Καὶ ποιὸς εἶναι ὁ δρόμος ποὺ ὁδηγεῖ στὴ ζωή; Δὲν εἶναι ὁ στενὸς καὶ ὁ θλιμένος; Νὰ μὴ λέγεις λοιπόν, γιατί αὐτό; γιὰ ποιὸ σκοπὸ τὸ ἄλλο; Ἀλλὰ καὶ γιὰ τὶς οἰκονομίες καὶ γιὰ τὰ ἔργα τοῦ Θεοῦ νὰ σιωπᾶς καὶ σύ, ἄνθρωπε, μπροστὰ στὸ δημιουργό σου Θεό, ὅπως σιωπᾶ ὁ πηλὸς μπροστὰ στὸν ἀγγειοπλάστη.

5. Τί λοιπόν; θὰ πεῖ κάποιος. Δὲ θέλεις νὰ γνωρίζω καλὰ καὶ νὰ πιστεύω ὅτι ὁ Θεὸς προνοεῖ γιὰ ὅλα; Καὶ βέβαια καὶ θέλω καὶ εὔχομαι πολὺ καὶ ἐπιθυμῶ πάρα πολύ, ἀλλ' ὅμως νὰ μὴν περιεργάζεσαι τὴν πρόνοια, οὔτε νὰ τὴν πολυεξετάζεις. Γιατί, ἂν

19. Ἐκκλ. 7,2.

*ἥλιον, τὴν σελήνην, ἐρώτησον τὰ ποικίλα τῶν ἀλόγων γένη, τὰ σπέρματα, τὰ φυτά, τοὺς ἀφώνους ἰχθύας, τὰς πέτρας, τὰ ὄρη, τὰς νάπας, τοὺς βουνούς, τὴν νύκτα, τὴν ἡμέραν. Τοῦ γὰρ ἡλίου καὶ τῆς ἀκτῖνος αὐτῆς φανερωτέρα ἡ τοῦ Θεοῦ πρόνοια καὶ καθν ἕκαστον καιρόν, καὶ καθ' ἕκαστον τόπον καὶ ἐν ἐρημίᾳ καὶ ἐν οἰκουμένῃ καὶ ἐν ἀοικήτῳ καὶ ἐν γῇ καὶ ἐν θαλάσσῃ καὶ ὅπουπερ ἂν ἀφίκῃ, ὑπομνήματα ὄψει τῆς προνοίας ταύτης σαφῆ καὶ διαρκῆ καὶ παλαιὰ καὶ νέα καὶ φωνὰς τῆς φωνῆς ἡμῶν ταύτης τῆς λογικῆς τρανοτέρας πανταχόθεν φερομένας καὶ τὸν βουλόμενον ἀκούειν παιδευούσας αὐτοῦ τὴν κηδεμονίαν. Διὰ τοῦτο καὶ ὁ προφήτης τῶν φωνῶν τούτων τὸ ἐξαίρετον δηλῶν ἔλεγεν· «οὔκ εἰσι λαλιαί, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν». Ἡ μὲν γὰρ ἡμετέρα τοῖς ὁμοφώνοις ἐστὶ γνώριμος μόνον, ἑτερογλώσσοις δὲ οὐκέτι· ἡ δὲ διὰ τῆς κτίσεως φωνὴ πᾶσι τοῖς ἔθνεσι τοῖς κατὰ τὴν οἰκουμένην ἐστὶν ἀκουστή.*

*6. Τοῖς μὲν οὖν εὐγνώμοσιν ἀρκεῖ καὶ πρὸ τῆς διὰ τῶν ἔργων ἀποδείξεως ἡ ἀπόφασις αὐτὴ μόνη τοῦ Θεοῦ, οὐχὶ τὴν πρόνοιαν αὐτοῦ δεῖξαι μόνον, ἀλλὰ καὶ τὸν σφοδρὸν ἔρωτα τὸν περὶ ἡμᾶς. Οὐ γὰρ ἁπλῶς ἡμῶν προνοεῖ, ἀλλὰ καὶ ἐρῶν καὶ σφόδρα ἐρῶν ἔρωτά τινα ἀμήχανον, ἔρωτα ἀπαθῆ μέν, θερμότατον δὲ καὶ εὐτονώτατον καὶ γνήσιον καὶ ἀκατάλυτον καὶ σβεσθῆναι μὴ δυνάμενον. Καὶ τοῦτο παραστῆναι βουλομένη ἡ θεία Γραφή, παράγει μὲν εἰκόνας τὰς ἐν ἀνθρώποις, παράγει δὲ καὶ πολλὰ ἔρωτος ὑποδείγματα καὶ προνοίας καὶ κηδεμονίας. Οὐ μὴν μέχρι τούτων ἡμᾶς μόνον βούλεται ἑστάναι, ἀλλὰ καὶ ὑπερβαίνειν τὰ παραδείγματα τῷ λογισμῷ. Οὐδὲ γὰρ ὡς ἀρκοῦντα δεῖξαι τὸ φίλτρον παράγει ταῦτα, ἀλλ' ὡς γνώριμα τοῖς ἀκούουσι καὶ τῶν ἄλλων μᾶλλον δυνάμενα δεῖξαι τοῦτο.*

*Οἷόν τι λέγω· πρός τινας ὀδυρομένους καὶ πενθοῦντάς*

τὸ γνωρίζεις καὶ ἔχεις πεισθεῖ, μὴν ἐρευνᾶς· ἂν ὅμως ἀμφιβάλλεις, ἐρώτησε τὴ γῆ, τὸν οὐρανό, τὸν ἥλιο, τὴ σελήνη, ἐρώτησε τὰ διάφορα γένη τῶν ζώων, τὰ σπέρματα, τὰ φυτά, τὰ ἄφωνα ψάρια, τὶς πέτρες, τὰ ὄρη, τὶς κοιλάδες, τὰ βουνά, τὴ νύχτα, τὴν ἡμέρα. Γιατὶ ἡ πρόνοια τοῦ Θεοῦ εἶναι πιὸ φανερὴ ἀπὸ τὸν ἥλιο καὶ ἀπὸ τὴν ἴδια τὴν ἀκτίνα καὶ σὲ κάθε περίσταση καὶ κάθε τόπο καὶ στὴν ἔρημο καὶ σὲ κατοικούμενο τόπο καὶ σὲ ἀκατοίκητο καὶ στὴ γῆ καὶ στὴ θάλασσα καὶ ὅπου ἂν φθάσεις, θὰ δεῖς σημάδια αὐτῆς τῆς προνοίας καθαρὰ καὶ διαρκὴ καὶ παλαιὰ καὶ νέα, καὶ φωνὲς νὰ ἔρχονται ἀπὸ παντοῦ πιὸ δυνατὲς ἀπὸ τὴ φωνή μας αὐτὴ τὴ λογικὴ καὶ νὰ διδάσκουν ὅποιον θέλει ν' ἀκούει τὴ φροντίδα του. Γι' αὐτὸ καὶ ὁ προφήτης γιὰ νὰ φανερώσει τὴ μεγάλη σημασία τῶν φωνῶν αὐτῶν ἔλεγε· «δὲν εἶναι λαλιές, οὔτε λόγοι ποὺ νὰ μὴν ἀκούονται οἱ φωνές τους»[20]. Γιατὶ ἡ δική μας φωνὴ εἶναι γνώριμη μόνο σ' ἐκείνους ποὺ μιλοῦν τὴν ἴδια γλώσσα ἐνῶ στοὺς ξενόγλωσσους δὲν εἶναι· ἡ φωνὴ ὅμως ποὺ βγαίνει μέσα ἀπὸ τὴν κτίση μπορεῖ νὰ γίνει κατανοητὴ ἀπ' ὅλα τὰ ἔθνη ποὺ κατοικοῦν στὴν οἰκουμένη.

6. Στοὺς εὐγνώμονες λοιπὸν εἶναι ἀρκετὴ καὶ πρὶν ἀπὸ τὴν ἀπόδειξη μὲ τὰ ἔργα αὐτὴ μόνο ἡ ἀπόφαση τοῦ Θεοῦ, γιὰ νὰ δείξει ὄχι μόνο τὴν πρόνοιά του ἀλλὰ καὶ τὴ σφοδρή του ἀγάπη γιὰ μᾶς. Γιατὶ δὲν προνοεῖ ἁπλῶς γιὰ μᾶς, ἀλλὰ καὶ μὲ ἀγάπη, καὶ μάλιστα μὲ μιὰ ἀγάπη ὑπερβολικὰ ἄπειρη, μιὰ ἀγάπη χωρὶς πάθος ἀλλὰ πάρα πολὺ θερμὴ καὶ δυνατή, γνήσια καὶ ἀκατάλυτη, καὶ ποὺ δὲν μπορεῖ νὰ σβήσει. Καὶ αὐτὸ θέλοντας νὰ παραστήσει ἡ θεία Γραφὴ παρουσιάζει βέβαια εἰκόνες ἀνθρώπινες, ἀλλὰ παρουσιάζει καὶ πολλὰ παραδείγματα ἀγάπης καὶ προνοίας καὶ φροντίδας. Ὅμως δὲ θέλει νὰ σταματοῦμε μόνο σ' αὐτά, ἀλλὰ καὶ νὰ ξεπερνοῦμε τὰ παραδείγματα μὲ τὴ σκέψη μας. Γιατὶ δὲν τὰ παρουσιάζει αὐτὰ σὰν ἀρκετὰ γιὰ νὰ δείξουν τὴν ἀγάπη τοῦ Θεοῦ, ἀλλὰ σὰν γνώρισμα σ' ἐκείνους ποὺ τὰ ἀκοῦν καὶ ἱκανὰ νὰ τὸ δείξουν αὐτὸ περισσότερο ἀπὸ τὰ ἄλλα.

Γιὰ παράδειγμα λέγω· σὲ κάποιους ποὺ ὀδύρονταν καὶ

20. Ψαλμ. 18,4.

ποτε καὶ λέγοντας «ἐγκατέλιπέ με Κύριος καὶ ἐπελάθετό μου ὁ Θεὸς τοῦ Ἰσραήλ», τηνικαῦτα ἐπάγει λέγων ὁ προφήτης· «μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς;»· τοῦτο λέγων, ὅτι, ὥσπερ ἐκείνη οὐκ ἂν ἐπιλάθοιτο τῶν παιδίων τῶν ἑαυτῆς, οὕτως οὐδὲ ὁ Θεὸς τοῦ γένους τῶν ἀνθρώπων. Εἶτα, ἵνα μάθῃς ὅτι τὴν εἰκόνα ταύτην παρήγαγεν ὁ προφήτης, οὐχὶ τοσοῦτον βουλόμενος δεῖξαι τὸ μέτρον τῆς ἀγάπης τοῦ Θεοῦ, ὅση μητρός ἐστι περὶ τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ' ἐπειδὴ τοῦτο μᾶλλον τῶν ἄλλων ἐξαίρετον μέτρον ἀγάπης γνώριμον εἶχε (τὸ μέντοι φίλτρον τοῦ Θεοῦ πολλῷ μεῖζον ἐκείνου), ἐπήγαγεν· «εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος». Εἶδες πῶς ὑπερέβη τῆς μητρὸς τὸ μέτρον; Καὶ ἵνα μάθῃς ὅτι ἐκ πολλοῦ τοῦ περιόντος ὑπερέβη καὶ μητρὸς φιλοστοργίαν, καὶ πατρὸς περὶ παῖδας πόθον, ὁ μὲν προφήτης φησί· «καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν». Καὶ αὐτὸς δὲ πάλιν ταύτην εἰσάγει τὴν εἰκόνα τῆς ἀγάπης· ᾔδει γὰρ ταύτην τῶν ἄλλων ἔχουσάν τι ἐξαίρετον.

Ὁ δὲ καὶ προφητῶν καὶ πάντων Δεσπότης δηλῶν, ὅτι καὶ ταύτης τὸ μέτρον ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνει τοῦ Θεοῦ ἡ κηδεμονία καὶ ὅσον τοῦ φωτὸς τὸ μέσον ἐστὶ πρὸς σκότος καὶ πονηρίας πρὸς ἀγαθότητα, τοσοῦτον τὸ μέτρον τῆς τοῦ Θεοῦ χρηστότητος καὶ προνοίας πρὸς τὴν πατρικὴν φιλοστοργίαν, ἄκουε τί φησι· «τίς ἐστιν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πολλῷ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν»· δεικνὺς ὅτι ὅσον πονηρίας καὶ ἀγαθότητος τὸ μέσον, τοσοῦτον ἡ τοῦ Θεοῦ ἀγαθότης τῆς τῶν πατέρων κηδεμονίας ἐστὶν ἀνωτέρα.

21. Ἡσ. 49,14–15. 22. Ψαλμ. 102,13. 23. Ματθ. 7,9–11.

πενθοῦσαν κάποτε καὶ ἔλεγαν, «ὁ Κύριος μ' ἐγκατέλειψε καὶ ὁ Θεὸς τοῦ Ἰσραὴλ μὲ ξέχασε», ὁ προφήτης προσθέτει τότε λέγοντας, «μήπως θὰ ξεχάσει γυναίκα τὸ παιδί της ἢ δὲ θὰ σπλαχνισθεῖ τοὺς καρποὺς τῶν σπλάχνων της;»[21] ἐννοώντας αὐτό, ὅτι δηλαδή, ὅπως ἀκριβῶς ἐκείνη δὲ θὰ ξεχνοῦσε τὰ παιδιά της, ἔτσι οὔτε ὁ Θεὸς τὸ γένος τῶν ἀνθρώπων. Ἔπειτα γιὰ νὰ μάθεις ὅτι ὁ προφήτης παρουσίασε τὴν εἰκόνα αὐτή, ὄχι τόσο γιατὶ ἤθελε νὰ δείξει τὸ μέτρο τῆς ἀγάπης τοῦ Θεοῦ, ὅση εἶναι τῆς μητέρας γιὰ τοὺς καρποὺς τῶν σπλάχνων της, ἀλλὰ ἐπειδὴ αὐτὸ τὸ ἐξαιρετικὸ μέτρο τῆς ἀγάπης τὸ εἶχε περισσότερο γνωστὸ ἀπὸ τὰ ἄλλα –γιατὶ βέβαια ἡ ἀγάπη τοῦ Θεοῦ εἶναι πολὺ μεγαλύτερη ἀπὸ τὴν ἀγάπη ἐκείνη–, πρόσθεσε· «ἀλλὰ καὶ ἂν αὐτὰ τὰ ξεχνοῦσε μία γυναίκα, ἐγὼ ὅμως δὲ θὰ σὲ ξεχάσω, λέγει ὁ Κύριος». Εἶδες πῶς ξεπέρασε τὸ μέτρο τῆς μητέρας; Καὶ γιὰ νὰ μάθεις ὅτι κατὰ πολὺ ξεπέρασε καὶ τὴ φιλοστοργία τῆς μητέρας καὶ τὸν πόθο τοῦ πατέρα γιὰ τὰ παιδιά του, ὁ προφήτης λέγει· «ὅπως σπλαχνίζεται ὁ πατέρας τὰ παιδιά του, σπλαχνίστηκε ὁ Κύριος ἐκείνους ποὺ τὸν φοβοῦνται»[22]. Καὶ ὁ ἴδιος ὅμως πάλι παρουσιάζει αὐτὴ τὴν εἰκόνα τῆς ἀγάπης, γιατὶ γνωρίζει πὼς αὐτὴ ἔχει κάτι ἐξαιρετικὸ ἀπὸ τὶς ἄλλες.

Ἐξάλλου καὶ ὁ Κύριος τῶν προφητῶν καὶ ὅλων γιὰ νὰ δηλώσει ὅτι ἡ φροντίδα τοῦ Θεοῦ ξεπερνάει κατὰ πολὺ τὸ μέτρο τῆς ἀγάπης τοῦ πατέρα, καὶ ὅτι ὅση εἶναι ἡ διαφορὰ ἀνάμεσα στὸ φῶς καὶ τὸ σκοτάδι καὶ στὴν πονηρία καὶ τὴν ἀγαθότητα, τόση εἶναι καὶ ἡ διαφορὰ τῆς καλωσύνης καὶ τῆς πρόνοιας τοῦ Θεοῦ ἀπὸ τὴν πατρικὴ φιλοστοργία, ἄκου τί λέγει· «ποιός εἶναι ἀπὸ σᾶς ποὺ ὅταν τὸ παιδί του ζητήσει ψωμὶ θὰ τοῦ δώσει πέτρα; ἢ ἂν τοῦ ζητήσει ψάρι, θὰ τοῦ δώσει φίδι; Ἂν λοιπὸν ἐσεῖς ποὺ εἶστε κακοὶ ξέρετε νὰ δίνετε ὠφέλιμα πράγματα στὰ παιδιά σας, πολὺ περισσότερο ὁ Πατέρας σας ὁ οὐράνιος θὰ δώσει ἀγαθὰ πράγματα σ' ἐκείνους ποὺ τοῦ ζητοῦν»[23]. Μὲ τὸν τρόπο αὐτὸν δείχνει ὅτι, ὅση εἶναι ἡ διαφορὰ τῆς πονηρίας ἀπὸ τὴν ἀγαθότητα, τόσο ἀνώτερη εἶναι ἡ ἀγαθότητα τοῦ Θεοῦ ἀπὸ τὴ φροντίδα τῶν πατέρων.

Ταῦτα δὲ εἶπον τὰ ὑποδείγματα, ἵν', ὅταν ἑτέρας ἐπαγάγω φίλτρου εἰκόνας, μὴ μέχρι τοῦ μέτρου τοῦ λεγομένου παρὰ τῶν προφητῶν στήσῃς τὴν διάνοιαν, ἀλλ' ἔχων τὸν κανόνα τοῦτον ὑπερβῇς τῷ λογισμῷ περαιτέρω καὶ ἴδῃς τῆς ἀγάπης αὐτοῦ τὴν ἄφατον ὑπερβολήν. Οὐδὲ γὰρ ἀρκεῖται τοῖς τῆς φύσεως μέτροις, ἀλλ' ἀφεὶς αὐτὰ καὶ ὑπερακοντίσας καὶ ἕτερα πάλιν προστίθησιν ὑποδείγματα. Τοιοῦτον γὰρ ὁ φιλῶν· διὰ πλειόνων βούλεται δεικνύναι τοῦτο τῷ φιλουμένῳ· ὃ δὴ καὶ αὐτὸς ποιεῖ εἰς τοπικῶν διαστημάτων μέγεθος ἐξάγων τὸν λόγον, οὐχ ἵνα πάλιν τοσοῦτον αὐτοῦ νομίσῃς τὸ φίλτρον, ἀλλ' ἐπειδὴ τοῦτο μόνον τὸ μέτρον τῶν διαστημάτων τῶν ἄλλων ἐξαίρετον καὶ γνώριμον ἦν τοῖς ἀκούουσι. Καὶ διὰ μὲν τοῦ Δαβίδ φησι· «κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν»· καί, «καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν»· διὰ τοῦ Ἠσαΐα δέ· «οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὡς αἱ βουλαὶ ὑμῶν, οὐδὲ αἱ ὁδοί μου, ὡς αἱ ὁδοὶ ὑμῶν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχουσιν αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοήματά μου ἀπὸ τῶν διανοημάτων ὑμῶν». Ταῦτα δὲ ἔλεγεν, ἀνωτέρω περὶ ἀφέσεως ἁμαρτημάτων διαλεχθείς, καὶ εἰπών, «ὅτι ἐπὶ πολὺ ἀφήσω τὰς ἀνομίας ὑμῶν». Εἶτα δεικνὺς πόσον, ἐπήγαγε τοῦτο τὸ ὑπόδειγμα.

Καὶ οὐδὲ τούτοις ἀρκεῖται μόνοις, ἀλλ' εἰς ἑτέραν παχυτέραν καταφέρει τὸν λόγον εἰκόνα. Ἐν γὰρ τῷ Ὠσηὲ ἔλεγε· «τί σοι ποιήσω, Ἐφραΐμ; τί σοι ποιήσω Ἰούδα; Ὡς ἀδάμα θήσομαί σε, καὶ ὡς Σεβοείμ. Μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ· συνεταράχθη ἡ μεταμέλειά μου». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδὲ

24. Ψαλμ. 102,11.
25. Ψαλμ. 102,12.
26. Ἠσ. 55,8–9.

Τὰ παραδείγματα ὅμως αὐτὰ τὰ εἶπα, ὥστε, ὅταν παρουσιάσω καὶ ἄλλες εἰκόνες ἀγάπης, νὰ μὴ σταματήσεις τὴ σκέψη σου μέχρι τὸ μέτρο ποὺ λέγουν οἱ προφῆτες, ἀλλά, ἔχοντας τὸν κανόνα αὐτόν, νὰ ξεπεράσεις μὲ τὸ λογισμό σου παραπέρα καὶ νὰ δεῖς τὴν ἀνείπωτη ὑπερβολική του ἀγάπη. Γιατὶ δὲν ἀρκεῖται στὰ μέτρα τῆς φύσης, ἀλλά, ἀφοῦ τὰ ἄφησε αὐτὰ καὶ τὰ ξεπέρασε, προσθέτει πάλι καὶ ἄλλα παραδείγματα. Γιατὶ τέτοιος εἶναι ἐκεῖνος ποὺ ἀγαπάει· θέλει νὰ τὸ δείχνει αὐτὸ σ' ὅποιον ἀγαπάει μὲ πιὸ πολλά· αὐτὸ ἀκριβῶς κάνει καὶ ὁ Θεὸς μιλώντας γιὰ μεγάλες τοπικὲς ἀποστάσεις, ὄχι πάλι γιὰ νὰ νομίσεις πόσο μεγάλη εἶναι ἡ ἀγάπη του, ἀλλὰ ἐπειδὴ αὐτὸ μόνο τὸ μέτρο τῶν ἀποστάσεων ἦταν ἐξαιρετικὸ καὶ γνωστὸ σ' ἐκείνους ποὺ τὸν ἄκουαν. Καὶ μὲ τὸ Δαβὶδ λέγει, «ὅσο εἶναι τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τὴ γῆ τόσο ἀμέτρητο εἶναι τὸ ἔλεος τοῦ Κυρίου πρὸς ἐκείνους ποὺ τὸν φοβοῦνται»[24], καὶ «ὅσο ἀπέχει ἡ ἀνατολὴ ἀπὸ τὴ δύση, τόσο ἀπομάκρυνε ἀπὸ μᾶς τὶς ἁμαρτίες μας»[25]. Καὶ μὲ τὸν Ἠσαΐα λέγει· «γιατὶ οἱ ἀποφάσεις μου δὲν εἶναι σὰν τὶς δικές σας ἀποφάσεις οὔτε οἱ δρόμοι μου σὰν τοὺς δικούς σας δρόμους, ἀλλ' ὅσο ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴ γῆ τόσο ἀπέχουν οἱ δρόμοι μου ἀπὸ τοὺς δρόμους σας καὶ οἱ σκέψεις μου ἀπὸ τὶς σκέψεις σας»[26]. Καὶ τὰ ἔλεγε αὐτὰ ἀφοῦ προηγουμένως μίλησε γιὰ τὴν ἄφεση τῶν ἁμαρτημάτων καὶ εἶπε· «γιατὶ σὲ μεγάλη ἔκταση θὰ συγχωρήσω τὶς ἁμαρτίες σας»[27]. Ἔπειτα γιὰ νὰ δείξει σὲ πόση ἔκταση πρόσθεσε αὐτὸ τὸ παράδειγμα.

Καὶ δὲν ἀρκεῖται μόνο σ' αὐτά, ἀλλὰ ὁδηγεῖ τὸ λόγο σ' ἄλλη βαρύτερη εἰκόνα. Στὸν Ὠσηὲ λοιπὸν ἔλεγε· «τί νὰ σοῦ κάμω Ἐφραΐμ; τί νὰ σοῦ κάμω Ἰούδα; Θὰ σὲ φέρω στὴν κατάσταση τῶν πόλεων Ἀδάμα καὶ Σεβοείμ. Μετάνοιωσε ἡ καρδιά μου τὴν ἴδια στιγμή, συγκλονίσθηκε ἡ μεταμέλειά μου»[28]. Καὶ αὐτὸ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· οὔτε τὸ λόγο τῆς ἀπειλῆς ἀνέχθηκα, λέγει. Καὶ μιλάει βέβαια ἀνθρώπινα, ὄχι γιὰ νὰ ὑπο-

27. Ἠσ. 55,7.
28. Ὠσηὲ 11,8.

*τὸ ρῆμα ἤνεγκα τῆς ἀπειλῆς, φησί. Καὶ ἀνθρωπίνως μὲν διαλέγεται, οὐχ ἵνα τι ἀνθρώπινον ὑποπτεύσῃς, ἄπαγε, ἀλλ' ἵνα ἀπὸ τῆς παχυτάτης λέξεως θεοπρεπῆ τὴν ἀγάπην καὶ γνησίαν καὶ ἀκατάλυτον νοήσῃς. Ὥσπερ γάρ τις μανικῶς τινος ἐρῶν, οὐδὲ μέχρι ρημάτων αἱρεῖται λυπῆσαι τὸν ἐρώμενον, οὕτω δὴ καὶ αὐτός φησιν· ἐπειδὴ μόνον εἶπον καὶ ἐλύπησα τῇ λέξει «μετεστράφη ἡ καρδία μου ἐν ταὐτῷ». Οὐδὲ γὰρ τὰς βαρυτάτας ταύτας παραιτεῖται εἰκόνας παράγειν, ἵνα δείξῃ τὸ φίλτρον, ὅτι μάλιστα ἐρῶντός ἐστι.*

*Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ περαιτέρω πρόεισι πάλιν, ἕτερον βαθύτερον ἐπάγων ὑπόδειγμα καὶ λέγων· «ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί»· ὅτι μάλιστα ἐν ἀρχῇ θερμότεροι οἱ ἔρωτες καὶ ζέοντες καὶ ἀκμάζοντές εἰσιν. Οὕτω δὲ εἴρηται, οὐχ ἵνα τι ἀνθρώπινον ὑποπτεύσῃς (πάλιν γὰρ τὰ αὐτὰ λέγειν οὐ παύσομαι), ἀλλ' ἵνα ἐκ τούτων τὸ θερμόν, τὸ γνήσιον, τὸ σφοδρόν, τὸ πεπυρωμένον τῆς ἀγάπης ἴδῃς. Εἶτα, εἰπών, ὅτι ὡς πατὴρ φιλεῖ καὶ πλέον ἢ πατήρ, ὡς μήτηρ καὶ πλέον ἢ μήτηρ, ὡς νυμφίος καὶ πλέον ἢ νυμφίος, ὅτι τοσοῦτον ὅσον τὸ διάστημα τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς καὶ πλέον ἢ τοσοῦτον, ὅτι τηλικοῦτον, ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν καὶ πλέον ἢ τηλικοῦτον, οὐδὲ ἐνταῦθα ἵσταται τῶν εἰκόνων, ἀλλὰ καὶ περαιτέρω πρόεισιν εἰς ἐπίδειξιν πολλῷ ταπεινοτέρου ὑποδείγματος.*

*Τοῦ γὰρ Ἰωνᾶ μετὰ τὴν φυγὴν καὶ τοῦ Θεοῦ τὴν καταλλαγὴν τὴν πρὸς Νινευΐτας ἐξαπορηθέντος, ὡς οὐκ ἐλθόντων εἰς ἔργον τῶν ἀπειληθέντων καὶ παθόντος τι ἀνθρώπινον πάθος καὶ σκυθρωπάσαντος, ἐπιτάξας τῇ ἀκτῖνι θερμοτέραν ἀφεῖναι τὴν φλόγα, εἶτα κελεύσας τῇ γῇ σχεδιάσαι αὐτῷ στέγην ἀπὸ λαχάνου καὶ θάλψας αὐτὸν μεθ' ὑπερβολῆς καὶ ἀναπαύσας, εἶτα*

29. Ἡσ. 62,5.

ψιασθεῖς κάτι ἀνθρώπινο, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλὰ γιὰ νὰ κατανοήσεις ἀπὸ τὴ βαρύτατη λέξη θεόπρεπη τὴν ἀγάπη του καὶ γνήσια καὶ ἀκατάλυτη. Ὅπως δηλαδὴ ἕνας ποὺ ἀγαπάει κάποιον μὲ μανία, δὲν ἐπιθυμεῖ οὔτε μὲ λόγια νὰ λυπήσει τὸν ἀγαπημένο, ἔτσι ἀκριβῶς καὶ αὐτὸς λέγει· ἐπειδὴ μόνο τὸ εἶπα καὶ λύπησα μὲ τὴ λέξη, «μετάνοιωσε ἡ καρδιά μου τὴν ἴδια στιγμή». Γιατὶ δὲν ἀποφεύγει νὰ παρουσιάζει αὐτὲς τὶς βαρύτατες εἰκόνες γιὰ νὰ δείξει τὴν ἀγάπη του, ὅτι εἶναι χαρακτηριστικὸ αὐτοῦ ποὺ ὑπερβολικὰ ἀγαπάει.

Καὶ οὔτε ἐδῶ σταμάτησε, ἀλλὰ προχωράει πάλι καὶ παραπέρα προσθέτοντας ἄλλο πιὸ βαθὺ παράδειγμα καὶ λέγοντας, «ὅπως εὐφραίνεται ὁ γαμβρὸς μὲ τὴ νύφη ἔτσι θὰ εὐφρανθεῖ ὁ Κύριος μὲ σένα»[29], γιατὶ στὴν ἀρχὴ κυρίως οἱ ἔρωτες εἶναι πιὸ θερμοὶ καὶ πιὸ φλογεροὶ καὶ πιὸ δυνατοί. Ἔτσι ὅμως λέχθηκε, ὄχι γιὰ νὰ ὑποψιασθεῖς κάτι ἀνθρώπινο –γιατὶ δὲ θὰ σταματήσω νὰ λέγω πάλι τὰ ἴδια–, ἀλλὰ γιὰ νὰ δεῖς ἀπ' αὐτὰ πόσο θερμὴ καὶ γνήσια καὶ δυνατὴ καὶ φλογερὴ εἶναι ἡ ἀγάπη του. Ἔπειτα, λέγοντας ὅτι ἀγαπάει σὰν πατέρας, καὶ πιὸ πολὺ ἀπὸ πατέρας, σὰν μητέρα, καὶ πιὸ πολὺ ἀπὸ μητέρα, σὰν γαμβρός, καὶ πιὸ πολὺ ἀπὸ γαμβρός, ὅτι τόσο πολὺ ἀγαπάει ὅση εἶναι ἡ ἀπόσταση τοῦ οὐρανοῦ ἀπὸ τὴ γῆ, καὶ πιὸ πολὺ ἀπὸ τόσο, ὅτι ἀγαπάει τόσο πολὺ ὅσο ἀπέχει ἡ ἀνατολὴ ἀπὸ τὴ δύση καὶ πιὸ πολὺ ἀπὸ τόσο, δὲ σταματάει οὔτε ἐδῶ στὶς εἰκόνες αὐτές, ἀλλὰ προχωράει καὶ παραπέρα, δείχνοντας παράδειγμα πολὺ πιὸ ἁπλό.

Ὅταν δηλαδὴ ὁ Ἰωνᾶς μετὰ τὴ φυγή του καὶ τὴ συγχώρηση τοῦ Θεοῦ πρὸς τοὺς Νινευΐτες βρέθηκε σὲ δύσκολη θέση, ἐπειδὴ δὲν πραγματοποιήθηκαν οἱ ἀπειλές, καὶ ἔπαθε κάποιο ἀνθρώπινο πάθος καὶ ἔγινε σκυθρωπὸς καὶ ὅταν ὁ Θεὸς πρόσταξε τὴν ἀκτίνα νὰ ἀφήσει θερμότερη τὴ φλόγα της, ἔπειτα, ἀφοῦ διέταξε τὴ γῆ νὰ κατασκευάσει γι' αὐτὸν στέγη ἀπὸ λάχανο καὶ ἀφοῦ τὸν προστάτεψε τόσο πολὺ καὶ τὸν ξεκούρασε, μετά, ἀφοῦ τὸν λύπησε μὲ τὸ νὰ καταστρέψει αὐτὴ τὴ στέγη,

*λυπήσας τῷ ταύτην ἀφανίσαι τὴν στέγην, ἐπειδὴ τῷ μὲν εἶδεν ἀναθέντα, τῷ δὲ κατατεινόμενον, ἄκουε τί φησι πρὸς αὐτόν· «σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύντης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας οὐδὲ ἐξέτρεψας, ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν ἐν αὐτῇ πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν;». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐχ οὕτως ἀνέπαυσέ σε ἡ σκιὰ τοῦ λαχάνου, ὡς ἐμὲ εὔφρανεν ἡ σωτηρία τῶν Νινευϊτῶν· οὐδὲ οὕτως σε ἐλύπησεν ἡ ἀφαίρεσις αὐτοῦ, ὡς ἐμὲ ὁ τούτων ὄλεθρος. Οὕτω παρὰ γνώμην μου ἡ ἀπώλεια αὐτῶν ἦν.*

*Ὁρᾷς πῶς καὶ ἐνταῦθα ὑπερβαίνει τὴν εἰκόνα. Οὐ γὰρ εἶπε, «σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύντης» καὶ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν· «ἐφ' ᾗ οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας αὐτήν». Ἐπειδὴ γὰρ ἐκεῖνα μάλιστα φιλοῦσι τῶν φυτῶν οἱ γηπόνοι, περὶ ἃ πολὺν ἐπεδείξαντο πόνον, δεῖξαι θέλων ὅτι καὶ κατὰ τοῦτο φιλεῖ τὸ εἶδος τοῦ φίλτρου τοὺς ἀνθρώπους, τοῦτο προσέθηκεν· εἰ γὰρ σὺ τοῦ ἀλλοτρίου ἔργου οὕτως ἀντείχου, φησί, πολλῷ μᾶλλον ἐγὼ τοῦ οἰκείου καὶ οὗ ποιητής εἰμι. Εἶτα καὶ ὑποτέμνεταί τι τῆς κατηγορίας αὐτῶν λέγων, ὅτι «οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν»· ἀφελείᾳ μᾶλλον ἢ κακίᾳ πεπλημμεληκέναι αὐτοὺς ἀποφηνάμενος, ὃ καὶ ἔδειξε τὸ τῆς μετανοίας τέλος. Καὶ ἑτέροις δὲ ἐπιτιμῶν θρηνοῦσιν ὡς ἐγκαταλειφθεῖσι, ταῦτα λέγει τὰ ῥήματα· «ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τίς πατέρα ἀναμιμνήσκει καὶ παρακαλεῖ, ὥστε προνοῆσαι παιδός; ἢ τεχνίτην καὶ δημιουργόν, ὥστε μὴ ἀφεῖναι διαπεσεῖν τὸ ἔργον; Εἶτα ἐπ' ἀνθρώπων μὲν ἀρκεῖσθε τῇ φύσει καὶ τῇ τέχνῃ εἰς ἀπόδειξιν τῆς κηδεμονίας, ἐμὲ δὲ οἴεσθε χρῄζειν τοῦ παρακαλοῦντός με, ἵνα τῶν τέκνων τῶν ἐμῶν καὶ τῶν ἔργων ἀντιλήψωμαι;*

---

30. Ἰωνᾶ 4,10–11. 31. Ἠσ. 45,11.

ἐπειδὴ λοιπὸν τὸν εἶδε πρῶτα νὰ πέφτει καὶ στὴ συνέχεια νὰ κτυπιέται, ἄκου τί λέγει σ' αὐτόν· «ἐσὺ λυπήθηκες γιὰ τὴν κολοκυθιά, γιὰ τὴν ὁποία δὲν κόπιασες, οὔτε τὴν ἔθρεψες, καὶ ἐγὼ δὲ θὰ λυπηθῶ γιὰ τὴν Νινευή, τὴν πόλη τὴ μεγάλη, στὴν ὁποία κατοικοῦν περισσότεροι ἀπὸ δώδεκα μυριάδες ἄνθρωποι, ποὺ δὲν μποροῦν νὰ ξεχωρίσουν τὸ δεξιὸ ἀπὸ τὸ ἀριστερό τους χέρι;»[30]. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲ σὲ ξεκούρασε τόσο ἡ σκιὰ τοῦ φυτοῦ ὅσο μ' εὐχαρίστησε ἐμένα ἡ σωτηρία τῶν Νινευϊτῶν· οὔτε σὲ λύπησε τόσο ἡ καταστροφή του, ὅσο ἐμένα ὁ ὄλεθρός τους. Τόσο ἀντίθετα ἀπὸ τὴ γνώμη μου ἦταν ἡ καταστροφή τους.

Βλέπεις πῶς καὶ ἐδῶ ξεπερνάει τὴν εἰκόνα; Γιατὶ δὲν εἶπε, «ἐσὺ λυπήθηκες γιὰ τὴν κολοκυθιὰ» καὶ σιώπησε, ἀλλὰ πρόσθεσε, «γιὰ τὴν ὁποία δὲν κόπιασες, οὔτε τὴν ἔθρεψες». Ἐπειδὴ δηλαδὴ οἱ γεωργοὶ ἀγαποῦν πάρα πολὺ ἐκεῖνα τὰ φυτὰ γιὰ τὰ ὁποῖα κόπιασαν πολύ, τὸ πρόσθεσε αὐτὸ γιατὶ ἤθελε νὰ δείξει ὅτι ἀγαπάει τοὺς ἀνθρώπους καὶ μ' αὐτὸ τὸ εἶδος τῆς ἀγάπης. Γιατί, ἂν ἐσὺ πόνεσες πολὺ γιὰ τὸ ξένο ἔργο, λέγει, πολὺ περισσότερο ἐγὼ πονάω γιὰ τὸ δικό μου, τὸ ὁποῖο καὶ τὸ δημιούργησα. Ἔπειτα μετριάζει λίγο τὴν κατηγορία τους λέγοντας ὅτι «δὲν ξεχωρίζουν τὸ δεξιὸ ἀπὸ τὸ ἀριστερό τους χέρι», ἐκφράζοντας τὴ γνώμη ὅτι εἶχαν ἁμαρτήσει ἀπὸ ἀφέλεια περισσότερο παρὰ ἀπὸ κακία, πράγμα ποὺ τὸ ἔδειξε καὶ τὸ ἀποτέλεσμα τῆς μετάνοιας. Ἐπιτιμώντας πάλι καὶ ἄλλους ποὺ θρηνοῦσαν σὰν νὰ ἐγκαταλείφθηκαν λέγει αὐτὰ τὰ λόγια· «ἐρωτῆστε με γιὰ τὰ παιδιά μου καὶ δῶστε μου ἐντολὲς γιὰ τὰ ἔργα τῶν χεριῶν μου»[31]. Αὐτὸ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· ποιός ὑπενθυμίζει τὸν πατέρα καὶ τὸν παρακαλεῖ ὥστε νὰ φροντίσει γιὰ τὸ παιδί του; ἢ τὸν τεχνίτη καὶ τὸ δημιουργὸ ὥστε νὰ μὴν ἀφήσει νὰ καταστραφεῖ τὸ ἔργο του; Ἔπειτα στὴν περίπτωση τῶν ἀνθρώπων σᾶς ἀρκεῖ ἡ φύση καὶ ἡ τέχνη γιὰ τὴν ἀπόδειξη τῆς φροντίδας τους, ἐγὼ ὅμως νομίζετε πὼς χρειάζομαι νὰ μὲ παρακαλέσουν γιὰ νὰ φροντίσω γιὰ τὰ δικά μου παιδιὰ καὶ τὰ ἔργα;

*Ταῦτα δὲ ἔλεγεν, οὐχ ἵνα μὴ παρακαλῶσιν, ἀλλ' ἵνα εἰδέναι ἔχωσιν ὅτι καὶ πρὸ τῆς παρακλήσεως ὁ Θεὸς τὰ ἑαυτοῦ ποιεῖ, βούλεται δὲ καὶ παρακαλεῖσθαι, ἐπειδὴ μέγα οἶδε τοῖς παρακαλοῦσιν ἐντεῦθεν ὑπάρχον τὸ κέρδος. Εἶδες πῶς σαφέστερον καὶ ἡλίου φαιδρότερον διὰ τῶν ὑποδειγμάτων τούτων τῆς ἀφάτου προνοίας αὐτοῦ ἡ ὑπόδειξις διαλάμπει; Σκόπει δέ. Παρήγαγεν εἰς μέσον τὸν πατέρα, τὴν μητέρα, τὸν νυμφίον, τὴν νύμφην, τὸ διάστημα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὸ μέσον τῶν ἀνατολῶν πρὸς δυσμάς, τὸν φυτουργὸν καὶ περὶ λάχανα πονούμενον, τὸν οἰκοδόμον τῶν γενησομένων, τὸν σφοδρὸν ἐραστήν, τὸν ταραττόμενον, εἰ καὶ μέχρι ρημάτων λυπήσειε τὸν ἐρώμενον· καὶ τοσοῦτον ἁπάντων ὑπερακοντίζειν διὰ πάντων τούτων ἔδειξε τὴν τοῦ Θεοῦ ἀγαθότητα, ὅσον πονηρίαν χρηστότητος.*

*7. Καὶ τοῖς μὲν οὖν εὐγνώμοσιν, ὅπερ ἔφην, ἀρκεῖ καὶ ταῦτα· ἀλλ' ἐπειδή τινές εἰσι πήλινοι καὶ δυσανάγωγοι καὶ δυσπειθεῖς καὶ αὐτόσαρκες, φέρε δὴ καὶ διὰ τῶν ἔργων αὐτῶν ἀποδείξωμεν αὐτοῦ τὴν πρόνοιαν, καθ' ὅσον ἡμῖν οἷόν τε. Ἅπασαν γὰρ αὐτήν, μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν αὐτῆς μέρος παραστῆσαι ῥᾴδιον· οὕτως ἐστὶν ἄπειρος καὶ ἄφατος καὶ διὰ τῶν μικρῶν καὶ διὰ τῶν μεγάλων διαλάμπουσα καὶ τῶν ὁρωμένων καὶ τῶν οὐχ ὁρωμένων. Πλὴν ἀλλ' ἀπὸ τῶν ὁρωμένων τέως ποιησώμεθα τὴν ἀπόδειξιν. Τὴν γὰρ θαυμασίαν ταύτην καὶ παναρμόνιον κτίσιν δι' οὐδένα ἕτερον ἐποίησεν, ἢ διὰ σέ· καὶ καλὴν οὕτω καὶ μεγάλην οὕτω καὶ ποικίλην καὶ πολυτελῆ καὶ διαρκῆ καὶ χρησίμην καὶ πανταχόθεν κερδαλέαν καὶ πρὸς σώματος διατροφὴν καὶ σύστασιν καὶ πρὸς ψυχῆς φιλοσοφίαν καὶ πρὸς θεογνωσίας ὁδὸν ἐπιτηδείαν κατεσκεύασε διὰ σέ.*

*Οὐδὲ γὰρ ἄγγελοι ταύτης ἐδέοντο· πῶς γὰρ οἱ καὶ πρὶν ἢ γενέσθαι αὐτὴν ὄντες; Ὅτι γὰρ ἐκεῖνοι πολλῷ ταύτης πρεσβύτεροι, ἄκουε τί φησιν ὁ Θεὸς τῷ Ἰὼβ διαλεγόμενος· «ὅτε ἐγένετο ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοί μου, καὶ ὕμνησαν φωνῇ με-*

Καὶ τὰ ἔλεγε αὐτά, ὄχι γιὰ νὰ μὴν τὸν παρακαλοῦν, ἀλλὰ γιὰ νὰ μποροῦν νὰ γνωρίζουν ὅτι καὶ πρὶν ἀπὸ τὴν παράκληση ὁ Θεὸς κάνει τὰ δικά του, θέλει ὅμως καὶ νὰ τὸν παρακαλοῦν, ἐπειδὴ ξέρει ὅτι ἀπὸ ἐδῶ ὑπάρχει μεγάλο κέρδος σ' αὐτοὺς ποὺ παρακαλοῦν. Εἶδες πῶς μὲ τὰ παραδείγματα αὐτὰ ἡ ἀπόδειξη τῆς ἀνέκφραστης πρόνοιάς του λάμπει πιὸ καθαρὰ καὶ πιὸ φωτεινὰ ἀπὸ τὸν ἥλιο; Πρόσεχε ὅμως. Παρουσίασε στὴ μέση τὸν πατέρα, τὴ μητέρα, τὸ γαμβρό, τὴ νύφη, τὸ διάστημα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὴν ἀπόσταση τῆς ἀνατολῆς ἀπὸ τὴ δύση, τὸ γεωργὸ καὶ τὸν κηπουρό, τὸν οἰκοδόμο τῶν ἔργων ποὺ θὰ γίνουν, τὸ σφοδρὸ ἐραστή, ποὺ ταράζεται ἂν καὶ μὲ λόγια ἀκόμη λυπήσει ἐκεῖνον ποὺ ἀγαπάει· καὶ μὲ ὅλα αὐτὰ ἔδειξε πὼς ἡ ἀγαθότητα τοῦ Θεοῦ τὰ ξεπερνάει ὅλα τόσο πολύ, ὅσο ἡ καλωσύνη τὴν πονηρία.

7. Καὶ γιὰ ἐκείνους λοιπὸν ποὺ εἶναι εὐγνώμονες, πράγμα ποὺ εἶπα, ἀρκοῦν καὶ αὐτά. Ἐπειδὴ ὅμως μερικοὶ εἶναι πήλινοι καὶ δύστροποι καὶ δύσπιστοι καὶ τελείως σαρκικοί, ἐμπρὸς λοιπὸν ἂς ἀποδείξουμε ἀπὸ τὰ ἴδια τὰ ἔργα τὴν πρόνοια τοῦ Θεοῦ, ὅσο βέβαια μποροῦμε. Γιατὶ ὅλη τὴν πρόνοια ἢ καλύτερα οὔτε ἕνα μικρὸ μέρος της δὲν εἶναι εὔκολο νὰ παραστήσει κανείς. Εἶναι τόσο ἄπειρη καὶ ἀνέκφραστη, καὶ λάμπει τόσο πολὺ καὶ μὲ τὰ μικρὰ καὶ μὲ τὰ μεγάλα καὶ μὲ τὰ ὁρατὰ καὶ μὲ τὰ ἀόρατα. Ἀλλ' ὅμως ἂς κάνουμε τὴν ἀπόδειξη πρῶτα ἀπὸ τὰ ὁρατά. Γιατὶ τὴ θαυμάσια αὐτὴ καὶ τέλεια κτίση δὲν τὴν ἔκαμε γιὰ κανένα ἄλλον παρὰ γιὰ σένα. Τόσο καλὴ καὶ τόσο μεγάλη καὶ πολύμορφη καὶ πλούσια καὶ αἰώνια καὶ χρήσιμη καὶ ὠφέλιμη ἀπὸ παντοῦ καὶ γιὰ τὴ διατροφὴ καὶ τὴν ὑγεία τοῦ σώματος καὶ γιὰ τὴ φιλοσοφία τῆς ψυχῆς καὶ κατάλληλη νὰ ὁδηγεῖ στὴ θεογνωσία, τὴ κατασκεύασε γιὰ σένα.

Οὔτε βέβαια οἱ ἄγγελοι τὴ χρειάζονταν· γιατὶ πῶς θὰ τὴν χρειάζονταν αὐτοὶ ποὺ καὶ πρὶν νὰ δημιουργηθεῖ ὑπῆρχαν; Ὅτι λοιπὸν ἐκεῖνοι ἦταν πολὺ μεγαλύτεροι στὴν ἡλικία ἀπὸ τὴν κτίση, ἄκου τί λέγει ὁ Θεὸς μιλώντας στὸν Ἰώβ· «ὅταν ἔγιναν τὰ

*γάλη»· τοῦτ' ἔστιν, ἐκπλαγέντες τὸ πλῆθος, τὸ κάλλος, τὴν θέσιν, τὴν χρείαν, τὴν ποικιλίαν, τὴν φαιδρότητα, τὴν λαμπηδόνα, τὴν ἁρμονίαν, τὰ ἄλλα πάντα, ἅπερ ἀκριβέστερον ἡμῶν συνορῶσιν ἐκεῖνοι. Οὐκ ἀστράσι δὲ ἐκαλλώπισε μόνον, ἀλλὰ καὶ ἡλίῳ καὶ σελήνῃ κατεκόσμησεν, ἐν ἑκατέρῳ τῷ καιρῷ πολλὴν μέν σοι τὴν ἡδονήν, πολλὴν δὲ παρέχων τὴν χρείαν ἐξ ἀμφοτέρων.*

*Τί γὰρ ὡραιότερον οὐρανοῦ, νῦν μὲν ὑφ' ἡλίου τε καὶ σελήνης καταλαμπομένου, νῦν δέ, καθάπερ τισὶν ὀφθαλμῶν βολαῖς, τῷ ἀπείρῳ τῶν ἄστρων πλήθει καταυγάζοντος τὴν γῆν καὶ ναύταις καὶ ὁδοιπόροις ὁδηγούς τινας διδόντος καὶ χειραγωγούς; Ὁ γὰρ τὸ πέλαγος τέμνων καὶ ἐπὶ τῶν οἰάκων καθήμενος καὶ κυμάτων ἐμβολαῖς καὶ ὑδάτων ἀτάκτων ῥύμῃ καὶ πνευμάτων βιαίων φορᾷ καὶ νυκτὸς ἀσελήνῳ σκότῳ ἐκδίδωσιν ἑαυτόν, τῇ παρὰ τούτου ὁδηγίᾳ θαρρῶν· καὶ ὁ ἐν ὕψει κείμενος ἀστὴρ τὸν ἐκ τοσούτου καθήμενον διαστήματος, ὥσπερ ἐγγὺς καὶ πλησίον παρών, οὕτω μετὰ ἀκριβείας χειραγωγεῖ καὶ πρὸς λιμένας ὁρμίζει, φωνὴν μὲν οὐκ ἀφιείς, τῇ δὲ ὄψει δεικνὺς αὐτοῖς τὰς ὁδοὺς καὶ τὴν θάλασσαν τέμνειν αὐτοῖς χαριζόμενος μετ' ἀσφαλείας, καιροὺς ὑποδεικνύς, ὥστε νῦν μὲν εἴσω τοῦ λιμένος κατέχειν τὸ πλοῖον, νῦν δὲ θαρροῦντας εἰς τὸ πέλαγος ἐξάγειν καὶ μὴ διὰ τὴν τοῦ μέλλοντος ἀδηλίαν ἀπροόπτως εἰς χειμέριον ἐμπίπτοντας ἡμέραν ναυάγιον ὑπομένειν.*

*Καὶ οὐχ ὁλοκλήρων δὲ ἐνιαυτῶν μέτρα μόνον καὶ καιροὺς χαρακτηρίζουσιν οὗτοι, ἀλλὰ καὶ ἑκάστης νυκτὸς καὶ ὥραν καὶ τροπὴν μετὰ πολλῆς παριστῶσι τῆς ἀκριβείας καὶ ποιοῦσιν εἰδέναι τοὺς ὁρῶντας, πότε μὲν τὸ πλέον αὐτῆς παρῆλθε, πότε δὲ τὸ ἔλαττον ὑπολέλειπται καὶ αὖ τοὐναντίον πάλιν, ὅπερ οὐ ναύταις μόνον, ἀλλὰ καὶ ὁδοιπόροις χρήσιμον, ὥστε μὴ ἀωρὶ τῆς*

ἄστρα, μὲ δοξολόγησαν ὅλοι οἱ ἄγγελοί μου καὶ ὕμνησαν μὲ δυνατὴ φωνή»[32]· δηλαδή, ἐπειδὴ ἔνιωσαν ἔκπληξη γιὰ τὸ πλῆθος, τὴν ὀμορφιά, τὴ θέση, τὴ χρησιμότητα, τὴν ποικιλία, τὴ λαμπρότητα, τὴ λάμψη, τὴν ἁρμονία, γιὰ ὅλα τὰ ἄλλα, τὰ ὁποῖα ἐκεῖνοι κατανοοῦν πιὸ καθαρὰ ἀπὸ μᾶς. Δὲν τὴ στόλισε μόνο μὲ τὰ ἄστρα, ἀλλὰ καὶ μὲ τὸν ἥλιο καὶ τὴ σελήνη, δίνοντας σὲ σένα καὶ τὴν ἡμέρα καὶ τὴ νύχτα μεγάλη εὐχαρίστηση, ἀλλὰ καὶ μεγάλη ὠφέλεια καὶ ἀπὸ τὰ δύο.

Γιατὶ τί εἶναι ὡραιότερο ἀπὸ τὸν οὐρανό, ποὺ πότε λάμπει ἀπὸ τὸν ἥλιο καὶ τὴ σελήνη καὶ πότε καταφωτίζει τὴ γῆ μὲ τὸ ἄπειρο πλῆθος τῶν ἄστρων, σὰν μάτια ποὺ σπινθηρίζουν, καὶ γίνονται ὁδηγοὶ καὶ χειραγωγοὶ στοὺς ναῦτες καὶ τοὺς ὁδοιπόρους; Γιατὶ αὐτὸς ποὺ σχίζει τὸ πέλαγος καὶ κάθεται στὸ τιμόνι καὶ παραδίνεται στὰ κτυπήματα τῶν κυμάτων καὶ στὴν ἄτακτη ροὴ τῶν νερῶν καὶ τὴν ὁρμὴ τῶν βίαιων ἀνέμων καὶ στὸ σκοτάδι τῆς ἀσέληνης νύχτας, παίρνει θάρρος ἀπὸ τὴν καθοδήγηση τοῦ οὐρανοῦ. Καὶ τὸ ἀστέρι ποὺ βρίσκεται στὰ ὕψη ὁδηγεῖ μὲ τόση ἀκρίβεια αὐτὸν ποὺ κάθεται σὲ τόσο μεγάλη ἀπόσταση, σὰν νὰ ἦταν κοντὰ καὶ δίπλα του, καὶ τὸν καθοδηγεῖ σὲ λιμάνια, χωρὶς νὰ βγάζει φωνή, ἀλλὰ δείχνοντας μὲ τὴν ὄψη του τοὺς δρόμους καὶ κάνοντάς τους τὴ χάρη νὰ διασχίζουν τὴ θάλασσα μὲ ἀσφάλεια, φανερώνοντας τοὺς καιροὺς ὥστε πότε νὰ κρατοῦν τὸ πλοῖο μέσα στὸ λιμάνι καὶ πότε παίρνοντας θάρρος νὰ τὸ βγάζουν ἔξω στὸ πέλαγος καὶ νὰ μὴ ναυαγοῦν ἀπρόοπτα, πέφτοντας σὲ θυελλώδη ἡμέρα ἐξ αἰτίας τοῦ ὅτι τὸ μέλλον εἶναι ἄδηλο.

Καὶ δὲ χαρακτηρίζουν τὰ ἄστρα τὰ μέτρα μόνο καὶ τοὺς καιροὺς σὲ χρόνους ὁλόκληρους, ἀλλὰ καὶ κάθε νύχτας τὴν ὥρα καὶ τὴν ἀλλαγὴ τὴν παριστάνουν μὲ μεγάλη ἀκρίβεια καὶ κάνουν ὅσους βλέπουν νὰ ξέρουν πότε πέρασε τὸ μεγαλύτερο μέρος της καὶ πότε μένει τὸ μικρότερο, καὶ ξανὰ πάλι τὸ ἀντίθετο, πράγμα ποὺ εἶναι χρήσιμο ὄχι μόνο στοὺς ναυτικοὺς ἀλλὰ καὶ στοὺς ὁδοιπόρους, ὥστε νὰ μὴν ἀρχίζουν πολὺ νωρὶς τὴν

32. Ἰὼβ 38,7.

*νυκτὸς τῆς ὁδοιπορίας ἅπτεσθαι, μήτε ἐν καιρῷ τῷ προσήκοντι οἴκοι καθῆσθαι. Τοῦτο μετὰ τῶν ἀστέρων καὶ οἱ σεληναῖοι δρόμοι μετὰ ἀκριβείας εἰσὶν ἐμπεπιστευμένοι. Καθάπερ γὰρ ὁ ἥλιος τὰς ὥρας τῆς ἡμέρας, οὕτω καὶ ἡ σελήνη τὰς τῆς νυκτὸς κανονίζει καὶ πολλὴν ἑτέραν χρείαν παρέχει καὶ ἀέρος εὔκρατον χύσιν, καὶ δρόσου γένεσιν πρὸς τὴν τῶν σπερμάτων βλάστην καὶ πολλὴν οἴκοθεν εἰς τὴν σύστασιν τῶν ἀνθρώπων παρεχομένη τὴν ὠφέλειαν καὶ μέση τοῦ χοροῦ τῶν ἀστέρων καὶ τῆς ἡλιακῆς ἱσταμένη λαμπηδόνος· τοῦ μὲν γάρ ἐστιν ἐλάττων, τῶν δὲ ἀμεινων καὶ πολλῷ μείζων.*

*Οὐ μικρὰ δὲ καὶ ἐκ τῆς ποικιλίας ταύτης ἡδονὴ τοῖς θεαταῖς καὶ χρεία, ὥσπερ οὐδὲ τυχοῦσα ἡ ὄνησις ἡ ἀπὸ τῶν καιρῶν, ἡ ἀπὸ τῶν ὡρῶν, ἡ ἀπὸ τοῦ μέτρου, ἡ ἀπὸ τοῦ μεγέθους καὶ τῆς βραχύτητος, ἡ ἀπὸ τῆς διαφορᾶς τῆς ἀφάτου· τὸν μὲν γὰρ ἐλάττω, τὸν δὲ μείζω καὶ φαιδρότερόν ἐστιν ἰδεῖν καὶ κατὰ διαφόρους καιροὺς φαινομένους αὐτῶν τινας. Ἡ γὰρ περιουσία τῆς εὐμηχάνου σοφίας πολλὴν πανταχοῦ τὴν ποικιλίαν ἐργάζεται, ὁμοῦ μὲν τῆς οἰκείας θαυματουργίας τὴν ἀπόδειξιν ἐπιδεικνυμένη, ὁμοῦ δὲ καὶ τῆς τῶν ὁρώντων προνοοῦσα χρείας καὶ πολλὴν καὶ ἄφατον τὴν ὠφέλειαν παρεχομένη καὶ μετὰ τούτων ἁπάντων καὶ τὴν ἡδονήν. Τί γὰρ τερπνότερον οὐρανοῦ, νῦν μὲν ὡς σινδόνος καθαρᾶς καὶ διαυγοῦς ὑπὲρ κεφαλῆς ἡπλωμένου, νῦν δὲ ὡς λειμῶνος πολυανθοῦς ποικιλλομένου καὶ τὸν αὐτοῦ φαίνοντος στέφανον;*

*Οὐδὲ γὰρ οὕτως ἡδὺ λειμῶνα ἰδεῖν ἐν ἡμέρᾳ, ὡς ἡδὺ καὶ τερπνὸν οὐρανὸν ἰδεῖν ἐν νυκτὶ μυρίοις ἄνθεσι τοῖς τῶν ἀστέρων πανταχόθεν κατεστεμμένον, ἄνθεσιν οὐδέποτε μαραινομένοις, ἀλλ' ἀκραιφνὲς ἀεὶ τὸ οἰκεῖον κάλλος ἐπιδεικνυμένοις. Τί δὲ αὐτῦ ἡδύτερον, ὅταν τῆς νυκτὸς ἀπελθούσης καὶ μηδέπω τῆς ἀκτῖνος ἀνισχούσης, καθάπερ κροκωτῷ τινι πέπλῳ τοῖς προοι-*

ὁδοιπορία τους, οὔτε νὰ κάθονται τὴν κατάλληλη ὥρα στὸ σπίτι τους. Τὴν ἀποστολὴ αὐτὴ μαζὶ μὲ τὰ ἄστρα τὴν ἐκτελοῦν μὲ ἀκρίβεια καὶ οἱ δρόμοι τῆς σελήνης. Γιατί, ὅπως ἀκριβῶς ὁ ἥλιος ρυθμίζει τὶς ὧρες τῆς ἡμέρας, ἔτσι καὶ ἡ σελήνη τὶς ὧρες τῆς νύχτας καὶ χρησιμεύει σὲ πολλὰ ἄλλα, καὶ γιὰ νὰ φυσάει ἀέρας ἤπιος καὶ γιὰ νὰ προκαλεῖ δροσιὰ γιὰ τὴ βλάστηση τῶν σπόρων, καὶ ἀπὸ τὴ φύση της παρέχει μεγάλη ὠφέλεια στὴν ὑγεία τῶν ἀνθρώπων καὶ στέκεται ἀνάμεσα στὸ χορὸ τῶν ἄστρων καὶ στὴ λάμψη τοῦ ἥλιου. Γιατὶ ἀπὸ τὸν ἥλιο εἶναι μικρότερη, ἐνῶ ἀπὸ τὰ ἄστρα ἀνώτερη καὶ πολὺ μεγαλύτερη.

Καὶ δὲν εἶναι μικρὴ ἡ εὐχαρίστηση καὶ ἡ ὠφέλεια γιὰ τοὺς θεατὲς ἀπὸ τὴν ποικιλία αὐτή, ὅπως δὲν εἶναι τυχαία ἡ ὠφέλεια ποὺ προέρχεται ἀπὸ τοὺς καιρούς, ἀπὸ τὶς ἐποχές, ἀπὸ τὴν ἀπόσταση, ἀπὸ τὸ μεγάλο καὶ τὸ μικρὸ μέγεθος, ἀπὸ τὴ διαφορὰ τὴν ἀνείπωτη. Γιατὶ εἶναι δυνατὸ νὰ δεῖ κανεὶς τὸ ἕνα ἄστρο μικρότερο, τὸ ἄλλο μεγαλύτερο καὶ λαμπρότερο καὶ μερικὰ ἀπ' αὐτὰ νὰ φαίνονται σὲ διάφορες ἐποχές. Γιατὶ ἡ ἀφθονία τῆς πολυμήχανης σοφίας τοῦ Θεοῦ κάνει παντοῦ μεγάλη ποικιλία, φανερώνοντας μαζὶ τὴν ἀπόδειξη τῆς δικῆς του θαυματουργικῆς δύναμης καὶ προνοώντας μαζὶ γιὰ τὴν ἀνάγκη αὐτῶν ποὺ βλέπουν καὶ παρέχοντας πολλὴ καὶ ἀνείπωτη ὠφέλεια καὶ μαζὶ μὲ ὅλα αὐτὰ καὶ τὴν εὐχαρίστηση. Γιατὶ τί εἶναι πιὸ εὐχάριστο ἀπὸ τὸν οὐρανό, ποὺ ἄλλοτε ἁπλώνεται σὰν σεντόνι καθαρὸ καὶ διαφανὲς ἐπάνω ἀπὸ τὸ κεφάλι μας καὶ ἄλλοτε στολίζεται σὰν λιβάδι μὲ πολλὰ ἄνθη καὶ παρουσιάζει τὸ στεφάνι του;

Γιατὶ δὲν εἶναι τόσο εὐχάριστο νὰ δεῖ κανεὶς λιβάδι τὴν ἡμέρα, ὅσο εἶναι εὐχάριστο καὶ τερπνὸ νὰ δεῖ τὸν οὐρανὸ τὴ νύχτα στεφανωμένο ἀπὸ παντοῦ μὲ τὰ ἄπειρα ἄνθη τῶν ἄστρων, ἄνθη ποὺ δὲν μαραίνονται ποτέ, ἀλλὰ ἐπιδεικνύουν πάντοτε ἀκέραιη τὴ δική τους ὀμορφιά. Καὶ τί εἶναι γλυκύτερο ἀπ' αὐτόν, ποὺ ὅταν περάσει ἡ νύχτα καὶ ἡ ἀκτίνα τοῦ ἥλιου δὲν ἀνατείλει ἀκόμη στολίζεται σὰν κροκάτο πέπλο μὲ τὰ πρῶτα

*μίοις τῆς ἀνατολῆς τοῦ ἡλίου φοινισσόμενος καλλωπίζηται; Τί δὲ ἡλίου γένοιτ' ἂν ὡραιότερον θέαμα ἀνίσχοντος ὑπὸ τὴν ἕω, καὶ μικρᾷ καιροῦ ῥοπῇ πᾶσαν μὲν γῆν, πᾶσαν δὲ θάλασσαν, πᾶν δὲ ὄρος καὶ νάπας καὶ βουνούς, πάντα δὲ οὐρανὸν ταῖς τῶν ἀκτίνων καταλάμποντος βολαῖς, καὶ τῆς νυκτὸς τὸ περιβόλαιον ἀπαμφιεννύντος τῶν ὁρωμένων καὶ γυμνὰ πάντα πρὸ τῶν ὀφθαλμῶν δεικνύντος ἡμῖν;*

*Πῶς ἄν τις αὐτοῦ ἐκπλαγείη τοὺς δρόμους, τὴν εὐταξίαν, τὴν ἐν τοσαύταις ἐτῶν περιόδοις ἀπαράλλακτον καὶ ἀνεμπόδιστον διακονίαν, τὸ κάλλος αὐτοῦ τὸ διηνεκῶς ἀκμάζον, τὴν λαμπηδόνα, τὴν φαιδρότητα, τὴν καθαρότητα, τὴν τοσούτοις ὁμιλοῦσαν σώμασι καὶ μηδαμοῦ μολυνομένην; Πρὸς δὲ τούτοις, τὴν χρείαν τὴν ἄφατον, τὴν ἐν σπέρμασι, τὴν ἐν φυτοῖς, καὶ ἐν σώμασιν ἀνθρώπων, τετραπόδων, ἰχθύων, ἀέρων, λίθων, βοτανῶν, τὴν ἐν γῇ, τὴν ἐν θαλάσσῃ, τὴν ἐν ἀέρι, τὴν ἐν πᾶσιν ἁπλῶς τοῖς ὁρωμένοις; Πάντα γὰρ αὐτοῦ δεῖται καὶ ἀπολαύει τῆς χρείας καὶ ἀμείνω γίνεται ταύτης μετέχοντα, οὐ σώματα δὲ μόνον, οὐδὲ φυτά, ἀλλὰ καὶ ὕδατα καὶ λίμναι καὶ πηγαὶ καὶ ποταμοὶ καὶ αὐτὴ τοῦ ἀέρος ἡ φύσις λεπτυνομένη καὶ καθαιρομένη καὶ διειδεστέρα γινομένη.*

*Διὰ δὴ τοῦτο καὶ ὁ ψαλμῳδὸς τὸ κάλλος αὐτοῦ παραδηλῶσαι βουλόμενος, τὸ διηνεκῶς φαιδρόν, τὴν ἀκμάζουσαν ὥραν, τὸ μηδέποτε διαπῖπτον ἄνθος, τὴν εὐπρέπειαν, τὴν εὐμορφίαν, τὴν ἀπαραπόδιστον διακονίαν, οὕτω πως ἔλεγεν· «ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ», τοῦτ' ἔστιν, ἐν αὐτοῖς τοῖς οὐρανοῖς· τοῦτο, σκήνωμα Θεοῦ λέγων, αἰνίττεται. «Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ». Εἶτα καὶ τὸ εὔκολον τῆς διακονίας αὐτοῦ δηλῶν ἐπήγαγεν, «ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ». Εἶτα τὸ διαρκὲς καὶ ἀποχρῶν τῇ οἰκουμένῃ πάσῃ «ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ*

χρώματα τῆς ἀνατολῆς τοῦ ἥλιου παίρνοντας κόκκινο χρῶμα; Καὶ τί μπορεῖ νὰ γίνει πιὸ ὡραῖο θέαμα ἀπὸ τὸν ἥλιο ποὺ ἀνατέλλει τὴν αὐγὴ καὶ σὲ μιὰ στιγμὴ φωτίζει μὲ τὴ λάμψη τῶν ἀκτίνων του ὅλη τὴ γῆ καὶ ὅλη τὴ θάλασσα καὶ κάθε ὄρος καὶ φαράγγια καὶ βουνά, καθὼς καὶ ὅλο τὸν οὐρανό, καὶ ποὺ ἀφαιρεῖ τὸ κάλυμμα τῆς νύχτας ἀπὸ τὰ ὁρατὰ πράγματα καὶ τὰ δείχνει ὅλα γυμνὰ μπροστὰ στὰ μάτια μας;

Πῶς μπορεῖ νὰ μὴ θαυμάσει κανεὶς τοὺς δρόμους τοῦ ἥλιου, τὴν τάξη του, τὴν ἀπαράλλακτη καὶ ἀνεμπόδιστη διακονία του σὲ τόσο μεγάλες περιόδους ἐτῶν, τὴν ὀμορφιά του ποὺ πάντοτε ἀκμάζει, τὴ λάμψη του, τὴ φωτεινότητά του, τὴν καθαρότητά του, ποὺ σχετίζεται μὲ τόσα σώματα καὶ δὲ μολύνεται πουθενά; Καὶ ἀκόμη, τὴ χρησιμότητα τὴν ἀνέκφραστη, ποὺ φαίνεται στοὺς σπόρους, στὰ φυτά, στὰ σώματα τῶν ἀνθρώπων, τῶν ζώων, τῶν ψαριῶν, στοὺς ἀνέμους, στὶς πέτρες, στὰ χόρτα, στὴ γῆ, στὴ θάλασσα, στὸν ἀέρα, σὲ ὅλα γενικὰ τὰ ὁρατὰ πράγματα; Γιατὶ ὅλα τὸν ἔχουν ἀνάγκη καὶ ἀπολαμβάνουν τὴ χρησιμότητά του καὶ καθὼς τὴ δέχονται γίνονται καλύτερα, ὄχι μόνο τὰ σώματα οὔτε τὰ φυτά, ἀλλὰ καὶ τὰ νερὰ καὶ οἱ λίμνες καὶ οἱ πηγὲς καὶ οἱ ποταμοὶ καὶ αὐτὴ ἡ φύση τοῦ ἀέρα ποὺ γίνεται πιὸ λεπτὴ καὶ καθαρὴ καὶ διαφανής.

Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ ψαλμωδὸς θέλοντας νὰ ὑπαινιχθεῖ τὸ κάλλος του, ποὺ πάντοτε εἶναι φαιδρό, τὴν ὡραιότητά του ποὺ ἀκμάζει, τὸ ἄνθος ποὺ ποτὲ δὲ μαραίνεται, τὴν εὐπρέπειά του, τὴν ὀμορφιά του, τὴν ἀνεμπόδιστη διακονία του, κάπως ἔτσι ἔλεγε· «στὸν ἥλιο τοποθέτησε τὴν κατοικία του ὁ Θεός»[33], δηλαδή, στοὺς ἴδιους τοὺς οὐρανούς. Αὐτὸ ὑπονοεῖ λέγοντας κατοικία τοῦ Θεοῦ. «Καὶ αὐτὸς σὰν νυμφίος βγαίνει ἀπὸ τὸ νυφικό του θάλαμο». Στὴ συνέχεια, δηλώνοντας τὴν εὐκολία μὲ τὴν ὁποία κάνει τὴν ὑπηρεσία του, πρόσθεσε, «μὲ ἀγαλλίαση σὰν γίγαντας τρέχει τὸ δρόμο του». Ἔπειτα, δείχνοντας τὴ διάρκεια καὶ τὴν ἐπάρκειά του γιὰ ὅλη τὴν οἰκουμένη, πρόσθεσε· «ἀπὸ τὸ ἕνα ἄκρο τοῦ οὐρανοῦ γίνεται ἡ ἔξοδός του καὶ στὸ

33. Ψαλμ. 18,6.

*κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ». Εἶτα τὸ πᾶσι χρήσιμον καὶ ὠφέλιμον «καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ».*

*Ἔξεστιν, εἰ μὴ ἀπέκαμες, μαθεῖν αὐτοῦ τὴν πρόνοιαν καὶ ἑτέρωθεν· ἀπὸ τῶν νεφῶν, ἀπὸ τῶν ὡρῶν, ἀπὸ τῶν τροπῶν, ἀπὸ των ἀνέμων, ἀπὸ τῆς θαλάσσης καὶ τῶν ἐν αὐτῇ ποικίλων γενῶν, ἀπὸ τῆς γῆς καὶ τῶν ἐν αὐτῇ τετραπόδων, ἑρπετῶν, πτηνῶν τῶν ἀεροπόρων, τῶν χερσαίων, ἀπὸ τῶν ἀμφιβίων τῶν ἐν λίμναις καὶ πηγαῖς καὶ ποταμοῖς, ἀπὸ τῆς οἰκουμένης, ἀπὸ τῆς ἀοικήτου, ἀπὸ τῶν φυομένων σπερμάτων, δένδρων, βοτανῶν, φυτῶν ἐν ταις ἐρήμοις, ἐν ταῖς οὐκ ἐρήμοις, ἀπὸ τῶν βλαστανόντων ἐν πεδίοις, ἐν φάραγξιν, ἐν ὄρεσιν, ἐν νάπαις, ἀπὸ τῶν αὐτομάτως φυομένων, ἀπὸ τῶν μετὰ πόνου καὶ γεωργίας, ἀπὸ τῶν ζώων τῶν ἡμέρων, τῶν ἀνημέρων, τῶν ἀγρίων, τῶν χειροηθῶν, τῶν μικρῶν, τῶν μεγάλων, ἀπὸ τῶν ἐν χειμῶνι, τῶν ἐν θέρει, τῶν ἐν μετοπώρῳ φαινομένων ὀρνίθων καὶ τετραπόδων καὶ ἰχθύων καὶ φυτῶν καὶ βοτανῶν, ἀπὸ τῶν ἐν νυκτὶ γινομένων, ἀπὸ τῶν ἐν ἡμέρᾳ, ἀπὸ τῶν ὑετῶν, ἀπὸ τοῦ μέτρου τῶν ἐνιαυτῶν, ἀπὸ θανάτου, ἀπὸ ζωῆς, ἀπὸ τοῦ πόνου τοῦ συγκεκληρωμένου ἡμῖν ἀπὸ ἀθυμίας, ἀπὸ ἀνέσεως, ἀπὸ σίτων καὶ ποτῶν τῶν δεδομένων ἡμῖν, ἀπὸ τῶν ἐπιτηδευμάτων, ἀπὸ τεχνῶν, ἀπὸ ξύλων, ἀπὸ λίθων, ἀπὸ τῶν ὀρῶν τῶν μεταλλικῶν, ἀπὸ τῆς πλεομένης θαλάττης, ἀπὸ τῆς ἀπλώτου, ἀπὸ τῶν νήσων, ἀπὸ τῶν ὅρμων, ἀπὸ τῶν ἀκτῶν, ἀπὸ τῆς ἐπιφανείας τοῦ πελάγους, ἀπὸ τοῦ βάθους τῶν ὑδάτων, ἀπὸ τῆς φύσεως τῶν στοιχείων, ἀφ' ὧν ὁ κόσμος ἡμῖν συνέστηκεν, ἀπὸ τῆς διατάξεως τῶν καιρῶν, ἀπὸ τῆς διαφορᾶς τοῦ μέτρου τῆς ἡμέρας καὶ τῆς νυκτός, ἀπὸ νόσου καὶ ὑγιείας, ἀπὸ τῶν μελῶν τῶν ἡμετέρων, ἀπὸ τῆς κατασκευῆς τῆς ψυχῆς, ἀπὸ τῶν τεχνῶν καὶ τῆς σοφίας τῆς ἐν αὐταῖς παρασχεθείσης τῷ τῶν ἀνθρώπων γένει, ἀπὸ τῆς χρείας τῶν ὑπηρετουμένων ἡμῖν ἀλό-*

ἄλλο ἄκρο τοῦ οὐρανοῦ τελειώνει ἡ πορεία του»[34]. Ἔπειτα τὴ χρησιμότητα καὶ ὠφέλειά του σὲ ὅλους, «καὶ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ μπορεῖ νὰ κρυφθεῖ ἀπὸ τὴ θερμότητά του».

Εἶναι δυνατό, ἂν δὲν κουράστηκες πολύ, νὰ μάθεις καὶ ἀπὸ ἀλλοῦ τὴν πρόνοια τοῦ Θεοῦ. Ἀπὸ τὰ νέφη, ἀπὸ τὶς ἐποχές, ἀπὸ τὶς μεταβολὲς τοῦ καιροῦ, ἀπὸ τοὺς ἀνέμους, ἀπὸ τὴ θάλασσα καὶ τὰ διάφορα γένη ποὺ βρίσκονται σ' αὐτή, ἀπὸ τὴ γῆ καὶ τὰ τετράποδα ποὺ ὑπάρχουν σ' αὐτή, τὰ ἑρπετά, τὰ πτηνὰ ποὺ πετοῦν στὸν ἀέρα, τὰ ζῶα τῆς γῆς, ἀπὸ τὰ ἀμφίβια ποὺ ζοῦν στὶς λίμνες καὶ τὶς πηγὲς καὶ τοὺς ποταμούς, ἀπὸ τὴν κατοικημένη γῆ, ἀπὸ τὴν ἀκατοίκητη, ἀπὸ τοὺς σπόρους ποὺ φυτρώνουν, τὰ δέντρα, τὰ χόρτα, τὰ φυτὰ ποὺ ὑπάρχουν στὶς ἐρήμους, τὰ φυτὰ ποὺ δὲν εἶναι στὶς ἐρήμους, ἀπὸ τὰ φυτὰ ποὺ βλαστάνουν στὶς πεδιάδες, στὰ φαράγγια, στὰ ὄρη, στὶς κοιλάδες, ἀπὸ τὰ φυτὰ ποὺ φυτρώνουν μόνα τους, ἀπ' αὐτὰ ποὺ γίνονται μὲ κόπο καὶ καλλιέργεια, ἀπὸ τὰ ζῶα τὰ ἥμερα, τὰ ἀνήμερα, τὰ ἄγρια, τὰ ἐξημερωμένα, τὰ μικρά, τὰ μεγάλα, ἀπ' ὅσα παρουσιάζονται τὸ χειμώνα, τὸ θέρος, τὸ φθινόπωρο, πουλιὰ καὶ τετράποδα καὶ ψάρια καὶ φυτὰ καὶ χόρτα, ἀπ' ὅσα γίνονται τὴ νύχτα, ἀπ' ὅσα συμβαίνουν τὴν ἡμέρα, ἀπὸ τὶς βροχές, ἀπὸ τὸ μέτρο τοῦ κάθε χρόνου, ἀπὸ τὸ θάνατο, ἀπὸ τὴ ζωή, ἀπὸ τὸν κόπο ποὺ ἔχουμε κληρονομήσει, ἀπὸ τὴ στενοχώρια, ἀπὸ τὴν ἄνεση, ἀπὸ τὶς τροφὲς καὶ τὰ ποτὰ ποὺ μᾶς δόθηκαν, ἀπὸ τὰ ἐπαγγέλματα, ἀπὸ τὶς τέχνες, ἀπὸ τὰ ξύλα, ἀπὸ τὶς πέτρες, ἀπὸ τὰ βουνὰ ποὺ περιέχουν μέταλλα, ἀπὸ τὴν πλωτὴ θάλασσα, ἀπὸ τὴν ἄπλευστη, ἀπὸ τὰ νησιά, ἀπὸ τοὺς ὅρμους, ἀπὸ τὶς ἀκτές, ἀπὸ τὴν ἐπιφάνεια τοῦ πελάγους, ἀπὸ τὸ βάθος τῶν νερῶν, ἀπὸ τὴ φύση τῶν στοιχείων ἀπὸ τὰ ὁποῖα συντελέσθηκε ὁ κόσμος γιὰ μᾶς, ἀπὸ τὴ διάταξη τῶν καιρῶν, ἀπὸ τὴ διαφορὰ τοῦ χρόνου τῆς ἡμέρας καὶ τῆς νύχτας, ἀπὸ τὴν ἀσθένεια καὶ τὴν ὑγεία, ἀπὸ τὰ δικά μας μέλη, ἀπὸ τὴν κατασκευὴ τῆς ψυχῆς, ἀπὸ τὶς τέχνες καὶ τὴ σοφία ποὺ δόθηκε σ' αὐτὲς γιὰ τὸ γένος τῶν ἀνθρώπων, ἀπὸ τὴ χρησιμότητα τῶν ζώων καὶ τῶν φυτῶν καὶ τῶν ἀλ-

34. Ψαλμ. 18,7.

γων καὶ φυτῶν καὶ ἑτέρων κτισμάτων, ἀπὸ τῶν μικροτάτων καὶ εὐτελεστάτων ζώων.

Τί γὰρ μελίττης βραχύτερον καὶ εἰδεχθέστερον; τί δὲ μυρμήκων καὶ τεττίγων εὐτελέστερον; Ἀλλ' ὅμως καὶ ταῦτα λαμπρὰν ἀφίησι φωνὴν ὑπὲρ τῆς τοῦ Θεοῦ προνοίας καὶ δυνάμεως καὶ σοφίας. Διὰ τοῦτο καὶ ὁ προφήτης, ὁ τοσούτου Πνεύματος ἠξιωμένος, ἐπιὼν τῆς κτίσεως τὸ σῶμα καὶ ὀλίγα ἅττα διεξελθών, ἀνεβόησε μετ' ἐκπλήξεως πολλῆς τὴν θαυμασίαν ἐκείνην φωνήν· «ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας».

Καὶ ταῦτα πάντα, ἄνθρωπε, διὰ σέ. Καὶ γὰρ καὶ ἄνεμοι διὰ σὲ (ἐπὶ γὰρ τὴν ἀρχὴν τὸν λόγον ἐπανάξομεν πάλιν), ἵνα τὰ σώματα πεπονηκότα ῥιπίζωσιν, ἵνα τὸν ἀπὸ τοῦ βορβόρου μολυσμόν, καὶ τὴν γινομένην βαρύτητα ἀπὸ τοῦ καπνοῦ καὶ τῶν καμίνων καὶ ἑτέρων ἀναθυμιάσεως διακαθαίρωσιν, ἵνα τὴν ἐκ τῆς ἀκτῖνος θερμότητα παραμυθῶνται, ἵνα κοῦφον ποιῶσι τὸ πνῖγος, ἵνα τὰ σπέρματα τρέφωσιν, ἵνα τὰ φυτὰ αὔξωσιν, ἵνα σοι καὶ ἐν θαλάσσῃ συνοδοιπορῶσι καὶ ἐν γῇ τῆς γεωργίας ὑπηρέται γένωνται, ἐκεῖ μὲν βέλους ὀξύτερον τὰ πλοῖα παραπέμποντες, οὕτω τὸν πλοῦν κοῦφον καὶ εὐμαρῆ κατασκευάζοντες, ἐνταῦθα δὲ μετὰ σοῦ τὰς ἅλωνας ἀνακαθαίροντες καὶ τὰ ἄχυρα τοῦ καρποῦ διαχωρίζοντες καὶ τὴν ἐκ τῆς ἐργασίας ταλαιπωρίαν ἐπικουφίζοντες, ἵνα σοι τὸν ἀέρα κοῦφον καὶ προσηνῆ κατασκευάσωσιν, ἵνα σε καὶ ἑτέρωθεν τέρπωσι νῦν μὲν γλυκὺ καὶ προσηνὲς συρίζοντες, νῦν δὲ ἠρέμα φυτοῖς προσβάλλοντες καὶ πέταλα δένδρων σείοντες, ἵνα σοι τὸν ὕπνον καὶ θέρους καὶ ἔαρος ὥρᾳ ἡδίω καὶ μέλιτος γλυκύτερον ἐργάσωνται, ἵν', ὅπερ ἐπὶ τῶν δένδρων ποιοῦσι, τοῦτο καὶ ἐπὶ τῶν θαλαττίων νώτων ἐργαζόμενοι, ἐπί τε τῶν ποταμίων ναμάτων καὶ τὴν ἐπιφάνειαν αὐτῶν μετεωρίζοντες, πολλήν σοι ἐντεῦθεν παρέχωσι τὴν ἀπὸ τῆς θέας τέρψιν, καὶ πρὸς τῆς τέρψεως δὲ ταύτης καὶ

λων δημιουργημάτων ποὺ μᾶς ὑπηρετοῦν, ἀπὸ τὰ πιὸ μικρὰ καὶ τὰ πιὸ ἀσήμαντα ζῶα.

Γιατὶ τί εἶναι πιὸ μικρὸ καὶ πιὸ ἀποκρουστικὸ ἀπὸ τὴ μέλισσα; Καὶ τί πιὸ τιποτένιο ἀπὸ τὰ μυρμήγκια καὶ τὰ τζιτζίκια; Ἀλλ' ὅμως καὶ αὐτὰ ἀφήνουν δυνατὴ φωνὴ γιὰ τὴν πρόνοια τοῦ Θεοῦ καὶ τὴ δύναμη καὶ τὴ σοφία. Γι' αὐτὸ καὶ ὁ προφήτης, ποὺ εἶχε ἀξιωθεῖ τόσο πολὺ ἅγιο Πνεῦμα, ἀφοῦ παρατήρησε τὸ σῶμα τῆς κτίσης καὶ διηγήθηκε μερικὰ πράγματα, ἀναφώνησε μὲ πολὺ θαυμασμὸ τὴ θαυμάσια ἐκείνη φωνή· «πόσο μεγάλα εἶναι τὰ ἔργα σου, Κύριε! Ὅλα τὰ ἔκαμες μὲ σοφία»[35].

Καὶ ὅλα αὐτά, ἄνθρωπε, γιὰ σένα. Γιατὶ βέβαια καὶ οἱ ἄνεμοι ἔγιναν γιὰ σένα (θὰ ἐπανέρθουμε πάλι στὴν ἀρχὴ τοῦ λόγου), γιὰ νὰ δροσίζουν τὰ κουρασμένα σώματα, γιὰ νὰ καθαρίζουν τὴ μόλυνση ἀπὸ τὸ βοῦρκο καὶ τὸ νέφος ποὺ προέρχεται ἀπὸ τὸν καπνὸ καὶ τὰ καμίνια καὶ τὶς ἄλλες ἀναθυμιάσεις, γιὰ νὰ μετριάζουν τὴ θερμότητα τῶν ἀκτίνων, γιὰ νὰ κάνουν ὑποφερτὴ τὴν ὑπερβολικὴ ζέστη, γιὰ νὰ τρέφουν τὰ σπέρματα, γιὰ νὰ μεγαλώνουν τὰ φυτά, γιὰ νὰ ταξιδεύουν μαζί σου καὶ στὴ θάλασσα καὶ νὰ γίνονται βοηθοί σου στὴν καλλιέργεια τῆς γῆς, ἐκεῖ σπρώχνοντας τὰ πλοῖα πιὸ γρήγορα ἀπὸ τὸ βέλος καὶ κάνοντας ἔτσι τὸ ταξίδι ἐλαφρὸ καὶ ἄνετο, ἐνῶ ἐδῶ καθαρίζοντας μαζὶ μὲ σένα τὰ ἁλώνια καὶ ξεχωρίζοντας τὰ ἄχυρα ἀπὸ τὸν καρπὸ καὶ ἀνακουφίζοντας τὴν ταλαιπωρία ἀπὸ τὴν ἐργασία, γιὰ νὰ σοῦ κάνουν τὸν ἀέρα ἐλαφρὸ καὶ εὐχάριστο, γιὰ νὰ σὲ εὐχαριστοῦν καὶ μ' ἄλλους τρόπους, πότε σφυρίζοντας γλυκὰ καὶ εὐχάριστα, καὶ πότε φυσώντας σιγὰ–σιγὰ στὰ φυτα καὶ σείοντας τὰ φύλλα τῶν δέντρων, γιὰ νὰ σοῦ κάνουν τὸν ὕπνο τὸ καλοκαίρι καὶ τὴν ἄνοιξη πιὸ εὐχάριστο καὶ πιὸ γλυκὸ ἀπὸ τὸ μέλι, γιὰ νὰ κάνουν στὰ πλάτη τῆς θάλασσας καὶ στὰ νερὰ τῶν ποταμῶν, αὐτὸ ποὺ κάνουν στὰ δέντρα, ποὺ φυσσοῦν καὶ ὑψώνουν τὴν ἐπιφάνειά τους καὶ σοῦ προσφέρουν πολλὴ εὐχαρίστηση ἀπὸ τὸ θέαμα αὐτό, καὶ ἐκτὸς ἀπὸ τὴν εὐχαρίστηση αὐτὴ καὶ ὠφέλεια πολὺ μεγάλη. Γιατὶ πραγματικὰ καὶ στὰ νερὰ οἱ

35. Ψαλμ. 103,24.

*ὠφέλειαν μεγίστην. Καὶ γὰρ καὶ τοῖς ὕδασιν οὗτοι καὶ ἄλλως χρήσιμοι, οὐκ ἀφιέντες διηνεκῶς ἑστῶτα τὰ ὕδατα κατασήπεσθαι, ἀλλὰ τῷ συνεχῶς αὐτὰ κινεῖν καὶ ἀναρριπίζειν νεαρὰ καὶ ἀκμάζοντα καθιστῶντες καὶ πρὸς τροφὴν τῶν ἐν αὐτοῖς νηχομένων ζώων ἐπιτηδειότερα.*

*Εἰ δὲ καὶ αὐτὴν βουληθείης περιεργάζεσθαι τὴν νύκτα, ὄψει καὶ ἐντεῦθεν πολλὴν τοῦ ποιητοῦ τὴν πρόνοιαν. Καὶ γὰρ ἀναπαύει σοι τὸ σῶμα πεπονηκὸς καὶ τὰ μέλη σοι κατατεινόμενα τοῖς μεθημερινοῖς πόνοις ἀνίησι καὶ χαλᾷ, ἀλλοιοῦσα καὶ πρὸς ἀκμὴν διὰ τῆς ἡσυχίας ἐπανάγουσα πάλιν· οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν μεθημερινῶν σε ἀπαλλάττει λυπῶν καὶ τῶν ἀκαίρων ἀνίησι φροντίδων· πολλάκις δὲ καὶ νοσοῦντος πυρετὸν ἔσβεσεν, ἀντιφάρμακον ὕπνον ἐπάξασα καὶ τὴν τῶν ἰατρῶν ἀπορουμένην τέχνην εἰς εὔδιον ὁρμίσασα λιμένα καὶ πολλῶν ἀπαλλάξασα πόνων. Καὶ τοσαύτη αὐτῆς ἡ χρεία, τηλικαύτη ἡ ὠφέλεια, ὡς καὶ τὴν ἡμέραν πολλάκις παραπόλλυσθαι τοῖς ἐν αὐτῇ σχολάζειν ἀποστερηθεῖσιν. Εἰ γάρ τις ἀνέλοι τῷ λόγῳ τὴν τῆς νυκτὸς ἡσυχίαν καὶ τὴν ἄνεσιν καὶ τὴν ἀνακωχήν, δι' ἧς ἅπαντα ἀναπαύονται καὶ ψυχὴ πεπονηκυῖα καὶ σῶμα ταλαιπωρηθέν, ἀκμαζούσῃ τῇ διανοίᾳ τῆς μεθ' ἡμέραν ἐργασίας ἅπτεται, ἄχρηστον ὄψεται τὸ ζῶον τοῦτο γινόμενον. Εἰ δέ τις προσθείη τὰς νύκτας ταῖς ἡμέραις ἐγρηγορώς, καὶ ἐργαζόμενος, ἢ καὶ ἀργῶν καὶ ἐπὶ πλέον τοῦτο ποιήσειεν, ἀποθανεῖται εὐθέως, ἢ εἰ μὴ τοῦτο, νόσῳ πάντως μακρᾷ παραδοθείς, οὐδὲν ἀπὸ τῆς ἡμέρας καρπώσεται εἰς τὴν τῆς οἰκείας χρείας ἐνέργειαν, τῆς δυνάμεως αὐτῷ κατασβεσθείσης.*

*Εἰ δὲ καὶ ἐπὶ τὸν ἄπειρον τῶν ἰχθύων δῆμον ἁπλώσαιμεν τὸν λόγον, τῶν ἐν λίμναις, τῶν ἐν πηγαῖς, τῶν ἐν ποταμοῖς, τῶν ἐν τῇ πλεομένῃ, τῶν ἐν τῇ ἀπλώτῳ θαλάττῃ, ἢ καὶ τὰ ἄφατα τῶν ὀρνίθων κατίδοιμεν ἔθνη, τῶν ἐν ἀέρι, τῶν ἐν γῇ, τῶν ἐν*

ἄνεμοι εἶναι μ' ἄλλον τρόπο χρήσιμοι, ἀφοῦ δὲν τὰ ἀφήνουν νὰ εἶναι στάσιμα διαρκῶς καὶ νὰ κατασαπίζουν, ἀλλὰ μὲ τὸ νὰ τὰ κινοῦν συνέχεια καὶ νὰ τὰ δροσίζουν τὰ καθιστοῦν φρέσκα καὶ δροσερὰ καὶ καὶ πιὸ κατάλληλα γιὰ νὰ τραφοῦν τὰ ζῶα ποὺ κολυμποῦν σ' αὐτά.

Ἂν ὅμως ἤθελες νὰ περιεργασθεῖς καὶ αὐτὴ τὴ νύχτα, θὰ δεῖς καὶ ἀπὸ ἐδῶ μεγάλη τὴν πρόνοια τοῦ Δημιουργοῦ. Γιατὶ σοῦ ξεκουράζει τὸ κατάκοπο σῶμα, καὶ τὰ μέλη σου ποὺ ἀγωνίζονται στοὺς κόπους τῆς ἡμέρας τὰ ἐλαφρώνει καὶ τὰ χαλαρώνει, ἀνανεώνοντάς τα καὶ δίνοντας πάλι σ' αὐτὰ τὴ δύναμη μὲ τὴν ἀνάπαυση. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ἀπὸ τὶς λύπες τῆς ἡμέρας σὲ ἀπαλλάσσει καὶ σὲ ἀποσπάει ἀπὸ τὶς ἄπρεπες φροντίδες. Πολλὲς φορὲς ἐπίσης ἔσβησε καὶ τὸν πυρετὸ τοῦ ἀρρώστου, χορηγώντας ἀντιφάρμακο τὸν ὕπνο καὶ ὁδηγώντας τὴν ἀνίσχυρη τέχνη τῶν ἰατρῶν σὲ γαλήνιο λιμάνι καὶ ἀπαλλάσσοντας ἀπὸ πολλοὺς πόνους. Καὶ εἶναι τόση πολλὴ ἡ χρησιμότητά της, τόσο μεγάλη ἡ ὠφέλειά της, ὥστε νὰ χάνουν καὶ τὴν ἡμέρα πολλὲς φορὲς ὅσοι στερήθηκαν τὴν ἀνάπαυση κατὰ τὴ διάρκεια τῆς νύχτας. Γιατί, ἂν κανεὶς ἀφαιρέσει μὲ τὸ λόγο τὴν ἡσυχία τῆς νύχτας καὶ τὴν ἄνεση καὶ τὴ διακοπή, μὲ τὴν ὁποία ὅλα ξεκουράζονται, καὶ ἡ κατάκοπη ψυχὴ καὶ τὸ ταλαιπωρημένο σῶμα, ἀρχίζει τὴν ἐργασία τῆς ἡμέρας μὲ ἀκμαία τὴ διάνοια, θὰ δεῖ τὸ πλάσμα αὐτὸ νὰ γίνεται ἄχρηστο. Καὶ ἂν κανεὶς προσθέσει τὶς νύχτες στὶς ἡμέρες του, νὰ εἶναι ξυπνητὸς καὶ νὰ ἐργάζεται ἢ καὶ νὰ μένει ἀργός, καὶ τὸ κάμει αὐτὸ γιὰ πολὺ καιρό, θὰ πεθάνει ἀμέσως, ἢ καὶ ἂν δὲ συμβεῖ αὐτό, θὰ παραδοθεῖ ὁπωσδήποτε σὲ μακροχρόνια ἀρρώστια καὶ δὲ θὰ κερδίσει τίποτε ἀπὸ τὴν ἡμέρα στὴν ἐργασία γιὰ τὶς ἀνάγκες του, ἀφοῦ ἡ δύναμή του σβήστηκε ἐντελῶς.

Ἂν ὅμως ἁπλώσουμε τὸ λόγο καὶ στὸ ἄπειρο πλῆθος τῶν ψαριῶν, ποὺ ζοῦν στὶς λίμνες, στὶς πηγές, στοὺς ποταμούς, στὴν πλευστὴ καὶ στὴν ἄπλευστη θάλασσα, ἢ καὶ ἂν παρατηρήσουμε τὰ ἀναρρίθμητα εἴδη τῶν πουλιῶν, ποὺ ζοῦν στὸν ἀέρα,

*ὕδασιν ὁμοῦ καὶ γῇ (καὶ γάρ ἐστιν ἀμφίβια πολλὰ ἐν αὐτοῖς), τῶν ἀγρίων, τῶν ἡμέρων, τῶν ἀγρίων μέν, τιθασσευομένων δέ, τῶν δι' ὅλου μενόντων ἀγρίων, τῶν ἐσθιομένων, τῶν οὐκ ἐσθιομένων καὶ περιεργασαίμεθα ἑκάστου καὶ κάλλος καὶ πτερὸν καὶ φωνὴν ᾠδικήν, ἔτι τε τὰς διαφορὰς μόνον αὐτῶν εἰ καταμάθοιμεν καὶ ᾠδῆς καὶ τραπέζης καὶ διαγωγῆς καὶ τὰς διατριβὰς καὶ τὰ ἤθη καὶ τὰς χρείας καὶ τὰς διακονίας, ἃς παρέχουσιν ἡμῖν, πάσας ἐπέλθοιμεν καὶ τὰ μεγέθη καὶ τὴν βραχύτητα καὶ τὰς ὠδῖνας καὶ τὴν ἀνατροφὴν καὶ τὴν πολλὴν ἐν τούτοις καὶ ἄφατον ποικιλίαν καὶ τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ ἰχθύων ποιήσαιμεν καὶ ἐντεῦθεν ἔλθοιμεν καὶ ἐπὶ τὰς βοτάνας τὰς πανταχοῦ τῆς γῆς φυομένας, ἑκάστου τε τούτων καὶ καρπὸν ἴδοιμεν καὶ χρείαν καὶ εὐωδίαν καὶ ὄψιν καὶ θέσιν καὶ φύλλα καὶ χρῶμα καὶ σχῆμα καὶ μέγεθος καὶ μικρότητα καὶ ὠφέλειαν καὶ ἐργασίας τρόπους καὶ φλοιῶν καὶ στελεχῶν καὶ κλάδων διαφορὰς καὶ λειμῶνας καὶ παραδείσους, εἶτα μετέλθοιμεν ἐπὶ τὰ ποικίλα ἀρώματα καὶ τοὺς παντοδαποὺς τόπους αὐτῶν περιεργασαίμεθα καὶ τοὺς τρόπους τῆς εὑρέσεως καὶ τῆς ἐπιμελείας καὶ τῆς γεωργίας καὶ ὅτι πρὸς ἰατρείαν ἡμῖν συντελεῖ· καὶ μετὰ τούτων πάλιν, εἰ ἐπὶ τὰ μεταλλικὰ ἔτι χωρήσαιμεν ὄρη, πολλὰ ὄντα κἀκεῖνα, καὶ ὅσα ἕτερα πολλῷ πλείονα κατὰ τὴν κτίσιν διερευνήσαιμεν, ποῖος λόγος, ἢ ποῖος ἡμῖν διαρκέσει χρόνος πρὸς τὴν τούτων ἀκριβῆ κατανόησιν;*

*Καὶ ταῦτα ἅπαντα, ἄνθρωπε, διὰ σέ· καὶ τέχναι διὰ σέ, καὶ ἐπιτηδέματα καὶ πόλεις καὶ κῶμαι καὶ ὕπνος διὰ σέ, καὶ θάνατος διὰ σέ, καὶ ζωὴ διὰ σέ, καὶ αὔξησις καὶ φύσεως ἔργα τοσαῦτα καὶ τοιοῦτος ὁ κόσμος διὰ σὲ νῦν καὶ πάλιν ἀμείνων διὰ σέ. Ὅτι γὰρ ἀμείνων ἔσται καὶ τοῦτο διὰ σέ, ἄκουσον τί*

στὴ γῆ, στὰ νερὰ καὶ στὴ γῆ μαζὶ (γιατὶ ὑπάρχουν καὶ πολλὰ ἀμφίβια ἀνάμεσά τους), τὰ ἄγρια, τὰ ἥμερα, τὰ ἄγρια ποὺ ἐξημερώνονται ὅμως, τὰ ἄγρια ποὺ παραμένουν πάντοτε ἄγρια, αὐτὰ ποὺ τρώγονται, αὐτὰ ποὺ δὲν τρώγονται, καὶ ἂν περιεργασθοῦμε τοῦ καθενὸς τὴν ὀμορφιὰ καὶ τὸ φτερὸ καὶ τὴ μελωδικὴ φωνή, καὶ ἀκόμη ἂν μάθουμε καλὰ τὶς διαφορές τους μόνο καὶ στὸ τραγούδι τους καὶ στὴν τροφὴ καὶ στὸν τρόπο ζωῆς τους, καὶ τὶς φωλιὲς καὶ τὶς συνήθειες, καὶ ἂν ἐξετάσουμε μὲ ἀκρίβεια ὅλες τὶς ὠφέλειες καὶ τὶς ὑπηρεσίες ποὺ μᾶς προσφέρουν, καὶ τὸ μεγάλο καὶ τὸ μικρὸ μέγεθός τους, καὶ τὸν τρόπο τῆς γέννησης καὶ τὴν ἀνατροφή τους, καὶ τὴ μεγάλη καὶ ἀνείπωτη ποικιλία ποὺ παρατηρεῖται σ' αὐτά, καὶ ἂν αὐτὸ τὸ ἴδιο τὸ κάνουμε καὶ στὰ ψάρια, καὶ ἂν ἀπὸ ἐδῶ ἔρθουμε καὶ στὰ φυτὰ ποὺ φυτρώνουν σὲ ὅλα τὰ μέρη τῆς γῆς καὶ δοῦμε τοῦ καθενὸς ἀπ' αὐτὰ καὶ τὸν καρπὸ καὶ τὴ χρησιμότητα καὶ τὴν εὐωδία καὶ τὴ μορφὴ καὶ τὴ θέση καὶ τὰ φύλλα καὶ τὸ χρῶμα καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος καὶ τὴ μικρότητα καὶ τὴν ὠφέλεια καὶ τοὺς τρόπους τῆς ἐργασίας καὶ τὶς διαφορὲς στὶς φλοῦδες καὶ τοὺς κορμοὺς καὶ στὰ κλαδιά τους, καὶ τὰ λιβάδια, καὶ τοὺς κήπους, ἔπειτα ἂν περάσουμε στὰ διάφορα ἀρώματα καὶ περιεργασθοῦμε τοὺς διάφορους τόπους στοὺς ὁποίους βρίσκονται, καὶ τοὺς τρόπους ποὺ τὰ βρίσκουν καὶ τὰ φροντίζουν καὶ τὰ καλλιεργοῦν, καὶ ὅτι συντελοῦν στὴ θεραπεία μας, καὶ ὕστερα πάλι ἀπ' αὐτά, ἂν προχωρήσουμε στὰ ὄρη ποὺ περιέχουν μέταλλα, γιατὶ εἶναι πολλὰ καὶ αὐτά, καὶ ἂν ἐρευνήσουμε ὅσα ἄλλα πολὺ περισσότερα ὑπάρχουν στὴν κτίση, ποιός λόγος ἢ ποιός χρόνος θὰ μᾶς φθάσει γιὰ νὰ τὰ κατανοήσουμε μὲ ἀκρίβεια αὐτά;

Καὶ ὅλα αὐτά, ἄνθρωπε, γιὰ σένα. Καὶ οἱ τέχνες γιὰ σένα, καὶ τὰ ἐπαγγέλματα, καὶ οἱ πόλεις, καὶ οἱ κωμοπόλεις, καὶ ὁ ὕπνος γιὰ σένα, καὶ ὁ θάνατος γιὰ σένα, καὶ ἡ ζωὴ γιὰ σένα, καὶ ἡ βλάστηση καὶ τὰ τόσα πολλὰ ἔργα τῆς φύσης, καὶ τέτοιος ὁ κόσμος γιὰ σένα τώρα, καὶ πάλι καλύτερος γιὰ σένα. Ὅτι λοιπὸν θὰ γίνει καλύτερος καὶ αὐτὸ θὰ γίνει γιὰ σένα, ἄκουσε τί

*φησιν ὁ Παῦλος «ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς»· τοῦτ' ἔστιν, ἀπὸ τοῦ εἶναι φθαρτή. Πῶς δὲ καὶ τῆς τοσαύτης ἀπολαύσεται τιμῆς διὰ σὲ δηλῶν ἐπήγαγεν, «εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ». Εἰ δὲ μὴ μακρὸν σφόδρα καὶ ὑπὲρ τὸ μέτρον ἐποιούμην τὸν λόγον, πολλὰ ἂν καὶ περὶ θανάτου ἐφιλοσόφησα καὶ ἐν τούτῳ μάλιστα ἐδείκνυον τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν πρόνοιαν καὶ πολλὰ περὶ φθορᾶς, περὶ ἰχῶρος, περὶ σκωλήκων καὶ περὶ τέφρας εἶπον ἄν, ἅπερ μάλιστα θρηνοῦσιν οἱ πολλοὶ καὶ ἀποδύρονται, ὅτι εἰς τέφραν, ὅτι εἰς κόνιν, ὅτι εἰς σκώληκας διαλυθήσεται ἡμῶν τὰ σώματα, κἀντεῦθεν ἐδείξαμεν τὴν ἄφατον αὐτοῦ πρόνοιαν καὶ κηδεμονίαν.*

*Ἀπὸ γὰρ τῆς αὐτῆς προνοίας, ἀπὸ τῆς αὐτῆς ἀγαθότητος, ἀφ' ἧς οὐκ ὄντας ἐποίησεν, ἀπὸ τῆς αὐτῆς καὶ ἀποθνῄσκειν ἐκέλευσε καὶ τοιοῦτον ἔχειν τὸ τέλος. Εἰ γὰρ καὶ διάφορα τὰ γινόμενα, ἀλλὰ μιᾶς εἰσιν ἀγαθότητος· ὅ τε γὰρ ἀπελθὼν οὐδὲν ἐντεῦθεν παραβλάπτεται, ὅ τε ζῶν τὰ μέγιστα ἐντεῦθεν κερδανεῖ, ἐν ἀλλοτρίῳ σώματι οἰκείαν καρπούμενος ὠφέλειαν. Ὅταν γὰρ ἴδῃ τὸν χθὲς καὶ πρώην μετ' αὐτοῦ βαδίζοντα, τοῦτον εἰς σκώληκας διαλυόμενον καὶ εἰς ἰχῶρα καὶ τέφραν καὶ κόνιν, κἂν αὐτοῦ τοῦ διαβόλου τὴν ἀπόνοιαν ἔχῃ, καταπτήσεται, συστέλλεται, μετριάζει, φιλοσοφεῖν παιδεύεται καὶ τὴν μητέρα τῶν ἀγαθῶν τὴν ταπεινοφροσύνην εἰς τὴν διάνοιαν εἰσοικίζει. Οὕτως οὔτε ὁ ἀπελθών τι παρεβλάβη· ἀπολήψεται γὰρ τοῦτο τὸ σῶμα ἀκήρατον καὶ ἄφθαρτον· ὅ τε ἔτι ἐν τῷ σκάμματι ὤν, ἀφ' ὧν οὐδὲν ἕτερος ἐβλάβη, τὰ μέγιστα κερδανεῖ. Οὐχ ὁ τυχὼν διδάσκαλος φιλοσοφίας ὁ θάνατος εἰσηνέχθη εἰς τὸν ἡμέτερον βίον, παιδαγωγῶν τὴν διάνοιαν καὶ τὰ πάθη τῆς ψυχῆς χαλινῶν καὶ τὰ κύματα καταστέλλων καὶ γαλήνην ποιῶν.*

*Μαθὼν τοίνυν καὶ ἐκ τῶν εἰρημένων καὶ ἐξ ἑτέρων πλειόνων, τοῦ φωτὸς τούτου φανερώτερον διαλάμπουσαν τὴν*

λέγει ὁ Παῦλος, «γιατὶ καὶ αὐτὴ ἡ κτίση θὰ ἐλευθερωθεῖ ἀπὸ τὴ δουλεία τῆς φθορᾶς»[36], δηλαδή, ἀπὸ τὸ νὰ εἶναι φθαρτή. Καὶ πῶς θ' ἀπολαύσει τὴν τόσο μεγάλη τιμὴ γιὰ σένα, γιὰ νὰ τὸ φανερώσει πρόσθεσε, «γιὰ τὴν ἐλευθερία τῆς δόξας τῶν τέκνων τοῦ Θεοῦ». Καὶ ἂν δὲν ἔκαμα τὸ λόγο πάρα πολὺ μακρὸ καὶ δὲν ξεπερνοῦσα τὸ μέτρο, θὰ φιλοσοφοῦσα πολλὰ καὶ γιὰ τὸ θάνατο, καὶ σ' αὐτὸν ἰδιαίτερα θὰ ἔδειχνα τὴ σοφία καὶ τὴν πρόνοια τοῦ Θεοῦ, καὶ θὰ ἔλεγα πολλὰ γιὰ τὴ φθορά, γιὰ τὴ σήψη, γιὰ τὰ σκουλήκια καὶ γιὰ τὴ στάχτη, πράγματα γιὰ τὰ ὁποῖα κυρίως θρηνοῦν οἱ πολλοὶ καὶ ὀδύρονται, ὅτι σὲ στάχτη, ὅτι σὲ σκόνη, ὅτι σὲ σκουλήκια θὰ διαλυθοῦν τὰ σώματά μας, καὶ θὰ δείχναμε ἀπὸ ἐδῶ τὴν ἀνέκφραστη πρόνοια καὶ φροντίδα τοῦ Θεοῦ.

Γιατὶ μὲ τὴν ἴδια πρόνοια, μὲ τὴν ἴδια ἀγαθότητα μὲ τὴν ὁποία χωρὶς νὰ ὑπάρχουμε μᾶς δημιούργησε, μὲ τὴν ἴδια καθόρισε καὶ νὰ πεθαίνουμε καὶ νὰ ἔχουμε τέτοιο τέλος. Ἂν καὶ αὐτὰ βέβαια ποὺ γίνονται εἶναι διαφορετικά, προέρχονται ὅμως ἀπὸ τὴν ἴδια ἀγαθότητα, γιατὶ καὶ αὐτὸς ποὺ ἔφυγε δὲ βλάπτεται καθόλου ἀπ' αὐτό, καὶ αὐτὸς ποὺ ζεῖ θὰ κερδίσει πάρα πολὺ μεγάλα ἀπ' αὐτὸ παίρνοντας τὴ δική του ὠφέλεια μὲ τὸ ξένο σῶμα. Γιατί, ὅταν δεῖ αὐτὸν ποὺ χθὲς καὶ πιὸ πρὶν βάδιζε μαζί του νὰ διαλύεται σὲ σκουλήκια καὶ σὲ σαπίλα καὶ σὲ στάχτη καὶ σὲ σκόνη, καὶ ἂν ἀκόμη ἔχει τὴν παραφροσύνη τοῦ διαβόλου, φοβᾶται, μαζεύεται, ταπεινώνεται, μαθαίνει νὰ φιλοσοφεῖ καὶ ἐγκαθιστᾶ μέσα στὴν ψυχή του τὴ μητέρα τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνη. Ἔτσι οὔτε αὐτὸς ποὺ ἔφυγε ζημιώθηκε καθόλου, γιατὶ θὰ πάρει πάλι αὐτὸ τὸ ἀμόλυντο καὶ ἄφθαρτο σῶμα, καὶ αὐτὸς ποὺ ἀκόμη ἀγωνίζεται θὰ κερδίσει πάρα πολλά, ἀπ' αὐτὰ ποὺ καθόλου δὲ ζημιώθηκε ἄλλος. Ὁ θάνατος μπῆκε στὴ ζωή μας ὄχι σὰν τυχαῖος διδάσκαλος φιλοσοφίας γιὰ νὰ παιδαγωγεῖ τὴ σκέψη μας, νὰ χαλιναγωγεῖ τὰ πάθη τῆς ψυχῆς μας καὶ νὰ καταπαύει τὰ κύματα καὶ νὰ φέρνει τὴ γαλήνη.

Ἀφοῦ λοιπὸν ἔμαθες καὶ ἀπ' αὐτὰ ποὺ λέχθηκαν καὶ ἀπὸ ἄλλα περισσότερα τὴν πρόνοια τοῦ Θεοῦ ποὺ λάμπει πιὸ φανε-

36. Ρωμ. 4,19.

τοῦ Θεοῦ πρόνοιαν, μὴ περιεργάζου τὰ περιττά, μηδὲ ἀκίχητα δίωκε, τὰς αἰτίας πάντων ἐξετάζων. Καὶ γὰρ αὐτὸ τὸ εἶναι ἐξ ἀγαθότητος ἡμῖν παρέσχεν, οὐ χρείαν ἔχων ἡμῶν τῆς διακονίας. Καὶ χρὴ θαυμάζειν αὐτὸν καὶ προσκυνεῖν, οὐχ ὅτι ἐποίησε μόνον, οὐδ' ὅτι ψυχὴν ἐχαρίσατο ἀσώματον καὶ λογικήν, οὐδ' ὅτι τῶν ἄλλων ἁπάντων βελτίους εἰργάσατο, οὐδ' ὅτι τὴν δεσποτείαν ἐνεχείρισε τῶν ὁρωμένων καὶ τὴν ἐξουσίαν ἐπέτρεψεν, ἀλλ' ὅτι μηδὲν δεόμενος ἡμῶν. Τὸ γὰρ δὴ θαυμαστὸν τῆς ἀγαθότητος αὐτοῦ τοῦτό ἐστιν, ὅτι οὐδὲν χρήζων ἡμῶν τῆς διακονίας παρήγαγε. Καὶ γὰρ πρὶν γενέσθαι καὶ ἡμᾶς καὶ ἀγγέλους καὶ τὰς ἄνω δυνάμεις, ἦν τὴν οἰκείαν δόξαν ἔχων καὶ τὴν μακαριότητα, διὰ φιλανθρωπίαν δὲ μόνην ἡμᾶς παρήγαγε καὶ ἅπαντα ταῦτα ἐποίησε δι' ἡμᾶς, καὶ ἔτι πολλῷ πλείονα τούτων.

8. Διὰ τοῦτο καὶ νόμον γράψας ἔδωκε δι' ἡμᾶς καὶ προφήτας ἀπέστειλε καὶ θαύματα εἰργάσατο καὶ πρὸ τούτων ἁπάντων ὁμοῦ πλάσας τὸν ἄνθρωπον, διδάσκαλον αὐτῷ τὸν ἔμφυτον ἐναπέθετο νόμον, ὥσπερ πλοίῳ κυβερνήτην καὶ ἡνίοχον ἵππῳ, τοῖς λογισμοῖς ἡμῶν ἐπιστήσας αὐτόν. Οὕτω γοῦν καὶ Ἄβελ αὐτὸν ἔγνω, οὐ γραμμάτων ὄντων, οὐ προφητῶν, οὐκ ἀποστόλων, οὐ νόμου γραπτοῦ τινος ἐνηχοῦντος, ἀλλὰ τὸν ἔμφυτον ἔχων νόμον. Οὕτως ὁ Κάϊν· καὶ γὰρ καὶ ἐκεῖνος ἔγνω· καὶ ἀμφότεροι μὲν αὐτὸν ᾔδεσαν καὶ τὴν δεσποτείαν ἐπεγίνωσκον, οὐκ ἀμφότεροι δὲ τὴν αὐτὴν ἦλθον ὁδόν· ἀλλ' ὁ μὲν τὴν τῆς κακίας, ὁ δὲ τὴν τῆς ἀρετῆς. Καὶ ὅμως οὐδὲ οὕτως αὐτὸν ἐγκατέλιπεν, ἀλλὰ καὶ πεσόντα καὶ ὑποσκελισθέντα ἐπηνώρθου καὶ ἐπιμελείας ἀπολαύειν ἐποίει· καὶ πρῶτον μὲν παραινῶν καὶ συμβουλεύων, ὕστερον δὲ τῷ φόβῳ, τῷ τρόμῳ νουθετῶν, παιδεύων, διδάσκων.

Ἐπειδὴ δὲ τοσοῦτον προύδωκαν δῶρον οἱ πολλοὶ τῶν

ρὰ ἀπὸ τὸ φῶς αὐτό, νὰ μὴν περιεργάζεσαι τὰ περιττὰ οὔτε νὰ ἐπιδιώκεις τὰ ἀνέφικτα, ἐξετάζοντας τὶς αἰτίες ὅλων. Γιατὶ καὶ αὐτὴ τὴν ὕπαρξή μας ἀπὸ ἀγαθότητα μᾶς τὴν παραχώρησε, χωρὶς νὰ ἔχει ἀνάγκη ἀπὸ τὴν ὑπηρεσία μας. Καὶ πρέπει νὰ τὸν θαυμάζουμε καὶ νὰ τὸν προσκυνοῦμε, ὄχι γιατὶ μᾶς δημιούργησε μόνο, οὔτε γιατὶ μᾶς χάρισε ψυχὴ ἀσώματη καὶ λογική, οὔτε γιατὶ μᾶς ἔκαμε καλύτερους ἀπ' ὅλα τὰ ἄλλα δημιουργήματα, οὔτε γιατὶ μᾶς παρέδωσε τὴν κυριαρχία τῶν ὁρατῶν καὶ μᾶς ἀνέθεσε τὴν ἐξουσία, ἀλλὰ γιατὶ μᾶς τὰ ἔδωσε αὐτὰ χωρὶς νὰ ἔχει καθόλου ἀνάγκη. Καὶ τὸ θαυμαστὸ τῆς ἀγαθότητάς του εἶναι αὐτό, ὅτι μᾶς δημιούργησε χωρὶς νὰ χρειάζεται καθόλου τὴν ὑπηρεσία μας. Γιατὶ πραγματικὰ πρὶν νὰ δημιουργηθοῦμε καὶ μεῖς καὶ οἱ ἄγγελοι καὶ οἱ οὐράνιες δυνάμεις, ὑπῆρχε αὐτὸς ἔχοντας τὴ δική του δόξα καὶ τὴ μακαριότητα, καὶ μόνο ἐξ αἰτίας τῆς φιλανθρωπίας του μᾶς δημιούργησε, καὶ ὅλα αὐτὰ τὰ ἔκαμε γιὰ μᾶς, καὶ ἀκόμη πολὺ περισσότερα ἀπ' αὐτά.

8. Γι' αὐτὸ καὶ νόμο ἀφοῦ ἔγραψε τὸν ἔδωσε γιὰ μᾶς, καὶ προφῆτες ἔστειλε, καὶ θαύματα ἔκαμε, καὶ πρὶν ἀπ' ὅλα αὐτὰ μαζὶ ἀφοῦ ἔπλασε τὸν ἄνθρωπο ἔβαλε μέσα του τὸν ἔμφυτο νόμο σὰν διδάσκαλό του τοποθετώντας αὐτὸν ἐπάνω στὶς σκέψεις μας ὅπως ἀκριβῶς τὸν κυβερνήτη στὸ πλοῖο καὶ τὸν ἀναβάτη στὸ ἄλογο. Ἔτσι λοιπὸν καὶ ὁ Ἄβελ τὸν γνώρισε, ἂν καὶ δὲν ὑπῆρχαν γράμματα οὔτε προφῆτες οὔτε ἀπόστολοι, οὔτε νὰ τὸ προστάζει κάποιος γραπτὸς νόμος, ἀλλ' ἐπειδὴ εἶχε τὸν ἔμφυτο νόμο. Ἔτσι καὶ ὁ Κάιν, γιατὶ καὶ ἐκεῖνος τὸν γνώρισε. Καὶ οἱ δύο τὸν ἤξεραν καὶ τὴν κυριαρχία του γνώριζαν καλά, ἀλλὰ καὶ οἱ δύο δὲν πῆραν τὸν ἴδιο δρόμο· ὁ ἕνας πῆρε τὸ δρόμο τῆς κακίας, ὁ ἄλλος τὸ δρόμο τῆς ἀρετῆς. Καὶ ὅμως οὔτε ἔτσι τὸν ἐγκατέλειψε, ἀλλὰ ὅταν ἔπεσε καὶ νικήθηκε τὸν σήκωσε ὄρθιο καὶ τὸν ἔκαμε ν' ἀπολαμβάνει τὴ φροντίδα του, πρῶτα παραινώντας καὶ συμβουλεύοντας καὶ ὕστερα μὲ τὸ φόβο καὶ τὸν τρόμο νουθετώντας, μορφώνοντας, διδάσκοντας.

Ὅταν ὅμως οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους πρόδω-

*ἀνθρώπων, τὴν ἀπὸ τῆς φυσικῆς διδασκαλίας λέγω ὠφέλειαν, οὐδὲ οὕτως αὐτοὺς κατέλιπεν, οὐδὲ πανωλεθρίᾳ παρέδωκεν, ἀλλ' ἔμεινε διὰ πραγμάτων, δι' εὐεργεσιῶν, διὰ κολάσεων παιδεύων, νουθετῶν, διὰ τῆς κτίσεως αὐτῆς καθ' ἡμέραν ἐργαζομένης καὶ τὴν διακονίαν πληρούσης τὴν εἰωθυῖαν, καὶ τῶν παραδόξως παρὰ τὰ εἰωθότα γινομένων, διὰ τῶν ἐν ἀρχῇ δικαίων. Καὶ γὰρ ἄνδρας θαυμαστοὺς καὶ φιλοσοφίας γέμοντας ἀπὸ τόπων εἰς τόπους μετήγαγε. Καὶ γὰρ καὶ τὸν Ἀβραὰμ νῦν μὲν εἰς Παλαιστίνην, νῦν δὲ εἰς Αἴγυπτον παρεσκεύασεν ἀπελθεῖν καὶ τὸν Ἰακὼβ εἰς Συρίαν· Μωϋσέα πάλιν εἰς Αἴγυπτον, τοὺς τρεῖς παῖδας εἰς Βαβυλῶνα καὶ τὸν Δανιὴλ καὶ τὸν Ἰεζεκιήλ, τὸν δὲ Ἰερεμίαν εἰς Αἴγυπτον. Εἶτα καὶ νόμον ἔδωκε καὶ προφήτας ἀπέστειλε καὶ ἔπληξε καὶ ἀνῆκε καὶ αἰχμαλωσίᾳ παρέδωκε καὶ ἐλευθερίας ἠξίωσε καὶ οὐ διέλιπεν ἐξ ἀρχῆς ἕως τέλους πάντα ποιῶν καὶ πραγματευόμενος ὑπὲρ τοῦ γένους τοῦ ἡμετέρου.*

*Οὐδὲ γὰρ ἠρκέσθη τῇ ἀπὸ τῆς κτίσεως διδασκαλίᾳ πρὸς θεογνωσίαν φερούσῃ μόνον, ἀλλ' ἐπειδὴ πολλοὶ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην οὐδὲν ἐντεῦθεν ἀπώναντο καὶ ἑτέρας ἔτεμεν ὁδοὺς διδασκαλίας καὶ τέλος τὸ κεφάλαιον τῶν ἀγαθῶν εἰργάσατο καὶ τὸν Υἱὸν ἀπέστειλε τὸν ἑαυτοῦ, τὸν Υἱὸν τὸν γνήσιον, τὸν μονογενῆ· καὶ ὁ τῆς αὐτῆς φύσεως ὢν αὐτῷ, γίνεται ὅπερ ἐγώ, καὶ ἐπὶ γῆς βαδίζων τοῖς ἀνθρώποις συνανεστρέφετο καὶ ἤσθιε καὶ ἔπινε καὶ περιεπόλει τὴν γῆν παιδεύων, διδάσκων, νουθετῶν θαυματουργῶν, δι' ὧν προὔλεγε, δι' ὧν ὑπέμεινε, δι' ὧν ἐπηγγέλλετο, δι' ὧν ἐδίδου. Καὶ γὰρ τὰ μὲν ἐντεῦθεν ἤδη παρέσχε, τὰ δὲ πρὸς τὸ μέλλον ἐταμιεύσατο, ἃ καὶ ὅτι δώσει καὶ δι' ὧν ἔτι περιὼν ἐπὶ γῆς θαυμάτων εἰργάσατο, δῆλον ἐποίησε καὶ διὰ τῆς μετὰ ταῦτα ὧν προεῖπε πάντων ἐκβάσεως. «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;».*

σαν τόσο μεγάλο δῶρο, ἐννοῶ τὴν ὠφέλεια ἀπὸ τὴ φυσικὴ διδασκαλία, οὔτε ἔτσι τοὺς ἐγκατέλειψε, οὔτε τοὺς παρέδωσε στὴν καταστροφή, ἀλλ' ἐξακολούθησε νὰ τοὺς διδάσκει, νὰ τοὺς συμβουλεύει, μὲ πράγματα, μὲ εὐεργεσίες, μὲ τιμωρίες, μὲ τὴν ἴδια τὴ φύση ποὺ κάθε ἡμέρα ἐργαζόταν καὶ ἐκπλήρωνε τὴ συνηθισμένη ὑπηρεσία της, μὲ τὰ παράδοξα ποὺ γίνονται παρὰ τὰ συνηθισμένα, μὲ τοὺς δίκαιους ἄρχοντες. Γιατὶ καὶ ἄνδρες θαυμαστοὺς καὶ γεμάτους πίστη τοὺς ἔφερε ἀπὸ τόπο σὲ τόπο. Γιατὶ πραγματικὰ καὶ τὸν Ἀβραὰμ ἄλλοτε στὴν Παλαιστίνη καὶ ἄλλοτε στὴν Αἴγυπτο τὸν ἔκαμε νὰ πάει, καὶ τὸν Ἰακὼβ στὴ Συρία· τὸ Μωυσῆ πάλι στὴν Αἴγυπτο, τοὺς τρεῖς νέους στὴ Βαβυλώνα καθὼς καὶ τὸ Δανιὴλ καὶ τὸν Ἰεζεκιήλ, καὶ τὸν Ἰερεμία στὴν Αἴγυπτο. Ἔπειτα καὶ νόμο ἔδωσε, καὶ προφῆτες ἔστειλε, καὶ ἔπληξε, καὶ ἀνέχθηκε, καὶ σὲ αἰχμαλωσία παρέδωσε, καὶ ἐλευθέρωσε, καὶ δὲ σταμάτησε ἀπὸ τὴν ἀρχὴ ὡς τὸ τέλος νὰ κάνει τὰ πάντα καὶ νὰ φροντίζει γιὰ τὸ δικό μας γένος.

Καὶ δὲν ἀρκέσθηκε μόνο στὴ διδασκαλία ἀπὸ τὴν κτίση ποὺ ὁδηγεῖ στὴ θεογνωσία, ἀλλ' ἐπειδὴ πολλοὶ ἀπὸ δική τους ἀγνωμοσύνη δὲν ὠφελήθηκαν καθόλου ἀπὸ ἐδῶ, χάραξε καὶ ἄλλους δρόμους διδασκαλίας, καὶ τέλος ἔκαμε τὸ πιὸ σπουδαῖο ἀγαθό, καὶ ἔστειλε τὸν Υἱό του, τὸν Υἱὸ τὸ γνήσιο, τὸ μονογενή. Καὶ αὐτὸς ποὺ εἶχε τὴν ἴδια φύση μὲ τὸ Θεό, γίνεται ὅπως ἐγώ, καὶ βάδιζε πάνω στὴ γῆ καὶ συναναστρεφόταν μὲ τοὺς ἀνθρώπους, καὶ ἔτρωγε, καὶ ἔπινε, καὶ περιφερόταν στὴ γῆ γιὰ νὰ διορθώνει, νὰ διδάσκει, νὰ νουθετεῖ, νὰ κάνει θαύματα, μὲ ὅσα προφήτευε, μὲ ὅσα παραινοῦσε, μὲ ὅσα συμβούλευε, μὲ ὅσα ἔπασχε, μὲ ὅσα ὑπέφερε, μὲ ὅσα ὑποσχόταν, μὲ ὅσα ἔδινε. Γιατὶ ἄλλα τὰ ἔδωσε ἤδη ἀπὸ ἐδῶ, ἄλλα τὰ φύλαξε γιὰ τὸ μέλλον, καὶ τὸ φανέρωσε ὅτι θὰ τὰ δώσει καὶ μὲ ὅσα θαύματα ἔκαμε ὅταν ἀκόμη βρισκόταν στὴ γῆ, καὶ μὲ τὴν πραγματοποίηση ὕστερα ὅλων ἐκείνων ποὺ προφήτεψε. «Ποιός θὰ διηγηθεῖ τὶς ἐξουσίες τοῦ Κυρίου, ποιός θὰ κάμει γνωστὲς ὅλες τὶς δόξες του;»[37].

37. Ψαλμ. 105,2.

*Τίς οὐκ ἂν ἐκσταίη, τίς οὐκ ἂν φρίξειε τὴν ἄφατον αὐτοῦ κηδεμονίαν, ἐννοῶν πῶς ὑπὲρ τῶν ἀγνωμόνων οἰκετῶν τὸν μονογενῆ Υἱὸν εἰς θάνατον ἐκδέδωκε, θάνατον τὸν ἐπάρατον, τὸν ἐπονείδιστον τῶν τὰ ἀνήκεστα τετολμηκότων, θάνατον τὸν τῶν καταδίκων; Καὶ γὰρ ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου ἀνεσκολοπίζετο καὶ ἐνεπτύετο καὶ ἐρραπίζετο καὶ ἐπὶ κόρρης ἐτύπτετο καὶ ἐκωμῳδεῖτο καὶ ἐν μέρει χάριτος ἐθάπτετο καὶ σήμαντρα αὐτοῦ τῷ μνήματι ἐπετίθετο· καὶ ταῦτα ἅπαντα ὑφίστατο διὰ σὲ καὶ τὴν κηδεμονίαν τὴν σήν, ἵνα τῆς ἁμαρτίας ἡ τυραννὶς ἀναιρεθῇ, ἵνα καθαιρεθῇ τοῦ διαβόλου ἡ ἀκρόπολις, ἵνα τμηθῇ τοῦ θανάτου τὰ νεῦρα, ἵνα ἀνοιγῶσιν ἡμῖν αἱ τοῦ οὐρανοῦ πύλαι, ἵνα ἀφανισθῇ ἡ ἀρά, ἵνα ἡ προτέρα καταδίκη λυθῇ, ἵνα μάθῃς ὑπομονήν, ἵνα παιδευθῇς καρτερίαν, ἵνα μηδέν σε τῶν τοῦ παρόντος βίου λυπῇ, μὴ θάνατος, μὴ ὕβρις, μὴ λοιδορίαι, μὴ σκώμματα, μὴ μάστιγες, μὴ ἐχθρῶν ἐπιβουλαί, μὴ ἐπήρειαι, μὴ ἔφοδοι, μὴ συκοφαντίαι, μὴ ὑπολήψεις πονηραί, μὴ ἄλλο τῶν τοιούτων μηδέν. Διὰ γὰρ πάντων καὶ αὐτὸς ἦλθε καὶ πάντων σοι τούτων ἐκοινώνησε καὶ διὰ πάντων μεθ' ὑπερβολῆς ἐκράτησε, παιδεύων σε καὶ διδάσκων μηδὲν τῶν τοιούτων δεδοικέναι.*

*Καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ἀνελθὼν εἰς οὐρανοὺς Πνεύματος ἁγίου ἐχαρίσατο χάριν ἄφατον καὶ ἀποστόλους ἔπεμψε τοὺς πρὸς τοῦτο διακονησομένους. Καὶ ὁρῶν αὐτοὺς τοὺς τῆς ζωῆς κήρυκας τὰ μυρία πάσχοντας κακά, μαστιζομένους, ὑβριζομένους, καταποντιζομένους, κατατεινομένους λιμῷ καὶ δίψει καθ' ἑκάστην ἡμέραν ἀγχομένους, θανάτοις συζῶντας καθημερινοῖς, ἠνείχετο διὰ σὲ καὶ τὴν κηδεμονίαν τὴν σήν. Διὰ σέ, ἄνθρωπε, καὶ βασιλείαν ἡτοίμασε, διὰ σὲ τὰ ἀγαθὰ τὰ ἀπόρρητα, τὴν λῆξιν ἐκείνην τὴν ἐν οὐρανοῖς, τὰς μονὰς τὰς διαφόρους καὶ ποικίλας τὴν μακαριότητα, τὴν οὐδέποτε λόγῳ ἑρμηνευθῆναι δυναμένην. Τοσαῦτα οὖν ἔχων δείγματα αὐτοῦ*

Ποιός δὲ θὰ θαυμάσει, ποιός δὲ θὰ φρίξει γιὰ τὴν ἀνέκφραστη φροντίδα του, κατανοώντας πῶς γιὰ τοὺς ἀχάριστους δούλους του παρέδωσε τὸ μονογενὴ Υἱό του σὲ θάνατο, θάνατο τὸν καταραμένο, τὸν ἐπονείδιστο ποὺ ταιριάζει σ' ἐκείνους ποὺ τόλμησαν τὰ ἀνεπανόρθωτα, θάνατο ποὺ ἁρμόζει στοὺς κατάδικους; Γιατὶ σταυρώθηκε πάνω σὲ ψηλὸ σταυρὸ καὶ φτύστηκε καὶ ραπίσθηκε καὶ στὸ κεφάλι κτυπήθηκε καὶ χλευάσθηκε καὶ θάφτηκε σὲ τόπο χάριτος καὶ σφραγίσθηκε τὸ μνῆμα του. Καὶ ὅλα αὐτὰ τὰ ὑπέμενε γιὰ σένα καὶ γιὰ τὴ δική σου φροντίδα, γιὰ νὰ ἐξαλειφθεῖ ἡ ἐξουσία τῆς ἁμαρτίας, γιὰ νὰ γκρεμισθεῖ τὸ προπύργιο τοῦ διαβόλου, γιὰ νὰ κοποῦν τὰ νεῦρα τοῦ θανάτου, γιὰ νὰ ἀνοιχθοῦν σὲ μᾶς οἱ πύλες τοῦ οὐρανοῦ, γιὰ νὰ ἐξαφανισθεῖ ἡ κατάρα, γιὰ νὰ λυθεῖ ἡ προηγούμενη καταδίκη, γιὰ νὰ μάθεις τὴν ὑπομονή, γιὰ νὰ διδαχθεῖς τὴν καρτερία, γιὰ νὰ μὴ σὲ στενοχωρεῖ τίποτε ἀπὸ τὴν παροῦσα ζωή, οὔτε θάνατος, οὔτε προσβολή, οὔτε χλευασμοί, οὔτε ἐμπαιγμοί, οὔτε μαστιγώσεις, οὔτε ἐπιβουλὲς ἐχθρῶν, οὔτε κατηγορίες, οὔτε ἐπιθέσεις, οὔτε συκοφαντίες, οὔτε κακὲς φῆμες, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια. Γιατὶ καὶ ἐκεῖνος πέρασε ἀπ' ὅλα, καὶ ἔγινε ὅμοιός σου σὲ ὅλα αὐτά, καὶ τὰ νίκησε ὅλα κατὰ κράτος, μὲ σκοπὸ νὰ σὲ διδάξει καὶ νὰ σὲ μάθει νὰ μὴ φοβᾶσαι τίποτε τέτοιο.

Καὶ οὔτε σ' αὐτὰ ἀρκέσθηκε μόνο, ἀλλὰ καὶ ὅταν ἀνέβηκε στοὺς οὐρανοὺς μᾶς χάρισε τὴν ἀνέκφραστη χάρη τοῦ ἁγίου Πνεύματος καὶ ἔστειλε ἀποστόλους γιὰ νὰ ὑπηρετήσουν σ' αὐτὸν τὸ σκοπό. Καὶ παρ' ὅλο ποὺ ἔβλεπε ὅτι οἱ κήρυκες αὐτοὶ τῆς ζωῆς πάθαιναν ἄπειρα κακά, μαστιγώνονταν, ὑβρίζονταν, καταποντίζονταν, βασανίζονταν στὴν πείνα καὶ τὴ δίψα, πνίγονταν καθημερινά, ζοῦσαν μὲ τὸν καθημερινὸ θάνατο, τὰ ἀνεχόταν γιὰ σένα καὶ γιὰ τὴ δική σου φροντίδα. Γιὰ σένα, ἄνθρωπε, ἑτοίμασε καὶ βασιλεία, γιὰ σένα τὰ ἀπόρρητα ἀγαθά, τὴν κατάληξή σου ἐκείνη στοὺς οὐρανούς, τοὺς διάφορους καὶ ποικίλους τόπους διαμονῆς, τὴ μακαριότητα ποὺ δὲν μπορεῖ ποτὲ

*τῆς προνοίας, τὰ ἐν τῇ Καινῇ, τὰ ἐν τῇ Παλαιᾷ, τὰ ἐν τῷ παρόντι βίῳ, τὰ ἐν τῷ μέλλοντι, τὰ ἐσόμενα, τὰ γενόμενα, τὰ καθ' ἑκάστην ἐπιτελούμενα τὴν ἡμέραν, τὰ ἐξ ἀρχῆς, τὰ ἐν τῷ μέσῳ, τὰ ἐν τῷ τέλει, τὰ διηνεκῶς, τὰ περὶ σῶμα, τὰ περὶ ψυχὴν καὶ νιφάδας ὁρῶν πάντοθεν φερομένας ἀποδείξεων, ἀνακηρυττούσας αὐτοῦ τὴν πρόνοιαν, ἀμφιβάλλεις ἔτι;*

*Ἀλλ' οὐκ ἀμφιβάλλεις, πιστεύεις δὲ ὅτι προνοεῖ καὶ πέπεικας σαυτὸν τοῦτο. Οὐκοῦν μηδὲν περιεργάζου πλέον, εἰδὼς τοῦτο σαφῶς, ὅτι Δεσπότην ἔχεις πατέρων φιλοστοργότερον καὶ μητέρων κηδεμονικώτερον, νυμφίου καὶ νύμφης ἐρῶντος ἐρωτικώτερον, οἰκείαν ἀνάπαυσιν τὴν σὴν ἡγούμενον σωτηρίαν, καὶ μᾶλλον ἐπὶ ταύτῃ χαίροντα, ἢ σὺ ἐπὶ ἀπαλλαγῇ κινδύνων καὶ θανάτων (ὅπερ ἔδειξα διὰ τοῦ Ἰωνᾶ) καὶ πᾶν εἶδος ἀγάπης ἐπιδεικνύμενον, ὃ πατὴρ περὶ παῖδας ἔχει, ἢ μήτηρ περὶ ἔκγονα, ὁ ἀμπελουργὸς περὶ φυτά, ὁ οἰκοδόμος περὶ τέχνην, ὁ νυμφίος περὶ νύμφην, ὁ νεανίσκος περὶ παρθένον· καὶ βουλόμενον ἀποστῆσαί σου τὰ κακά, ὅσον ἀφέστηκεν ἀνατολὴ τῆς δύσεως, ὅσον ὑψηλότερος τῆς γῆς ὁ οὐρανὸς (καὶ γὰρ καὶ τοῦτο ἀπεδείξαμεν), μᾶλλον δὲ οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ πολλῷ πλέον· καθάπερ ἐδείξαμεν τὸν περὶ τούτων κινοῦντες λόγον, καὶ παραινέσαντες μὴ μέχρι τῶν εἰκόνων ἑστάναι, ἀλλ' ὑπερβαίνειν τοῖς λογισμοῖς. Ἀνερμήνευτος γὰρ ἡ τοῦ Θεοῦ πρόνοια καὶ ἀκατάληπτος αὐτοῦ ἡ κηδεμονία, ἄρρητος ἡ ἀγαθότης καὶ ἀνεξιχνίαστος ἡ φιλανθρωπία.*

*Ταῦτα οὖν ἅπαντα εἰδὼς καὶ δι' ὧν ἀπεφήνατο καὶ δι' ὧν ἐποίησε καὶ δι' ὧν ποιήσει, μηδὲν περιεργάζου, μηδὲ πολυπραγμόνει, μηδὲ λέγε, διὰ τί τοῦτο; εἰς τί τοῦτο; Πῶς γὰρ οὐ μανικὸν καὶ ἐσχάτης ἀπονοίας καὶ παραπληξίας ἀνάμεστον, ἰατρὸν μὲν μηδέποτε πολυπραγμονεῖν τέμνοντα, καίοντα, πικρὰ ἐπιτι-*

νὰ ἑρμηνευθεῖ μὲ λόγια. Ἔχοντας λοιπὸν τόσα παραδείγματα γιὰ τὴν πρόνοιά του, στὴν Καινὴ Διαθήκη, στὴν Παλαιά, στὴν παρούσα ζωή, στὴ μέλλουσα, αὐτὰ ποὺ θὰ συμβοῦν, αὐτὰ ποὺ ἔγιναν, αὐτὰ ποὺ γίνονται καθημερινά, τὰ παλαιά, τὰ μεσαῖα, τὰ τελευταῖα, τὰ παντοτινά, τὰ σχετικὰ μὲ τὸ σῶμα, τὰ σχετικὰ μὲ τὴν ψυχή, καὶ βλέποντας ἀπὸ παντοῦ νὰ ἔρχεται πλῆθος ἀποδείξεων ποὺ διαλαλοῦν τὴν πρόνοιά του, ἀμφιβάλλεις ἀκόμη;

Ἀλλὰ δὲν ἀμφιβάλλεις καὶ πιστεύεις ὅτι προνοεῖ καὶ ἔχεις πείσει τὸν ἑαυτό σου γι' αὐτό. Λοιπὸν νὰ μὴν περιεργάζεσαι τίποτε πιά, ἀφοῦ γνωρίζεις καλὰ αὐτό, ὅτι δηλαδὴ ἔχεις Κύριο πιὸ φιλόστοργο ἀπὸ τοὺς πατέρες καὶ πιὸ στοργικὸ ἀπὸ τὶς μητέρες, ποὺ σ' ἀγαπάει πιὸ πολὺ ἀπ' ὅσο ἀγαπάει ὁ γαμβρὸς καὶ ἡ νύφη, ποὺ θεωρεῖ δική του ἀνάπαυση τὴ δική σου σωτηρία, καὶ χαίρεται γι' αὐτὴν πιὸ πολὺ ἀπ' ὅσο ἐσὺ γιὰ τὴν ἀπαλλαγή σου ἀπὸ κινδύνους καὶ θανάτους (πράγμα ποὺ ἔδειξα μὲ τὸν Ἰωνᾶ), καὶ ποὺ φανερώνει κάθε εἶδος ἀγάπης, ποὺ ἔχει ὁ πατέρας γιὰ τὰ παιδιά του ἢ ἡ μητέρα γιὰ τοὺς ἀπογόνους της, ὁ ἀμπελουργὸς γιὰ τὰ φυτά, ὁ οἰκοδόμος γιὰ τὴν τέχνη του, ὁ γαμβρὸς γιὰ τὴ νύφη, ὁ νέος γιὰ τὴ νέα, καὶ ποὺ θέλει νὰ ἀπομακρύνει τὰ κακὰ ἀπὸ σένα, ὅσο ἀπέχει ἡ ἀνατολὴ ἀπὸ τὴ δύση, ὅσο ψηλότερος εἶναι ὁ οὐρανὸς ἀπὸ τὴ γῆ (γιατὶ πραγματικὰ καὶ αὐτὸ τὸ ἀποδείξαμε), ἢ καλύτερα ὄχι μόνο τόσο ἀλλὰ καὶ πολὺ περισσότερο· ὅπως δείξαμε ὅταν μιλούσαμε γι' αὐτὰ καὶ συμβουλέψαμε νὰ μὴ στεκόμαστε στὰ παραδείγματα, ἀλλὰ νὰ τὰ ξεπερνοῦμε μὲ τοὺς λογισμούς μας. Γιατὶ εἶναι ἀνεξήγητη ἡ πρόνοια τοῦ Θεοῦ καὶ ἀκατάληπτη ἡ στοργή του, ἀνέκφραστη ἡ ἀγαθότητα καὶ ἀνεξερεύνητη ἡ φιλανθρωπία του.

Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, καὶ μὲ ὅσα εἶπε, καὶ μὲ ὅσα ἔκαμε, καὶ μὲ ὅσα θὰ κάμει, νὰ μὴν περιεργάζεσαι τίποτε, οὔτε νὰ πολυεξετάζεις, οὔτε νὰ λέγεις, γιατί αὐτό; γιὰ ποιό σκοπὸ αὐτό; Γιατὶ πῶς δὲν εἶναι τρέλλα καὶ χειρότερη ἀνοησία καὶ παραφροσύνη νὰ μὴν πολυεξετάζει κανεὶς τὸν ἰατρὸ ὅταν κόβει, καίει, καὶ δίνει πικρὰ φάρμακα, ἔστω καὶ ἂν εἶναι δοῦ-

*θέντα φάρμακα, κἂν οἰκέτης ᾖ, ἀλλὰ κεῖσθαι σιγῇ τὸν δεσπότην ταῦτα πάσχοντα καὶ χάριν εἰδέναι καὶ τῆς καύσεως αὐτῷ καὶ τῆς τομῆς καὶ τῶν φαρμάκων, καὶ ταῦτα ἐπ' ἀδήλῳ τῷ μέλλοντι· πολλοὶ γὰρ πολλοὺς καὶ ἀπέκτειναν ταῦτα ποιήσαντες· καὶ παραχωρεῖν αὐτῷ μετὰ πολλῆς τῆς ὑποταγῆς ταῦτα ποιοῦντι· καὶ ἐπὶ ναύτου δὲ τὸ αὐτὸ τοῦτο ποιεῖν, καὶ οἰκοδόμου, καὶ ἐπὶ τῶν τὰ ἄλλα ἐπιτηδεύματα μετιόντων· λέγω δὲ καταγέλαστον εἶναι νομίζειν, τὸ τὸν ἰδιώτην καὶ ἄπειρον ἀπαιτεῖν τὰς αἰτίας τῶν γινομένων ἁπάντων τὸν τεχνίτην, τὴν δὲ ἄφατον σοφίαν ἐκείνην, τὴν ἄφραστον, τὴν ἄρρητον, τὴν ἀκατάληπτον περιεργάζεσθαι καὶ ζητεῖν διὰ τί τὸ καὶ τὸ γέγονε καὶ ταῦτα εἰδότας σαφῶς, ὅτι ἀδιάπτωτος ἡ σοφία αὕτη, ὅτι πολλὴ ἀγαθότης αὐτοῦ ὅτι ἄρρητος ἡ πρόνοια, ὅτι πάντα πρὸς τὸ τέλος ἀπαντᾷ χρηστὸν τὰ παρ' αὐτοῦ γινόμενα εἰς ἡμᾶς· μόνον εἰ μὴ τὰ ἡμέτερα διακόπτοιτο· ὅτι οὐδένα ἀπολέσθαι βούλεται, ἀλλὰ σῶσαι. Πῶς οὖν οὐχ ὑπερβαλλούσης μανίας, τὸν πάντας σῶσαι καὶ βουλόμενον καὶ δυνάμενον, περιεργάζεσθαι ἐκ προοιμίων καὶ εὐθέως καὶ μηδὲ τὸ τέλος ἀναμένειν τῶν γινομένων;*

9. *Μάλιστα μὲν γὰρ οὔτε ἐκ προοιμίων, οὔτε μετὰ τᾶτα πολυπραγμονεῖν δεῖ· εἰ δὲ οὕτω περίεργος εἶ καὶ πολυπράγμων, ἀνάμενε τὸ τέλος καὶ σκόπει ποῦ ταῦτα ἀπαντᾷ καὶ μὴ θορυβοῦ, μηδὲ ταράττου ἐκ προοιμίων. Ἐπεὶ καὶ τὸν χρυσοχόον ἄπειρός τις ὁρῶν ἐν ἀρχῇ τήκοντα τὸν χρυσὸν καὶ τῇ τέφρᾳ ἀναμιγνύντα καὶ τοῖς ἀχύροις, εἰ μὴ τὸ τέλος ἀναμείνειεν, ἡγήσεται ἀπολωλέναι τὸ χρυσίον· οὕτω καὶ ἐν θαλάττῃ τις τεχθεὶς καὶ τραφείς, εἶτα ἀθρόον εἰς τὴν μεσόγειον μετοικισθεὶς καὶ καθ' ὅλου τῆς περὶ τὴν γῆν ἐπιμελείας ἀνήκοος ὤν, ἂν ἴδῃ τὸν σῖτον τὸν ἀποκείμενον καὶ φυλαττόμενον ὑπὸ θύραις καὶ μοχλοῖς καὶ νοτίδος ἀπηλλαγμένον, ἀθρόον ὑπὸ τοῦ γηπόνου ἐκφερόμενον, σκορπι-*

λος, ἀλλὰ νὰ κάθεται ὁ κύριος σιωπηλὰ ὑπομένοντας αὐτὰ καὶ νὰ τοῦ ὀφείλει χάρη γιὰ τὸ κάψιμο καὶ τὴν τομὴ καὶ τὰ φάρμακα, καὶ ὅλα αὐτὰ νὰ γίνονται ἐνῶ τὸ μέλλον εἶναι ἄγνωστο (γιατὶ πολλοὶ ἰατροὶ κάνοντας αὐτὰ θανάτωσαν πολλούς), καὶ νὰ ἐπιτρέπει σ' αὐτὸν μὲ μεγάλη ὑποταγὴ νὰ κάνει αὐτά, καὶ στὸ ναύτη νὰ κάνει ἀκριβῶς τὸ ἴδιο, ὅπως καὶ στὸν οἰκοδόμο καὶ σ' ἐκείνους ποὺ ἔχουν ἄλλα ἐπαγγέλματα, δηλαδὴ νὰ νομίζει κανεὶς πὼς εἶναι πολὺ γελοῖο τὸ νὰ ἀπαντάει ὁ ἰδιώτης καὶ ἄπειρος ἀπὸ τὸν τεχνίτη τὶς αἰτίες ὅλων ἐκείνων ποὺ γίνονται, ἀλλὰ νὰ περιεργάζεται τὴν ἄφατη ἐκείνη σοφία, τὴν ἀνέκφραστη, τὴν ἀνείπωτη, τὴν ἀκατάληπτη, καὶ νὰ ζητᾶς γιατὶ ἔγινε αὐτὸ καὶ τὸ ἄλλο καὶ ὅλα αὐτὰ νὰ γίνονται ἐνῶ ξέρουμε καλὰ ὅτι ἡ σοφία αὐτὴ εἶναι ἀλάθητη, ὅτι ἡ ἀγαθότητά του εἶναι μεγάλη, ὅτι ἡ πρόνοιά του εἶναι ἀνέκφραστη, ὅτι ὅλα ὅσα γίνονται ἀπ' αὐτὸν σὲ μᾶς ἔχουν σκοπὸ τὴν ὠφέλειά μας. Ἀρκεῖ μόνο νὰ μὴ θελήσουμε ἐμεῖς τὸ κακό μας, γιατὶ ὁ Θεὸς δὲ θέλει νὰ χάσει κανένα, ἀλλὰ νὰ σώσει. Πῶς λοιπὸν δὲν εἶναι ἀπόδειξη ὑπερβολικῆς τρέλλας νὰ περιεργαζόμαστε ἀπὸ τὴν ἀρχὴ καὶ ἀμέσως ἐκεῖνον ποὺ θέλει καὶ μπορεῖ νὰ μᾶς σώσει ὅλους καὶ νὰ μὴν περιμένουμε τὸ τέλος αὐτῶν ποὺ γίνονται;

9. Καὶ μάλιστα δὲν πρέπει νὰ τὰ πολυεξετάζουμε αὐτὰ οὔτε ἀπὸ πρὶν οὔτε μετά. Ἂν ὅμως εἶσαι τόσο περίεργος καὶ τὰ ἐξετάζεις αὐτὰ τόσο πολύ, περίμενε τὸ τέλος, παρατήρησε ποῦ καταλήγουν αὐτὰ καὶ νὰ μὴν ἀνησυχεῖς, οὔτε νὰ ταράζεσαι ἀπὸ τὴν ἀρχή. Γιατὶ καὶ τὸ χρυσοχόο ὅταν τὸν δεῖ κάποιος ἀνίδεος νὰ λειώνει τὸ χρυσάφι στὴν ἀρχὴ καὶ νὰ τὸ ἀνακατώνει μὲ τὴ στάχτη καὶ τὰ ἄχυρα, ἂν δὲν περιμένει τὸ τέλος, θὰ νομίσει ὅτι χάθηκε τὸ χρυσάφι. Ἔτσι καὶ ὅταν κανεὶς γεννηθεῖ καὶ μεγαλώσει στὴ θάλασσα καὶ ξαφνικὰ ἐγκατασταθεῖ στὴν ξηρὰ καὶ δὲν ἔχει ἀκούσει ποτὲ γιὰ τὴν καλλιέργεια τῆς γῆς, ἂν δεῖ τὸ σιτάρι ποὺ ἀποθηκεύεται καὶ φυλάγεται μὲ πόρτες καὶ μοχλοὺς καὶ εἶναι ἀπαλλαγμένο ἀπὸ ὑγρασία, νὰ τὸ παίρνει ξαφνικὰ ὁ γεωργός, νὰ τὸ σκορπίζει, νὰ τὸ πετάει, καὶ νὰ βρίσκεται πάνω

*ζόμενον, ριπτούμενον καὶ ἐπὶ τῆς ἀρούρας κείμενον τοῖς παριοῦσιν ἅπασι καὶ οὐ μόνον οὐκ ἀπηλλαγμένον νοτίδος, ἀλλὰ καὶ πηλῷ καὶ τέλμασι παραδιδόμενον καὶ φύλακα οὐδένα ἔχοντα, οὐκ ἂν ἀπολέσθαι τὸν σῖτον νομίσειε καὶ κατέγνω τοῦ ταῦτα ποιοῦντος γηπόνου;*

*Ἀλλ' οὐ τῆς τοῦ πράγματος φύσεως ἡ κατάγνωσις, ἀλλὰ τῆς τοῦ μὴ καλῶς κρίναντος ἀπειρίας τε καὶ ἀνοίας, ἐκ προοιμίων εὐθέως τὴν ψῆφον φέροντος. Ἐπεὶ εἰ τὸ θέρος ἀνέμεινε καὶ εἶδε τὰ λήϊα κομῶντα καὶ τὴν δρεπάνην ἠκονημένην καὶ τὸν σκορπισθέντα καὶ ἀφύλακτον μείναντα σῖτον καὶ σαπέντα καὶ διαφθαρέντα καὶ τῷ πηλῷ παραδοθέντα, τοῦτον ἐγειρόμενον καὶ πολυπλασίονα γινόμενον, ὡραιότερόν τε φαινόμενον καὶ τὴν παλαιότητα ἀποθέμενον καὶ μετὰ πολλῆς ὀρθούμενον τῆς σφοδρότητος καὶ δορυφόρους οἷον ἔχοντα καὶ ἐνδύματα καὶ καλάμην πρὸς ὕψος ἐγείροντα καὶ τέρποντα τὸν θεατὴν καὶ τρέφοντα καὶ πολὺ παρέχοντα τὸ κέρδος, τότε ἂν ἐξεπλάγη μειζόνως, ὅτι διὰ τοιούτων ἐπὶ τοιαύτην ἤχθη εὐθηνίαν καὶ φαιδρότητα ὁ καρπός. Καὶ σὺ τοίνυν, ἄνθρωπε, μάλιστα μὲν μὴ περιεργάζου τὸν κοινὸν ἁπάντων ἡμῶν Δεσπότην· εἰ δὲ οὕτω φιλόνεικος εἶ καὶ τολμηρός, ὡς μαίνεσθαι τὴν μανίαν ταύτην, κἂν τὸ τέλος ἀνάμεινον τῶν γινομένων.*

*Εἰ γὰρ ὁ γηπόνος ὁλόκληρον ἀναμένει χειμῶνα, οὐ πρὸς ταῦτα ἅπερ ὁ σῖτος πάσχει βλέπων κατὰ τὴν ὥραν τοῦ κρυμνοῦ, ἀλλὰ πρὸς ἐκεῖνα ὧν ἀπολαύειν μέλλει· πολλῷ μᾶλλον καὶ αὐτὸς ἐπὶ τοῦ τὴν οἰκουμένην γεωργοῦντος πᾶσαν καὶ τὰς ψυχὰς τὰς ἡμετέρας, δίκαιος ἂν εἴης ἀναμένειν τὸ τέλος· ἐγὼ δὲ τέλος οὐ τὸ ἐν τῷ παρόντι βίῳ μόνον λέγω (πολλάκις γὰρ τοῦτο καὶ ἐνταῦθα ἔσται), ἀλλὰ καὶ τὸ ἐν τῷ μέλλοντι. Πρὸς ἓν γὰρ βλέπει τέλος ἑκατέρων τῶν βίων τούτων ἡ οἰκονομία, τὴν σωτηρίαν τὴν ἡμετέραν καὶ τὴν εὐδοκίμησιν. Εἰ γὰρ καὶ τῷ χρόνῳ διῄρηται, ἀλλὰ τῷ σκοπῷ συνῆπται· καὶ ὥσπερ νῦν μὲν χειμών, νῦν*

στὸ χωράφι στὴ διάθεση ὅλων τῶν διερχομένων, καὶ ὄχι μόνο νὰ μὴν εἶναι ἀπαλλαγμένο ἀπὸ ὑγρασία, ἀλλὰ καὶ νὰ παραδίνεται στὴ λάσπη καὶ στοὺς βάλτους καὶ νὰ μὴν ἔχει κανένα φύλακα, δὲ θὰ νομίσει ὅτι χάθηκε τὸ σιτάρι καὶ δὲ θὰ κατηγορήσει τὸ γεωργὸ ποὺ ἔκανε αὐτά;

Ἡ κατηγορία ὅμως δὲν ἁρμόζει σ' αὐτὸ ποὺ ἔγινε, ἀλλὰ στὴν ἀπειρία καὶ τὴν ἀνοησία ἐκείνου ποὺ δὲν ἔκρινε σωστὰ καὶ σχημάτισε τὴ γνώμη του ἀμέσως ἀπὸ τὴν ἀρχή. Γιατὶ ἂν περίμενε τὸ θέρος καὶ ἔβλεπε τὰ σπαρτὰ νὰ κυματίζουν καὶ τὸ δρεπάνι ἀκονισμένο καὶ τὸ σιτάρι, ποὺ σκορπίσθηκε καὶ ἔμεινε ἀφύλακτο καὶ σάπισε καὶ καταστράφηκε καὶ παραδόθηκε στὴ λάσπη, νὰ σηκώνεται ψηλὰ καὶ νὰ πολλαπλασιάζεται καὶ νὰ φαίνεται ὡραιότερο καὶ νὰ χάνει τὴν παλαιότητά του καὶ νὰ ὑψώνεται μὲ πολλὴ δύναμη, καὶ σὰν νὰ ἔχει στηρίγματα καὶ καλύμματα καὶ νὰ σχηματίζει ψηλὸ καλάμι καὶ νὰ εὐχαριστεῖ καὶ νὰ τρέφει τὸ θεατὴ καὶ νὰ δίνει μεγάλο τὸ κέρδος, τότε θὰ ἔνιωθε πολὺ μεγάλη ἔκπληξη γιατὶ μέσα ἀπ' αὐτὰ ὁ καρπὸς ἔφθασε σὲ τόσο μεγάλη ἀφθονία καὶ λαμπρότητα. Καὶ σύ, ἄνθρωπε, πολὺ περισσότερο, μὴν πολυεξετάζεις τὸν κοινὸ Κύριο ὅλων μας. Ἂν ὅμως εἶσαι τόσο φιλόνεικος καὶ τολμηρός, ὥστε νὰ ἔχεις αὐτὴ τὴ μανία, περίμενε τουλάχιστο τὸ τέλος ὅσων γίνονται.

Γιατὶ ἂν ὁ γεωργὸς περιμένει ὁλόκληρο χειμώνα, χωρὶς νὰ βλέπει σ' αὐτὰ ποὺ παθαίνει τὸ σιτάρι τὴν ἐποχὴ τοῦ ψύχους ἀλλὰ σ' ἐκεῖνα ποὺ πρόκειται ν' ἀπολαύσει, πολὺ περισσότερο εἶναι δίκαιο νὰ περιμένεις καὶ σὺ τὸ τέλος στὴν περίπτωση ἐκείνου ποὺ καλλιεργεῖ τὴν οἰκουμένη ὅλη καὶ τὶς ψυχὲς τὶς δικές μας· καὶ λέγω τέλος ὄχι μόνο αὐτὸ ποὺ συμβαίνει στὴν παρούσα ζωὴ (γιατὶ πολλὲς φορὲς αὐτὸ καὶ ἐδῶ γίνεται), ἀλλὰ καὶ αὐτὸ ποὺ συμβαίνει στὴ μέλλουσα ζωή. Γιατὶ ἡ οἰκονομία καὶ τῆς μιᾶς καὶ τῆς ἄλλης ζωῆς ἀποβλέπει σ' ἕνα τέλος, τὴ σωτηρία καὶ τὴν εὐτυχία μας. Γιατί, ἂν καὶ εἶναι χωρισμένες ἀπὸ τὸ χρόνο, εἶναι ὅμως ἑνωμένες ἀπὸ τὸ σκοπό. Καὶ ὅπως

δὲ ἔαρ, ἑκατέρα δὲ τοῦ ἔτους ἡ τροπὴ πρὸς ἓν βλέπει, τῶν καρπῶν τὴν ἀκμήν, οὕτω δὴ καὶ ἐπὶ τῶν ἡμετέρων ἔσται πραγμάτων. Ὅταν οὖν ἴδῃς τὴν Ἐκκλησίαν σκορπισθεῖσαν, τὰ ἔσχατα παθοῦσαν, ἐλαυνομένους, μαστιζομένους τοὺς ἐν αὐτῇ λάμποντας, τὸν πρόεδρον αὐτῆς πορρωτάτω ἀπενεχθέντα, μὴ ταῦτα σκόπει μόνον, ἀλλὰ καὶ τὰ ἐκ τούτων ἐκβησόμενα, τοὺς μισθούς, τὰς ἀμοιβάς, τὰ βραβεῖα, τὰ ἔπαθλα· «ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», φησίν.

Ἐπὶ μὲν γὰρ τῆς Παλαιᾶς, ἐπειδὴ οὐδέπω γνώριμος ὁ τῆς ἀναστάσεως λόγος ἦν, ἐν τῷ παρόντι βίῳ ἀμφότερα ἐγίνετο· ἐπὶ δὲ τῆς Καινῆς οὐ πανταχοῦ τοῦτο, ἀλλ' ἔστιν ὅπου τὰ μὲν λυπηρὰ ἐνταῦθα, τὰ δὲ χρηστὰ ἀναμένει τὴν ἐντεῦθεν ἡμῶν ἀποδημίαν. Ἀλλ' ὅμως εἰ καὶ ἐν τῷδε τῷ βίῳ τὰ χρηστὰ αὐτοῖς ἐξέβαινε καὶ ἐν τῇ παρούσῃ ζωῇ, καὶ ἐν τούτῳ μάλιστα θαυμαστοὶ ἂν εἶεν οἱ τούτων μὴ ἀπολελαυκότες, ὅτι μήτε τὸν περὶ ἀναστάσεως σαφῶς εἰδότες λόγον καὶ τὰ ἐναντία τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ συμβαίνοντα ὁρῶντες ἐπὶ τῶν πραγμάτων, οὐκ ἐσκανδαλίζοντο, οὐκ ἐθορυβοῦντο, οὐδὲ ἐταράττοντο, ἀλλὰ παρεχώρουν αὐτοῦ τῇ ἀκαταλήπτῳ προνοίᾳ, οὐδὲν ἐκ τῶν ἐναντίως γινομένων σκανδαλιζόμενοι, ἀλλ' εἰδότες αὐτοῦ τὸ εὔπορον καὶ εὐμήχανον τῆς σοφίας, τὸ τέλος ἀνέμενον, μᾶλλον δὲ καὶ πρὸ τοῦ τέλους πᾶν, ὅπερ εἰς αὐτοὺς ἐτολμᾶτο, ἔφερον εὐχαρίστως καὶ τὸν συγχωροῦντα ταῦτα γίνεσθαι Θεὸν δοξάζοντες διετέλουν. Τάχα ἀσαφὴς ὁ λόγος οὗτος ὑμῖν εἶναι δοκεῖ· οὐκοῦν σαφέστερον αὐτὸν ποιῆσαι πειράσομαι.

10. Γέροντι γενομένῳ ποτὲ τῷ Ἀβραάμ, καὶ πρὸς παιδοποιίαν ἐκ τῆς ἡλικίας νεκρωθέντι λοιπόν· εἰς γὰρ τὸ γενέσθαι πατήρ, οὐδὲν ἄμεινον τῶν τετελευτηκότων διέκειτο ζῶν· γέροντι τοίνυν ὄντι τῷ δικαίῳ καὶ σφόδρα γέροντι καὶ τῆς φυσικῆς

τώρα εἶναι χειμώνας, ὕστερα ἄνοιξη, ἀλλὰ καὶ ἡ μία καὶ ἡ ἄλλη ἡ ἀλλαγὴ τοῦ ἔτους ἀποβλέπει σ' ἕνα σκοπό, τὴν ὡρίμανση τῶν καρπῶν, ἔτσι ἀκριβῶς θὰ συμβεῖ καὶ στὰ δικά μας πράγματα. Ὅταν λοιπὸν δεῖς τὴν Ἐκκλησία σκορπισμένη, νὰ ἔχει πάθει τὰ χειρότερα κακά, νὰ διώκονται, νὰ βασανίζονται ἐκεῖνοι ποὺ λάμπουν σ' αὐτήν, τὸν προϊστάμενό της νὰ ἔχει ἐξορισθεῖ στὰ πιὸ μακρινὰ μέρη, νὰ μὴ σκέπτεσαι μόνο αὐτά, ἀλλὰ καὶ ἐκεῖνα ποὺ θὰ προκύψουν ἀπ' αὐτά, τοὺς μισθούς, τὶς ἀμοιβές, τὰ βραβεῖα, τὰ ἔπαθλα· «γιατὶ ὅποιος ὑπομείνει ὡς τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[38], λέγει.

Στὴν ἐποχὴ τῆς Παλαιᾶς Διαθήκης, ἐπειδὴ ἀκόμη δὲν ἦταν γνωστὸς ὁ λόγος γιὰ τὴν ἀνάσταση, καὶ τὰ δύο γίνονταν στὴν παρούσα ζωή· στὴν ἐποχὴ ὅμως τῆς Καινῆς δὲ συμβαίνει αὐτὸ παντοῦ, ἀλλὰ κάποτε συμβαίνουν ἐδῶ τὰ λυπηρά, ἐνῶ τὰ εὐχάριστα περιμένουν τὴν ἀναχώρησί μας ἀπὸ ἐδῶ. Ἀλλ' ὅμως ἂν καὶ τοὺς συνέβαιναν τὰ εὐχάριστα καὶ ἐδῶ στὴν παρούσα ζωή, ἦταν πάρα πολὺ θαυμαστοὶ ἐκεῖνοι ποὺ δὲν τὰ ἀπόλαυσαν, γιατί, χωρὶς νὰ γνωρίζουν καλὰ τὸ λόγο γιὰ τὴν ἀνάσταση καὶ παρ' ὅλο ποὺ ἔβλεπαν στὰ πράγματα νὰ συμβαίνουν τὰ ἀντίθετα ἀπὸ τὶς ὑποσχέσεις τοῦ Θεοῦ, δὲ σκανδαλίζονταν, δὲν ἀνησυχοῦσαν, οὔτε ταράζονταν, ἀλλὰ ὑποχωροῦσαν στὴν ἀκατάληπτη πρόνοιά του, χωρὶς νὰ σκανδαλίζονται καθόλου ἀπ' ὅσα γίνονταν ἀντίθετα, ἀλλὰ γνωρίζοντας τὴν ἐφευρετικότητα καὶ ἐπινοητικότητα τῆς σοφίας τοῦ Θεοῦ περίμεναν τὸ τέλος, ἢ καλύτερα καὶ πρὶν ἀπὸ τὸ τέλος τὸ καθετὶ ποὺ τολμοῦσαν ἐναντίον τους τὸ ὑπέφεραν μὲ εὐχαρίστηση καὶ ζοῦσαν δοξάζοντας τὸ Θεὸ ποὺ ἐπέτρεπε νὰ γίνονται αὐτά. Ἴσως ὁ λόγος αὐτὸς νὰ σᾶς φαίνεται ἀσαφής· θὰ προσπαθήσω λοιπὸν νὰ τὸν κάμω σαφέστερο.

10. Ὅταν ὁ Ἀβραὰμ ἔγινε κάποτε γέρος καὶ ἀπὸ τὴν ἡλικία ἔγινε νεκρὸς πιὰ γιὰ τεκνοποιΐα –γιατὶ στὸ νὰ γίνει πατέρας δὲν ἦταν καθόλου καλύτερος ἀπὸ τοὺς νεκροὺς παρ' ὅλο ποὺ ζοῦσε–, ὅταν λοιπὸν ἦταν γέρος ὁ δίκαιος, καὶ μάλιστα πολὺ γέ-

38. Ματθ. 10,22.

παιδοποιίας ὑπερβάντι τοὺς ὅρους ἐκ πολλοῦ τοῦ περιόντος, ἔχοντι δὲ καὶ σύνοικον πέτρας ἀγονωτέραν τὴν Σάρραν, ἐπαγγέλλεται πατέρα ποιήσειν ὁ Θεὸς τοσούτων ἐκγόνων αὐτόν, ὡς παρισοῦσθαι αὐτῶν τὸ πλῆθος τῷ πλήθει τῶν ἄστρων.

Ὁ δέ, τοσούτων κωλυμάτων ὄντων, τῆς ἡλικίας ἤδη εἰς ἔσχατον γῆρας κατενεχθείσης καὶ τῆς γυναικὸς ἀπό τε τῆς ἡλικίας, ἀπό τε φύσεως πεπηρωμένης· οὐ γὰρ τὸ γῆρας διεκώλυε μόνον, ἀλλὰ καὶ αὐτὴ τῆς φύσεως ἡ πήρωσις· καὶ γὰρ καὶ νέας οὔσης ἄχρηστον τὸ τῆς φύσεως ἐργαστήριον ἦν· στεῖρα γὰρ ἦν ἡ γυνή. Διὸ καὶ Παῦλος ἐπισημαινόμενος τοῦτο αὐτό, οὕτως ἔλεγε· «καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας», οὐκ εἶπε τὴν 'νέκρωσιν Σάρρας' ἁπλῶς, ἵνα μὴ τὴν ἡλικίαν ὑποπτεύσῃς μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς μήτρας τὴν νέκρωσιν, τὴν οὐκ ἀπὸ χρόνων μόνον, ἀλλὰ καὶ ἀπὸ φύσεως γεγενημένην· ἀλλ' ὅμως καὶ τηλικούτων, ὅπερ ἔφην, κωλυμάτων ὄντων, εἰδὼς τί ποτέ ἐστιν ἐπαγγελία Θεοῦ, πῶς εὐμήχανός τε καὶ εὔπορος καὶ οὐ νόμοις φύσεως, οὐ δυσκολίᾳ πραγμάτων, οὐκ ἄλλῳ τινὶ κωλυομένη, ἀλλὰ διὰ τῶν ἐναντίων βαδίζουσα καὶ τὸ ἐπηγγελμένον εἰς ἔργον ἄγουσα, κατεδέξατο τὸ εἰρημένον καὶ ἐπίστευσε τῇ ὑποσχέσει καὶ τὸν θόρυβον τὸν ἐκ τῶν λογισμῶν οὐδὲ κινηθῆναι ὅλως ἀφείς, ἀξιόπιστον ἔκρινεν εἶναι ὥσπερ οὖν καὶ ἔστι, πρὸς τὴν τῆς ἐπαγγελίας πλήρωσιν τοῦ ὑποσχομένου τὴν δύναμιν, οὐκ ἐξετάσας, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται καὶ τίνος ἕνεκεν οὐκ ἐν νεότητι, ἀλλ' ἐν γήρᾳ καὶ ὀψέ ποτε καὶ βραδέως.

Διὸ καὶ ὁ Παῦλος αὐτὸν ἀνακηρύττει μετὰ λαμπρᾶς τῆς φωνῆς οὕτω λέγων· «ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν». Τί ἐστι «παρ' ἐλπίδα ἐπ' ἐλπίδι»; Παρ' ἐλπίδα τὴν ἀνθρωπίνην, ἐπ' ἐλπίδι τῇ τοῦ Θεοῦ, τῇ πάντα νικώσῃ, τῇ πάντα δυναμένῃ, τῇ πάντων περιγι-

39. Ρωμ. 4,19.

ρος, καὶ εἶχε ξεπεράσει πάρα πολὺ τοὺς νόμους τῆς φυσικῆς τεκνοποιΐας καὶ εἶχε σύζυγο πιὸ ἄγονη ἀπὸ τὴν πέτρα, τὴ Σάρρα, τοῦ ὑπόσχεται ὁ Θεὸς νὰ τὸν κάνει πατέρα τόσων ἀπογόνων, ὥστε τὸ πλῆθος τους νὰ εἶναι ἴσο μὲ τὸ πλῆθος τῶν ἄστρων.

Ὁ Ἀβραάμ, ἂν καὶ ὑπῆρχαν τόσο ἐμπόδια, ἀφοῦ ἡ ἡλικία του εἶχε φθάσει πιὰ στὰ βαθιὰ γηρατειὰ καὶ ἡ γυναίκα του εἶχε γίνει ἀνίκανη καὶ ἀπὸ τὴν ἡλικία καὶ ἀπὸ τὴ φύση, γιατὶ δὲν τὴν ἐμπόδιζαν μόνο τὰ γηρατειὰ ἀλλὰ καὶ ἡ ἴδια ἡ ἀναπηρία τῆς φύσης, ἀφοῦ καὶ ὅταν ἦταν νέα τὸ ἐργαστήρι τῆς φύσης ἦταν ἄχρηστο, ἐπειδὴ ἡ γυναίκα ἦταν στείρα (γι' αὐτὸ καὶ ὁ Παῦλος ἐπισημαίνοντας τοῦτο ἔλεγε τὰ ἑξῆς· «καὶ τὴ νέκρωση τῆς μήτρας τῆς Σάρρας»[39]· καὶ δὲν εἶπε τὴ νέκρωση τῆς Σάρρας ἁπλῶς, γιὰ νὰ μὴν ὑποψιασθεῖς τὴν ἡλικία μόνο, ἀλλὰ καὶ τῆς ἴδιας τῆς μήτρας τὴ νέκρωση, ποὺ εἶχε γίνει ὄχι μόνο ἀπὸ τὰ χρόνια ἀλλὰ καὶ ἀπὸ τὴ φύση), ἀλλ' ὅμως ἂν καὶ ὑπῆρχαν, ὅπως εἶπα, τόσο μεγάλα ἐμπόδια, ἐπειδὴ γνώριζε τί σημαίνει ὑπόσχεση τοῦ Θεοῦ, πόσο ἐπινοητικὴ καὶ πόσο ἐφευρετικὴ εἶναι, ὅτι δὲν ἐμποδίζεται ἀπὸ τοὺς νόμους τῆς φύσης οὔτε ἀπὸ τὴ δυσκολία τῶν πραγμάτων οὔτε ἀπὸ κάτι ἄλλο, ἀλλὰ ὅτι βαδίζει μέσα ἀπὸ τὰ ἀντίθετα καὶ πραγματοποιεῖ τὴν ὑπόσχεσή του, δέχθηκε τὸ λόγο καὶ πίστεψε τὴν ὑπόσχεση καὶ χωρὶς ν' ἀφήσει νὰ κινηθεῖ καθόλου ἡ ταραχὴ τῶν λογισμῶν του θεώρησε πὼς ἡ δύναμη ἐκείνου ποὺ ὑποσχέθηκε εἶναι ἀξιόπιστη, ὅπως πράγματι καὶ εἶναι, γιὰ τὴν ἐκπλήρωση τῆς ὑπόσχεσης, χωρὶς νὰ ἐξετάσει πῶς καὶ μὲ ποιό τρόπο θὰ γίνουν αὐτά, καὶ γιὰ ποιό λόγο δὲν ἔγιναν στὴ νεότητά του, ἀλλὰ στὰ γηρατειά του καὶ κάποτε καὶ ἀργότερα.

Γι' αὐτὸ καὶ ὁ Παῦλος τὸν ἐπαινεῖ μὲ δυνατὴ φωνὴ λέγοντας τὰ ἑξῆς· «ὁ ὁποῖος χωρὶς ἐλπίδα πίστεψε, στηριγμένος στὴν ἐλπίδα, στὸ ὅτι θὰ γίνει πατέρας πολλῶν ἐθνῶν»[40]. Τί σημαίνει «χωρὶς ἐλπίδα, στηριγμένος στὴν ἐλπίδα»; Χωρὶς τὴν ἐλπίδα τὴν ἀνθρώπινη, ἀλλὰ μὲ τὴν ἐλπίδα τοῦ Θεοῦ, ποὺ ὅλα τὰ νικάει, ὅλα τὰ μπορεῖ, ὅλα τὰ κατανικάει. Καὶ πίστεψε ὄχ

40. Ρωμ. 4,18.

*νομένη. Καὶ ἐπίστευσεν οὐκ εἰς τὸ πατὴρ γενέσθαι μόνον, ἀλλὰ καὶ ἐθνῶν τοσούτων, ὁ γέρων καὶ ἄγονος, ὁ στεῖραν καὶ γεγηρακυῖαν γυναῖκα ἔχων, κατὰ τὸ εἰρημένον· «οὕτως ἔσται τὸ σπέρμα σου. Καὶ μὴ ἀσθενήσας τῇ πίστει οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ καὶ πληροφορηθεὶς ὅτι, ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· ἀναπηδήσας καὶ ἐξαλλόμενος εὐθέως ἀπὸ τῆς ἀνθρωπίνης ἀσθενείας καὶ πρὸς τὸ ὕψος ἀναδραμὼν τοῦ ὑποσχομένου καὶ ἐννοήσας αὐτοῦ τὴν ἄφατον δύναμιν, ἐπείσθη σαφῶς, ὅτι πάντως ἔσται τὸ εἰρημένον. Καὶ τούτῳ μάλιστα τὸν Θεὸν ἐδόξασε, τῷ μὴ περιεργάσασθαι, μηδὲ πολυπραγμονῆσαι, ἀλλὰ τῷ ἀκαταλήπτῳ τῆς σοφίας αὐτοῦ καὶ τῆς δυνάμεως παραχωρῆσαι καὶ μηδὲν ἀμφιβάλλειν ὅλως περὶ τῶν εἰρημένων.*

*Ὁρᾷς ὅτι τοῦτό ἐστι μάλιστα τὸ δοξάζειν τὸν Θεόν, τὸ ἀεὶ παραχωρεῖν αὐτοῦ τῷ ἀκαταλήπτῳ τῆς προνοίας καὶ τῇ ἀρρήτῳ δυνάμει καὶ σοφίᾳ καὶ μὴ περιεργάζεσθαι, μηδὲ πολυπραγμονεῖν, μηδὲ λέγειν, διὰ τί τοῦτο; εἰς τί τοῦτο; πῶς τοῦτο ἔσται; Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ τὸν υἱὸν αὐτοῦ ἐκεῖνον, τὸν μονογενῆ καὶ γνήσιον, μετὰ τὴν ὑπόσχεσιν ταύτην ἐκελεύετο καταθύειν καὶ οὐδὲ τότε ἐσκανδαλίζετο. Καίτοι πολλὰ ἦν τὰ δυνάμενα σκανδαλίσαι τὸν μὴ νήφοντα, μηδὲ ἐγρηγορότα· καὶ αὐτὸ πρῶτον τὸ ἐπίταγμα, εἰ ὁ Θεὸς τοιαύτας καταδέχεται θυσίας, καὶ παιδοκτόνους εἶναι κελεύει τοὺς πατέρας καὶ βιαίῳ τελευτῇ καταλύειν τὸν βίον καὶ ἀώρῳ παραδιδόναι τοὺς παῖδας θανάτῳ καὶ αὐτόχειρας γενέσθαι τῶν γεννηθέντων καὶ αἵματι τοιούτῳ τὸν βωμὸν αἱμάσσεσθαι βούλεται τὸν αὐτοῦ καὶ δεξιὰν ὁπλίζεσθαι πατρικὴν κατὰ τοῦ μονο-*

41. Ρωμ. 4,19–21.

μόνο στὸ ὅτι θὰ γίνει πατέρας, ἀλλὰ καὶ τόσων πολλῶν ἐθνῶν, ὁ γέροντας καὶ ἄγονος, ποὺ εἶχε στείρα καὶ γερασμένη γυναίκα, σύμφωνα μ' αὐτὸ ποὺ εἶχε λεχθεῖ· «ἔτσι θὰ εἶναι οἱ ἀπόγονοί σου. Καὶ ἐπειδὴ δὲν κλονίσθηκε στὴν πίστη του, δὲ σκέφθηκε τὸ σῶμα του ποὺ ἦταν νεκρό, γιατὶ ἦταν περίπου ἑκατὸ ἐτῶν, οὔτε καὶ τὴ νέκρωση τῆς μήτρας τῆς Σάρρας· στὴν ὑπόσχεση ὅμως τοῦ Θεοῦ δὲ διακρίθηκε γιὰ ἀπιστία, ἀλλὰ δυνάμωσε τὸν ἑαυτό του μὲ τὴν πίστη, δοξάζοντας τὸ Θεὸ καὶ σχηματίζοντας τὴν πεποίθηση, ὅτι ἐκεῖνο ποὺ ὑπόσχεται ὁ Θεός, εἶναι δυνατὸς καὶ νὰ τὸ ἐκτελέσει»[41]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐπειδὴ ξεπέρασε καὶ ἀποτίναξε ἀμέσως τὴν ἀνθρώπινη ἀδυναμία καὶ ἔφθασε στὸ ὕψος ἐκείνου ποὺ ὑποσχέθηκε καὶ κατανόησε τὴν ἀνέκφραστη δύναμή του, πείσθηκε ἐντελῶς ὅτι ὁπωσδήποτε θὰ γίνει αὐτὸ ποὺ λέχθηκε. Καὶ μ' αὐτὸ δόξασε πιὸ πολὺ τὸ Θεό, μὲ τὸ ὅτι δὲν περιεργάσθηκε, οὔτε πολυεξέτασε, ἀλλὰ μὲ τὸ ὅτι ὑπάκουσε στὴν ἀκατάληπτη σοφία του καὶ τὴ δύναμή του καὶ μὲ τὸ ὅτι δὲν ἀμφέβαλλε καθόλου γιὰ ὅσα λέχθηκαν.

Βλέπεις ὅτι αὐτὸ εἶναι κυρίως ποὺ δοξάζει τὸ Θεό, τὸ νὰ ὑποχωρεῖ κανεὶς πάντοτε στὴν ἀκατάληπτη πρόνοιά του καὶ στὴν ἀνέκφραστη δύναμη καὶ σοφία του καὶ τὸ νὰ μὴν περιεργάζεται, οὔτε νὰ πολυεξετάζει, οὔτε νὰ λέγει, γιατί αὐτό; γιὰ ποιό σκοπὸ ἐκεῖνο; πῶς θὰ συμβεῖ αὐτό; Καὶ δὲν εἶναι αὐτὸ μόνο τὸ θαυμαστό, ἀλλὰ τὸ ὅτι καὶ τὸν υἱό του ἐκεῖνον, τὸ μονογενὴ καὶ γνήσιο, μετὰ τὴν ὑπόσχεση αὐτή, ὅταν ἔπαιρνε τὴν ἐντολὴ νὰ τὸν θυσιάσει, οὔτε καὶ τότε σκανδαλιζόταν. Καὶ ἦταν βέβαια πολλὰ αὐτὰ ποὺ μποροῦσαν νὰ σκανδαλίσουν ἐκεῖνον ποὺ δὲν ἦταν νηφάλιος οὔτε προσεκτικός. Καὶ πρῶτα αὐτὴ ἡ προσταγή, ἂν δηλαδὴ ὁ Θεὸς δέχεται τέτοιες θυσίες καὶ προστάζει τοὺς πατέρες νὰ γίνονται παιδοκτόνοι καὶ νὰ καταλύουν τὴ ζωή τους μὲ βίαιο τρόπο καὶ νὰ παραδίνουν τὰ παιδιά τους σὲ πρόωρο θάνατο καὶ νὰ σκοτώνουν μὲ τὰ ἴδια τους τὰ χέρια τὰ παιδιά τους, καὶ ἂν θέλει μὲ τέτοιο αἷμα νὰ βρέχεται ὁ βωμός του καὶ νὰ ὁπλίζεται τὸ πατρικὸ χέρι ἐναντίον τοῦ μονο-

*γενοῦς παιδὸς καὶ φονέων εἶναι χαλεπώτερον τὸν δίκαιον· καὶ μετὰ τούτου καὶ ἡ τῆς φύσεως τυραννὶς θορυβοῦσα, ταράττουσα, οὐκ ἐπειδὴ πατὴρ ἦν μόνον, ἀλλ' ἐπειδὴ καὶ φιλόστοργος καὶ πατὴρ τοιούτου παιδός, γνησίου, μονογενοῦς, καλοῦ μὲν ἰδεῖν, καλοῦ δὲ νοῆσαι. Καὶ γὰρ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ἦν, καὶ αὐτῇ τῆς ἀρετῆς τῇ ἀκμῇ, διπλῇ τότε ἀπολάμπων τῇ εὐμορφίᾳ καὶ τῇ τῆς ψυχῆς καὶ τῇ τοῦ σώματος. Οὐ μικρὸν δὲ εἰς φιλοστοργίαν καὶ τὸ παρ' ἐλπίδα δοθῆναι πᾶσαν. Ἴστε γὰρ πῶς ποθεινὰ τὰ τοιαῦτα παιδία, τὰ παρ' ἐλπίδα καὶ προσδοκίαν καὶ οὐ νόμῳ φύσεως κεχαρισμένα, οἷος ἐκεῖνος ἦν.*

*Καὶ μετὰ τούτων δὴ πάντων τὸ μάλιστα ἱκανὸν παρασχεῖν σκάνδαλον ἡ ἐπαγγελία καὶ ἡ ὑπόσχεσις ἦν· ἐναντίον γὰρ ἦν αὐτῇ τὸ ἐπιταχθέν. Τὸ μὲν γὰρ ἐπαγγελθὲν ἦν, «οὕτως ἔσται τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ»· τὸ δὲ ἐπιτεταγμένον, τὸν υἱὸν τὸν μονογενῆ, ἀφ' οὗ πᾶσαν ἔμελλεν ἐμπλήσειν τὴν οἰκουμένην, τοῦτον ἐκ μέσου γίνεσθαι καὶ θανάτῳ παραδίδοσθαι καὶ σφαγῇ χαλεπωτάτῃ. Ἀλλ' οὐδὲ οὕτως ἐσκανδαλίζετο, οὐδὲ ἐθορυβεῖτο ὁ δίκαιος ἐκεῖνος, οὐδὲ ἔπαθέ τι τοιοῦτόν, οἷον εἰκὸς ἦν τινα τῶν ἀνοήτων παθεῖν καὶ χαμαὶ συρομένων. Οὐδὲ γὰρ εἶπε πρὸς ἑαυτόν, 'Τί τοῦτο; ἠπατήθημεν; παρελογίσθημεν; Θεοῦ τοῦτο ἐπίταγμα; Ἄπαγε, οὐ πείθομαι· τὸ παιδοκτόνον με γενέσθαι ἀμήχανον, καὶ τοιούτῳ φοινῖξαι αἵματι τὴν δεξιάν μου. Πῶς δὲ τὰ τῆς ἐπαγγελίας ἕξει πέρας; Ἂν γὰρ ἀνέλω τὴν ῥίζαν, πόθεν οἱ κλάδοι; πόθεν οἱ καρποί; Ἂν καταχώσω τὴν πηγήν, πόθεν οἱ ποταμοί; Ἂν ἀφανίζω τὸν υἱόν, πόθεν μοι τὸ πλῆθος τῶν ἐκγόνων τὸ τῷ πλήθει τῶν ἄστρων παρισούμενον; Πῶς οὖν ὑπέσχετο ἕτερα καὶ ἐναντία ἐπιτάττει νῦν;'*

*Τούτων οὐδὲν οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλὰ πάλιν ἐπὶ*

γενοῦς παιδιοῦ του καὶ νὰ εἶναι ὁ δίκαιος πιὸ φοβερὸς ἀπὸ τοὺς φονιάδες. Καὶ μαζὶ μ' αὐτὸ καὶ ἡ ἐξουσία τῆς φύσης νὰ τὸν ἀνησυχεῖ καὶ νὰ τὸν ταράζει, ὄχι γιατὶ ἦταν πατέρας μόνο, ἀλλὰ γιατὶ ἦταν καὶ φιλόστοργος καὶ πατέρας τέτοιου παιδιοῦ, γνήσιου, μονογενοῦς, ὄμορφου καὶ ἔξυπνου. Γιατὶ πραγματικὰ βρισκόταν σ' αὐτὸ τὸ ἄνθος τῆς ἡλικίας καὶ σ' αὐτὴ τὴν ἀκμὴ τῆς ἀρετῆς, λάμποντας τότε μὲ τὴ διπλὴ ὀμορφιά, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος. Καὶ δὲν ἦταν μικρὸ πράγμα γιὰ νὰ κινήσει τὴ φιλοστοργία του καὶ τὸ ὅτι δόθηκε σ' αὐτὸν χωρὶς καμιὰ ἐλπίδα. Γιατὶ γνωρίζετε πόσο ἀγαπητὰ εἶναι αὐτὰ τὰ παιδιά, τὰ χαρισμένα χωρὶς ἐλπίδα καὶ προσδοκία καὶ ὄχι σύμφωνα μὲ τὸ νόμο τῆς φύσης, ὅπως ἦταν ἐκεῖνο.

Καὶ μαζὶ μὲ ὅλα αὐτὰ ἐκεῖνο ποὺ κυρίως ἦταν ἱκανὸ νὰ τὸν σκανδαλίσει ἦταν ἡ ἐπαγγελία καὶ ἡ ὑπόσχεση, καθόσον ἡ ἐντολὴ ἦταν ἀντίθετη σ' αὐτή. Γιατὶ ἡ ἐπαγγελία ἦταν, «ἔτσι θὰ εἶναι οἱ ἀπόγονοί σου, ὅπως τὰ ἄστρα τοῦ οὐρανοῦ»[42], ἐνῶ ἡ ἐντολὴ ἦταν, ὁ υἱὸς ὁ μονογενής, ἀπὸ τὸν ὁποῖο ἐπρόκειτο νὰ γεμίσει ὅλη τὴν οἰκουμένη, αὐτὸς νὰ φύγει ἀπὸ τὴ μέση καὶ νὰ παραδοθεῖ σὲ θάνατο καὶ στὴν πιὸ φοβερὴ σφαγή. Ἀλλ' οὔτε ἔτσι σκανδαλιζόταν, οὔτε ἀνησυχοῦσε ὁ δίκαιος ἐκεῖνος, οὔτε ἔπαθε κάτι τέτοιο, ὅπως ἦταν φυσικὸ νὰ πάθει κάποιος ἀπὸ τοὺς ἀνόητους καὶ ἀπ' αὐτοὺς ποὺ σέρνονται στὴ γῆ. Καὶ οὔτε εἶπε στὸν ἑαυτό του, τί εἶναι αὐτό; Ἐξαπατήθηκα; Παραλογίσθηκα; Εἶναι τοῦ Θεοῦ αὐτὴ ἡ ἐντολή; Μακριὰ μιὰ τέτοια σκέψη, δὲν πιστεύω· εἶναι ἀδύνατο νὰ γίνω παιδοκτόνος καὶ μὲ τέτοιο αἷμα νὰ βάψω τὸ χέρι μου. Πῶς ὅμως θὰ πραγματοποιηθεῖ ἡ ἐπαγγελία; Γιατὶ ἂν καταστρέψω τὴ ρίζα, ἀπὸ ποῦ θὰ βγοῦν τὰ κλαδιά; Ἀπὸ ποῦ οἱ καρποί; Ἂν φράξω τὴν πηγὴ ἀπὸ ποῦ θὰ πηγάσουν οἱ ποταμοί; Ἂν ἀφανίσω τὸ παιδί, ἀπὸ ποῦ θ' ἀποκτήσω τὸ πλῆθος τῶν ἀπογόνων ποὺ θὰ εἶναι ἴσο μὲ τὸ πλῆθος τῶν ἄστρων; Πῶς λοιπὸν ὑποσχέθηκε ἄλλα καὶ τὰ ἀντίθετα προστάζει τώρα;

Ἀπ' αὐτὰ δὲν εἶπε τίποτε, οὔτε σκέφθηκε, ἀλλὰ κατέφυγε

42. Γεν. 15,5.

τὴν δύναμιν τοῦ ἐπαγγειλαμένου καταφυγών, τὴν ἄφατον, τὴν εὐμήχανον, τὴν εὔπορον, τὴν διὰ τῶν ἐναντίων διαλάμπουσαν, τὴν ἀνωτέραν τῶν τῆς φύσεως νόμων, τὴν πάντων δυνατωτέραν, τὴν οὐδὲν ἔχουσαν τὸ ἀντιπῖπτον καὶ τοῦτο μετὰ πολλῆς τῆς πληροφορίας τὸ ἐπίταγμα ἤνυε καὶ ἔσφαξε τὸν υἱὸν καὶ ᾕμαξε τὴν δεξιὰν καὶ ἐφοίνιξε τὸ ξίφος καὶ διὰ τῆς δειρῆς τὴν μάχαιραν ἤλασεν· εἰ γὰρ καὶ μὴ τῷ ἔργῳ, ἀλλὰ τῇ γνώμῃ ταῦτα πάντα ἐπλήρωσε. Διὸ καὶ Μωϋσῆς αὐτὸν θαυμάζων, οὕτως ἔφη· «καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ, λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ καὶ ἀνένεγκε αὐτὸν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω». Ταῦτα τὰ τῆς ὑποσχέσεως ῥήματα, τὰ τῆς ἐπαγγελίας, τὰ λέγοντα, ὅτι πλήθους ἐκγόνων ἔσται πατὴρ καὶ ἔσται τὸ σπέρμα αὐτοῦ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ;

Ὅρα πῶς μετὰ τὰ ῥήματα ταῦτα, ἀκούσας σφάξαι τὸν υἱόν κατεδέξατο τὸν ἀφ' οὗ τοσοῦτον ἔμελλεν ἔσεσθαι τὸ πλῆθος, τοῦτον ἀνελεῖν καὶ καταθῦσαι καὶ ἐκ μέσου ποιῆσαι καὶ ἱερεῖον τῷ Θεῷ προσαγαγεῖν. Καὶ ὁ Παῦλος δὲ αὐτὸν ἐντεῦθεν θαυμάζων πάλιν οὕτως ἐστεφάνου καὶ ἀνεκήρυττε λέγων· «πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος»· εἶτα δεικνὺς ἡλίκον πρᾶγμα ἐποίησε καὶ ὅσην ἐπεδείξατο πίστιν, ἐπήγαγε· «καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔστιν εἰπεῖν, φησίν, ὅτι δύο παῖδας εἶχε γνησίους καὶ προσεδόκα ἀναιρεθέντος τούτου, ἀπὸ τοῦ ἑτέρου τοῦ πλήθους ἐκείνου ἔσεσθαι πατήρ, ἀλλὰ καὶ μόνον εἶχεν αὐτὸν καὶ ἀπὸ μόνου τούτου τὰς τῆς ἐπαγγελίας ἤρτητο· καὶ ὅμως τοῦτον εἵλετο καταθῦσαι, ὥσπερ ἐν τῇ ὑποσχέσει τῆς γεννήσεως αὐτοῦ μήτε τῇ οἰκείᾳ νεκρώσει, μήτε τῇ πηρώσει τῆς φύσεως τῆς γυναικὸς κωλυθεὶς πρὸς τὴν πίστιν, οὕτως οὐδὲ ἐνταῦθα τῷ θανάτῳ παρεμποδισθείς.

---

43. Γεν. 22,1–2. 44. Ἑβρ. 11,17.

πάλι στὴ δύναμη ἐκείνου ποὺ ἔδωσε τὴν ὑπόσχεση, τὴν ἀνείπωτη, τὴν ἐφευρετική, τὴν ἐπινοητική, τὴ δύναμη ποὺ λάμπει μέσα ἀπὸ τὰ ἀντίθετα, ποὺ εἶναι ἀνώτερη ἀπὸ τοὺς νόμους τῆς φύσης, ποὺ εἶναι πιὸ δυνατὴ ἀπ' ὅλα, ποὺ δὲν ἔχει τίποτε νὰ τὴν ἐμποδίζει, καὶ ἐκτέλεσε μὲ πολλὴ προθυμία τὴν προσταγὴ καὶ ἔσφαξε τὸν υἱό του καὶ αἱμάτωσε τὸ χέρι του καὶ ἔβαψε κόκκινο τὸ ξίφος καὶ πέρασε τὸ μαχαίρι ἀπὸ τὸ λαιμό· γιατὶ καὶ ἂν δὲν τὰ ἔκαμε στὴν πράξη αὐτά, τὰ πραγματοποίησε ὅμως ὅλα στὴ διάθεσή του. Γι' αὐτὸ καὶ ὁ Μωϋσῆς θαυμάζοντάς τον εἶπε τὰ ἑξῆς· «καὶ συνέβηκε ὕστερα ἀπὸ τὰ λόγια αὐτά, ὁ Θεὸς δοκίμαζε τὸν Ἀβραὰμ καὶ τοῦ εἶπε; πάρε τὸν υἱό σου τὸν ἀγαπητό, ποὺ ἀγάπησες πολύ, τὸν Ἰσαάκ, καὶ πρόσφερέ του θυσία ἐπάνω σ' ἕνα βουνὸ ποὺ θὰ σοῦ πῶ»[43]. Αὐτὰ εἶναι τὰ λόγια τῆς ὑπόσχεσης, τὰ λόγια τῆς ἐπαγγελίας, ποὺ λέγουν ὅτι θὰ εἶναι πατέρας πολλῶν ἀπογόνων καὶ οἱ ἀπόγονοί του θὰ εἶναι ὅπως τὰ ἄστρα τοῦ οὐρανοῦ;

Πρόσεχε πῶς μετὰ τὰ λόγια αὐτά, ὅταν ἄκουσε νὰ σφάξει τὸν υἱό του, δέχθηκε ἐκεῖνον ἀπὸ τὸν ὁποῖο ἐπρόκειτο νὰ γίνει τόσο πλῆθος νὰ τὸν σκοτώσει καὶ νὰ τὸν θυσιάσει καὶ νὰ τὸν ἐξαφανίσει καὶ νὰ τὸν προσφέρει σφάγιο στὸ Θεό. Καὶ ὁ Παῦλος θαυμάζοντάς τον πάλι γι' αὐτὸ ἔτσι τὸν στεφάνωνε καὶ τὸν ἐπαινοῦσε λέγοντας· «μὲ τὴν πίστη πρόσφερε ὁ Ἀβραὰμ τὸν Ἰσαὰκ ὅταν δοκιμάσθηκε»[44]. Στὴ συνέχεια, δείχνοντας πόσο μεγάλο πράγμα ἔκαμε καὶ πόση πίστη φανέρωσε, πρόσθεσε· «ἐκεῖνος ποὺ ἔλαβε τὶς ὑποσχέσεις πρόσφερε καὶ τὸ μονογενή του υἱό». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲν εἶναι δυνατὸ νὰ πεῖ κανείς, λέγει, ὅτι εἶχε δύο γνήσια παιδιὰ καὶ περίμενε, ἂν σκοτωθεῖ τὸ ἕνα ἀπὸ τὸ ἄλλο νὰ γίνει πατέρας τοῦ πλήθους ἐκείνου, ἀλλὰ καὶ μόνο τὸ εἶχε καὶ ἀπ' αὐτὸ μόνον ἐξαρτόνταν ἡ ἐκπλήρωση τῆς ὑπόσχεσης· καὶ ὅμως αὐτὸ προτίμησε νὰ τὸ θυσιάσει καὶ ὅπως στὴν ὑπόσχεση τῆς γέννησής του οὔτε ἀπὸ τὴ δική του νέκρωση οὔτε ἀπὸ τὴν ἀναπηρία τῆς φύσης τῆς γυναίκας του ἐμποδίσθηκε νὰ τὸ πιστέψει, ἔτσι οὔτε ἐδῶ παρεμποδίσθηκε ἀπὸ τὸ θάνατο.

Παράβαλε τοίνυν ταῦτα πρὸς τὰ νῦν γεγενημένα καὶ ὄψει σου τὴν μικροψυχίαν καὶ ὄψει τὴν εὐτέλειαν τῶν σκανδαλιζομένων καὶ εἴσῃ σαφῶς, ὅτι οὐδαμόθεν ἑτέρωθέν σοι τὸ σκάνδαλον γίνεται, ἢ ἐκ τοῦ μὴ παραχωρεῖν τῇ ἀκαταλήπτῳ τοῦ Θεοῦ προνοίᾳ, ἀλλ' ἐπιζητεῖν οἰκονομιῶν τρόπον πανταχοῦ καὶ αἰτίας τῶν γινομένων ἀπαιτεῖν καὶ ἕκαστα περιεργάζεσθαι· ὅπερ εἰ ἔπαθεν ὁ Ἀβραάμ, ἔμελλε πρὸς τὴν πίστιν χωλεύειν. Ἀλλ' οὐκ ἔπαθε, διὸ καὶ ἔλαμψε καὶ πάντων ἐπέτυχε τῶν ἐπηγγελμένων· οὐδὲ ἐσκανδαλίζετο, οὐδὲ τῷ γήρᾳ, οὐδὲ τῷ μετὰ ταῦτα ἐπιτάγματι· οὐδὲ ἐνόμισε κώλυμα εἶναι τὸ ἐπίταγμα τῇ ὑποσχέσει, οὔτε ἀναιρετικὴν εἶναι τὴν θυσίαν τῆς ἐπαγγελίας, οὐδὲ εἰς ἀπόγνωσιν ἐνέπιπτε τῆς ὑποσχέσεως, καίτοι πρὸς αὐτὸ τὸ πέρας τῶν πραγμάτων ἐλθών. Μὴ γάρ μοι τοῦτο λέγε, ὅτι οὐκ εἴασεν ὁ Θεὸς εἰς ἔργον τὸ ἐπίταγμα ἐλθεῖν, οὐδὲ αἱμαχθῆναι τοῦ δικαίου τὴν δεξιάν· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τούτων οὐδὲν ὁ δίκαιος ᾔδει, οὐδὲ ὅτι ζῶντα ἀπολήψεται τὸν υἱὸν καὶ οὕτως οἴκαδε ἐπιστρέψαι ἠπίστατο, ἀλλ' ἔτεινεν ὅλην πρὸς τὴν σφαγὴν τὴν ἑαυτοῦ γνώμην.

Διὰ τοῦτο καὶ ἐκ δευτέρου καλεῖται ἐκ τῶν οὐρανῶν. Οὐ γὰρ εἶπεν αὐτῷ, "Ἀβραὰμ' ἁπλῶς, ἀλλά, «Ἀβραάμ, Ἀβραάμ», τῷ διπλασιασμῷ τῆς φωνῆς τὴν ἐπιτεταμένην πρὸς τὴν θυσίαν προαίρεσιν ἀνείργων τε καὶ ἀναχαιτίζων· οὕτως ὅλως τοῦ ἐπιτάγματος ἦν. Εἶδες πῶς τὸ πᾶν τῇ γνώμῃ αὐτοῦ ἐπεπλήρωτο καὶ σκάνδαλον οὐδαμοῦ. Τὸ δὲ αἴτιον, τὸ μὴ περιεργάζεσθαι τὰ τοῦ Θεοῦ. Τί δὲ ὁ Ἰωσήφ; Εἰπέ μοι. Οὐ τοιοῦτόν τι καὶ αὐτὸς πέπονθε; Καὶ γὰρ κἀκείνῳ μεγάλη τις ὑπόσχεσις ἦν παρὰ τοῦ Θεοῦ δεδομένη καὶ τὰ γινόμενα πάλιν ἀπεναντίας τῆς ὑποσχέσεως ἐγίνετο. Ἡ μὲν γὰρ ὑπόσχεσις ἦν διὰ τῶν ὀνειράτων, προσκυνήσειν αὐτὸν τοὺς ἀδελφοὺς καὶ διπλῆ ὄψις τοῦτο ἀνεκήρυττεν, ἥ τε διὰ τῶν ἄστρων, ἥ τε διὰ τῶν δραμάτων· τὰ δὲ μετὰ τὰς ὄψεις ταύτας συμβάντα ἐναντία τῶν ὄψεων ἦν.

Σύγκρινε λοιπὸν αὐτὰ μ' ἐκεῖνα ποὺ γίνονται τώρα καὶ θὰ δεῖς τὴ μικροψυχία σου καὶ θὰ δεῖς τὴν εὐτέλεια αὐτῶν ποὺ σκανδαλίζονται καὶ θὰ γνωρίσεις καλὰ ὅτι δὲ σκανδαλίζεσαι ἀπὸ πουθενὰ ἀλλοῦ παρὰ ἀπὸ τὸ ὅτι δὲν ὑποχωρεῖς στὴν ἀκατάληπτη πρόνοια τοῦ Θεοῦ, ἀλλὰ ζητᾶς παντοῦ τρόπο οἰκονομιῶν καὶ ἀπαιτεῖς αἰτίες γι' αὐτὰ ποὺ γίνονται καὶ περιεργάζεσαι τὸ καθένα, πράγμα ποὺ ἂν τὸ πάθαινε ὁ Ἀβραάμ, ἔμελλε νὰ χωλαίνει στὴν πίστη. Ἀλλὰ δὲν τὸ ἔπαθε, γι' αὐτὸ καὶ ἔλαμψε καὶ ἐπέτυχε ὅλες τὶς ὑποσχέσεις· δὲν σκανδαλιζόταν, οὔτε ἀπὸ τὰ γηρατειά, οὔτε ἀπὸ τὴν κατοπινὴ προσταγή· οὔτε θεώρησε πὼς ἡ προσταγὴ ἦταν ἐμπόδιο στὴν ὑπόσχεση, οὔτε πὼς ἡ θυσία ἀναιροῦσε τὴν ἐπαγγελία, οὔτε ἔπεφτε σὲ ἀπόγνωση γιὰ τὴν ὑπόσχεση, μολονότι ἔφθασε σ' αὐτὸ τὸ τέλος τῶν πραγμάτων. Γιατὶ μὴ μοῦ λέγεις αὐτό, ὅτι δηλαδὴ δὲν ἄφησε ὁ Θεὸς νὰ πραγματοποιηθεῖ ἡ προσταγή, οὔτε νὰ βαφεῖ στὸ αἷμα τὸ χέρι τοῦ δικαίου, ἀλλὰ πρόσεχε ἐκεῖνο, ὅτι δηλαδὴ τίποτε ἀπ' αὐτὰ δὲ γνώριζε ὁ δίκαιος, οὔτε ὅτι θὰ πάρει πίσω ζωντανὸ τὸν υἱό του καὶ δὲν πίστευε ὅτι θὰ ἐπιστρέψει ἔτσι στὸ σπίτι, ἀλλὰ πρόσφερε ὅλη του τὴ διάθεση γιὰ τὴ σφαγή.

Γι' αὐτὸ καὶ δυὸ φορὲς καλεῖται ἀπὸ τοὺς οὐρανούς. Γιατὶ δὲν τοῦ εἶπε, 'Ἀβραάμ', μόνο, ἀλλά, «Ἀβραάμ, Ἀβραάμ»[45], θέλοντας μὲ τὸ διπλασιασμὸ τῆς φωνῆς νὰ τοῦ ἐμποδίσει καὶ νὰ τοῦ συγκρατήσει τὴν ὁρμητική του διάθεση γιὰ τὴ θυσία· τόσο ὁλοκληρωτικὰ ἦταν ἀφοσιωμένος στὴν προσταγή. Εἶδες πῶς τὰ πάντα πραγματοποιήθηκαν στὴ διάθεση του καὶ καθόλου δὲ σκανδαλίσθηκε; Καὶ ἡ αἰτία εἶναι ὅτι δὲν περιεργαζόταν τὶς ἀποφάσεις τοῦ Θεοῦ. Καὶ ὁ Ἰωσήφ; πές μου. Δὲν ἔπαθε καὶ αὐτὸς κάτι τέτοιο; Γιατὶ καὶ σ' ἐκεῖνον εἶχε δώσει ὁ Θεὸς κάποια μεγάλη ὑπόσχεση καὶ τὰ γεγονότα πάλι συνέβαιναν ἀντίθετα πρὸς τὴν ὑπόσχεση. Ἡ ὑπόσχεση βέβαια ἦταν μὲ τὰ ὄνειρα, ὅτι θὰ τὸν προσκυνήσουν οἱ ἀδελφοί του καὶ τὸ διαλαλοῦσαν αὐτὸ καὶ τὰ δύο ποὺ εἶδε, καὶ τὰ ἄστρα καὶ τὰ δεμάτια, ἀλλὰ τὰ γεγονότα μετὰ τὰ ὄνειρα αὐτὰ ἦταν ἀντίθετα πρὸς τὰ ὄνειρα.

45. Γεν. 22,1.

*Πρῶτον μὲν γὰρ πόλεμος αὐτῷ χαλεπὸς ἐντεῦθεν κατὰ τὴν πατρῴαν οἰκίαν ἀνερριπίζετο καὶ οἱ τὰς αὐτὰς αὐτῷ λύσαντες ὠδῖνας, διατεμόντες τῆς συγγενείας τοὺς νόμους καὶ διαρρήξαντες τῆς ἀδελφικῆς διαθέσεως τὰ δεσμὰ καὶ αὐτοὺς τῆς φύσεως διασαλεύσαντες τοὺς θεσμούς, ἐχθροὶ καὶ πολέμιοι καὶ λύκων ἀγριώτεροι περὶ τὸν ἀδελφὸν ἀπὸ τῶν ὄψεων ἐκείνων ἐγίνοντο· καὶ ὥσπερ θῆρες ἄγριοι καὶ ἀνήμεροί τινες ἀρνίον ἐν μέσῳ λαβόντες, οὕτω καθ' ἑκάστην ἐπεβούλευον αὐτῷ τὴν ἡμέραν. Καὶ πατὴρ τοῦ πολέμου τούτου φθόνος ἦν ἄλογος καὶ βασκανία ἄδικος· καὶ τῷ θυμῷ ζέοντες, φόνου καθ' ἑκάστην ἔπνεον τὴν ἡμέραν, τοῦ φθόνου τὴν κάμινον ταύτην ἀνάπτοντος καὶ τὴν πυρὰν ἐγείροντος. Καὶ ἐπειδὴ τέως αὐτὸν οὐδὲν ἐργάσασθαι ἠδύναντο χαλεπόν, ἔνδον στρεφόμενον καὶ μετὰ τῶν γονέων διατρίβοντα, διαβάλλουσιν αὐτοῦ τὴν ὑπόληψιν καὶ αἰσχρὰν κατασκευάζουσιν αὐτῷ δόξαν καὶ ψόγον καταφέρουσι πονηρόν, τοῦ πατρὸς τὸ φίλτρον ταύτῃ καταλῦσαι βουλόμενοι καὶ πρὸς ἐπιβουλὴν εὐχείρωτον λαβεῖν.*

*Εἶτα μετὰ ταῦτα λαβόντες αὐτὸν ἔξω τῶν πατρικῶν ὀφθαλμῶν καὶ ἐπ' ἐρημίας εὑρόντες αὐτοῖς κομίζοντα τροφήν, καὶ εἰς ἐπίσκεψιν αὐτῶν ἀφιγμένον, οὐ τὴν αἰτίαν τῆς ἀφίξεως ᾐδέσθησαν, οὐ τὴν τράπεζαν ᾐσχύνθησαν τὴν ἀδελφικήν, ἀλλὰ τὰ ξίφη ἠκόνουν καὶ πρὸς σφαγὴν ηὐτρεπίζοντο καὶ ἀδελφοκτόνοι πάντες ἐγίνοντο, οὐ μικρόν, οὐ μέγα ἐγκαλεῖν ἔχοντες τῷ μέλλοντι ἀναιρεῖσθαι παρ' αὐτῶν· ἀλλ' ὑπὲρ ὧν αὐτὸν στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι ἔδει, φθονοῦντες, πολεμοῦντες, διαβάλλοντες. Ἀλλ' ἐκεῖνος οὐδὲ οὕτως ἀπεστρέφετο αὐτῶν τὴν συνουσίαν, ἀλλὰ καὶ ἐν τοσαύτῃ πονηρίᾳ τὴν ἀδελφικὴν ἐπεδείκνυτο διάθεσιν· οἱ δὲ καὶ οὕτως αὐτὸν ἀνελεῖν ἐπεχείρουν· καὶ ἀνεῖλον, τό γε αὐτῶν μέρος καὶ τὰς δεξιὰς ᾕμαξαν καὶ τὴν ἀδελφοκτονίαν ἀπήρτισαν. Ἀλλ' ἡ εὐμήχανος καὶ ἐν τοῖς ἀπόροις εὔπορος τοῦ Θεοῦ σοφία καὶ ἐν αὐτῷ τῷ βαράθρῳ καὶ*

Γιατὶ πρῶτα κινήθηκε ἐξ αἰτίας αὐτοῦ ἐναντίον του φοβερὸς πόλεμος στὸ πατρικό του σπίτι καί, ἐκεῖνοι ποὺ γεννήθηκαν ἀπὸ τὴν ἴδια μ' αὐτὸν κοιλιά, κόβοντας τοὺς νόμους τῆς συγγένειας καὶ σπάζοντας τὰ δεσμὰ τῆς ἀδελφικῆς διάθεσης καὶ κλονίζοντας τοὺς ἴδιους τους θεσμοὺς τῆς φύσης, ἔγιναν ἀπὸ τὰ ὄνειρα ἐκεῖνα ἐχθροὶ καὶ ἀντίπαλοι καὶ ἀπὸ τοὺς λύκους πιὸ ἄγριοι γιὰ τὸν ἀδελφό τους· καὶ σὰν κάποια ἄγρια καὶ ἀνήμερα θηρία ποὺ εἶχαν στὴ μέση ἕνα ἀρνί, ἔτσι τὸν ἐπιβουλεύονταν κάθε ἡμέρα. Καὶ πατέρας αὐτοῦ τοῦ πολέμου ἦταν ὁ φθόνος ὁ παράλογος καὶ τὸ μίσος τὸ ἄδικο. Καὶ βράζοντας ἀπὸ θυμὸ ἔπνεαν φόνο κάθε ἡμέρα, ἐνῶ ὁ φθόνος ἄναβε τὸ καμίνι αὐτὸ καὶ φούντωνε τὴ φλόγα. Καὶ ἐπειδὴ ὡς τότε δὲν μπόρεσαν νὰ τοῦ κάμουν κανένα κακό, γιατὶ ἔμεινε μέσα στὸ σπίτι καὶ ζοῦσε μαζὶ μὲ τοὺς γονεῖς του, διαβάλλουν τὴν ὑπόληψή του καὶ τοῦ κατασκευάζουν αἰσχρὴ φήμη καὶ στρέφουν ἐναντίον του κατηγορία πονηρή, θέλοντας μ' αὐτὴ νὰ διαλύσουν τὴν πατρικὴ ἀγάπη καὶ νὰ τὸν κάμουν εὐάλωτο στὴν ἐπιβουλή τους.

Στὴ συνέχεια ὕστερα ἀπ' αὐτὰ ἀφοῦ τὸν συνάντησαν μακριὰ ἀπὸ τὰ πατρικὰ μάτια καὶ τὸν βρῆκαν στὴν ἔρημο νὰ τοὺς φέρνει τροφὴ καὶ νὰ ἔρχεται γιὰ νὰ τοὺς ἐπισκεφθεῖ, δὲ σεβάσθηκαν τὴν αἰτία τοὺ ἐρχομοῦ του, οὔτε ντράπηκαν τὸ ἀδελφικὸ τραπέζι, ἀλλ' ἀκόνιζαν τὰ ξίφη τους καὶ ἑτοιμάζονταν νὰ τὸν σφάξουν καὶ ὅλοι γίνονταν ἀδελφοκτόνοι, χωρὶς νὰ ἔχουν οὔτε μικρὴ οὔτε μεγάλη κατηγορία ἐναντίον αὐτοῦ ποὺ ἐπρόκειτο νὰ τὸν θανατώσουν, ἀλλὰ γι' αὐτὰ ποὺ ἔπρεπε νὰ τὸν στεφανώσουν καὶ νὰ τὸν ἐπαινέσουν, τὸν φθόνησαν, τὸν πολέμησαν, τὸν συκοφάντησαν. Ἐκεῖνος ὅμως οὔτε ἔτσι ἀποστρεφόταν τὴ συναναστροφή τους, ἀλλὰ καὶ σὲ τόσο μεγάλη πονηρία φανέρωνε τὴν ἀδελφικὴ διάθεση, ἐνῶ αὐτοὶ καὶ ἔτσι προσπαθοῦσαν νὰ τὸν σκοτώσουν. Καὶ τὸν σκότωσαν, κατὰ τὴ θέλησή τους, καὶ τὰ χέρια τους τὰ ἔβαψαν στὸ αἷμα καὶ τὴν ἀδελφοκτονία ἔκαμαν. Ἀλλὰ ἡ ἐφευρετικὴ καὶ ἐπινοητικὴ στὰ ἀδιέξοδα σοφία τοῦ Θεοῦ, καὶ μέσα σ' αὐτὸ τὸ βάραθρο καὶ μέσα σ' αὐτὴ τὴν

*ἐν αὐτῇ τοῦ θανάτου τῇ ἐπαγωγῇ, ἐκ τῶν μιαρῶν αὐτῶν ἐκεῖνον ἐξήρπασε χειρῶν. Συνεβούλευσε μὲν γὰρ τῶν ἀδελφῶν εἷς, ὥστε ἀποστῆναι τῆς μιαιφονίας ἐκείνης· ἔπεισε δὲ ὁ Θεὸς καὶ τὴν σφαγὴν διεκώλυσεν.*

*Οὐ μὴν οὐδὲ ἐνταῦθα ἵστατο τὰ δεινά, ἀλλὰ περαιτέρω προήει πάλιν. Ἐπειδὴ γὰρ αὐτὸν ἐκωλύθησαν ἀνελεῖν, ἔζεε δὲ ὁ θυμὸς ἔτι καὶ τὰ τῆς ὀργῆς ἤκμαζε καὶ πολὺ τὸ κλυδώνιον τοῦ πάθους ἦν, εἰς ἕτερόν τι τὴν ὀργὴν ἀφῆκαν. Ἀποδύσαντες γὰρ καὶ δήσαντες αὐτὸν καὶ εἰς λάκκον ῥίψαντες οἱ ὠμοὶ καὶ ἀπάνθρωποι καὶ θηριώδεις, οὕτω τῆς παρ' αὐτοῦ κομισθείσης τραπέζης ἀπήλαυον· καὶ ὁ μὲν ἦν ἐν λάκκῳ περὶ τῶν ἐσχάτων δεδοικώς, οἱ δὲ ἐτρύφων καὶ ἐμέθυον. Καὶ οὐδὲ ἐνταῦθα ἵσταντο τῆς μανίας· ἀλλ' ἰδόντες ἀνθρώπους βαρβάρους καὶ πόρρω τῆς αὐτῶν ἀπῳκισμένους χώρας εἰς τὴν Αἴγυπτον κατιόντας, λαβόντες ἀπέδοντο τὸν ἀδελφόν, ἕτερον θάνατον ἐντεῦθεν αὐτῷ κατασκευάζοντες, μακρότερόν τινα καὶ χαλεπώτερον καὶ πολλῆς γέμοντα ταλαιπωρίας.*

*Μειράκιον γὰρ ὤν, καὶ μειράκιον κομιδῇ, καὶ μετὰ πολλῆς τῆς ἐλευθερίας ἐν οἰκίᾳ πατρῴᾳ τραφεὶς καὶ δουλείας ἁπάσης ἄμοιρος ὢν καὶ τῆς ἐν δουλείᾳ ταλαιπωρίας, ἐννόησον τί ποτε ἔπασχεν, ἀθρόον δοῦλος ἀντ' ἐλευθέρου καὶ ξένος ἀντὶ πολίτου γενόμενος καὶ τὴν ἐσχάτην αἰχμαλωσίαν ὑπομένων· οὐχὶ δουλείαν μόνον, ἀλλὰ καὶ πατρὸς καὶ μητρὸς καὶ τῶν αὐτῷ προσηκόντων ἁπάντων ἀπορρηγνύμενος, γυμνός, ξένος, ἄοικος, ἄπολις, νόμῳ δουλείας βαρβαρικαῖς χερσὶν ἐκδεδομένος. Τί γὰρ οὐκ ἦν αὐτὸν ἱκανὸν θορυβῆσαι; Τὸ ἀθρόον, τὸ ἀπροσδόκητον, τὸ παρ' ἐλπίδα καὶ ἀμελέτητον, τὸ χαλεπὸν τῆς συμφορᾶς, τὸ παρ' ἀδελφῶν καὶ ἀδελφῶν ἀγαπωμένων, μὴ μικρόν, μὴ μέγα ἐκείνους ἠδικηκότα, μᾶλλον δὲ καὶ εὐεργετηκότα, ταῦτα παθεῖν; Ἀλλ' ὅμως οὐδενὶ τούτων διεταράττετο, ἀλλ' ἀπήγετο διὰ τῶν ἐμπόρων ἐκείνων εἰς Αἴγυπτον, δουλείαν ἐκ δουλείας ἀμείβων.*

αἰχμαλωσία τοῦ θανάτου τὸν ἅρπαξε ἀπὸ τὰ μιαρά τους χέρια. Γιατὶ ἕνας ἀδελφὸς τοὺς συμβούλεψε νὰ ἀποφύγουν τὸ μόλυσμα τοῦ φόνου ἐκείνου, ἀλλ' ὁ Θεὸς ἦταν ἐκεῖνος ποὺ τοὺς ἔπεισε καὶ ἐμπόδισε τὴ σφαγή.

Ἀλλ' ὅμως οὔτε ἐδῶ σταμάτησαν τὰ δεινά, ἀλλὰ προχώρησαν πιὸ πέρα πάλι. Γιατί, ἐπειδὴ ἐμποδίσθηκαν νὰ τὸν σκοτώσουν, ἔβραζε ὅμως ὁ θυμὸς ἀκόμη καὶ φούντωνε ἡ ὀργή τους καὶ ἦταν μεγάλη ἡ τρικυμία τοῦ πάθους τους, ἄφησαν τὴν ὀργή τους σὲ κάτι ἄλλο. Ἀφοῦ δηλαδὴ τὸν ἔγδυσαν καὶ τὸν ἔδεσαν καὶ τὸν ἔρριξαν σὲ λάκκο οἱ σκληροὶ καὶ ἀπάνθρωποι καὶ ἄγριοι, ἔτσι ἀπολάμβαναν τὸ φαγητὸ ποὺ τοὺς ἔφερε. Καὶ αὐτὸς βρισκόταν μέσα στὸ λάκκο καὶ φοβόταν γιὰ τὴ ζωή του, ἐνῶ ἐκεῖνοι ἔτρωγαν καὶ μεθοῦσαν. Καὶ οὔτε σταμάτησαν σ' αὐτὸ τὸ σημεῖο τῆς μανίας τους, ἀλλ' ὅταν εἶδαν ἀνθρώπους βάρβαρους, ποὺ κατοικοῦσαν μακριὰ ἀπὸ τὴ χώρα τους, νὰ κατεβαίνον στὴν Αἴγυπτο, ἔπιασαν καὶ πούλησαν τὸν ἀδελφό τους, προκαλώντας σ' αὐτὸν ἔτσι ἄλλο θάνατο μακρότερο καὶ σκληρότερο καὶ γεμάτο ἀπὸ μεγάλη ταλαιπωρία.

Γιατί, καθὼς ἦταν μικρός, καὶ μάλιστα πάρα πολὺ μικρός, καὶ ἀνατράφηκε μὲ πολλὴ ἐλευθερία στὸ πατρικὸ σπίτι καὶ δὲν εἶχε πείρα ἀπὸ κανένα εἶδος δουλείας καὶ ἀπὸ καμία ταλαιπωρία τῆς δουλείας, σκέψου τί ἔπασχε τότε, ὅταν ξαφνικὰ ἔγινε δοῦλος ἀπὸ ἐλεύθερος καὶ ξένος ἀπὸ πολίτης καὶ ὑπέφερε τὴ χειρότερη αἰχμαλωσία. Καὶ δὲν ἔγινε δοῦλος μόνο, ἀλλὰ καὶ ἀπὸ τὸν πατέρα καὶ τὴ μητέρα καὶ ἀπ' ὅλους τοὺς συγγενεῖς του ἀποκόπηκε, γυμνός, ξένος, χωρὶς σπίτι, χωρὶς πατρίδα, παραδομένος ἀπὸ τὸ νόμο τῆς δουλείας σὲ βαρβαρικὰ χέρια. Γιατὶ τί δὲ θὰ ἦταν ἱκανὸ νὰ τὸν τρομάξει; τὸ ξαφνικό, τὸ ἀπροσδόκητο, τὸ ἀνέλπιστο καὶ ἀμελέτητο, ἡ φοβερὴ συμφορά, τὸ ὅτι ἔπαθε αὐτὰ ἀπὸ ἀδελφούς, καὶ μάλιστα ἀδελφοὺς ποὺ ἀγαποῦσε, ποὺ δὲν τοὺς εἶχε ἀδικήσει οὔτε λίγο οὔτε πολύ, ἀλλὰ μᾶλλον ποὺ τοὺς εἶχε καὶ εὐεργετήσει; Καὶ ὅμως ἀπὸ τίποτε τέτοιο δὲν τρόμαξε, ἀλλ' ὁδηγήθηκε ἀπὸ τοὺς ἐμπόρους ἐκείνους στὴν Αἴγυπτο, περνώντας ἀπὸ δουλεία σὲ δουλεία.

*Καὶ γὰρ καὶ ἐκεῖ πάλιν ἐγίνετο δοῦλος καὶ ᾤκει βαρβαρικὴν οἰκίαν ὁ Ἑβραῖος, ὁ εὐγενής, ὁ διπλῆν ἐλευθερίαν ἐλεύθερος καὶ τὴν τοῦ σώματος καὶ τὴν τῆς ψυχῆς· καὶ οὐδὲ ἐντεῦθεν ἐταράττετο, οὐδὲ ἐσκανδαλίζετο πρὸς τὰ γεγενημένα, τῶν ὄψεων ἀναμιμνησκόμενος τῶν τὰ ἐναντία ἐπαγγελλομένων· οὐδὲ περιειργάζετο, τί δήποτε ταῦτα γίνεται; Καὶ οἱ μὲν ἀδελφοκτόνοι καὶ λύκοι καὶ θῆρες καίτοι ταῦτα ἠδικηκότες, ἐπὶ τῆς πατρῴας οἰκίας τρυφῶσιν, αὐτὸς δὲ ὁ προσδοκηθεὶς αὐτῶν βασιλεύειν, αἰχμάλωτος, δοῦλος, εἰς ἀλλοτρίαν ἀπεμποληθείς, τὴν ἐσχάτην ὑπομένει ταλαιπωρίαν, οὐ μόνον αὐτῶν οὐ βασιλεύσας, ἀλλὰ καὶ δοῦλος αὐτῶν γενόμενος καὶ ἐκ πολλοῦ τοῦ διαμέτρου τἀναντία ταῖς ὑποσχέσεσι παθών. Οὐ γὰρ δὴ μόνον βασιλείας τότε οὐκ ἐπέτυχεν, ἀλλὰ καὶ πατρίδος καὶ ἐλευθερίας καὶ τῆς τῶν γονέων ἐξέπεσεν ὄψεως.*

*Καὶ οὐδὲ ἐνταῦθα αὐτῷ τὰ τῶν ἀγώνων ἵστατο, ἀλλ' ἕτερον βαθύτερον ἀνωρύττετο βάραθρον, θάνατον πάλιν ἔχον, καὶ σφαγήν, θάνατον ἐπονείδιστον καὶ σφαγὴν αἰσχύνης γέμουσαν. Ἰδοῦσα γὰρ αὐτὸν ἀδίκοις ὀφθαλμοῖς ἡ κεκτημένη καὶ ἁλοῦσα τῷ κάλλει τοῦ νεανίσκου, ὑπὸ τῆς λαμπρᾶς αὐτοῦ χειρωθεῖσα ὄψεως καὶ αὐτὴ πάλιν δόλους ἔρραπτε καὶ ἐπιβουλάς. Καὶ τὰ δίκτυα τῆς ἀκολασίας πάντοθεν ἁπλώσασα, καθ' ἑκάστην ἐσκοπεῖτο τὴν ἡμέραν εἴσω τῆς οἰκείας σαγήνης τὸν νεανίσκον λαβεῖν καὶ εἰς τὸ τῆς μοιχείας ἐμβαλεῖν βάραθρον καὶ θανάτῳ παραδοῦναι ἀθανάτῳ. Καὶ καθ' ἑκάστην ἡμέραν ἐπὶ τὴν ἄγραν ἐξῄει ταύτην, ὑπὸ τοῦ πάθους κεντουμένη καὶ ὑπὸ τοῦ ἀκολάστου τούτου ἔρωτος καθ' ἑκάστην ὁπλιζομένη τὴν ἡμέραν· καί ποτε ἐπιλαβομένη μόνον, ἐπὶ τὴν ἄδικον αὐτὸν πρὸς βίαν εἷλκεν εὐνὴν καὶ τὸν ἀλλότριον διορύξαι γάμον ἠνάγκαζε καὶ τὴν σωφροσύνην λυμήνασθαι ἐπεχείρει.*

*Ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν ἔπαθέ τι χαλεπὸν ὁ δίκαιος ἐκεῖνος· ἀλλὰ καὶ ἐπιθυμίας τυραννίδα καὶ νέας ἡλικίας θορύ-*

Γιατὶ καὶ ἐκεῖ πάλι ἔγινε δοῦλος καὶ ἔμεινε σὲ βαρβαρικὸ σπίτι ὁ Ἑβραῖος, ὁ εὐγενής, ὁ ἐλεύθερος, ποὺ εἶχε διπλὴ ἐλευθερία, καὶ τὴν ἐλευθερία τοῦ σώματος καὶ τὴν ἐλευθερία τῆς ψυχῆς. Καὶ οὔτε ἀπ' αὐτὸ τρόμαζε, οὔτε σκανδαλιζόταν ἀπὸ τὰ γεγονότα, φέρνοντας στὴ μνήμη του τὰ ὄνειρα ποὺ τοῦ ὑπόσχονταν τὰ ἀντίθετα. Καὶ οὔτε ἐξέταζε βέβαια γιατί γίνονται αὐτά; Οἱ ἀδελφοκτόνοι πάλι, οἱ λύκοι καὶ τὰ θηρία, ἂν καὶ ἔκαμαν αὐτὴ τὴν ἀδικία, καλοπερνοῦν στὸ πατρικὸ σπίτι, ἐνῶ αὐτός, ποὺ προσδοκοῦσε νὰ γίνει βασιλιάς τους, αἰχμάλωτος, δοῦλος, διωγμένος σὲ ξένη χώρα, ὑποφέρει τὴ χειρότερη ταλαιπωρία, ὄχι μόνο γιατὶ δὲν ἔγινε βασιλιάς τους, ἀλλὰ ἔγινε καὶ δοῦλος τους καὶ ἔπαθε ἐντελῶς τὰ ἀντίθετα πρὸς τὶς ὑποσχέσεις. Γιατὶ βέβαια ὄχι μόνο δὲν ἐπέτυχε τὴ βασιλεία τότε, ἀλλ' ἔχασε καὶ τὴν πατρίδα καὶ τὴν ἐλευθερία καὶ τὸ πρόσωπο τῶν γονέων του.

Καὶ οὔτε ἐδῶ σταμάτησαν τὰ βάσανά του, ἀλλ' ἄλλο βαθύτερο ἀνοιγόταν βάραθρο, ποὺ εἶχε θάνατο πάλι καὶ σφαγή, θάνατο ἐπονείδιστο καὶ σφαγὴ γεμάτη ντροπή. Γιατί, ὅταν τὸν εἶδε μὲ μάτια ἀκόλαστα ἡ κυρία του καὶ κυριεύθηκε ἀπὸ τὴν ὀμορφιὰ τοῦ νέου, ἐπειδὴ κατακτήθηκε ἀπὸ τὸ λαμπρὸ πρόσωπό του, τοῦ ἔστηνε καὶ αὐτὴ δόλους πάλι καὶ ἐπιβουλές. Καὶ ἀφοῦ ἅπλωσε τὰ δίχτυα τῆς ἀκολασίας παντοῦ, κάθε μέρα σκεπτόταν νὰ συλλάβει τὸ νέο μέσα στὴ σαγήνη της καὶ νὰ τὸν ρίξει μέσα στὸ βάραθρο τῆς μοιχείας, παραδίνοντάς τον στὸν αἰώνιο θάνατο. Καὶ κάθε μέρα ἔβγαινε γι' αὐτὸ τὸ κυνήγι, κεντρισμένη ἀπὸ τὸ πάθος καὶ ὁπλισμένη καθημερινὰ ἀπὸ τὸν ἀκόλαστο αὐτὸν ἔρωτα. Καὶ κάποτε ποὺ τὸν ἔπιασε μόνο, τὸν ἀνάγκαζε νὰ ὑπονομεύσει τὸν ξένο γάμο καὶ προσπαθοῦσε νὰ καταστρέψει τὴ σωφροσύνη του.

Ὅμως οὔτε ἀπὸ ἐδῶ ἔπαθε κάποιο κακὸ ὁ δίκαιος ἐκεῖνος, ἀλλὰ καὶ τὴν τυραννία τῆς ἐπιθυμίας καὶ τὶς ἐνοχλήσεις τῆς νέας ἡλικίας καὶ τὴν ἐπιβουλὴ τῆς ἀκόλαστης γυναίκας καὶ τὶς ἐπιθέσεις τῆς κυρίας καὶ τὴν ταραχὴ τῆς νεότητας, καὶ ὅλα

*βους καὶ ἀκολάστου γυναικὸς ἐπιβουλὴν καὶ δεσποίνης ἐφόδους καὶ νεότητος ταραχὴν καὶ πάντα ὅσα εἰκὸς ἐκ τῆς ἀφῆς ἐκείνης γενέσθαι καὶ τῆς ὄψεως καὶ τῆς μανίας, μετὰ πολλῆς τῆς εὐκολίας ὑπερβάς, ὥσπερ τις ἀετὸς ὑψηλὸν τείνας τὸ πτερόν, καὶ αὐτὰ ἀποδυσάμενος τὰ ἱμάτια καὶ καταλιπὼν ταῖς ἀκολάστοις χερσίν ἐξῆλθεν ἱματίων μὲν γυμνός, λαμπρὰν δὲ τῆς σωφροσύνης ἔχων τὴν περιβολὴν καὶ τῆς ἁλουργίδος αὐτῆς περιφανεστέραν. Ἐντεῦθεν αὐτῷ ξίφος ἠκονᾶτο πάλιν καὶ θάνατος ἐμελετᾶτο καὶ τὰ κύματα ἐπὶ τὸ μεῖζον ἤρετο καὶ ἡ μανία τῆς γυναικὸς τῆς Βαβυλωνίας καμίνου σφοδρότερον ἀνήπτετο.*

*Ἥ τε γὰρ ἐπιθυμία λοιπὸν ἐπὶ μεῖζον ἠγείρετο, ὅ τε θυμός, ἕτερον χαλεπώτατον πάθος, μετὰ πολλῆς προσετίθετο τῆς ἀγριότητος καὶ φόνον ἔβλεπε καὶ ἐπὶ ξίφος ἔτρεχε καὶ σφαγῆς ἤρα παρανομωτάτης καὶ τὸν τῆς σωφροσύνης ἀθλητὴν καὶ τὸν τῆς καρτερίας καὶ ὑπομονῆς ἀγωνιστὴν ἀνελεῖν ἔσπευδε. Καὶ εἰσπηδήσασα πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς, ἀπαγγείλασα τὰ γεγενημένα, οὐχ ὡς ἡ τοῦ πράγματος εἶχεν ἀλήθεια, ἀλλ' ὡς αὐτὴ τὸ δρᾶμα τῆς συκοφαντίας κατεσκεύασεν, ἔπεισεν ἅπερ ἤθελε τὸν δικαστήν, ἐρημίαν κατηγοροῦσα καὶ ὡς ἠδικημένη τὴν ἐκδικίαν ἐπεζητεῖτο, εἰς ἀπόδειξιν ὧν ἔλεγε τὰ ἱμάτια τοῦ ἀθώου νεανίσκου περιφέρουσα ταῖς ἀκαθάρτοις χερσὶν ἐκείναις. Καὶ ὁ διεφθαρμένος δικαστὴς οὐκ εἰς δικαστήριον εἰσήγαγε τὸν κατηγορούμενον, οὐ λόγου μετέδωκεν, ἀλλὰ τὸν οὐδὲ ἑωρακότα δικαστήριον, ὡς ἑαλωκότα, ὡς ἐληλεγμένον καὶ μοιχὸν ἀπηρτισμένον κατεδίκασε καὶ εἰς δεσμωτήριον ἐνέβαλε καὶ ἁλύσει παρέδωκε. Καὶ ἦν λοιπὸν ὁ τοσούτους στεφάνους ἀναδησάμενος ἀρετῆς, μετὰ γοήτων, μετὰ τυμβωρύχων, μετὰ ἀνδροφόνων, μετὰ τῶν τὰ ἔσχατα τετολμηκότων, ἐν τῷ δεσμωτηρίῳ.*

*Ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων ἐθορύβει. Καὶ ἕτερος μὲν τῷ βασιλεῖ προσκεκρουκὼς ἠφίετο, αὐτὸς δὲ μακρὸν ἔνδον ἔμενε χρόνον, ὑπὲρ ὧν αὐτὸν στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι*

ὅσα ἦταν φυσικὸ νὰ προξενηθοῦν ἀπὸ τὸ ἄγγιγμα ἐκεῖνο καὶ τὴν ὀμορφιὰ καὶ τὴ μανία της, ἀφοῦ τὰ ξεπέρασε μὲ εὐκολία μεγάλη, σὰν ἀετὸς τίναξε τὰ φτερά του ψηλά, ἔβγαλε τὰ ροῦχα του, τὰ ἐγκατέλειψε στὰ ἀκόλαστα χέρια της καὶ βγῆκε ἔξω γυμνὸς βέβαια ἀπὸ ροῦχα, ἀλλὰ φορώντας τὴ λαμπρὴ στολὴ τῆς σοφρωσύνης, ποὺ εἶναι πιὸ δοξασμένη καὶ ἀπὸ τὴ βασιλικὴ στολή. Ἀπὸ ἐδῶ πάλι ἀκονιζόταν ξίφος ἐναντίον του καὶ σχεδιαζόταν θάνατος, τὰ κύματα σηκώνονταν ὅλο καὶ πιὸ πολὺ καὶ ἡ μανία τῆς γυναίκας ἄναβε πιὸ δυνατὰ ἀπὸ τὸ καμίνι τῆς Βαβυλώνας.

Γιατὶ καὶ ἡ ἐπιθυμία πλέον γινόταν μεγαλύτερη, καὶ ὁ θυμός, ἄλλο φοβερότατο πάθος, προσθέτονταν μὲ πολλὴ ἀγριότητα, καὶ φόνο ἔβλεπε καὶ στὸ ξίφος ἔτρεχε, καὶ σφαγὴ ἐπιθυμοῦσε πολὺ παράνομη καὶ βιαζόταν νὰ σκοτώσει τὸν ἀθλητὴ τῆς σοφρωσύνης καὶ τὸν ἀγωνιστὴ τῆς καρτερίας καὶ τῆς ὑπομονῆς. Καὶ τρέχοντας στὸν ἄνδρα της, τοῦ ἀνέφερε ὅσα ἔγιναν, ὄχι ὅπως ἦταν ἡ πραγματικὴ ἀλήθεια, ἀλλ' ὅπως αὐτὴ κατασκεύασε τὸ δράμα τῆς συκοφαντίας, καὶ ἔπεισε ὅπως ἤθελε τὸ δικαστή, κατηγορώντας τὸ νέο ἐρήμην του, καὶ σὰν ἀδικημένη ἐπιζητοῦσε τὴν ἐκδίκηση, περιφέροντας σ' ἐκεῖνα τὰ ἀκάθαρτα χέρια τὰ ἐνδύματα τοῦ ἀθώου νέου σὰν ἀπόδειξη αὐτῶν ποὺ ἔλεγε. Καὶ ὁ διεφθαρμένος δικαστὴς δὲν ὁδήγησε τὸν κατηγορούμενο σὲ δικαστήριο, δὲν τοῦ ἔδωσε τὸ δικαίωμα ἀπολογίας, ἀλλ' ἐκεῖνον ποὺ δὲν εἶδε δικαστήριο τὸν καταδίκασε σὰν νὰ τὸν εἶχαν συλλάβει ἐπάνω στὸ ἀδίκημα, σὰν νὰ εἶχε ἀποδειχθεῖ ἔνοχος, σὰν τέλειο μοιχό, κλείνοντάς τον στὴ φυλακὴ καὶ παραδίνοντάς τον στὶς ἀλυσίδες. Καὶ ἐκεῖνος ποὺ στεφανώθηκε μὲ τόσα στεφάνια ἀρετῆς ἦταν μέσα στὴ φυλακὴ μαζὶ μὲ απατεῶνες, μὲ τυμβωρύχους, μὲ δολοφόνους, μὲ ἀνθρώπους ποὺ εἶχαν τολμήσει τὰ χειρότερα.

Ἀλλ' ὅμως τίποτε ἀπ' αὐτὰ δὲν τὸν ἀνησυχοῦσε. Καὶ ἐνῶ ἄλλος ποὺ συγκρούσθηκε μὲ τὸ βασιλιὰ ἀφέθηκε ἐλεύθερος, αὐτὸς ἔμεινε μέσα γιὰ μεγάλο χρονικὸ διάστημα, τιμωρημένος

*ἔδει, τὴν ἐσχάτην τίνων τιμωρίαν. Καὶ οὐδὲ οὕτως ἐταράττετο, οὐδὲ ἐσκανδαλίζετο, οὐδὲ εἶπε, τί τοῦτο; εἰς τί τοῦτο; ὁ μέλλων ἐγὼ τῶν ἀδελφῶν βασιλεύειν, οὐ μόνον ταύτης ἐξέπεσα τῆς τιμῆς, ἀλλὰ καὶ πατρίδος καὶ οἰκίας καὶ γονέων καὶ ἐλευθερίας καὶ ἀδείας καὶ παρ' αὐτῶν τῶν μελλόντων με προσκυνεῖν ἀνῃρέθην. Εἶτα μετὰ τὴν σφαγὴν ἐπράθην, δοῦλος ἐγενόμην βαρβάρων καὶ συνεχεῖς ἤμειψα δεσπότας· καὶ οὐδὲ ἐνταῦθα ἔστη μοι τὰ δεινά, ἀλλὰ πανταχοῦ βάραθρα καὶ σκόπελοι. Μετὰ γὰρ τὴν ἐπιβουλὴν τῶν ἀδελφῶν καὶ τὴν σφαγὴν καὶ τὴν δουλείαν καὶ τὴν προτέραν καὶ τὴν δευτέραν, πάλιν μοι θάνατος ἐμελετήθη καὶ συκοφαντία τῆς προτέρας χαλεπωτέρα καὶ ἐπιβουλὴ καὶ ἔφοδος καὶ δικαστήριον διεφθαρμένον καὶ κατηγορία αἰσχύνην ἔχουσα πολλὴν καὶ σφαγὴν ἡμῖν ὠδίνουσα.*

*Καὶ οὔτε λόγου μεταλαβών, ἁπλῶς καὶ ὡς ἔτυχεν εἰς δεσμωτήριον ἀπηνέχθην καὶ ἀλύσεσι περίκειμαι μετὰ μοιχῶν καὶ ἀνδροφόνων καὶ τῶν τὰ ἔσχατα τετολμηκότων. Καὶ ὁ μὲν ἀρχιοινοχόος ἀπηλλάγη καὶ ἀλύσεως καὶ δεσμωτηρίου, ἐγὼ δὲ οὐδὲ μετ' ἐκεῖνον ἀδείας τινὸς ἀπολαῦσαι δεδύνημαι· κἀκείνῳ μὲν εἰς ἔργον ἐξέβη τὸ ὄναρ κατὰ τὴν ἑρμηνείαν τὴν ἐμήν, ἐγὼ δὲ ἐν τοῖς ἀνηκέστοις εἰμὶ κακοῖς. Ταῦτα αἱ ὄψεις προεδήλουν ἐκεῖναι; ταῦτα τῶν ἀστέρων ὁ ἀριθμός; ταῦτα τὰ δράγματα; Ποῦ τὰ τῶν ἐπαγγελιῶν; ποῦ τὰ τῶν ὑποσχέσεων; Ἆρα ἠπατήμεθα; ἆρα παρελογίσθημεν; Ποῦ γάρ με λοιπὸν προσκυνήσουσιν οἱ ἀδελφοί, τὸν δοῦλον, τὸν αἰχμάλωτον, τὸν δεσμώτην, τὸν μοιχὸν εἶναι νομιζόμενον, τὸν περὶ τῶν ἐσχάτων κινδυνεύοντα, τὸν τοσοῦτον αὐτῶν ἀπῳκισμένον; Οἴχεται πάντα ἐκεῖνα καὶ ἀπόλωλεν. Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἀνέμενε τὸ τέλος, εἰδὼς καὶ αὐτὸς τοῦ Θεοῦ τὸ εὐμήχανον καὶ τὴν σοφίαν τὴν εὔπορον· καὶ οὐ μόνον οὐκ ἐσκανδαλίζετο, ἀλλὰ καὶ ἐνηβρύνετο καὶ ἐκαλλωπίζετο τοῖς γινομένοις.*

μὲ τὴ χειρότερη τιμωρία γι' αὐτὰ ποὺ ἔπρεπε νὰ στεφανώνεται καὶ νὰ ἐπαινεῖται. Καὶ οὔτε ἔτσι κλονιζόταν, οὔτε σκανδαλιζόταν, οὔτε εἶπε, τί εἶναι αὐτό; γιὰ ποιό σκοπὸ γίνεται αὐτό; Ἐγὼ ποὺ ἐπρόκειτο νὰ βασιλέψω στοὺς ἀδελφούς μου, ὄχι μόνο ἔχασα αὐτὴ τὴν τιμή, ἀλλὰ καὶ τὴν πατρίδα καὶ τὸ σπίτι καὶ τοὺς γονεῖς καὶ τὴν ἐλευθερία καὶ τὴν ἀσφάλειά μου, καὶ αὐτοὶ ποὺ θὰ μὲ προσκυνοῦσαν μὲ σκότωσαν. Ἔπειτα μετὰ τὴ σφαγὴ πουλήθηκα, ἔγινα δοῦλος στοὺς βαρβάρους καὶ ἄλλαξα κυρίους τὸν ἕνα μετὰ τὸν ἄλλο· καὶ οὔτε ἐδῶ σταμάτησαν τὰ δεινά μου, ἀλλὰ παντοῦ ὑπῆρχαν βάραθρα καὶ σκόπελοι. Γιατὶ μετὰ τὴν ἐπιβουλὴ τῶν ἀδελφῶν μου καὶ τὴ σφαγὴ καὶ τὴ δουλεία τὴν πρώτη καὶ τὴ δεύτερη, πάλι μοῦ σχεδιάσθηκε θάνατος καὶ συκοφαντία χειρότερη ἀπὸ τὴν προηγούμενη, καὶ ἐπιβουλή, καὶ ἐπίθεση, καὶ δικαστήριο διεφθαρμένο, καὶ κατηγορία ποὺ περιέχει πολλὴ ντροπὴ καὶ ποὺ μοῦ προκαλεῖ σφαγὴ φοβερή.

Καὶ χωρὶς νὰ ἀπολογηθῶ, ἔτσι ξαφνικὰ καὶ στὴν τύχη ὁδηγήθηκα στὴ φυλακὴ καὶ εἶμαι ἀλυσοδεμένος μαζὶ μὲ μοιχοὺς καὶ δολοφόνους καὶ μ' ἐκείνους ποὺ ἔχουν τολμήσει τὰ χειρότερα. Καὶ ὁ ἀρχιοινοχόος βέβαια ἀπαλλάχθηκε καὶ ἀπὸ τὴν ἀλυσίδα καὶ ἀπὸ τὴ φυλακή, ἐνῶ ἐγὼ οὔτε ὕστερα ἀπ' αὐτὸν μπόρεσα νὰ ἀπολαύσω κάποια ἀσφάλεια. Καὶ σ' ἐκεῖνον βέβαια πραγματοποιήθηκε τὸ ὄνειρο σύμφωνα μὲ τὴ δική μου ἑρμηνεία, ἐνῶ ἐγὼ βρίσκομαι στὰ χειρότερα κακά. Αὐτὰ σήμαιναν τὰ ὄνειρα ἐκεῖνα; αὐτὰ φανέρωνε ὁ ἀριθμὸς τῶν ἄστρων; αὐτὰ σήμαιναν τὰ δεμάτια; Ποῦ εἶναι οἱ ἐπαγγελίες; ποῦ εἶναι οἱ ὑποσχέσεις; Μήπως ἐξαπατήθηκα; μήπως παραλογίσθηκα; Γιατὶ ποῦ θὰ μὲ προσκυνήσουν στὸ μέλλον οἱ ἀδελφοί μου, τὸ δοῦλο, τὸν αἰχμάλωτο, τὸν φυλακισμένο, ἐμένα ποὺ νομίζουν πὼς εἶμαι μοιχός, ποὺ κινδυνεύει ἡ ζωή μου, ποὺ βρίσκομαι τόσο μακριὰ ἀπ' αὐτούς; Πέρασαν ὅλα ἐκεῖνα καὶ χάθηκαν. Τίποτε ἀπ' αὐτὰ δὲν εἶπε, οὔτε σκέφθηκε, ἀλλὰ περίμενε τὸ τέλος, γιατὶ γνώριζε καὶ αὐτὸς τὴν ἐφευρετικότητα τοῦ Θεοῦ καὶ τὴ σοφία τὴν ἐπινοητική, καὶ ὄχι μόνο δὲ σκανδαλιζόταν, ἀλλὰ καὶ ὑπερηφανευόταν καὶ καυχιόταν γι' αὐτὰ ποὺ γίνονταν.

*Τί δὲ ὁ Δαβίδ, εἰπέ μοι; Οὐ μετὰ τὸ χρισθῆναι εἰς βασιλέα καὶ λαβεῖν τοῦ δήμου τῶν Ἑβραίων τὰ σκῆπτρα τῇ τοῦ Θεοῦ ψήφῳ καὶ τὸ λαμπρὸν ἐκεῖνο στῆσαι τρόπαιον κατὰ τοῦ βαρβάρου, τὰ χαλεπώτατα πάντων ἔπαθε, πολεμούμενος, ἐπιβουλευόμενος παρὰ τοῦ Σαούλ, περὶ αὐτὸ τὸ ζῆν κινδυνεύων, εἰς πολέμους ἐπισφαλεῖς ἐκπεμπόμενος, συνεχῶς πρὸς τὴν ἐρημίαν ἐλαυνόμενος, ἀλήτης, φυγάς, ἄπολις, ἄοικος, μετανάστης γενόμενος; Τί δεῖ τὰ πολλὰ λέγειν; Τέλος καὶ τῆς πατρίδος καὶ τῆς οἰκείας χώρας ἁπάσης ἐξέπεσεν ἐκείνης, παρὰ βαρβάροις τοῖς πολεμίοις καὶ ἐχθροτάτοις διατρίβων καὶ δουλείας χαλεπωτέραν ὑπομένων ζωήν· καὶ γὰρ καὶ τῆς ἀναγκαίας ἠπόρει τροφῆς.*

*Καὶ ταῦτα ἔπασχε μετὰ τὴν παρουσίαν τοῦ Σαμουήλ, μετὰ τὴν τοῦ ἐλαίου χρῖσιν, μετὰ τὴν τῆς βασιλείας ὑπόσχεσιν, μετὰ τὰ σκῆπτρα, μετὰ τὸ διάδημα, μετὰ τὴν τοῦ Θεοῦ χειροτονίαν καὶ τὴν ψῆφον τὴν ἐπ' αὐτῷ· καὶ ὅμως οὐδὲν αὐτὸν τούτων ἐσκανδάλισεν, οὐδὲ εἶπεν οὐδὲ οὗτος, τί τοῦτο; ὁ βασιλεὺς ἐγώ, καὶ τοσαύτης μέλλων ἀρχῆς ἀπολαύσεσθαι, οὐδὲ ἰδιώτης μετὰ ἀσφαλείας εἶναι δύναμαι· ἀλλὰ ἀλήτης γέγονα καὶ φυγάς, ἄπολις, ἄοικος, μετανάστης, καὶ εἰς βάρβαρον ἀπηνέχθην χώραν καὶ τῆς ἀναγκαίας ἀπορῶν τροφῆς, καὶ περὶ τῶν ἐσχάτων ὁρῶ καθ' ἑκάστην ἡμέραν ἐπικρεμάμενόν μοι τὸν κίνδυνον. Ποῦ τῆς βασιλείας αἱ ὑποσχέσεις; ποῦ τῆς ἀρχῆς αἱ ἐπαγγελίαι ἐκείνης; Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· οὐκ ἐσκανδαλίσθη τοῖς γινομένοις, ἀλλὰ ἀνέμενε καὶ αὐτὸς τὸ τέλος τῶν ὑποσχέσεων.*

*Καὶ ἑτέρους δὲ μυρίους ἐστὶν εἰπεῖν, οἳ χαλεποῖς περιπεσόντες πράγμασιν, οὐκ ἐθορυβήθησαν, ἀλλὰ τοῦ Θεοῦ τὴν ἐπαγγελίαν κατέχοντες, εἰ καὶ ἐναντία τὰ γινόμενα ταῖς ὑποσχέσεσιν ἦν, διὰ τῆς καλλίστης ταύτης ὑπομονῆς λαμπροὺς ἐδρέποντο τοὺς στεφάνους. Καὶ σὺ τοίνυν, ἀγαπητέ, ἀνάμενε καὶ αὐ-*

Ἀλλὰ καὶ ὁ Δαβίδ; πές μου. Δὲν ἔπαθε τὰ χειρότερα ἀπ' ὅλα ἀφοῦ χρίσθηκε βασιλιὰς καὶ ἔλαβε μὲ ἀπόφαση τοῦ Θεοῦ τὰ σκῆπτρα τοῦ Ἑβραϊκοῦ λαοῦ καὶ ἔστησε τὸ λαμπρὸ ἐκεῖνο τρόπαιο ἐναντίον τοῦ βαρβάρου, ὅταν τὸ πολεμοῦσε, ὅταν τὸν ἐπιβουλευόταν ὁ Σαούλ, ὅταν κινδύνευε γιὰ τὴν ἴδια τὴ ζωή του, ὅταν στελνόταν σὲ πολέμους ἐπικίνδυνους, ὅταν διωκόταν συνέχεια στὴν ἔρημο καὶ ὅταν γινόταν περιπλανώμενος, ἐξόριστος, χωρὶς πατρίδα, χωρὶς σπίτι, μετανάστης; Ἀλλὰ γιατί πρέπει νὰ λέμε πολλά; Γιατὶ στὸ τέλος ἔχασε καὶ τὴν πατρίδα του καὶ ὅλη τὴ χώρα του, διαμένοντας κοντὰ στοὺς πολέμιους καὶ ἐχθρικότατους βαρβάρους καὶ ὑποφέροντας μιὰ ζωὴ χειρότερη ἀπὸ τὴ δουλεία, καθόσον στεροῦνταν καὶ τὴν ἀπαραίτητη τροφή.

Καὶ τὰ ἔπασχε αὐτὰ μετὰ τὴν παρουσία τοῦ Σαμουήλ, μετὰ τὴ χρίση του μὲ ἔλαιον, μετὰ τὴν ὑπόσχεση τῆς βασιλείας, μετὰ τὰ σκῆπτρα, μετὰ τὸ στέμμα, μετὰ τὴ χειροτονία τοῦ Θεοῦ καὶ τὴν ἀπόφασή του γι' αὐτόν. Καὶ ὅμως τίποτε ἀπ' αὐτὰ δὲν τὸν σκανδάλισε, οὔτε εἶπε καὶ αὐτός, τί εἶναι αὐτό; Ἐγὼ ὁ βασιλιάς, ποὺ ἐπρόκειτο ν' ἀπολαύσω τόση ἐξουσία, δὲν μπορῶ νὰ εἶμαι οὔτε ἀσφαλισμένος πολίτης, ἀλλ' ἔγινα περιπλανώμενος καὶ ἐξόριστος, χωρὶς πατρίδα, χωρὶς σπίτι, μετανάστης, διώχθηκα σὲ βάρβαρη χώρα, στερούμενος καὶ τὴν ἀπαραίτητη τροφή, καὶ βλέποντας κάθε μέρα νὰ κρέμεται πάνω μου ὁ ἔσχατος κίνδυνος. Ποῦ εἶναι οἱ ὑποσχέσεις τῆς βασιλείας; ποῦ εἶναι οἱ ἐπαγγελίες τῆς ἐξουσίας ἐκείνης; Τίποτε ἀπ' αὐτὰ δὲν εἶπε, οὔτε σκέφθηκε· δὲ σκανδαλίσθηκε γιὰ ὅσα γίνονταν, ἀλλὰ περίμενε καὶ αὐτὸς τὸ ἀποτέλεσμα τῶν ὑποσχέσεων.

Καὶ ἄλλους βέβαια ἄπειρους μποροῦμε ν' ἀναφέρουμε, οἱ ὁποῖοι, ἂν καὶ ἔπεσαν σὲ δύσκολες περιστάσεις, δὲν ταράχθηκαν, ἀλλὰ κρατώντας τὴν ἐπαγγελία τοῦ Θεοῦ, μολονότι αὐτὰ ποὺ γίνονταν ἦταν ἀντίθετα πρὸς τὶς ὑποσχέσεις, μὲ τὴ θαυμάσια αὐτὴ ὑπομονὴ κέρδιζαν λαμπρὰ τὰ στεφάνια. Καὶ σὺ λοιπόν, ἀγαπητέ, περίμενε καὶ σὺ τὸ τέλος –γιατὶ ὁπωσδήποτε θὰ

*τὸς τὸ τέλος· πάντως γὰρ ἀπαντήσεται, ἢ ἐνταῦθα, ἢ ἐν τῷ μέλλοντι αἰῶνι· καὶ παραχώρει πανταχοῦ τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ προνοίας, καὶ μὴ λέγε, πῶς δὲ τὰ τοσαῦτα κακὰ λήψεται διόρθωσιν; Μηδὲ περιεργάζου τῆς τοῦ Θεοῦ παραδοξοποιίας τὸν τρόπον.*

*11. Οὐδὲ γὰρ οἱ δίκαιοι τότε ἐκεῖνοι τοῦτο ἐζήτησαν, τὸ πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται, ἀλλ' ὁρῶντες εἰς ἀπόγνωσιν κατὰ ἀνθρώπινον λογισμὸν πάντα φερόμενα, οὐδὲ οὕτως ἐθορυβοῦντο, οὐδὲ ἐταράττοντο, ἀλλ' ἔφερον ἅπαντα γενναίως, μεγίστην ἔχοντες ἀπόδειξιν τῶν ἐσομένων χρηστῶν τὴν δύναμιν τοῦ ὑποσχομένου καὶ ἀπὸ τῆς τῶν γινομένων ἐναντιότητος εἰς ἀπόγνωσιν οὐκ ἐμπίπτοντες· ᾔδεσαν γὰρ σαφῶς, ὅτι εὐμήχανος ὢν καὶ σοφός, δυνήσεται καὶ μετὰ τὸ τὰ πράγματα ἀπαγορευθῆναι ἀνακτήσασθαί τε αὐτὰ μᾶλλον ἢ ἔμπροσθεν καὶ μετὰ πολλῆς τῆς εὐκολίας τοῖς ἐπαγγελθεῖσιν ἐπιθεῖναι τέλος. Καὶ σὺ τοίνυν, ἀγαπητέ, ἄν τε ἐν τῷ παρόντι βίῳ λάβῃ τὰ λυπηρὰ λύσιν, δόξαζε τὸν Θεόν· ἄν τε εἰς δυσχερῆ καταλύσῃ, καὶ οὕτως εὐχαρίστει καὶ μηδὲν σκανδαλίζου, εἰδὼς σαφῶς τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν ἄπειρον καὶ ἑρμηνευθῆναι μὴ δυναμένην καὶ ὅτι πάντως λήψεται τὸ προσῆκον ἅπαντα τέλος, εἴτε ἐν τῷ παρόντι βίῳ, εἴτε ἐν τῷ μέλλοντι.*

*Εἰ δέ τις τὸ μέλλον ἀκούων καὶ μικροψυχῶν ἐπείγοιτο τοῦτο ἐνταῦθα ἰδεῖν γινόμενον, ἐροῦμεν ὅτι ἡ ἀληθῶς ζωὴ καὶ τὰ βέβαια πράγματα καὶ ἀκίνητα τότε ἡμᾶς μένει. Τὰ μὲν γὰρ παρόντα, ὁδός, ἐκεῖνα δέ, πατρίς· τὰ ἐνταῦθα, ἄνθεσιν ἔοικεν ἐαρινοῖς, ἐκεῖνα δέ, πέτραις ἀκινήτοις· ἐκεῖ στέφανοι καὶ ἀμοιβαὶ τέλος οὐκ ἔχουσαι, ἐκεῖ ἔπαθλα καὶ βραβεῖα, ἐκεῖ κολάσεις καὶ τιμωρίαι ἀφόρητοι τῶν τὰ τοιαῦτα κακουργησάντων. Τί οὖν πρὸς τοὺς τέως σκανδαλιζομένους; Φησί. Τί δὲ σὺ τοὺς μειζόνως διαλάμψαντας οὐ λέγεις, τοὺς δὲ προσωπεῖα εὐλαβείας περικειμένους καὶ νῦν ἐλεγχομένους, τούτους ἄγεις εἰς μέσον; Οὐχ*

ἔρθει ἢ ἐδῶ ἢ στὴ μέλλουσα ζωὴ– καὶ νὰ ὑποχωρεῖς παντοῦ μπροστὰ στὸ ἀκατάληπτο τῆς πρόνοιας τοῦ Θεοῦ καὶ νὰ μὴ λέγεις, πῶς θὰ διορθωθοῦν τὰ τόσα κακά; οὔτε νὰ περιεργάζεσαι τὸν τρόπο μὲ τὸν ὁποῖο ὁ Θεὸς ἐνεργεῖ τὰ παράδοξα.

11. Οὔτε καὶ οἱ δίκαιοι ἐκεῖνοι τότε τὸ ζήτησαν αὐτό, δηλαδὴ τὸ πῶς καὶ μὲ ποιὸ τρόπο θὰ γίνουν αὐτά, ἀλλ', ἂν καὶ ἔβλεπαν τὰ πάντα νὰ φέρονται σὲ ἀπόγνωση κατὰ τὴν ἀνθρώπινη λογική, οὔτε ἔτσι ἀνησυχοῦσαν, οὔτε ταράσσονταν, ἀλλ' ὑπέφεραν τὰ πάντα μὲ γενναιότητα, ἔχοντας μέγιστη ἀπόδειξη γιὰ τὰ μελλοντικὰ ἀγαθὰ τὴ δύναμη ἐκείνου ποὺ τὰ ὑποσχέθηκε, χωρὶς νὰ ἀπελπίζονται ἀπὸ τὰ ἀντίθετα ποὺ γίνονταν. Γιατὶ γνώριζαν καλὰ ὅτι, ἀφοῦ εἶναι ἐφευρετικὸς καὶ σοφός, θὰ μπορέσει καὶ ὅταν ἀκόμη τὰ πράγματα γίνουν ἄχρηστα νὰ τὰ κάμει καλύτερα ἀπὸ προηγουμένως, καὶ νὰ πραγματοποιήσει μὲ πολλὴ εὐκολία τὶς ὑποσχέσεις του. Καὶ σὺ λοιπόν, ἀγαπητέ, καὶ ἂν τὰ λυπηρὰ τελειώσουν στὴν παρούσα ζωή, δόξαζε τὸ Θεό· καὶ ἂν καταλήξουν σὲ δυσχέρειες, καὶ ἔτσι νὰ εὐχαριστεῖς καὶ νὰ μὴ σκανδαλίζεσαι καθόλου, ἀφοῦ γνωρίζεις καλὰ τὴν πρόνοια τοῦ Θεοῦ τὴν ἄπειρη καὶ ἀνερμήνευτη καὶ ὅτι ὁπωσδήποτε ὅλα θὰ λάβουν τὸ τέλος ποὺ πρέπει, εἴτε στὴν παρούσα ζωὴ εἴτε στὴ μέλλουσα.

Ἂν ὅμως κανεὶς ἀκούοντας γιὰ τὸ μέλλον καὶ λιποψυχώντας βιάζεται νὰ τὸ δεῖ αὐτὸ νὰ γίνεται ἐδῶ, θὰ τοῦ ποῦμε ὅτι ἡ ἀληθινὴ ζωὴ καὶ τὰ βέβαια πράγματα καὶ τὰ ἀκίνητα τότε μᾶς περιμένουν. Γιατὶ τὰ παρόντα εἶναι δρόμος, ἐνῶ ἐκεῖνα εἶναι πατρίδα· τὰ ἐδῶ εἶναι ὅμοια μὲ ἄνθη ἀνοιξιάτικα, ἐνῶ ἐκεῖνα μὲ πέτρες ἀκίνητες· ἐκεῖ στεφάνια καὶ ἀμοιβὲς ποὺ δὲν ἔχουν τέλος, ἐκεῖ ἔπαθλα καὶ βραβεῖα, ἐκεῖ ποινὲς καὶ τιμωρίες ἀνυπόφορες γι' αὐτοὺς ποὺ ἔκαμαν τέτοια κακουργήματα. Τί λοιπὸν θὰ ποῦμε σ' αὐτοὺς ποὺ τώρα σκανδαλίζονται; θὰ ἐρωτήσει κάποιος. Καὶ γιατί ἐσὺ δὲν ἀναφέρεις αὐτοὺς ποὺ ἔλαμψαν πάρα πολύ, ἀλλὰ παρουσιάζεις ἐκείνους ποὺ φοροῦν τὰ προσωπεῖα τῆς εὐλάβειας καὶ τώρα ἐλέγχονται; Δὲ βλέπεις τὸ χρυσάφι ποὺ

*ὁρᾷς τὸ χρυσίον καθαιρόμενον; τὸν μόλυβδον ἐλεγχόμενον; τὰ ἄχυρα διακρινόμενα τοῦ σίτου; τοὺς λύκους τῶν προβάτων; τοὺς πεπλασμένους τῶν ἀληθῶς ἐν εὐλαβείᾳ ζώντων;*

*Ὥστε ὅταν ἴδῃς τούτων τὰ σκάνδαλα, ἐννόησον κἀκείνων τὰς εὐδοκιμήσεις. Ὑπεσκελίσθησάν τινες, ἀλλὰ καὶ ἔστησαν πολλῷ πλείους καὶ μείζονα ἑαυτοῖς μισθὸν συνήγαγον, οὔτε τῇ δυναστείᾳ τῶν ἐπιβουλευόντων, οὔτε τῇ δυσκολίᾳ τῶν καιρῶν περιτραπέντες. Καὶ οἱ σκανδαλιζόμενοι δὲ ἑαυτοῖς λογιζέσθωσαν· ἐπεὶ καὶ οἱ παῖδες οἱ τρεῖς καὶ ἱερῶν ἀποσπασθέντες καὶ ναοῦ καὶ θυσιαστηρίου καὶ τῆς ἄλλης ἁπάσης τῆς κατὰ νόμον ἐπιμελείας καὶ ἐν μέσῃ βαρβάρων χώρᾳ ἀποληφθέντες, μετὰ πολλῆς τῆς ἀκριβείας τὸν νόμον διετήρησαν· καὶ ὁ Δανιὴλ ὁμοίως καὶ ἕτεροι πολλοί· καὶ οἱ μὲν εἰς αἰχμαλωσίαν ἀπενεχθέντες οὐ παρεβλάβησάν τι, ἄλλοι δὲ οἴκοι μένοντες καὶ πάντων ἀπολαύοντες τῶν ἐπὶ τῆς πατρίδος, προσέκρουσαν καὶ κατεδικάσθησαν.*

*12. Εἰ δὲ ζητοίης τίνος ἕνεκεν ταῦτα συνεχωθήρη καὶ μὴ τοῖς ἀρρήτοις τῶν οἰκονομιῶν αὐτοῦ λόγοις παραχωροίης, ἀλλὰ ἐμελέτησας ἀεὶ πάντα περιεργάζεσθαι, ὁδῷ προβαίνων καὶ ἄλλα πολλὰ διαπορήσεις, οἷον, τίνος ἕνεκεν ἀφείθησαν αἱ αἱρέσεις, τίνος ἕνεκεν διάβολος, τίνος ἕνεκεν οἱ δαίμονες, τίνος ἕνεκεν οἱ πονηροὶ τῶν ἀνθρώπων καὶ πολλοὺς ὑποσκελίζοντες· καὶ τὸ δὴ κεφάλαιον ἁπάντων τούτων, τίνος ἕνεκεν ὁ ἀντίχριστος παραγίνεται, ὁ τοσαύτην ἔχων δύναμιν πρὸς ἀπάτην, ὡς τὸν Χριστὸν εἰπεῖν, ὅτι τοιαῦτα ποιήσει, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ἀλλ' οὐ δεῖ ταῦτα ζητεῖν, ἀλλὰ πάντα παραχωρεῖν τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ σοφίας. Ὁ μὲν γὰρ γενναίως ἤδη πεπηγὼς κἂν μυρία τὰ κύματα κἂν μυρίοι οἱ*

καθαρίζεται; τὸ μόλυβδο ποὺ ἐλέγχεται; τὰ ἄχυρα ποὺ ξεχωρίζονται ἀπὸ τὸ σιτάρι; τοὺς λύκους ἀπὸ τὰ πρόβατα; τοὺς ὑποκριτὲς ἀπ' αὐτοὺς ποὺ ζοῦν πραγματικὰ μὲ εὐλάβεια;

Ὥστε, ὅταν δεῖς τὶς δοκιμασίες τους, σκέψου καὶ τὰ κατορθώματα ἐκείνων. Ἔπεσαν μερικοί, ἀλλὰ καὶ στήριξαν πολὺ περισσότερους καὶ ἀποκόμισαν μεγαλύτερο μισθὸ γιὰ τὸν ἑαυτό τους, γιατὶ δὲ νικήθηκαν οὔτε ἀπὸ τὴ δύναμη ἐκείνων ποὺ τοὺς ἐπιβουλεύονταν, οὔτε ἀπὸ τὴ δυσκολία τῶν περιστάσεων. Ἀλλὰ καὶ αὐτοὶ ποὺ σκανδαλίζονται ἂς σκεφθοῦν μέσα τους, ὅτι καὶ οἱ τρεῖς νέοι, παρ' ὅλο ποὺ ἀποσπάσθηκαν καὶ ἀπὸ τὰ ἱερά τους καὶ ἀπὸ τὸ ναὸ καὶ ἀπὸ τὸ θυσιαστήριο καὶ ἀπὸ κάθε ἄλλη φροντίδα ἀπὸ τὸ νόμο καὶ παρ' ὅλο ποὺ βρέθηκαν ἀνάμεσα σὲ βάρβαρη χώρα, τήρησαν τὸν νόμο μὲ μεγάλη ἀκρίβεια. Τὸ ἴδιο ἔκαμε καὶ ὁ Δανιὴλ καὶ ἄλλοι πολλοί. Καὶ ἐκεῖνοι βέβαια ποὺ ὁδηγήθηκαν στὴν αἰχμαλωσία δὲ ζημιώθηκαν καθόλου, ἄλλοι ὅμως ἂν καὶ ἔμειναν στὰ σπίτια τους καὶ ἀπολάμβαναν ὅλα στὴν πατρίδα τους ἔπεσαν στὴν ἁμαρτία καὶ καταδικάσθηκαν.

12. Ἂν ὅμως ἐξετάζεις γιὰ ποιό λόγο τὰ ἐπέτρεψε αὐτὰ ὁ Θεὸς καὶ δὲν δείχνεις ἐμπιστοσύνη στοὺς ἀνείπωτους λόγους τῆς πρόνοιάς του, ἀλλ' ἀποφάσισες πάντοτε νὰ τὰ περιεργάζεσαι ὅλα, προχωρώντας μὲ τὸν τρόπο αὐτὸ θὰ ἔχεις ἀπορίες καὶ γιὰ πολλὰ ἄλλα, ὅπως, γιὰ ποιό λόγο ἐπετράπηκαν οἱ αἱρέσεις, γιὰ ποιό λόγο ὁ διάβολος, γιὰ ποιὸ λόγο οἱ δαίμονες, γιὰ ποιὸ λόγο οἱ πονηροὶ ἄνθρωποι ποὺ παραγκωνίζουν πολλούς· καὶ τὸ πιὸ σπουδαῖο ἀπ' ὅλα αὐτά, γιὰ ποιὸ λόγο ἔρχεται ὁ ἀντίχριστος, ποὺ ἔχει τόσο μεγάλη δύναμη γιὰ ἀπάτη, ὥστε ὁ Χριστὸς νὰ πεῖ πὼς θὰ κάνει τέτοια, ὥστε νὰ πλανήσει, ἂν εἶναι δυνατό, καὶ τοὺς ἐκλεκτοὺς ἀκόμη. Ὅμως δὲν πρέπει νὰ τὰ ἐξετάζουμε αὐτά, ἀλλὰ νὰ τὰ ἐμπιστεύμαστε ὅλα στὸ ἀκατάληπτο τῆς σοφίας τοῦ Θεοῦ. Γιατὶ αὐτὸς ποὺ εἶναι πιὰ σταθερὸς μὲ γενναιότητα, καὶ ἂν ἀκόμα τὰ κύματα εἶναι ἄπειρα, καὶ ἂν ἀκόμα τοῦ ἐπιτεθοῦν ἀμέτρητες θύελλες, ὄχι μόνο δὲν παραβλάπτεται κα-

χειμῶνες ἐπιῶσιν, οὐ μόνον οὐδὲν παραβλάπτεται, ἀλλὰ καὶ ἰσχυρότερος γίνεται· ὁ δὲ ἀσθενὴς καὶ διαρρέων καὶ ὀλίγωρος καὶ μηδενὸς ἐνοχλοῦντος καταπίπτει πολλάκις.

Εἰ δὲ καὶ λόγον τινὰ ἐπιζητεῖς μαθεῖν, ἄκουε τὸν ἡμῖν γνώριμον. Εἰσὶ μὲν γὰρ καὶ ἕτεροι πολλοὶ τῷ διαφόρως καὶ ποικίλως τὰ καθ' ἡμᾶς πάντα οἰκονομοῦντι δῆλοι· ὃν δὲ ἡμεῖς ἴσμεν, οὗτός ἐστι τέως. Φαμὲν ὅτι τὰ σκάνδαλα ταῦτα ἀφείθη ὑπὲρ τοῦ μὴ ἐλαττωθῆναι τῶν γενναίων τὰ βραβεῖα, ὃ καὶ τῷ Ἰὼβ διαλεγόμενος ὁ Θεὸς ἐδήλωσε, λέγων· «ἄλλως με οἴει σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;». Καὶ ὁ Παῦλος δέ φησι· «δεῖ δὲ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν». Σὺ δὲ ὅταν ἀκούῃς τό, «δεῖ δὲ αἱρέσεις εἶναι», μὴ νομίσῃς ὅτι κελεύων ἢ νομοθετῶν ταῦτά φησιν· ἄπαγε· ἀλλὰ τὸ μέλλον προαναφωνῶν καὶ τὸ ἐκ τούτου κέρδος τοῖς νήφουσι προμηνύων. Τότε γὰρ ὑμῶν τῶν ἀνεξαπατήτων, φησί, σαφέστερον φανεῖται ἡ ἀρετή. Πρὸς τούτοις καὶ δι' ἑτέραν αἰτίαν οἱ πονηροὶ ἀφείθησαν, ὥστε μὴ προαναρπασθέντας ἀποκλεισθῆναι τῆς ὠφελείας τῆς ἐκ τῆς μεταβολῆς αὐτοῖς γενομένης. Οὕτω καὶ Παῦλος ἐσώθη, οὕτως ὁ λῃστής, οὕτως ἡ πόρνη, οὕτως ὁ τελώνης, οὕτως ἕτεροι πολλοί. Εἰ δὲ πρὶν ἢ μεταβαλέσθαι ἀνηρπάγησαν ἐντεῦθεν, οὐδεὶς ἂν αὐτῶν ἐσώθη.

Περὶ δὲ τοῦ ἀντιχρίστου καὶ ἑτέραν φησὶν αἰτίαν ὁ Παῦλος. Ποίαν δὴ ταύτην; Τὸ πᾶσαν καὶ ἐντεῦθεν ἀποκλεισθῆναι τῶν Ἰουδαίων τὴν ἀπολογίαν. Ποίαν γὰρ ἂν σχοῖεν συγγνώμην, τὸν Χριστὸν μὴ δεξάμενοι, οἱ μέλλοντες ἐκείνῳ πιστεύειν; Διό φησιν, «ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ», τοῦτ' ἔστι τῷ ἀντιχρίστῳ. Ἐπειδὴ γὰρ ἔλεγον, διὰ τοῦτο αὐτῷ μὴ πιστεύειν, ἐπειδὴ Θεὸν ἑαυτὸν ἔλεγε· «διὰ γὰρ τοῦτό σε»,

---

46. Ἰὼβ 40,3.
47. Α' Κορ. 11,19.

θόλου, ἀλλὰ γίνεται καὶ πιὸ ἰσχυρός, ἐνῶ ὁ ἀδύνατος καὶ παραλυμένος καὶ ἀδιάφορος, πολλὲς φορὲς πέφτει καὶ χωρὶς νὰ τὸν ἐνοχλεῖ κανείς.

Ἂν ὅμως θέλεις νὰ μάθεις καὶ κάποιο λόγο, ἄκου αὐτὸν ποὺ μᾶς εἶναι γνωστός. Γιατὶ βέβαια ὑπάρχουν καὶ πολλοὶ ἄλλοι, φανεροὶ σ' ἐκεῖνον ποὺ μὲ διαφορετικοὺς καὶ ποικίλους τρόπους οἰκονομεῖ ὅλα τὰ δικά μας· αὐτὸν ὅμως ποὺ ξέρουμε ἐμεῖς, αὐτὸς πρῶτα ἂς λεχθεῖ. Λέμε ὅτι οἱ δοκιμασίες αὐτὲς παραχωρήθηκαν γιὰ νὰ μὴν ἐλαττωθοῦν τὰ βραβεῖα τῶν γενναίων, πράγμα ποὺ ὁ Θεὸς τὸ δήλωσε καὶ ὅταν μιλοῦσε μὲ τὸν Ἰὼβ λέγοντας· «νομίζεις ὅ,τι ἔκανα γιὰ σένα εἶχε ἄλλο σκοπό, ἀπὸ τὸ νὰ φανεῖς δίκαιος;»[46]. Καὶ ὁ Παῦλος ἐξάλλου λέγει· «πρέπει ὅμως νὰ ὑπάρχουν καὶ αἱρέσεις γιὰ νὰ γίνουν φανεροὶ μεταξύ σας οἱ γνήσιοι»[47]. Ἐσὺ ὅμως ὅταν ἀκοῦς τό, «πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις», μὴ νομίσεις ὅτι τὰ λέγει αὐτὰ προστάζοντας ἢ νομοθετώντας –μακριὰ μιὰ τέτοια σκέψη–, ἀλλὰ γιὰ νὰ προφητέψει τὸ μέλλον καὶ νὰ φανερώσει ἀπὸ πρὶν τὸ κέρδος ποὺ θὰ εἶχαν ἀπ' αὐτὸ οἱ φρόνιμοι. Γιατὶ τότε θὰ φανεῖ, λέγει, πιὸ καθαρὰ ἡ ἀρετὴ ἐκείνων ἀπὸ σᾶς ποὺ δὲν ἐξαπατοῦνται. Ἐπὶ πλέον καὶ γιὰ κάποια ἄλλη αἰτία ἀφέθηκαν οἱ πονηροί, ὥστε νὰ μὴ συμβεῖ ἁρπαζόμενοι πρόωρα ν' ἀποκλεισθοῦν ἀπὸ τὴν ὠφέλεια ποὺ θὰ μποροῦσε γίνει σ' αὐτοὺς ἀπὸ τὴ μετάνοια. Ἔτσι σώθηκε καὶ ὁ Παῦλος, ἔτσι ὁ ληστής, ἔτσι ἡ πόρνη, ἔτσι ὁ τελώνης, ἔτσι πολλοὶ ἄλλοι. Ἂν ὅμως εἶχαν ἁρπαχθεῖ ἀπὸ ἐδῶ πρὶν μετανοήσουν, δὲ θὰ σωζόταν κανεὶς ἀπ' αὐτούς.

Ἀλλὰ γιὰ τὸν ἀντίχριστο ὁ Παῦλος λέγει καὶ ἄλλη αἰτία. Ποιά λοιπὸν εἶναι αὐτή; Τὸ νὰ ἀποκλεισθεῖ καὶ ἀπὸ ἐδῶ κάθε δικαιολογία γιὰ τοὺς Ἰουδαίους. Γιατὶ ποιά συγγνώμη θὰ εἶχαν αὐτοὶ ποὺ δὲ δέχθηκαν τὸ Χριστὸ καὶ ἐπρόκειτο νὰ πιστέψουν σ' ἐκεῖνον; Γι' αὐτὸ λέγει, «γιὰ νὰ κατακριθοῦν ὅλοι ὅσοι δὲν πίστεψαν στὴν ἀλήθεια», δηλαδή, στὸ Χριστό, «ἀλλ' ἔδειξαν εὐχαρίστηση στὴν ἀδικία[48], δηλαδή, στὸν ἀντίχριστο. Ἐπειδὴ δηλαδὴ ἔλεγαν, γι' αὐτὸ δὲν πιστεύουμε σ' αὐτόν, ἐπειδὴ ἔλεγε

48. Β΄ Θεσ. 2,11.

φασί, «λιθάζομεν, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν»· καίτοι γε τὰ πλείονα ἀκούοντες ἀνατιθέντα αὐτὸν τῷ Πατρὶ καὶ λέγοντα μετὰ τῆς ἐκείνου γνώμης ἐφῖχθαι καὶ διὰ πολλῶν τοῦτο ἀποδεικνύντα· τί ἐροῦσιν, ὅταν τὸν ἀντίχριστον τὸν λέγοντα ἑαυτὸν εἶναι Θεὸν καὶ μηδὲ μεμνημένον τοῦ Πατρός, ἀλλὰ καὶ τοὐναντίον ποιοῦντα δέξωνται; Τοῦτο καὶ ὁ Χριστὸς αὐτοῖς ὀνειδίζων, προὔλεγεν οὕτω λέγων· «ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε»· διὰ ταῦτα ἀφείθη τὰ σκάνδαλα.

Εἰ δὲ τοὺς σκανδαλιζομένους λέγεις, ἐγώ σοι τοὺς μειζόνως ἐντεῦθεν διαλάμψαντας δείξω· καὶ πάλιν σοι τὸ αὐτὸ ἐρῶ, ὅτι οὐκ ἔδει διὰ τὴν ἑτέρων ἀπροσεξίαν καὶ ῥᾳθυμίαν τοὺς δυναμένους νήφειν καὶ ἐγρηγορέναι καὶ μυρίους ἐκ τούτων ἀναδήσασθαι στεφάνους ἐλαττοῦσθαι ἐν τῇ τῶν ἀμοιβῶν ἀντιδόσει. Οὗτοι μὲν γὰρ ἐπηρεάζεσθαι ἔμελλον, εἰ μὴ τῶν ἀγώνων τούτων ἔλαβον ὑποθέσεις· οἱ δὲ ἐντεῦθεν βλαβέντες, ἑτέρῳ μὲν οὐδενί, ἑαυτοῖς δὲ εἶεν δίκαιοι λογίζεσθαι τὰ πτώματα αὐτῶν καὶ κατηγοροῖεν ἂν αὐτῶν οἱ μὴ μόνον μὴ σκανδαλισθέντες, ἀλλὰ καὶ φαιδρότεροι καὶ ἰσχυρότεροι ταύτῃ γινόμενοι.

13. Ποίων γὰρ ἱερέων ἀπήλαυσεν ὁ Ἀβραάμ, εἰπέ μοι; ποίων διδασκάλων; ποίας κατηχήσεως; ποίας παραινέσεως; ποίας συμβουλῆς; Ὅπουγε οὐδὲ γράμματα τότε ἦν, οὐ νόμος, οὐ προφῆται, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ ἄπλουν ἔπλει θάλατταν καὶ ὁδὸν ὥδευεν ἀτριβῆ καὶ ταῦτα καὶ οἰκίας καὶ πατρὸς ἀσεβοῦς γεγενημένος. Ἀλλ' οὐδὲν αὐτὸν ταῦτα παρέβλαψεν, ἀλλὰ τοσοῦτον ἔλαμψεν ἀρετῇ, ὡς ἃ μετὰ μακρὸν χρόνον, μετὰ προφήτας, μετὰ νόμον καὶ τοσαύτην παιδαγωγίαν, ἣν διὰ σημείων καὶ θαυμάτων γεγενημένην ἔμελλεν ὁ Χριστὸς τοὺς ἀνθρώπους παιδεύειν, ταῦτα προλαβόντα δι' ἔργων ἐπιδείξασθαι, ἀγάπην γνησίαν καὶ θερμήν, χρημάτων ὑπεροψίαν, τὴν

49. Ἰω. 10,33.

τὸν ἑαυτό του Θεὸ –«γι' αὐτὸ ἀκριβῶς», λέγει, «σὲ λιθοβολοῦμε, γιατὶ ἐσύ, ἂν καὶ εἶσαι ἄνθρωπος, κάνεις τὸν ἑαυτό σου Θεό»[49]–, παρ' ὅλο βέβαια ποὺ τὸν ἄκουαν ν' ἀποδίδει τὰ περισσότερα στὸν Πατέρα καὶ νὰ λέγει ὅτι ἦρθε μὲ τὴ δική του γνώμη καὶ νὰ τὸ ἀποδεικνύει αὐτὸ μὲ πολλά, τί θὰ ποῦν, ὅταν θὰ δεχθοῦν τὸν ἀντίχριστο ποὺ ἔλεγε τὸν ἑαυτό του Θεὸ καὶ δὲν ἀνέφερε καθόλου τὸν Πατέρα, ἀλλὰ ποὺ ἔκανε τὸ ἀντίθετο; Γι' αὐτὸ καὶ ὁ Χριστὸς κατηγορώντας τους, προφήτευε καὶ ἔλεγε τὰ ἑξῆς· «ἐγὼ ἦρθα στὸ ὄνομα τοῦ Πατέρα μου καὶ δὲ μὲ δέχεστε· ἂν ὅμως ἔρθει ἄλλος στὸ ὄνομα τὸ δικό του, ἐκεῖνον θὰ τὸν δεχθεῖτε»[50]. Γι' αὐτὸ ἐπετράπηκαν τὰ σκάνδαλα.

Ἂν ὅμως λέγεις γι' αὐτοὺς ποὺ σκανδαλίζονται, ἐγὼ θὰ σοῦ δείξω ἐκείνους ποὺ ἐξ αἰτίας αὐτοῦ ἔλαμψαν πιὸ πολύ. Καὶ πάλι θὰ σοῦ πῶ τὸ ἴδιο, ὅτι δὲν ἔπρεπε γιὰ τὴν ἀπροσεξία καὶ τὴν ἀδιαφορία τῶν ἄλλων νὰ ὑστεροῦν στὴν ἀπόδοση τῶν ἀμοιβῶν ἐκεῖνοι ποὺ μποροῦν νὰ προσέχουν, νὰ ἀγρυπνοῦν γιὰ νὰ κερδίσουν ἀπ' αὐτὰ ἀμέτρητα στεφάνια. Γιατὶ αὐτοὶ ἐπρόκειτο νὰ κατηγορηθοῦν, ἂν δὲν ἔπαιρναν ἀφορμὲς γιὰ τοὺς ἀγῶνες αὐτούς, ἐνῶ ἐκεῖνοι ποὺ ζημιώθηκαν ἀπὸ ἐδῶ θὰ ἦταν δίκαιο νὰ λογαριάσουν τὰ παραπτώματά τους στὸν ἑαυτό τους καὶ σὲ κανένα ἄλλον, καὶ νὰ τοὺς κατηγοροῦν ὅσοι ὄχι μόνο δὲ σκανδαλίσθηκαν, ἀλλ' ἔγιναν καὶ λαμπρότεροι καὶ ἰσχυρότεροι μ' αὐτὸν τὸν τρόπο.

13. Γιατί, πές μου, ποιούς ἱερεῖς ἀξιώθηκε νὰ ἔχει ὁ Ἀβραάμ; ποιούς διδασκάλους; ποιά κατήχηση; ποιά παραίνεση; ποιά συμβουλή; τὴ στιγμὴ βέβαια ποὺ τότε δὲν ὑπῆρχαν οὔτε γράμματα, οὔτε νόμος, οὔτε προφῆτες, οὔτε τίποτε ἄλλο τέτοιο, ἀλλ' ἔπλεε σὲ ἄπλευστη θάλασσα καὶ βάδιζε δρόμο ἀδιάβατο, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ ἦταν γεννημένος ἀπὸ σπίτι καὶ πατέρα ἀσεβή. Ὅμως δὲν τὸν ἔβλαψαν αὐτὰ καθόλου, ἀλλὰ τόσο πολὺ ἔλαμψε μὲ τὴν ἀρετή, ὥστε ἐκεῖνα ποὺ μετὰ ἀπὸ πολὺ χρόνο, μετὰ τοὺς προφῆτες, μετὰ τὸ νόμο καὶ μετὰ τόση πολλὴ διδασκαλία, τὴν ὁποία ἐπρόκειτο ὁ Χριστὸς νὰ διδάξει στοὺς ἀν-

50. Ἰω. 5,42–43.

περὶ τοὺς οἰκείους τοῦ σπέρματος κηδεμονίαν· καὶ τὸν τῦφον δὲ ἅπαντα ἐπάτησε καὶ τὸν ὑγρὸν καὶ διαλελυμένον διεκρούσατο βίον, τῶν νῦν τὰς κορυφὰς τῶν ὀρῶν κατειληφότων μοναχῶν ἀκριβέστερον ζῶν. Οὔτε γὰρ οἰκία ἦν αὐτῷ, ἀλλ' ἡ σκιὰ τῶν φύλλων ὄροφος ἦν τῷ δικαίῳ καὶ στέγη· οὐδέ, ἐπειδὴ ξένος ἦν, ῥᾳθυμότερος περὶ τὴν φιλοξενίαν ἐγένετο, ἀλλ' ὁ ξένος ἐν ξένῃ ἔργον τοῦτο ἐποίει, τὸ διηνεκῶς ἐν μεσημβρίᾳ μέσῃ τοὺς παριόντας ὑποδέχεσθαι καὶ θεραπεύειν. Καὶ δι' ἑαυτοῦ τὸ ἔργον ἅπαν ἤνυε καὶ τὴν γυναῖκα κοινωνὸν ἐποίει τῆς καλῆς ταύτης πραγματείας.

Τί δὲ ὑπὲρ τοῦ ἀδελφιδοῦ καὶ ταῦτα οὐ καθηκόντως αὐτῷ χρησαμένου, ἀλλὰ τοῖς πρωτείοις ἐπιπηδήσαντος, οὐκ ἐποίησε καὶ ταῦτα μετὰ τὴν αἵρεσιν τῆς ἐκλογῆς; οὐχὶ τὸ αἷμα ἐξέχεεν; οὐχὶ τοὺς οἰκέτας ἅπαντας ὥπλισεν; οὐκ εἰς φανερὸν κίνδυνον ἑαυτὸν ἐνέβαλεν; Ὅτε δὲ ἐκελεύσθη τὴν μὲν οἰκίαν ἀφεῖναι, εἰς δὲ τὴν ἀλλοτρίαν ἀπελθεῖν, οὐκ εὐθέως ὑπήκουσε καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς καὶ πάντας ἀφεὶς καὶ τῷ προστάγματι πεισθεὶς τοῦ κελεύσαντος, τὰ μὲν δῆλα καταλιμπάντων, τοῖς δὲ ἀδήλοις πολλῷ σαφέστερον ἢ τοῖς δήλοις προσέχων, διὰ τὴν ὑπόσχεσιν τοῦ Θεοῦ, ὅπερ ἦν πίστεως ἐπιτεταμένης; Μετὰ δὲ ταῦτα πάντα οὐ, λιμοῦ καταλαβόντος, πάλιν μετανάστης ἐγίνετο καὶ οὐκ ἐθορυβεῖτο, οὐδὲ ἐταράττετο, ἀλλὰ τὴν αὐτὴν ὑπακοὴν καὶ φιλοσοφίαν καὶ ὑπομονὴν ἐπεδείκνυτο καὶ κατῄει εἰς Αἴγυπτον καὶ ὑπακούσας τῷ Θεῷ τοιαῦτα κελεύοντι ἀφῃρέθη τὴν γυναῖκα καὶ καθυβριζομένην ἑώρα, τό γε ἧκον εἰς τὸν Αἰγύπτιον καὶ θανάτου χαλεπώτερα ὑπέμενεν ἐν τοῖς καιριωτάτοις πληττόμενος;

Τί γὰρ βαρύτερον ἦν, εἰπέ μοι, τοῦ γυναῖκα νόμῳ γάμου συναφθεῖσαν αὐτῷ, μετὰ τοσαῦτα κατορθώματα ὁρᾶν ὑπὸ βαρβαρικῆς ἀκολασίας ἁρπαζομένην, εἰσαγομένην ἔνδον εἰς τὰς βασιλικὰς αὐλάς, καθυβριζομένην; Εἰ γὰρ καὶ μὴ τὸ ἔργον ἐξῆλ-

θρώπους μὲ σημεῖα καὶ θαύματα, αὐτὰ τὰ πρόλαβε καὶ τὰ φανέρωσε μὲ ἔργα, δηλαδὴ ἀγάπη γνήσια καὶ θερμή, περιφρόνηση πρὸς τὰ χρήματα, φροντίδα γιὰ τοὺς συγγενεῖς του. Καὶ πάτησε κάθε ἀλαζονεία, καὶ ἀπέφυγε τὴ φιλήδονη καὶ παραλυμένη ζωή, ζώντας πιὸ αὐστηρὰ ἀπὸ τοὺς μοναχοὺς ποὺ τώρα κατοικοῦν στὶς κορυφὲς τῶν βουνῶν. Καθόσον οὔτε σπίτι εἶχε, ἀλλ' ἡ σκιὰ τῶν φύλλων ἦταν ὀροφὴ καὶ στέγη γιὰ τὸν δίκαιο, οὔτε ἐπειδὴ ἦταν ξένος ἔγινε ἀδιάφορος γιὰ τὴ φιλοξενία, δηλαδὴ τὸ νὰ ὑποδέχεται καὶ νὰ περιποιεῖται πάντοτε τοὺς διερχομένους μέσα στὸ καταμεσήμερο. Καὶ ὅλο τὸ ἔργο τὸ ἐκτελοῦσε μόνος του, κάμνοντας τὴ γυναίκα του βοηθὸ στὴν καλὴ αὐτὴ ἀσχολία.

Καὶ γιὰ τὸν ἀνεψιό του, ὁ ὁποῖος ἂν καὶ δὲν τοῦ συμπεριφέρθηκε ὅπως ἔπρεπε, ἀλλὰ θέλησε νὰ τοῦ ἁρπάξει τὰ πρωτεῖα, τί δὲν ἔκαμε, καὶ μάλιστα μετὰ τὴν ἐκλογή του; Δὲν ἔχυσε τὸ αἷμα του; δὲν ὅπλισε ὅλους τοὺς δούλους του; δὲν ἔβαλε τὸν ἑαυτό του σὲ κίνδυνο φανερό; Καὶ ὅταν διατάχθηκε ν' ἀφήσει τὸ σπίτι του καὶ νὰ φύγει σὲ ξένη χώρα, δὲν ὑπάκουσε ἀμέσως, ἀφήνοντας καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς καὶ ὅλους καὶ ὑπακούοντας στὴν προσταγὴ ἐκείνου ποὺ τὴν ἔδωσε, ἐγκαταλείποντας τὰ βέβαια καὶ προσέχοντας πολὺ περισσότερο στὰ ἀβέβαια παρὰ στὰ βέβαια, ἐξ αἰτίας τῆς ὑπόσχεσης τοῦ Θεοῦ, πράγμα ποὺ ἦταν ἀπόδειξη μεγάλης πίστης; Καὶ ὕστερα ἀπ' ὅλα αὐτά, ὅταν ἔπεσε πείνα, δὲ γινόταν πάλι μετανάστης, καὶ δὲν ἀνησυχοῦσε, οὔτε ταραζόταν, ἀλλὰ φανέρωσε τὴν ἴδια ὑπακοὴ καὶ πίστη καὶ ὑπομονή, καὶ κατέβαινε στὴν Αἴγυπτο, καὶ ὑπακούοντας στὸ Θεὸ ποὺ τὰ διέταξε αὐτὰ στερήθηκε τὴ γυναίκα του, καὶ τὴν ἔβλεπε νὰ καταντροπιάζεται, ὅσο τουλάχιστο ἦταν στὸ χέρι τοῦ Αἰγυπτίου, δὲν ὑπέμενε χειρότερα ἀπὸ τὸ θάνατο, δεχόμενος πλήγματα στὰ πιὸ καίρια;

Γιατί, πές μου, τί ἦταν βαρύτερο ἀπὸ τὸ νὰ βλέπει, ὕστερα ἀπὸ τόσα κατορθώματα, τὴ γυναίκα, ποὺ μὲ νόμο τοῦ γάμου εἶχε ἑνωθεῖ μαζί του, νὰ ἁρπάζεται ἀπὸ τὴ βαρβαρικὴ ἀκολασία, νὰ ὁδηγεῖται μέσα στὶς βασιλικὲς αὐλὲς καὶ νὰ καταντρο-

*θεν, ἀλλ' αὐτὸς τοῦτο προσεδόκησε καὶ πάντα ἔφερε γενναίως καὶ οὔτε αἱ συμφοραὶ αὐτὸν ὑπεσκέλισαν, οὔτε αἱ εὐημερίαι ἐφύσησαν· ἀλλ' ἐν τῇ τῶν καιρῶν διαφορᾷ ἴσην τὴν ἑαυτοῦ γνώμην διεφύλαττε. Τί δέ, ὅτε αὐτῷ τὸν υἱὸν ἐπηγγείλατο, οὐχὶ μυρία τὰ κωλύματα ἦν, τὰ ἀπὸ τῶν λογισμῶν; Καὶ πάντα ἐκεῖνα κατευνάσας καὶ τὸν ἐκείνων θόρυβον ἀνελὼν ἀπὸ τῆς πίστεως διέλαμψεν;*

*Ὅτε δὲ αὐτὸν καθιερῶσαι ἐκελεύσθη, οὐχὶ μετὰ πολλοῦ τοῦ τάχους, ὡσανεὶ μέλλων εἰς παστάδας ἄγειν καὶ νυμφαγωγεῖν, οὕτως αὐτὸν ἀνήγαγε; Καὶ αὐτῆς τῆς φύσεως σχεδὸν ἐξελθὼν καὶ τοῦ ἄνθρωπος εἶναι ἀπαλλαγεὶς καὶ θυσίαν ἀνέφερε καινήν τινα καὶ παράδοξον καὶ μόνος τὸν ἆθλον ἤθλησε τοῦτον, οὐ γυναικί, οὐκ οἰκέτῃ, οὐκ ἄλλῳ τινὶ τῶν μετ' αὐτοῦ κοινωσάμενος; Ἤδει γάρ, ᾔδει σαφῶς τοῦ σκοπέλου τὸ ὑψηλόν, τοῦ ἐπιτάγματος τὸν ὄγκον, τοῦ ἀγῶνος τὸ μέγεθος· διὸ μόνος αὐτὸς τὸν δρόμον ἀνεδέξατο τοῦτον καὶ ἔτρεχε καὶ ἠγωνίζετο καὶ ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο. Ποῖος ταῦτα αὐτὸν ἱερεὺς ἐδίδαξε; ποῖος δὲ διδάσκαλος; ποῖος προφήτης; Οὐδὲ εἷς· ἀλλ' ἐπειδὴ εὐγνώμονα εἶχε ψυχήν, ἤρκεσεν αὐτῷ πρὸς ἅπαντα.*

*Τί δὲ ὁ Νῶε; Ποῖον ἔσχεν ἱερέα; ποῖον διδάσκαλον; ποῖον καθηγητήν; Ὅτε μόνος, τῆς οἰκουμένης ἁπάσης διαφθαρείσης ἐν πονηρίᾳ, τὴν ἐναντίαν ἦλθεν ὁδὸν καὶ τὴν ἀρετὴν διετήρησε καὶ οὕτω διέλαμψεν, ὡς ἐν τῷ ναυαγίῳ τῆς οἰκουμένης αὐτόν τε διασωθῆναι καὶ ἑτέρους διὰ τὴν περιουσίαν τῆς οἰκείας ἀρετῆς τῶν ἐπηρτημένων ἐξαρπάσαι κινδύνων; Πόθεν δίκαιος ἐγένετο; πόθεν τέλειος; Ποῖον ἱερέα καὶ οὗτος ἢ διδάσκαλον ἐσχηκώς; Οὐδεὶς ἂν εἰπεῖν ἔχοι. Ὁ δὲ υἱὸς ὁ τούτου, καίτοι ἔνδον ἔχων τὸν διδάσκαλον διηνεκῶς, τοῦ πατρὸς τὴν ἀρετὴν καὶ νουθεσίας ἀπολαύων καὶ τῆς διὰ ρημάτων καὶ τῆς διὰ τῶν ἔργων καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἔκβασιν ὁρῶν καὶ τὴν ἀπὸ τῆς συμφορᾶς καὶ τὴν ἀπὸ τῆς σωτηρίας παραίνεσιν, πονηρὸς*

πιάζεται; Γιατί, καὶ ἂν ἀκόμα τὸ πράγμα δὲν ἔγινε, ὅμως αὐτὸς τὸ ὑπέθεσε καὶ ὅλα τὰ ὑπέφερε γενναῖα, καὶ οὔτε οἱ συμφορὲς τὸν νίκησαν, οὔτε οἱ εὐτυχίες τὸν ἔκαμαν ὑπερήφανο, ἀλλὰ στὶς διαφορετικὲς περιστάσεις κρατοῦσε ἴδια τὴ γνώμη του. Τί πάλι, ὅταν τοῦ ὑποσχέθηκε τὸν υἱό, δὲν ἦταν ἄπειρα τὰ ἐμπόδια ἀπὸ τοὺς λογισμούς του; Καὶ ἀφοῦ ὅλα ἐκεῖνα τὰ καταπράϋνε καὶ σταμάτησε τὴν ταραχή τους, δὲν ἔλαμψε ἀπὸ τὴν πίστη του;

Καὶ ὅταν πάλι διατάχθηκε νὰ τὸν θυσιάσει, δὲν τὸν πρόσφερε πολὺ γρήγορα, σὰν νὰ ἐπρόκειτο νὰ τὸν ὁδηγήσει σὲ γάμο καὶ νὰ τὸν φέρει σὲ νύφη; Καὶ ὅταν βγῆκε ἀπὸ τὰ ὅρια τῆς φύσης καὶ ξέχασε ὅτι εἶναι ἄνθρωπος, δὲν πρόσφερε θυσία νέα καὶ παράδοξη καὶ δὲν ἀγωνίσθηκε μόνος του αὐτὸν τὸν ἀγώνα χωρίς νὰ τὸ ἀναφέρει οὔτε στὴ γυναίκα του, οὔτε στὸν ὑπηρέτη του, οὔτε σ' ἄλλον κανένα δικό του; Γιατὶ γνώριζε, γνώριζε καλὰ τὸ ὕψος τοῦ σκοπέλου, τὸ βάρος τῆς προσταγῆς, τὸ μέγεθος τοῦ ἀγώνα· γι' αὐτὸ μόνος του δέχθηκε αὐτὸν τὸ δρόμο, καὶ ἔτρεχε, καὶ ἀγωνιζόταν, καὶ στεφανωνόταν, καὶ δοξαζόταν. Ποιός ἱερέας τοῦ δίδαξε αὐτά; ποιός διδάσκαλος; ποιός προφήτης; Κανένας· ἀλλ' ἐπειδὴ εἶχε εὐγνώμονα ψυχή, τοῦ ἦταν ἀρκετὴ γιὰ ὅλα.

Καὶ ὁ Νῶε; Ποιόν εἶχε ἱερέα; ποιόν διδάσκαλο; ποιόν καθηγητή; ὅταν μόνος, ἐνῶ ὅλη ἡ οἰκουμένη εἶχε διαφθαρεῖ στὴν πονηρία, βάδισε τὸν ἀντίθετο δρόμο καὶ διατήρησε τὴν ἀρετή του καὶ ἔλαμψε τόσο πολύ, ὥστε στὸ ναυάγιο τῆς οἰκουμένης καὶ ὁ ἴδιος νὰ διασωθεῖ καὶ ἄλλους νὰ γλυτώσει ἀπὸ τοὺς κινδύνους ποὺ ἀπειλοῦνταν ἐναντίον τους μὲ τὴν περίσσεια δική του ἀρετή; Πῶς ἔγινε δίκαιος; πῶς ἔγινε τέλειος; ποιόν ἱερέα ἢ διδάσκαλο εἶχε ἀποκτήσει καὶ αὐτός; Κανένας δὲ θὰ μποροῦσε νὰ πεῖ. Ὁ υἱός του ὅμως, μολονότι εἶχε τὸν διδάσκαλο πάντοτε στὸ σπίτι, δηλαδὴ τὴν ἀρετὴ τοῦ πατέρα του, καὶ ἀξιώθηκε νὰ νουθετηθεῖ καὶ μὲ λόγια καὶ μὲ ἔργα, καὶ μολονότι ἔβλεπε τὴν ἔκβαση ἀπὸ τὰ πράγματα καὶ τὴν παραίνεση ἀπὸ τὴ συμφορὰ καὶ ἀπὸ τὴ σωτηρία, ἔγινε πονηρὸς ὡς πρὸς τὸ γονέα του καὶ

*περὶ τὸν φύντα ἐγένετο καὶ ἐκωμῴδει τοῦ γεγεννηκότος τὴν γύμνωσιν καὶ ἐξεπόμπευσεν. Ὁρᾷς ὅτι πανταχοῦ ψυχῆς χρεία εὐγνώμονος;*

*Τί δὲ ὁ Ἰώβ, εἰπέ μοι; Ποίων προφητῶν ἤκουσε; ποίας διδασκαλίας ἀπήλαυσεν; Οὐδεμιᾶς. Ἀλλ' ὅμως καὶ οὗτος οὐδενὸς τούτων τετυχηκὼς καὶ πᾶν ἀρετῆς εἶδος μετὰ πολλῆς ἐπεδείξατο τῆς ἀκριβείας. Καὶ γὰρ κοινὰ τὰ ὄντα τοῖς δεομένοις ἐκέκτητο καὶ οὐχὶ τὰ ὄντα μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα. Τῇ μὲν γὰρ οἰκίᾳ τοὺς ὁδίτας ὑπεδέχετο καὶ ἐκείνων μᾶλλον ἦν ἡ οἰκία, ἢ τοῦ κεκτημένου· τῇ δὲ τοῦ σώματος ἰσχύϊ τοῖς ἀδικουμένοις ἤμυνε, τῇ δὲ τῆς γλώττης συνέσει καὶ σοφίᾳ τοὺς ἐπηρεάζοντας ἐπεστόμιζε καὶ τὴν εὐαγγελικὴν πολιτείαν διὰ πάντων διαλάμπουσαν ἐπεδείκνυτο. Σκόπει δέ. «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι», φησὶν ὁ Χριστός. Τοῦτο αὐτὸς διὰ τῶν ἔργων κατώρθωσεν. «Εἰ γὰρ ἐφαύλισα», φησί, «κρίμα θεράποντος ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρός με. Τί γὰρ ποιήσω, ἐὰν ἐπίσκεψίν μου ποιήσῃ ὁ Κύριος; Πότερον οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν γαστρί, καὶ ἐκεῖνοι ἐγένοντο; Ἐγενόμεθα δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ».*

*«Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται». Ἀλλ' οὐδὲ ταύτης ἄμοιρος ἦν τῆς ἀρετῆς. Ἄκουσον γοῦν τί φησιν· «εἰ δὲ καὶ ἁμαρτὼν ἑκουσίως, διετράπην πολυοχλίαν λαοῦ, τοῦ μὴ ἐξαγορεῦσαι τὴν ἀνομίαν μου». Ὁ δὲ οὕτω διακείμενος, εὔδηλον ὅτι αὐτὴν ἐπένθει μετὰ πολλῆς τῆς ὑπερβολῆς. «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην». Ὅρα καὶ τοῦτο μεθ' ὑπερβολῆς αὐτῷ κατωρθωμένον. «Συνέτριψα», φησί, «μύλας ἀδίκων καὶ ἐν μέσου ὀδόντων αὐτῶν ἅρπαγμα*

51. Βλ. Γεν. 9,18–27.
52. Ματθ. 5,3.
53. Ἰὼβ 31,13–15.
54. Ματθ. 5,5.
55. Ἰὼβ 31,31.
56. Ματθ. 5,4.
57. Ἰὼβ 31,33–34.
58. Ματθ. 5,6.

περιέπαιζε τὴ γύμνωση τοῦ πατέρα του καὶ τὸν ἐξευτέλιζε[51]. Βλέπεις ὅτι παντοῦ χρειάζεται ψυχὴ φρόνιμη;

Καὶ ὁ Ἰώβ πάλι, πές μου; Ποιούς προφῆτες ἄκουσε; ποιά διδασκαλία ἀξιώθηκε; Καμιά. Ἀλλ' ὅμως καὶ αὐτός, παρ' ὅλο ποὺ δὲν εἶχε συναντήσει τίποτε ἀπ' αὐτά, φανέρωσε μὲ πολλὴ ἀκρίβεια κάθε εἶδος ἀρετῆς. Γιατὶ τὰ ὑπάρχοντά του τὰ εἶχε κοινὰ μ' ἐκείνους ποὺ εἶχαν ἀνάγκη, καὶ ὄχι μόνο τὰ ὑπάρχοντά του, ἀλλὰ καὶ τὸ ἴδιο τὸ σῶμα του. Γιατὶ στὸ σπίτι του ὑποδεχόταν τοὺς ὁδοιπόρους καὶ ἦταν δικό τους περισσότερο τὸ σπίτι παρὰ τοῦ ἰδιοκτήτη, ἐνῶ μὲ τὴ δύναμη τοῦ σώματός του ὑπεράσπιζε τοὺς ἀδικουμένους, καὶ μὲ τὴ σύνεση καὶ τὴ σοφία τῆς γλώσσας του ἀποστόμωνε τοὺς ὑβριστές, καὶ φανέρωνε τὴν εὐαγγελική του συμπεριφορὰ νὰ λάμπει μέσα ἀπ' ὅλα. Πρόσεχε δηλαδή. «Μακάριοι εἶναι οἱ ταπεινόφρονες»[52], λέγει ὁ Χριστός. Αὐτὸ ὁ Ἰὼβ τὸ κατόρθωσε μὲ τὰ ἔργα. «Ἂν καταπάτησα», λέγει, «δικαίωμα ὑπηρέτη ἢ ὑπηρέτριας, ὅταν εἶχαν διαφορὲς μαζί μου, τότε τί θὰ κάμω, ὅταν ὁ Κύριος μὲ ἐπισκεφθεῖ; Τί δηλαδή; δὲν ἔγιναν καὶ ἐκεῖνοι ὅπως ἔγινα καὶ ἐγὼ στὴν κοιλιὰ τῆς μητέρας μου; Γίναμε στὴν ἴδια κοιλιά»[53].

«Μακάριοι εἶναι οἱ πράοι, γιατὶ αὐτοὶ θὰ κληρονομήσουν τὴ γῆ»[54]. Καὶ τί ὑπῆρξε πιὸ πράο ἀπὸ ἐκεῖνον, γιὰ τὸν ὁποῖον καὶ οἱ ὑπηρέτες ἔλεγαν, «ποιός τάχα θὰ μᾶς δώσει νὰ χορτάσουμε ἀπὸ τὸ τραπέζι ποὺ παραθέτει στὸν ἑαυτό του;»[55]. Τόσο πολὺ τὸν ἀγαποῦσαν. «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν, γιατὶ αὐτοὶ θὰ παρηγορηθοῦν»[56]. Ἀλλὰ δὲ στεροῦνταν οὔτε αὐτὴ τὴν ἀρετή. Ἄκουσε λοιπὸν τί λέγει· «καὶ ἂν ἁμάρτησα μὲ τὴ θέλησή μου, ντράπηκα τὸν πολὺ λαό, ὥστε νὰ μὴν ὁμολογήσω τὴν ἀνομία μου»[57]. Αὐτὸς ὅμως ποὺ αἰσθανόταν ἔτσι, εἶναι ὁλοφάνερο πὼς πενθοῦσε τὴν ἁμαρτία του πάρα πολύ. «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πεινοῦν καὶ διψοῦν τὴ δικαιοσύνη»[58]. Βλέπε καὶ αὐτὸ κατορθωμένο ἀπὸ τὸν Ἰὼβ μὲ τὸ παραπάνω. «Ἔσπασα», λέγει, «τὰ δυνατὰ σαγόνια τῶν ἀδίκων καὶ μέσα ἀπὸ τὰ δόντια τους τράβηξα αὐτὸ ποὺ εἶχαν ἁρπάξει, καὶ εἶχα

*ἐξέσπασα, δικαιοσύνην δὲ ἐνδεδύκειν, ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι».*

*«Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται». Οὗτος δὲ οὐκ ἐν χρήμασι μόνον ἐλεήμων ἦν, οὐδὲ ἐν τῷ ἐνδύειν τοὺς γυμνοὺς καὶ τρέφειν τοὺς πεινῶντας καὶ χηρείαν διορθοῦν καὶ ὀρφανίαν περιστέλλειν καὶ πηρώματα φύσεως παραμυθεῖσθαι, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ συμπαθείᾳ τῆς ψυχῆς. «Ἐγὼ γάρ», φησίν, «ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα καὶ ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις». Καθάπερ γὰρ κοινὸς ὢν ἁπάντων πατήρ, οὕτω τὰς ἑκάστου συμφοράς, τὰς μὲν διώρθου, τὰς δὲ ἐθρήνει καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων καὶ διὰ συμπαθείας καὶ δακρύων καὶ διὰ παντὸς τρόπου τοὺς ἐν συμφοραῖς ἀνέχων καὶ κοινός τις ἁπάντων λιμὴν γινόμενος. «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Καὶ τοῦτο οὐχ ὡς ἔτυχεν αὐτῷ κατώρθωτο. Ἄκουσον γοῦν τοῦ Θεοῦ μαρτυροῦντος αὐτῷ· «οὐκ ἔστιν ἄνθρωπος ὅμοιος αὐτοῦ τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος».*

*«Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν». Καὶ ἐντεῦθεν πολλὴν τῶν ἀγώνων καὶ τῶν βραβείων τὴν δαψίλειαν ἐποιήσατο. Οὐ γὰρ δι' ἀνθρώπων ἠλαύνετο, ἀλλ' αὐτὸς ὁ ἀρχέκακος δαίμων ἐπιθέμενος καὶ πάντα αὐτοῦ τὰ μηχανήματα κινήσας, οὕτως ἦλθεν ἐπ' αὐτόν, ἀπελάσας αὐτὸν καὶ οἰκίας καὶ πατρίδος καὶ εἰς τὴν κοπριὰν ἐξαγαγών, χρημάτων ἐκβαλὼν πάντων, κτημάτων, παίδων, αὐτῆς τοῦ σώματος τῆς ὑγιείας καὶ λιμῷ παραδοὺς χαλεπωτάτῳ· μετὰ δὲ ἐκείνου καὶ τῶν φίλων τινές, οὐχ ὡς ἔτυχεν, ἥλλοντο καὶ ἀνέξαινον αὐτοῦ τῆς ψυχῆς τὰ ἕλκη. «Μακά-*

---

59. Ἰὼβ 29,17·14.
60. Ματθ. 5,7.
61. Ἰὼβ 30,25.

ντυθεῖ τὴ δικαιοσύνη καὶ φοροῦσα τὴ δίκαιη κρίση σὰν μανδύα διπλοτυλιγμένο στὸ σῶμα μου»[59].

«Μακάριοι εἶναι οἱ ἐλεήμονες, γιατὶ αὐτοὶ θὰ ἐλεηθοῦν»[60]. Αὐτὸς ὅμως δὲν ἐλεοῦσε μόνο μὲ χρήματα, οὔτε μὲ τὸ νὰ ντύνει τοὺς γυμνοὺς καὶ νὰ τρέφει τοὺς πεινασμένους καὶ νὰ βοηθάει τὶς χῆρες καὶ νὰ ὑπερασπίζεται τὰ ὀρφανὰ καὶ νὰ παρηγορεῖ τὶς ἀναπηρίες τῆς φύσης, ἀλλὰ καὶ μ' αὐτὴ τὴ συμπάθεια τῆς ψυχῆς. «Γιατὶ ἐγώ», λέγει, «γιὰ κάθε ἀδύνατο ἔκλαψα καὶ στέναξα ὅταν εἶδα ἄνθρωπο στὴν ἀνάγκη του»[61]. Σὰν νὰ ἦταν δηλαδὴ κοινὸς πατέρας ὅλων, ἔτσι τὶς συμφορὲς τοῦ καθενός, ἄλλες θεράπευε, ἄλλες θρηνοῦσε, καὶ μὲ λόγια καὶ μὲ ἔργα καὶ μὲ συμπάθεια καὶ μὲ δάκρυα καὶ μὲ κάθε τρόπο ὑποστήριζε ὅσους βρίσκονταν σὲ συμφορὲς καὶ γινόταν σὰν ἕνα κοινὸ λιμάνι γιὰ ὅλους. «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ ἔχουν καθαρὴ τὴν καρδιά, γιατὶ αὐτοὶ θὰ δοῦν τὸ Θεό»[62]. Καὶ αὐτὸ τὸ κατόρθωσε ὄχι κατὰ τύχη. Ἄκουσε λοιπὸν τὸ Θεὸ ποὺ βεβαιώνει γι' αὐτόν· «δὲν ὑπάρχει ἄνθρωπος ὅμοιος μ' αὐτὸν ἐπάνω στὴ γῆ, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ποὺ νὰ ἀποφεύγει κάθε πονηρὸ πράγμα»[63].

«Μακάριοι εἶναι ἐκεῖνοι ποὺ καταδιώκονται γιὰ χάρη τῆς δικαιοσύνης, γιατὶ δική τους εἶναι ἡ βασιλεία τῶν οὐρανῶν»[64]. Καὶ ἀπὸ ἐδῶ ἔκαμε πολλοὺς ἀγῶνες καὶ ἔλαβε ἄφθονα βραβεῖα. Γιατὶ δὲν τὸν καταδίωκαν ἄνθρωποι, ἀλλὰ τοῦ ἔκαμνε ἐπίθεση ὁ ἴδιος ὁ ἀρχέκακος δαίμονας, καὶ ἀφοῦ κίνησε ὅλα τὰ τεχνάσματά του, ἔτσι ἦρθε ἐναντίον του, διώχνοντας αὐτὸν ἀπὸ τὸ σπίτι καὶ τὴν πατρίδα καὶ ρίχνοντάς τον ἔξω στὴν κοπριά, στερώντας τον ἀπ' ὅλα τὰ πλούτη του, τὰ κτήματα, τὰ παιδιά του, ἀπὸ τὴν ἴδια τὴν ὑγεία τοῦ σώματός του καὶ παραδίνοντάς τον σὲ πολὺ φεβερὴ στέρηση. Καὶ μαζὶ μ' ἐκεῖνον καὶ μερικοὶ φίλοι, ὄχι κατὰ τύχη, τὸν ἐρέθιζαν καὶ ἔξυναν τὶς πληγὲς τῆς ψυχῆς του. «Μακάριοι θὰ εἶστε, ὅταν θὰ σᾶς βρίσουν καὶ θὰ σᾶς

62. Ματθ. 5,8.
63. Ἰὼβ 1,8.
64. Ματθ. 5,10.

ριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Ἀλλὰ καὶ τοῦτον μετὰ πολλῆς τῆς ἀφθονίας ἐκαρπώσατο τὸν μακαρισμόν.

Καὶ γὰρ καὶ οἱ παρόντες αὐτῷ τότε διέβαλλον αὐτόν, ἐλάττονα ὧν ἐπλημμέλησε λέγοντες αὐτὸν τετιμωρῆσθαι, μακρὰς κατηγορίας ἀποτείνοντες κατ' αὐτοῦ καὶ λόγους ψευδεῖς καὶ συκοφαντίας γέμοντας. Ἀλλ' ὅμως καὶ τούτους αὐτοὺς μέλλοντας κινδυνεύειν ἐξήρπασε τῆς θεηλάτου πληγῆς, ὑπὲρ οὐδενὸς τῶν εἰρημένων μνησικακήσας αὐτοῖς. Καὶ ἐντεῦθα πάλιν ἐκεῖνο ἐπλήρου τὸ παράγγελμα, τό, «ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς». Καὶ γὰρ ἠγάπησε καὶ ηὔξατο ὑπὲρ αὐτῶν καὶ τὴν ὀργὴν τοῦ Θεοῦ ἀνεῖλε καὶ τὴν ἁμαρτίαν αὐτῶν ἔλυσε· καίτοι μὴ προφητῶν, μὴ εὐαγγελιστῶν, μὴ ἱερέων, μὴ διδασκάλου, μὴ ἄλλου τινὸς ἀκούσας ὑπὲρ ἀρετῆς συμβουλεύοντος. Ὁρᾷς ἡλίκον ἐστὶ γενναία ψυχὴ καὶ πῶς ἀρκεῖ πρὸς ἀρετὴν ἑαυτῇ κἂν μηδεμιᾶς ἐπιμελείας ἀπολαύῃ; Καίτοιγε προγόνους οὐ μόνον χρηστοὺς οὐκ ἔσχεν, ἀλλὰ καὶ πολλὴν κακίαν ἐπιδειξαμένους. Περὶ γοῦν τοῦ προγόνου αὐτοῦ φησιν ὁ Παῦλος, «μή τις πόρνος ἢ βέβηλος, ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια».

14. Τί δέ, ἐπὶ τῶν Ἀποστόλων, εἰπέ μοι, οὐ μυρία τοιαῦτα ἐγίνετο; Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος· «οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης». Οὐ δεσμωτήρια ᾤκουν οἱ διδάσκαλοι; οὐχ ἁλύσεις περιέκειντο; οὐ παρὰ τῶν οἰκείων, οὐ παρὰ τῶν ἀλλοτρίων

---

65. Ματθ. 5,11–12.
66. Ματθ. 5,44.

καταδιώξουν καὶ θὰ ποῦν ἐναντίον σας κάθε κακὸ πράγμα, λέγοντας ψέματα ἐξ αἰτίας μου. Νὰ χαίρεστε τότε καὶ νὰ ἀγαλλιᾶσθε, γιατὶ ἡ ἀνταμοιβή σας θὰ εἶναι μεγάλη στοὺς οὐρανούς»[65]. Ἀλλὰ καὶ τὸ μακαρισμὸ αὐτὸν τὸν κέρδισε μὲ μεγάλη ὠφέλεια.

Καθόσον βέβαια καὶ οἱ φίλοι του τότε τὸν κακολογοῦσαν, λέγοντας πὼς εἶχε τιμωρηθεῖ λιγότερο ἀπ' ὅσο ἔσφαλε, ἀπευθύνοντας ἐναντίον του μακρὲς κατηγορίες καὶ λόγους ψεύτικους καὶ γεμάτους συκοφαντία. Ἀλλ' ὅμως καὶ αὐτοὺς τοὺς ἴδιους, ποὺ ἐπρόκειτο νὰ κινδυνέψουν, τοὺς γλύτωσε ἀπὸ τὴ θεόσταλτη πληγή, ἀφοῦ δὲν τοὺς κράτησε κακία γιὰ κανένα ἀπ' αὐτὰ ποὺ εἶπαν. Καὶ ἐδῶ πάλι πραγματοποιοῦσε ἐκεῖνο τὸ παράγγελμα, τὸ «ἀγαπᾶτε τοὺς ἐχθρούς σας, προσεύχεστε γιὰ ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται»[66]. Γιατὶ πραγματικὰ τοὺς ἀγάπησε καὶ προσευχήθηκε γι' αὐτούς, καὶ συγκράτησε τὴν ὀργὴ τοῦ Θεοῦ καὶ ἔλυσε τὴν ἁμαρτία τους, ἂν καὶ δὲν ἄκουσε νὰ τὸν συμβουλεύουν γιὰ τὴν ἀρετὴ οὔτε προφῆτες, οὔτε εὐαγγελιστές, οὔτε ἱερεῖς, οὔτε διδάσκαλος, οὔτε κανένας ἄλλος. Βλέπεις πόσο μεγάλο πράγμα εἶναι ἡ γενναία ψυχὴ καὶ πῶς εἶναι ἀρκετὴ μόνη της γιὰ τὴν ἀρετή, ἔστω καὶ ἂν δὲν ἀπολαμβάνει καμιὰ ἄλλη φροντίδα; Καὶ ὅμως ὄχι μόνο δὲν εἶχε προγόνους καλούς, ἀλλὰ προγόνους ποὺ ἐπέδειξαν καὶ πολλὴ κακία. Γιὰ τὸν πρόγονό του λοιπὸν λέγει ὁ Παῦλος· «μήπως ὑπάρχει κανεὶς πόρνος ἢ ἀσεβής, ὅπως ὁ Ἠσαῦ, ὁ ὁποῖος γιὰ ἕνα φαγητὸ πούλησε τὰ πρωτοτόκια του;»[67].

14. Τί πάλι, πές μου, στὴν περίπτωση τῶν ἀποστόλων δὲ γίνονταν ἄπειρα τέτοια; Ἄκουσε λοιπὸν τί λέγει ὁ Παῦλος· «Τὸ γνωρίζεις αὐτό, ὅτι μὲ ἄφησαν ὅλοι ποὺ ἦταν στὴν Ἀσία, μεταξὺ τῶν ὁποίων εἶναι ὁ Φύγελλος καὶ ὁ Ἑρμογένης»[68]. Δὲν κλείστηκαν σὲ φυλακὲς οἱ διδάσκαλοι; δὲν ἦταν ἁλυσόδετοι; δὲν πάθαιναν τὰ χειρότερα κακὰ ἀπὸ τοὺς δικούς τους καὶ ἀπὸ τοὺς

67. Ἑβρ. 12,16.
68. Β' Τιμ. 1,15.

*τὰ ἔσχατα ἔπασχον κακά; οὐ μετ' ἐκείνους ἀντ' ἐκείνων λύκοι βαρεῖς εἰσῄεσαν εἰς τὰ ποίμνια; οὐχὶ ταῦτα προὔλεγεν ὁ Παῦλος Ἐφεσίοις εἰς Μίλητον αὐτοὺς μεταπεμψάμενος; «Ἐγὼ γὰρ οἶδα», φησίν, «ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Καὶ ἐξ ὑμῶν δὲ αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν». Οὐ χαλκοτύπος ἀνὴρ Ἀλέξανδρος μυρία παρέσχεν αὐτῷ πράγματα, πανταχόθεν ἐλαύνων, πολεμῶν, πυκτεύων καὶ εἰς τοσαύτην αὐτὸν κατέστησεν ἀγωνίαν, ὡς καὶ τῷ μαθητῇ παραγγεῖλαι καὶ εἰπεῖν· «ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις»;*

*Οὐχ ὁλόκληρον ἔθνος τῶν Γαλατῶν ὑπό τινων ψευδαδέλφων διεφθάρη καὶ πρὸς Ἰουδαϊσμὸν ηὐτομόλησεν; Οὐκ ἐν προοιμίοις τοῦ κηρύγματος ὁ Στέφανος ὑπὲρ τοὺς ποταμοὺς ῥέων καὶ πάντας ἐπιστομίζων, ὁ τὰς ἀναισχύντους ἀποφράττων Ἰουδαίων γλώττας, ᾧ οὐδεὶς ἀντιστῆναι ἠδύνατο, ὁ πάντα συγχὺς τὰ ἰουδαϊκά, ὁ λαμπρὸν στήσας τρόπαιον καὶ νίκην περιφανῆ, ὁ γενναῖος οὗτος, καὶ σοφὸς καὶ χάριτος πεπληρωμένος καὶ τοσαύτην Ἐκκλησίαν ὠφελῶν, οὐδὲ πολὺν χρόνον ποιήσας ἐν τῷ κηρύγματι, ἀθρόον ἡρπάγη καὶ ὡς βλάσφημος κατεδικάζετο καὶ κατελεύετο; Τί δαὶ Ἰάκωβος; Οὐκ ἐν ἀρχῇ καὶ αὐτὸς καὶ ἐξ αὐτῆς, ὡς εἰπεῖν, βαλβῖδος ἀνεσπάσθη καὶ ἀποτμηθεὶς εἰς χάριν τῶν Ἰουδαίων ὑπὸ Ἡρώδου, οὕτω τὸν βίον κατέλυσε, στῦλος τοιοῦτος καὶ ἑδραίωμα τηλικοῦτον τῆς ἀληθείας; Πόσοι τότε ἐσκανδαλίζοντο γινομένων τούτων; Ἀλλ' οἱ ἑστῶτες ἵσταντο καὶ μειζόνως ἵσταντο.*

*Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος Φιλιππησίοις ἐπιστέλλων· «γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς*

---

69. Πράξ. 20,29–30.

ξένους; ὕστερα ἀπὸ ἐκείνους στὴ θέση τους δὲν ἔρχονταν λύκοι ἄγριοι στὰ ποίμνια; δὲν τὰ προφήτευε αὐτὰ ὁ Παῦλος στοὺς Ἐφεσίους, ὅταν τοὺς κάλεσε στὴ Μίλητο; «Γιατὶ ἐγὼ ξέρω», λέγει, «ὅτι μετὰ τὴν ἀναχώρησή μου θὰ μποῦν μεταξύ σας λύκοι ἄγριοι, χωρὶς νὰ λυπηθοῦν τὸ ποίμνιο. Καὶ ἀπὸ σᾶς τοὺς ἴδιους θὰ ἐγερθοῦν ἄνδρες ποὺ θα διαστρέψουν τὴν ἀλήθεια γιὰ νὰ παρασύρουν τοὺς μαθητὲς πίσω τους»[69]. Δὲν τοῦ προξένησε ἄπειρες ἐνοχλήσεις ὁ χαλκουργὸς Ἀλέξανδρος, διώκοντάς τον ἀπὸ παντοῦ, πολεμώντας τον, κτυπώντας τον, καὶ δὲν τὸν ἔφερε σὲ τόσο μεγάλη ἀγωνία, ὥστε καὶ στὸ μαθητή του νὰ παραγγείλει καὶ νὰ πεῖ, «νὰ φυλάγεσαι καὶ σὺ ἀπ' αὐτόν, γιατὶ πάρα πολὺ ἀντιστάθηκε στὰ λόγια μου»[70];

Δὲ διαφθάρθηκε ὁλόκληρο τὸ ἔθνος τῶν Γαλατῶν ἀπὸ κάποιους ψευδάδελφους καὶ δὲν αὐτομόλησε πρὸς τὸν ἰουδαϊσμό; Μήπως στὴν ἀρχὴ τοῦ κηρύγματος ὁ Στέφανος, ποὺ μιλώντας ἔτρεχε ἡ γλώσσα του πιὸ πολὺ ἀπὸ τοὺς ποταμοὺς καὶ ὅλους τοὺς ἀποστόμωνε, αὐτὸς ποὺ ἔφραζε ἐντελῶς τὶς ἀναίσχυντες γλῶσσες τῶν Ἰουδαίων, στὸν ὁποῖο κανεὶς δὲν μποροῦσε νὰ ἀντισταθεῖ, ποὺ ἀνέτρεψε ὅλα τὰ ἰουδαϊκά, ποὺ ἔστησε λαμπρὸ τρόπαιο καὶ ἔνδοξη νίκη, αὐτὸς ὁ γενναῖος καὶ σοφὸς καὶ γεμάτος χάρη καὶ ποὺ ὠφελοῦσε τόσο μεγάλη Ἐκκλησία, χωρὶς ν' ἀσχοληθεῖ πολὺν καιρὸ μὲ τὸ κήρυγμα, δὲν τὸν ἅρπαξαν ξαφνικὰ καὶ δὲν τὸν καταδίκαζαν καὶ τὸν λιθοβολοῦσαν σὰν βλάσφημο; Τί πάλι ὁ Ἰάκωβος; Δὲν τὸν ἅρπαξαν καὶ αὐτὸν στὴν ἀρχὴ καὶ ἀπ' αὐτό, σχεδόν, τὸ ξεκίνημά του, καὶ δὲν τὸν ἀποκεφάλισε ὁ Ἡρώδης γιὰ χάρη τῶν Ἰουδαίων καὶ τελείωσε ἔτσι τὴ ζωή του, ἐνῶ ἦταν τέτοιος στύλος καὶ τόσο μεγάλο στήριγμα τῆς ἀλήθειας; Πόσοι σκανδαλίζονταν τότε ὅταν γίνονταν αὐτά; Ἀλλὰ οἱ σταθεροὶ στὴν πίστη στηρίζονταν, καὶ μάλιστα στηρίζονταν περισσότερο.

Ἄκουσε λοιπὸν τί λέγει ὁ Παῦλος γράφοντας στοὺς Φιλιππησίους· «θέλω ὅμως νὰ ξέρετε, ἀδελφοί, ὅτι ὅσα μοῦ συνέβηκαν, βοήθησαν περισσότερο τὴν πρόοδο τοῦ εὐαγγελίου,

70. Β' Τιμ. 4,15.

*πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον τοῦ Θεοῦ λαλεῖν». Εἶδες ἀνδρείαν; εἶδες παρρησίαν, εἶδες εὐτονίαν ψυχῆς; εἶδες φιλόσοφον γνώμην; Ἑώρων τὸν διδάσκαλον ἐν δεσμωτηρίῳ καὶ ἁλύσει συγκεκλεισμένον, ἀγχόμενον, παιόμενον καὶ μυρία πάσχοντα δεινὰ καὶ οὐ μόνον οὐκ ἐσκανδαλίζοντο, οὐδὲ ἐθορυβοῦντο, ἀλλὰ καὶ μείζονα προθυμίαν ἐκτῶντο καὶ πλείονα προκοπὴν εἰς τοὺς ἀγῶνας ἐλάμβανον τοῦ διδασκάλου τοῖς παθήμασιν. Ἀλλὰ καὶ ὑπεσύροντο, φησίν, ἕτεροι. Οὐδὲ ἐγὼ πρὸς τοῦτο ἀντιλέγω· καὶ γὰρ εἰκὸς πολλοὺς καὶ ὑποσύρεσθαι, γινομένων τούτων· ἀλλ', ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, τοῦτο καὶ νῦν ἐρῶ· ἑαυτοῖς δίκαιοι τοῦτο ἂν εἶεν λογίζεσθαι οὗτοι, οὐ τῇ τῶν πραγμάτων φύσει.*

*Καὶ γὰρ ἀπιὼν ὁ Χριστὸς ἐντεῦθεν ταύτην κατέλιπεν ἡμῖν τὴν κληρονομίαν, λέγων, «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»· καί, «ἐπὶ ἡγεμόνας καὶ βασιλέας ἀχθήσεσθε»· καί, «ἔσται καιρός, ὅτε πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξει λατρείαν προσφέρειν τῷ Θεῷ». Ὥστε περιττῶς μοι τοὺς σκανδαλιζομένους πανταχοῦ προφέρεις· ἀεὶ γὰρ ταῦτα συνέβαινε. Καὶ τί λεγω τὰ τῶν Ἀποστόλων; Πόσοι τῷ σταυρῷ αὐτοῦ τοῦ κοινοῦ πάντων ἡμῶν Δεσπότου ἐσκανδαλίσθησαν καὶ παρανομώτεροι καὶ θρασύτεροι μᾶλλον ἐγένοντο καὶ παριόντες ἐκωμῳδουν αὐτόν, λέγοντες, «ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι; Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν εἰς σέ». Ἀλλ' ὅμως οὐκ ἂν ἔχοιεν ἀπολογίαν οὗτοι διὰ τὸν σταυρόν. Ὁ γὰρ ληστὴς ἁπάντων κατηγορεῖ τῶν τοιούτων. Καὶ γὰρ καὶ ἐκεῖνος ἐσταυρωμένον εἶδεν ἄνω καὶ οὐ μόνον οὐκ ἐσκανδαλίσθη, ἀλλὰ καὶ ἐντεῦθεν μείζονα ὑπόθεσιν ἔλαβεν εἰς τὸ φιλοσοφῆσαι καὶ πάν-*

71. Φιλιπ. 1,12–14.
72. Ἰω. 16,33.
73. Ματθ. 10,18.

ὥστε οἱ περισσοτεροι ἀπὸ τοὺς ἀδελφούς μου ἐν Κυρίῳ πῆραν θάρρος ἀπὸ τὰ δεσμά μου καὶ τολμοῦν ἀκόμη περισσότερο νὰ κηρύττουν τὸ λόγο τοῦ Θεοῦ χωρὶς φόβο»[71]. Εἶδες ἀνδρεία; εἶδες θάρρος; εἶδες δύναμη ψυχῆς; εἶδες φιλόσοφη σκέψη; Ἔβλεπαν τὸ διδάσκαλό τους νὰ εἶνα φυλακισμένος καὶ ἀλυσόδετος, νὰ βασανίζεται, νὰ τὸν κτυποῦν, καὶ νὰ πάσχει ἄπειρα δεινά, καὶ ὄχι μόνο δὲ σκανδαλίζονταν, οὔτε ἀνησυχοῦσαν, ἀλλὰ καὶ μεγαλύτερη προθυμία ἀποκτοῦσαν καὶ προχωροῦσαν περισσότερο στοὺς ἀγῶνες μὲ τὰ παθήματα τοῦ διδασκάλου. Ἀλλὰ καὶ μερικοί, λέγει, κλονίζονταν. Καὶ ἐγὼ δὲν ἀντιλέγω σ' αὐτὸ –γιατὶ πραγματικὰ εἶναι φυσικὸ καὶ νὰ κλονίζονται πολλοί, ὅταν γίνονται αὐτά–, ἀλλ' ἐκεῖνο ποὺ εἶπα πολλὲς φορὲς καὶ δὲ θὰ σταματήσω νὰ τὸ λέγω, αὐτὸ θὰ πῶ καὶ τώρα· αὐτοὶ θὰ ἔπρεπε νὰ λογαριάζουν ἂν εἶναι δίκαιοι ἀπέναντι στὸν ἑαυτό τους καὶ ὄχι ἀπέναντι στὴ φύση τῶν πραγμάτων.

Καθόσον καὶ ὁ Χριστός, ἀναχωρώντας ἀπὸ τὸν κόσμο αὐτό, αὐτὴ τὴν κληρονομιὰ μᾶς ἄφησε, λέγοντας, «στὸν κόσμο θὰ ἔχετε θλίψη»[72], καὶ «θὰ ὁδηγηθεῖτε σὲ ἡγεμόνες καὶ βασιλεῖς»[73], καὶ «θὰ ἔρθει καιρὸς ποὺ ὅποιος σᾶς σκοτώνει θὰ νομίσει πὼς προσφέρει λατρεία στὸ Θεό»[74]. Ὥστε περιττὰ μοῦ ἀναφέρεις πάντα γιὰ ὅσους σκανδαλίζονται, γιατὶ πάντοτε συνέβαιναν αὐτά. Καὶ γιατὶ λέγω γιὰ ὅσα ἔπαθαν οἱ ἀπόστολοι; Πόσοι ἀπὸ τὸ σταυρὸ τοῦ Κυρίου ὅλων μας σκανδαλίσθηκαν καὶ ἔγιναν περισσότερο πιὸ παράνομοι καὶ πιὸ ἀδιάντροποι, καὶ περνώντας κοντά του τὸν περιέπαιζαν λέγοντας, «αὐτὸς ποὺ γκριμίζει τὸ ναὸ καὶ σὲ τρεῖς ἡμέρες τὸν κτίζει, ἄλλους ἔσωσε, τὸν ἑαυτό του δὲν μπορεῖ νὰ τὸν σώσει; Ἂν εἶσαι Υἱὸς τοῦ Θεοῦ, κατέβα ἀπὸ τὸ σταυρὸ καὶ θὰ πεστέψουμε σὲ σένα»[75]. Ἀλλ' ὅμως αὐτοὶ δὲ θὰ ἔχουν δικαιολογία ἐξ αἰτίας τοῦ σταυροῦ. Γιατὶ ὁ ληστὴς τοὺς κατηγορεῖ ὅλους αὐτούς. Καθόσον καὶ ἐκεῖνος τὸν εἶδε σταυρωμένο ψηλά, καὶ ὄχι μόνο δὲ σκανδαλίσθηκε, ἀλλὰ καὶ ἀπὸ ἐδῶ ἔλαβε μεγαλύτερη ἀφορμὴ γιὰ νὰ

74. Ἰω. 16,2.
75. Ματθ. 27,40.

*τα ὑπερβὰς τὰ ἀνθρώπινα καὶ τῷ πτερῷ τῆς πίστεως κουφισθείς, περὶ τῶν μελλόντων ἐφιλοσόφει.*

*Ὁρῶν γὰρ ἀνεσκολοπισμένον, μεμαστιγωμένον, ὑβριζόμενον, χολὴν ποτιζόμενον, ἐμπτυόμενον, ὑπὸ δήμου τοσούτου χλευαζόμενον, ὑπὸ δικαστηρίου κατακριθέντα, τὴν ἐπὶ θάνατον ἀπαχθέντα, οὐδενὶ τούτων ἐσκανδαλίσθη· ἀλλ᾽ ὁρῶν σταυρὸν καὶ ἥλους ἐμπεπηγότας καὶ κωμῳδίαν τοσαύτην γινομένην ὑπὸ τοῦ πλήθους τοῦ διεφθαρμένου, τὴν ὀρθὴν ὁδὸν αὐτὸς ἐβάδισε λέγων, «μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου», καὶ τὸν κατηγοροῦντα ἐπεστόμιζε καὶ τὰ οἰκεῖα ἁμαρτήματα ἐξωμολογεῖτο καὶ περὶ ἀναστάσεως ἐφιλοσόφει· καὶ ταῦτα οὐ νεκροὺς ἰδὼν ἐγειρομένους, οὐ λεπροὺς καθαιρομένους, οὐ χωλοὺς διορθουμένους, οὐ θάλατταν χαλινουμένην, οὐ δαίμονας ἐλαυνομένους, οὐκ ἄρτους πηγάζοντας, οὐ τὰ ἄλλα, ἅπερ ἐθεάσατο τῶν Ἰουδαίων ὁ δῆμος, καὶ θεασάμενος ἐσταύρωσεν. Ἀλλ᾽ οὗτος μὲν ἀνεσκολοπισμένον ἰδὼν καὶ ὡμολόγησε Θεόν, καὶ βασιλείας ἐμνημόνευσε καὶ περὶ τῶν μελλόντων ἐφιλοσόφησεν· ἐκεῖνοι δὲ θαυματουργοῦντα θεασάμενοι καὶ τῆς διὰ λόγων καὶ τῆς διὰ πραγμάτων ἀπολαύσαντες διδασκαλίας, οὐ μόνον οὐδὲν ἀπώναντο, ἀλλὰ καὶ εἰς τὸ ἔσχατον βάραθρον τῆς ἀπωλείας κατηνέχθησαν, ἐπὶ τὸν σταυρὸν αὐτὸν ἀναβιβάσαντες.*

*Ὁρᾷς ὅτι οἱ μὲν ἀγνώμονες καὶ ἠμελημένοι, οὐδὲ ἀπὸ τῶν ὠφελούντων κερδαίνουσιν· οἱ δὲ εὐγνώμονες καὶ νήφοντες, ἀφ᾽ ὧν ἕτεροι σκανδαλίζονται, ἀπὸ τούτων τὰ μέγιστα ὠφελοῦνται; Τοῦτο καὶ ἐπὶ τοῦ Ἰούδα καὶ ἐπὶ τοῦ Ἰώβ ἐστιν ἰδεῖν. Ὁ μὲν γὰρ Ἰούδας οὐδὲ ἀπὸ τοῦ Χριστοῦ τοῦ τὴν οἰκουμένην διορθώσαντος ἐσώθη, ὁ δὲ Ἰὼβ οὐδὲ ἀπὸ τοῦ διαβόλου τοῦ τοσούτους ἀπολέσαντος ἐβλάβη. Ἀλλ᾽ ὁ μὲν μυρία πάσχων κακά, ἐστεφανοῦντο, ἐκεῖνος δέ, ὁ σημεῖα θεασάμενος καὶ αὐτὸς ποιήσας, ὁ νεκροὺς ἐγείρας καὶ δαίμονας ἐλάσας (καὶ γὰρ καὶ αὐτὸς ταύτην*

φιλοσοφήσει καί, ἀφοῦ ξεπέρασε ὅλα τὰ ἀνθρώπινα καὶ πέταξε ψηλὰ μὲ τὰ φτερὰ τῆς πίστης, σκεπτόταν γιὰ τὰ μελλοντικά.

Βλέποντας λοιπὸν αὐτὸν νὰ εἶναι σταυρωμένος, νὰ τὸν μαστιγώνουν, νὰ τὸν βρίζουν, νὰ τὸν ποτίζουν χολή, νὰ τὸν φτύνουν, νὰ τὸν χλευάζει τόσος πολὺς λαός, νὰ τὸν καταδικάζει τὸ δικαστήριο, νὰ τὸν ἔχουν ὁδηγήσει σὲ θάνατο, μὲ τίποτε ἀπ' αὐτὰ δὲ σκανδαλίσθηκε, ἀλλὰ βλέποντας τὸ σταυρὸ καὶ τὰ καρφιὰ νὰ ἔχουν καρφωθεῖ, καὶ τὸν τόσο χλευασμὸ ποὺ τοῦ γινόταν ἀπὸ τὸ διεφθαρμέο πλῆθος, βάδιζε τὸ σωστὸ δρόμο, λέγοντας, «θυμήσου με στὴ βασιλεία σου»[76] Καὶ ἐκεῖνον ποὺ τὸν κακολογοῦσε τὸν ἀποστόμωνε, καὶ ἐξομολογοῦνταν τὰ ἁμαρτήματά του καὶ πίστευε στὴν ἀνάσταση. Καὶ αὐτὰ χωρὶς νὰ δεῖ νεκροὺς νὰ σηκώνονται, οὔτε λεπροὺς νὰ καθαρίζονται, οὔτε χωλοὺς νὰ θεραπεύονται, οὔτε θάλασσα νὰ τιθασσεύεται, οὔτε δαίμονες νὰ διώκονται, οὔτε ψωμιὰ νὰ πληθαίνουν, οὔτε τὰ ἄλλα ποὺ εἶδε ὁ λαὸς τῶν Ἰουδαίων, πού, ἂν καὶ τὰ εἶδε, τὸν σταύρωσε. Ἀλλ' αὐτός, ἂν καὶ τὸν εἶδε σταυρωμένο, καὶ Θεὸ τὸν ὁμολόγησε καὶ τὴ βασιλεία ἀνέφερε καὶ γιὰ τὰ μελλοντικὰ φιλοσόφησε, ἐνῶ ἐκεῖνοι μολονότι τὸν εἶδαν νὰ κάνει θαύματα καὶ ἀπόλαυσαν τὴ διδασκαλία του καὶ μὲ τὰ λόγια του καὶ μὲ τὰ ἔργα του, ὄχι μόνο δὲν κέρδισαν τίποτε, ἀλλὰ καὶ γκρεμίστηκαν στὸ πιὸ βαθὺ βάραθρο τῆς ἀπώλειας, ἀφοῦ τὸν ἀνέβασαν στὸ σταυρό.

Βλέπεις ὅτι οἱ ἀσύνετοι καὶ ἀδιάφοροι δὲν κερδίζουν οὔτε ἀπὸ ἐκεῖνα ποὺ ὠφελοῦν, ἐνῶ οἱ φρόνιμοι καὶ νηφάλιοι ὠφελοῦνται πάρα πολὺ ἀπ' αὐτὰ ποὺ σκανδαλίζονται ἄλλοι; Αὐτὸ εἶναι δυνατὸ νὰ τὸ δεῖ κανεὶς καὶ στὸν Ἰούδα καὶ στὸν Ἰώβ. Γιατὶ ὁ Ἰούδας δὲ σώθηκε οὔτε ἀπὸ τὸ Χριστὸ ποὺ διόρθωσε τὴν οἰκουμένη, ἐνῶ ὁ Ἰὼβ δὲ ζημιώθηκε οὔτε ἀπὸ τὸ διάβολο ποὺ κατέστρεψε τόσους πολλούς. Ἀλλ' ὁ ἕνας ποὺ ἔπαθε ἄπειρα κακὰ στεφανώθηκε, ἐνῶ ὁ ἄλλος ποὺ εἶδε θαύματα καὶ ἔκαμε καὶ ὁ ἴδιος, ποὺ ἀνάστησε νεκροὺς καὶ ἔδιωξε δαίμονες (για-

---

76. Λουκᾶ 23,42.

*εἴληφε τὴν ἐξουσίαν), ὁ μυρία περὶ βασιλείας καὶ γεέννης ἀκούσας, ὁ τραπέζης κοινωνήσας μυστικῆς, ὁ δείπνου μετασχὼν φρικωδεστάτου καὶ τοσαύτης ἀπολαύσας εὐνοίας καὶ προνοίας, ὅσης Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, μᾶλλον δὲ καὶ πολλῷ πλείονος· μετὰ γὰρ τῆς ἄλλης ἐπιμελείας καὶ τῆς συγκαταβάσεως, ἧς μετέσχε πολλῆς καὶ τὰ χρήματα τῶν πενήτων ἐγχειρισθεὶς ἦν· τότε οὗτος μετὰ τοσαῦτα ἐξεβακχεύθη καὶ τὸν Σατανᾶν ὑποδεξάμενος διὰ τῆς φιλαργυρίας, εἰς τὴν ἑαυτοῦ διάνοιαν ἐγένετο προδότης καὶ τὸ κεφάλαιον εἰργάσατο τῶν κακῶν, αἷμα τοιοῦτον πωλήσας τρίακοντα ἀργυρίων καὶ φιλήματι δολίῳ προδοὺς τὸν Δεσπότην.*

*Πόσους οἴει καὶ ἐν τούτῳ σκανδαλισθῆναι, τῷ παρὰ τοῦ μαθητοῦ γενέσθαι τὴν προδοσίαν; Τί δαὶ ὁ τῆς ἐρήμου πολίτης, ὁ τῆς στείρας καρπός, ὁ τοῦ Ζαχαρίου παῖς, ὁ τὴν ἁγίαν ἐκείνην καὶ φρικώδη καταξιωθεὶς βαπτίσαι κεφαλὴν καὶ γενέσθαι πρόδρομος τοῦ οἰκείου Δεσπότου, ὅτε δεσμωτήριον ᾤκει, ὅτε ἀπετέμνετο καὶ πορνικῆς ὀρχήσεως σφαγὴ μισθὸς ἐγίνετο, πόσους οἴει σκανδαλίζεσθαι τότε; Καὶ τί λέγω τότε; Πόσοι νῦν μετὰ χρόνον τοσοῦτον ταῦτα ἀκούοντες σκανδαλίζονται; Καὶ τί λέγω τὸν Ἰωάννην καὶ τὸ δεσμωτήριον καὶ τὴν σφαγὴν ἐκείνην καὶ περὶ τοὺς οἰκέτας ἀναστρέφομαι, δέον πάλιν ἐπὶ τὸν Δεσπότην καταφυγεῖν;*

*15. Ὁ γὰρ σταυρὸς τοῦ Χριστοῦ, ὁ τὴν οἰκουμένην ὀρθώσας, ὁ τὴν πλάνην λύσας, ὁ τὴν γῆν ποιήσας οὐρανόν, ὁ τοῦ θανάτου τὰ νεῦρα ἐκκόψας, ὁ τὸν ᾄδην ἄχρηστον ἐργασάμενος, ὁ τοῦ διαβόλου τὴν ἀκρόπολιν καταλύσας, ὁ τοὺς δαίμονας ἐπιστομίσας, ὁ τοὺς ἀνθρώπους ἀγγέλους ποιήσας, ὁ βωμοὺς καταλύσας καὶ ναοὺς ἀνατρέψας, ὁ τὴν καινὴν ταύτην καὶ ξένην φιλοσοφίαν εἰς τὴν γῆν καταφυτεύσας, ὁ μυρία ἐργασάμενος ἀγαθά, τὰ φρικώδη ταῦτα καὶ μεγάλα καὶ ὑψηλά, οὐχὶ σκάνδαλον πολλοῖς γέγονεν; Οὐχὶ Παῦλος βοᾷ καθ' ἑκάστην ἡμέραν λέγων καὶ οὐκ*

τὶ πραγματικὰ καὶ αὐτὸς εἶχε λάβει αὐτὴ τὴν ἐξουσία), ποὺ ἄκουσε ἄπειρα γιὰ τὴ βασιλεία καὶ τὴ γέεννα, ποὺ ἔλαβε μέρος σὲ τραπέζι μυστικὸ καὶ μετέσχε σὲ δεῖπνο πάρα πολὺ φοβερὸ καὶ ἀπόλαυσε τόσο μεγάλη εὔνοια καὶ πρόνοια, ὅση ὁ Πέτρος καὶ ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, ἢ καλύτερα καὶ πολὺ περισσότερη –γιατὶ μαζὶ μὲ τὴ ἄλλη φροντίδα καὶ τὴ συγκατάβαση τὴν πολλὴ ποὺ ἀπόλαυσε, τοῦ εἶχαν ἐμπιστευθεῖ καὶ τὰ χρήματα τῶν φτωχῶν–, αὐτὸς τότε, ὕστερα ἀπὸ τόσα καλά, καταλήφθηκε ἀπὸ τρέλλα καί, ἀφοῦ μὲ τὴ φιλαργυρία του δέχθηκε μέσα του τὸ σατανᾶ, ἔγινε προδότης στὴν ψυχή του καὶ ἔκαμε τὸ πιὸ μεγάλο ἀπὸ τὰ κακά, πουλώντας τέτοιο αἷμα γιὰ τριάντα ἀργύρια καὶ προδίνοντας τὸν Κύριο μὲ φίλημα δόλιο.

Πόσοι νομίζεις δὲν σκανδαλίσθηκαν καὶ μ' αὐτό, μὲ τὸ νὰ γίνει δηλαδὴ ἡ προδοσία ἀπὸ τὸ μαθητή; Τί πάλι ὁ πολίτης τῆς ἐρήμου, ὁ καρπὸς τῆς στείρας, ὁ υἱὸς τοῦ Ζαχαρία, αὐτὸς ποὺ καταξιώθηκε νὰ βαπτίσει τὴν ἅγια ἐκείνη καὶ φοβερὴ κεφαλὴ καὶ νὰ γίνει πρόδρομος τοῦ δικοῦ του Κυρίου, ὅταν ἔμεινε στὴ φυλακή, ὅταν ἀποκεφαλιζόταν καὶ γινόταν ἡ σφαγή του ἀμοιβὴ πορνικοῦ χοροῦ, πόσοι νομίζεις δὲν σκανδαλίζονταν τότε; Καὶ τί λέγω τότε; Πόσοι τώρα ὕστερα ἀπὸ τόσον πολὺ χρόνο ἀκούοντας αὐτὰ δὲ σκανδαλίζονται; Καὶ γιατί λέγω γιὰ τὸν Ἰωάννη καὶ τὴ φυλακὴ καὶ τὴ σφαγὴ ἐκείνη, καὶ μιλάω γιὰ τοὺς δούλους, ἐνῶ πρέπει νὰ καταφύγω πάλι στὸν Κύριο;

15. Γιατὶ καὶ ὁ σταυρὸς τοῦ Χριστοῦ, ποὺ στήριξε τὴν οἰκουμένη, ποὺ διέλυσε τὴν πλάνη, ποὺ ἔκαμε οὐρανὸ τὴ γῆ, ποὺ ἔκοψε τὰ νεῦρα τοῦ θανάτου, ποὺ κατέστησε τὸν ἅδη ἄχρηστο, ποὺ κυρίεψε τὴν ἀκρόπολη τοῦ διαβόλου, ποὺ ἀποστόμωσε τοὺς δαίμονες, ποὺ ἔκαμε ἀγγέλους τοὺς ἀνθρώπους, ποὺ γκρέμισε βωμοὺς καὶ ἀνέτρεψε ναούς, ποὺ φύτεψε στὴ γῆ τὴν καίνούρια αὐτὴ καὶ παράξενη φιλοσοφία, ποὺ ἔκαμε ἄπειρα ἀγαθά, τὰ τρομερὰ αὐτὰ καὶ μεγάλα καὶ ὑψηλά, δὲν ἔγινε σκάνδαλο σὲ πολλούς; Δὲ φωνάζει κάθε ἡμέρα καὶ λέγει καὶ δὲν ντρέπεται, «ἐμεῖς ὅμως κηρύττουμε Χριστὸ σταυρωμένο, ὁ ὁποῖος γιὰ

*αἰσχύνεται· «ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν;». Τί οὖν, εἰπέ μοι; Οὐκ ἐχρῆν γενέσθαι τὸν σταυρόν, οὐδὲ τὴν φρικώδη ἐκείνην ἀνενεχθῆναι θυσίαν, οὐδὲ τοσαῦτα τελεσθῆναι κατορθώματα, ἐπειδὴ σκάνδαλον ἐγένετο τοῖς ἀπολλυμένοις τὸ πρᾶγμα καὶ τότε καὶ μετὰ ταῦτα, καὶ παρὰ πάντα τὸν χρόνον; Καὶ τίς οὕτω μαινόμενος, τίς οὕτως ἐξεστηκώς, ὡς τοῦτο εἰπεῖν;*

*Ὥσπερ οὖν ἐνταῦθα οὐ τοὺς σκανδαλιζομένους δεῖ λογίζεσθαι, καίτοι τοσούτους ὄντας, ἀλλὰ τοὺς σωθέντας, τοὺς κατορθώσαντας, τοὺς ἀπολαύσαντας τῆς τοσαύτης σοφίας· καὶ οὐ χρὴ λέγειν, τί δὲ πρὸς τοὺς σκανδαλισθέντας; Ἑαυτοῖς γὰρ ἂν εἶεν ἐκεῖνοι δίκαιοι λογίζεσθαι· οὕτω δὴ οὐδὲ νῦν. Τὸ γὰρ σκάνδαλον οὐ παρὰ τὴν φύσιν τοῦ σταυροῦ γέγονεν, ἀλλὰ παρὰ τὴν ἄνοιαν τῶν σκανδαλιζομένων· διὸ καὶ ἐπάγει ὁ Παῦλος, «αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»· ἐπεὶ καὶ ὁ ἥλιος βλάπτει τοὺς ἀσθενεῖς τῶν ὀφθαλμῶν. Τί οὖν; Οὐκ ἔδει γενέσθαι τὸν ἥλιον; Καὶ τὸ μέλι πικρὸν τοῖς νοσοῦσι φαίνεται. Τί οὖν; Ἀφανισθῆναι ἔδει τοῦτο ἐκ τοῦ μέσου; Αὐτοὶ δὲ οἱ Ἀπόστολοι, οὐχὶ τοῖς μὲν ὀσμὴ θανάτου εἰς θάνατον ἦσαν, τοῖς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν; Διὰ τοὺς ἀπολλυμένους οὖν οὐκ ἔδει τοὺς ζῶντας ἀπολαῦσαι τῆς τοσαύτης κηδεμονίας; Αὕτη δὲ ἡ παρουσία τοῦ Χριστοῦ, ἡ σωτηρία ἡ ἡμετέρα, ἡ πηγὴ τῶν ἀγαθῶν, ἡ ζωή, τὰ μυρία καλά, πόσους ἐβάρησε, πόσους ἀπολογίας ἀπεστέρησε καὶ συγγνώμης; Οὐκ ἀκούεις τί φησι περὶ τῶν Ἰουδαίων ὁ Χριστός; «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν».*

*Τί οὖν; Ἐπειδὴ ἀναπολόγητα αὐτοῖς γέγονε μετὰ τὴν παρουσίαν τὰ ἁμαρτήματα, οὐκ ἔδει αὐτὸν παραγενέσθαι δι' ἐκεί-*

---

77. Α' Κορ. 1,23.
78. Α' Κορ. 1,24.

τοὺς Ἰουδαίους εἶναι σκάνδαλο, ἐνῶ γιὰ τοὺς ἐθνικοὺς μωρία»[77]; Τί λοιπόν, πές μου; δὲν ἔπρεπε νὰ γίνει ἡ σταύρωση, οὔτε νὰ προσφερθεῖ ἐκείνη ἡ φρικτὴ θυσία, οὔτε νὰ τελεσθοῦν τόσα πολλὰ κατορθώματα, ἐπειδὴ τὸ πράγμα ἔγινε σκάνδαλο σὲ ὅσους καταστρέφονταν καὶ τότε, καὶ ἀργότερα, καὶ σὲ κάθε ἐποχή; Καὶ ποιός εἶναι τόσο τρελλός, ποιός εἶναι τόσο παράλογος, ὥστε νὰ τὸ πεῖ αὐτό;

Ὅπως λοιπὸν ἐδῶ δὲν πρέπει νὰ λογαριάζουμε αὐτοὺς ποὺ σκανδαλίζονται, παρ' ὅλο ποὺ εἶναι τόσοι πολλοί, ἀλλ' αὐτοὺς ποὺ σώζονται, αὐτοὺς ποὺ πρόκοψαν, αὐτοὺς ποὺ ἀπόλαυσαν τὴν τόσο μεγάλη σοφία, καὶ δὲν πρέπει νὰ λέμε, καὶ τί σχέση ἔχουμε πρὸς αὐτοὺς ποὺ σκανδαλίσθηκαν; γιατὶ θὰ ἔπρεπε νὰ σκεπτόμαστε ἂν ἐκεῖνοι εἶναι δίκαιοι ἀπέναντι στὸν ἑαυτό τους, ἔτσι ἀκριβῶς λοιπὸν οὔτε τώρα. Γιατὶ τὸ σκάνδαλο δὲν ἔγινε ἀπὸ τὴ φύση τοῦ σταυροῦ, ἀλλὰ ἀπὸ τὸν παραλογισμὸ αὐτῶν ποὺ σκανδαλίζονται γι' αὐτὸ καὶ ὁ Παῦλος προσθέτει, «ἀλλὰ σ' ἐκείνους ποὺ εἶναι καλεσμένοι, Ἰουδαίους καὶ Ἕλληνας, κηρύττουμε τὸ Χριστὸ ποὺ εἶναι Θεοῦ δύναμη καὶ Θεοῦ σοφία»[78]· καθόσον καὶ ὁ ἥλιος βλάπτει τὰ ἄρρωστα μάτια. Τί λοιπὸν δὲν ἔπρεπε νὰ γίνει ὁ ἥλιος; Καὶ τὸ μέλι φαίνεται πικρὸ στοὺς ἀσθενεῖς. Τί λοιπόν; ἔπρεπε νὰ ἐξαφανισθεῖ αὐτὸ ἀπὸ τὴ μέση; Καὶ οἱ ἴδιοι οἱ ἀπόστολοι, δὲν ἦταν σ' ἄλλους ὀσμὴ θανάτου γιὰ θάνατο καὶ σ' ἄλλους ὀσμὴ ζωῆς γιὰ ζωή; Ἐξ αἰτίας αὐτῶν ποὺ χάνονται δὲν ἔπρεπε ἐκεῖνοι ποὺ ζοῦν ν' ἀπολαύσουν τὴν τόσο μεγάλη φροντίδα; Καὶ αὐτὴ ἡ παρουσία τοῦ Χριστοῦ, ἡ σωτηρία ἡ δική μας, ἡ πηγὴ τῶν ἀγαθῶν, ἡ ζωή, τὰ ἄπειρα καλά, πόσους δέν ἐνόχλησε, πόσους δὲν τοὺς στέρησε τὴν ἀπολογία καὶ τὴ συγχώρηση; Δὲν ἀκοῦς τί λέγει γιὰ τοὺς Ἰουδαίους ὁ Χριστός; «Ἂν δὲν εἶχα ἔρθει καὶ δὲν τοὺς εἶχα μιλήσει, δὲ θὰ εἶχαν ἁμαρτία· τώρα ὅμως δὲν ἔχουν καμιὰ δικαιολογία γιὰ τὴν ἁμαρτία τους»[79].

Τί λοιπόν; ἐπειδὴ ἔγιναν ἀναπολόγητα τὰ ἁμαρτήματά τους μὲ τὴν παρουσία τοῦ Χριστοῦ, δὲν ἔπρεπε αὐτὸς νὰ ἔρθει

79. Ἰω. 15,22.

*νους τοὺς κακῶς τῷ καλῷ χρησαμένους; Καὶ τίς ἂν ταῦτα εἴποι; Οὐδεὶς οὐδὲ τῶν σφόδρα ἐξεστηκότων. Τί δαὶ ἀπὸ τῶν Γραφῶν, εἰπέ μοι, πόσοι ἐσκανδαλίσθησαν; Πόσαι αἱρέσεις ἐντεῦθεν ἔτεκον ἑαυταῖς προφάσεις; Ἐξαλειφθῆναι οὖν ἔδει τὰς Γραφὰς διὰ τοὺς σκανδαλισθέντας, ἢ μηδὲ τὴν ἀρχὴν δοθῆναι; Οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα δοθῆναι διὰ τοὺς μέλλοντας καρποῦσθαι τὴν ἀπ' αὐτῶν ὠφέλειαν. Ἐκεῖνοι μὲν γὰρ (πάλιν οὐ παύσομαι τὰ αὐτὰ λέγων) ἑαυτοῖς λογιζέσθωσαν τὰ σκάνδαλα, οἱ δὲ μέλλοντες ἐξ αὐτῶν τὰ μέγιστα ὠφελεῖσθαι, οὐ τὴν τυχοῦσαν ὑπέμειναν ἂν ζημίαν, εἰ διὰ τὴν ἑτέρων ἀγνωμοσύνην καὶ ῥᾳθυμίαν αὐτοὶ μέλλοντες κερδαίνειν τῷ λαβεῖν αὐτάς, ἀπεστερήθησαν τῆς τοιαύτης ὠφελείας. Μὴ τοίνυν μοι λέγε τοὺς ἀπολλυμένους· ὅπερ γὰρ καὶ ἐν τῷ ἔμπροσθεν εἶπον λόγῳ, οὐδεὶς τῶν ἑαυτοὺς μὴ ἀδικούντων παρ' ἑτέρων ἀδικεῖταί ποτε, κἂν εἰς αὐτὸ τὸ ζῆν κινδυνεύῃ.*

*16. Τί γὰρ ὁ Ἄβελ ἐβλάβη, εἰπέ μοι, ὑπὸ ἀδελφικῆς κατενεχθεὶς δεξιᾶς, καὶ ἄωρον καὶ βίαιον ὑπομείνας θάνατον; Ἀλλ' οὐχὶ μᾶλλον ἐκέρδανε, λαμπρότερον ἀναδησάμενος στέφανον; Τί δὲ ὁ Ἰακώβ, ὁ τοσαῦτα παθὼν παρὰ τοῦ ἀδελφοῦ καὶ ἄπολις καὶ φυγὰς καὶ μετανάστης καὶ δοῦλος γενόμενος καὶ εἰς ἔσχατον λιμὸν κατενεχθείς; Τί δαὶ ὁ Ἰωσήφ, ὁμοίως καὶ αὐτὸς ἄπολις, ἄοικος καὶ αἰχμάλωτος καὶ δοῦλος καὶ δεσμώτης γεγονὼς καὶ περὶ τῶν ἐσχάτων κινδυνεύσας καὶ ἐν τῇ οἰκείᾳ καὶ ἐν τῇ ἀλλοτρίᾳ καὶ τοιαύτας ὑπομείνας διαβολάς; Τί δαὶ ὁ Μωϋσῆς ὑπὸ τοσούτου δήμου μυριάκις καταλευσθεὶς καὶ παρὰ τῶν εὐεργετηθέντων ἐπιβουλευθείς; Τί δαὶ οἱ προφῆται πάντες τοσαῦτα παρὰ τῶν Ἰουδαίων παθόντες κακά; Τί δαὶ ὁ Ἰώβ, ὑπὸ τοῦ διαβόλου μυρίαις μηχαναῖς πολεμηθείς;*

*Τί δαὶ οἱ παῖδες τρεῖς; τί δαὶ ὁ Δανιὴλ περὶ ζωῆς, περὶ ἐλευθερίας, περὶ τῶν ἐσχάτων κινδυνεύσας αὐτῶν; τί δαὶ ὁ Ἠλίας*

γιὰ ἐκείνους ποὺ χρησιμοποίησαν τὸ καλὸ μὲ κακὸ τρόπο; Καὶ ποιός θὰ μποροῦσε νὰ τὰ πεῖ αὐτά; Κανείς, οὔτε ὁ πιὸ παράλογος. Τί πάλι ἀπὸ τὶς Γραφές, πές μου, πόσοι δέ σκανδαλίσθηκαν; πόσες αἱρέσεις ἀπὸ ἐδῶ δέ βρῆκαν προφάσεις γιὰ τὴ διδασκαλία τους; Ἔπρεπε λοιπὸν νὰ ἐξαλειφθοῦν οἱ Γραφὲς γι' αὐτοὺς ποὺ σκανδαλίσθηκαν ἢ νὰ μὴν εἶχαν δοθεῖ ἀπὸ τὴν ἀρχή; Καθόλου· ἀλλὰ καὶ πάρα πολὺ ἔπρεπε νὰ δοθοῦν γι' αὐτοὺς ποὺ ἐπρόκειτο νὰ καρπωθοῦν τὴν ὠφέλειά τους. Γιατὶ ἐκεῖνοι (πάλι δὲ θὰ σταματήσω νὰ λέγω τὰ ἴδια) ἂς λογαριάζουν τὰ σκάνδαλα στὸν ἑαυτό τους, ἐνῶ αὐτοὶ ποὺ πρόκειται νὰ ὠφεληθοῦν ἀπ' αὐτὰ πάρα πολύ, θὰ πάθαιναν ὄχι τυχαία ζημία, ἂν ἐξ αἰτίας τῆς ἀφροσύνης καὶ τῆς ἀδιαφορίας τῶν ἄλλων, ἐνῶ αὐτοὶ ἐπρόκειτο νὰ κερδίζουν μὲ τὸ νὰ λάβουν αὐτές, στεροῦνταν μιὰ τέτοια ὠφέλεια. Μὴ λοιπὸν μοῦ λέγεις γι' αὐτοὺς ποὺ χάνονται, γιατί, ὅπως εἶπα καὶ στὸν προηγούμενο λόγο[80], κανεὶς ἀπ' αὐτοὺς ποὺ δὲν ἀδικοῦν τὸν ἑαυτό τους δὲν ἀδικεῖται ποτὲ ἀπὸ ἄλλους, καὶ ἂν ἀκόμη κινδυνεύει καὶ ἡ ζωή του.

16. Γιατί, πές μου, τί ζημιώθηκε ὁ Ἄβελ, ποὺ ἐξοντώθηκε ἀπὸ ἀδελφικὸ χέρι καὶ δέχθηκε πρόωρο καὶ βίαιο θάνατο; Μήπως δὲν κέρδισε περισσότερο, ἀφοῦ φόρεσε λαμπρότερο στεφάνι; Τί πάλι ὁ Ἰακώβ, ποὺ τόσα πολλὰ ἔπαθε ἀπὸ τὸν ἀδελφό του καὶ ἔμεινε χωρὶς πατρίδα καὶ ἔγινε ἐξόριστος καὶ μετανάστης καὶ δοῦλος, καὶ κατάντησε στὴ χειρότερη στέρηση; Τί ἐπίσης ὁ Ἰωσήφ, ποὺ ὅμοια καὶ αὐτὸς χωρὶς πατρίδα, χωρὶς σπίτι, καὶ αἰχμάλωτος καὶ δοῦλος καὶ δεσμώτης εἶχε γίνει, καὶ ποὺ κινδύνεψε γιὰ τὴ ζωή του καὶ στὴν πατρίδα του καὶ στὴν ξένη χώρα, καὶ ποὺ ὑπέμεινε τέτοιες διαβολές; Τί καὶ ὁ Μωησῆς, ποὺ ἄπειρες φορὲς λιθοβολήθηκε ἀπὸ τόσο πολὺ λαὸ καὶ ἐπιβουλεύθηκε ἀπ' αὐτοὺς ποὺ εὐεργέτησε; Καὶ τί ὅλοι οἱ προφῆτες ποὺ τόσα κακὰ ἔπαθαν ἀπὸ τοὺς Ἰουδαίους; Τί ἀκόμα καὶ ὁ Ἰὼβ ποὺ μὲ ἄπειρα τεχνάσματα πολεμήθηκε ἀπὸ τὸ διάβολο;

Ἀλλὰ τί καὶ οἱ τρεῖς νέοι; Τί καὶ ὁ Δανιήλ, ποὺ κινδύνεψε

80. «Ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναται».

*ἐσχάτῃ πενίᾳ συζῶν, ἐλαυνόμενος, δραπετεύων, τὰς ἐρήμους οἰκῶν, φυγὰς ἀεὶ καὶ μετανάστης γινόμενος; τί δαὶ ὁ Δαβίδ, τοσαῦτα μὲν παρὰτοῦ Σαούλ, τοσαῦτα δὲ ὕστερον παρὰ τοῦ ἰδίου παιδὸς παθών; οὐχὶ μᾶλλον διέλαμψε, τὰ ἔσχατα πάσχων κακά, ἢ ὅτε εὐημερίας ἀπήλαυε; Τί δααὶ ὁ Ἰωάννης ἀποτμηθείς; τί δαὶ οἱ Ἀπόστολοι, οἱ μὲν ἀποτμηθέντες, οἱ δὲ ἑτέεραις τιμωρίαις παραδοθέντες; Τί δαὶ οἱ μάρτυρες, οἱ δειναῖς βασάνοις τὴν ψυχὴν ἀπορρήξαντες; Οὐχὶ πάντες οὗτοι τότε μάλιστα ἔλαμψαν, ὅτε ἐπηρεάζοντο; ὅτε ἐπεβουλεύοντο; ὅτε τὰ ἔσχατα πάσχοντες γενναίως εἱστήκεισαν;*

*17. Τὸν δὲ κοινὸν ἡμῶν Δεσπότην διὰ τὰ ἄλλα πάντα ἀνυμνοῦντες, οὐ διὰ τοῦτο μάλιστα ἀνυμνοῦμεν, δοξάζοντες, ἐκπληττόμενοι διὰ τὸν σταυρόν, διὰ τὸν θάνατον ἐκεῖνον τὸν ἐπάρατον; Οὐ τοῦτο ἄνω καὶ κάτω σημεῖον ὁ Παῦλος ποιεῖται τῆς ἀγάπης αὐτοῦ τῆς περὶ ἡμᾶς, τὸ ἀποθανεῖν; Τὸ ὑπὲρ τοιούτων ἀποθανεῖν; Καὶ παρεὶς εἰπεῖν τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλατταν, τὰ ἄλλα πάντα, ἅπερ ἐποίησεν ὁ Χριστὸς εἰς χρείαν ἡμῶν καὶ ἀνάπαυσιν, ἄνω καὶ κάτω περιστρέφει τὸν σταυρόν, λέγων· «συνέστησε δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε»· καὶ ἐντεῦθεν ἡμῖν χρηστὰς ὑποτείνει τὰς ἐλπίδας, λέγων· «εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ;». Οὐκ ἐπὶ τούτῳ μάλιστα καὶ αὐτὸς καλλωπίζεται καὶ μέγα φρονεῖ καὶ σκιρτᾷ καὶ πέταται ὑπὸ τῆς ἡδονῆς, Γαλάταις γράφων οὕτως, «ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ;».*

*Καὶ τί θαυμάζεις, εἰ Παῦλος ἐπὶ τούτῳ σκιρτᾷ καὶ πηδᾷ καὶ καλλωπίζεται; Αὐτὸς ὁ ταῦτα παθών, δόξαν τὸ πρᾶγμα κα-*

81. Ρωμ. 5,8–9.
82. Ρωμ. 5,10.

γιὰ τὴ ζωή, γιὰ τὴν ἐλευθερία, γιὰ τὴν ἴδια τὴν ὕπαρξή του; Τί ἐπίσης ὁ Ἠλίας, ποὺ συζοῦσε μὲ τὴ χειρότερη φτώχεια, ποὺ διωκόταν, ποὺ δραπέτευε, ποὺ κατοικοῦσε στὶς ἐρήμους, ποὺ γινόταν πάντοτε ἐξόριστος καὶ μετανάστης; Τί καὶ ὁ Δαβίδ, ποὺ ἔπαθε στὴν ἀρχὴ τόσα ἀπὸ τὸ Σαοὺλ καὶ ὕστερα τόσα ἀπὸ τὸν ἴδιο τὸν υἱό του; δὲν ἔλαμψε περισσότερο, ὅταν πάθαινε τὰ χειρότερα κακὰ παρὰ ὅταν ἀπολάμβανε τὴν εὐτυχία; Τί παλι ὁ Ἰωάννης ποὺ ἀποκεφαλίσθηκε; Τί οἱ Ἀπόστολοι ποὺ ἄλλοι ἀποκεφαλίσθηκαν καὶ ἄλλοι παραδόθηκαν σὲ ἄλλες τιμωρίες; Καὶ τί οἱ μάρτυρες ποὺ παρέδωκαν τὴν ψυχή τους μὲ φοβερὰ βασανιστήρια; Δὲν ἔλαμψαν ὅλοι αὐτοὶ πιὸ πολὺ τότε, ὅταν ἀπειλοῦνταν; ὅταν τοὺς ἐπιβουλεύονταν; ὅταν πάθαιναν τὰ χειρότερα καὶ στάθηκαν γενναῖα;

17. Ἀλλὰ καὶ τὸν Κύριο ὅλων μας, ὅταν τὸν ἀνυμνοῦμε γιὰ ὅλα τὰ ἄλλα, δὲν τὸν ἀνυμνοῦμε κυρίως γι' αὐτό, δοξάζοντάς τον καὶ θαυμάζοντας γιὰ τὸ σταυρό, γιὰ τὸ θάνατο ἐκεῖνον τὸν καταραμένο; Δὲν ἀναφέρει ὁ Παῦλος αὐτὸ συνέχεια σὰν ἀπόδειξη τῆς ἀγάπης του γιὰ μᾶς, τὸ ὅτι πέθανε; τὸ ὅτι πέθανε γιὰ χάρη ἁμαρτωλῶν; Καὶ παραβλέποντας ν' ἀναφέρει τὸν οὐρανό, τὴ γῆ, τὴ θάλασσα, ὅλα τὰ ἄλλα ποὺ ἔκαμε ὁ Χριστὸς γιὰ τὴ δική μας χρήση καὶ ἀνάπαυση, συνέχεια ἀναφέρει τὸ σταυρό, λέγοντας, «ἀπέδειξε ὅμως ὁ Θεὸς τὴν ἀγάπη του σὲ μᾶς μὲ τὸ ὅτι, ἐνῶ ἐμεῖς ἤμασταν ἀκόμη ἁμαρτωλοί, ὁ Χριστὸς πέθανε γιὰ μᾶς»[81], καὶ ἀπὸ ἐδῶ μᾶς ἁπλώνει καλὲς ἐλπίδες, λέγοντας, «γιατί, ἄν, ἐνῶ ἤμασταν ἐχθροί, συμφιλιωθήκαμε μὲ τὸ Θεὸ μὲ τὸ θάνατο τοῦ Υἱοῦ του, πολὺ περισσότερο, ἀφοῦ συμφιλιωθήκαμε, θὰ σωθοῦμε μὲ τὴ ζωή του»[82]. Δὲν ὑπερηφανεύεται καὶ αὐτὸς κυρίως γι' αὐτὸ καὶ καυχιέται καὶ ἀναπηδᾶ ἀπὸ χαρὰ καὶ πετάει ἀπὸ εὐχαρίστηση, γράφοντας στοὺς Γαλάτες, «σὲ μένα ὅμως εἴθε νὰ μὴ γίνει νὰ καυχηθῶ γιὰ τίποτε ἄλλο, παρὰ γιὰ τὸ σταυρὸ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[83];

Καὶ τί θαυμάζεις ἂν ὁ Παῦλος σκιρτᾶ καὶ πηδᾶ ἀπὸ χαρὰ καὶ ὑπερηφανεύεται γι' αὐτό; Αὐτὸς ποὺ τὰ ἔπαθε αὐτά, ὀνομά-

83. Γαλ. 6,14.

*λεῖ. «Πάτερ γάρ», φησίν, «ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν». Καὶ ὁ μαθητὴς δὲ ὁ ταῦτα γράψας οὕτως ἔλεγεν· «οὔπω γὰρ ἦν ἐν αὐτοῖς Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη», δόξαν καλῶν τὸν σταυρόν. Ὅτε δὲ αὐτοῦ τὴν ἀγάπην παραστῆσαι ἐβουλήθη καὶ αὐτὸς τί εἶπε; Σημεῖα, θαύματα, τεράστιά τινα; Οὐδαμῶς, ἀλλὰ τὸν σταυρὸν εἰς μέσον φέρει, λέγων· «οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον». Καὶ Παῦλος πάλιν· «ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;».*

*Καὶ εἰς ταπεινοφροσύνην δὲ ὅταν ἐνάγῃ, ἐντεῦθεν κατασκευάζει τὴν παραίνεσιν, οὕτω λέγων· «εἴ τις παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐρίθειαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους προηγούμενοι ὑπερέχοντας ἑαυτῶν». Εἶτα εἰσάγων τὴν συμβουλήν, φησί· «τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ ἐν σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ». Καὶ περὶ ἀγάπης δὲ πάλιν συμβουλεύων τοῦτο εἰς μέσον παράγει, «ἀγαπᾶτε», λέγων, «ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας». Καὶ γυναῖκας συνάπτων ἀνδράσιν εἰς ὁμό-*

84. Ἰω. 17,1.
85. Ἰω. 7,39.
86. Ἰω. 3,16.
87. Ρωμ. 8,32.
88. Φιλιπ. 2,1–3.
89. Φιλιπ. 1,5–8.

ζει δόξα τὸ πράγμα αὐτό. «Πατέρα», λέγει, «ἦρθε ἡ ὥρα· δόξασε τὸν Υἱό σου»[84]. Ἀλλὰ καὶ ὁ μαθητὴς ποὺ τὰ ἔγραψε αὐτὰ ἔλεγε, «γιατὶ δὲν τοὺς εἶχε δοθεῖ ἀκόμη Πνεῦμα ἅγιο, ἐπειδὴ ὁ Ἰησοῦς δὲν εἶχε ἀκόμη δοξασθεῖ»[85], ὀνομάζοντας δόξα τὸ σταυρό. Ὅταν ὅμως θέλησε νὰ δείξει τὴν ἀγάπη του καὶ αὐτὸς τί εἶπε; Μήπως σημεῖα, θαύματα, κάποια ὑπερφυσικὰ φαινόμενα; Καθόλου, ἀλλὰ τὸ σταυρὸ προβάλλει, λέγοντας· «τόσο πολὺ ἀγάπησε ὁ Θεὸς τὸν κόσμο, ὥστε ἔδωσε τὸν Υἱό του τὸ μονογενή, γιὰ νὰ μὴ χαθεῖ ὅποιος πιστεύει σ' αὐτόν, ἀλλὰ νὰ ἔχει ζωὴ αἰώνια»[86]. Καὶ ὁ Παῦλος πάλι λέγει· «ἐκεῖνος ποὺ δὲ λυπήθηκε τὸ δικό του Υἱό, ἀλλὰ τὸν παρέδωσε σὲ θάνατο γιὰ χάρη ὅλων μας, πῶς μαζὶ μ' αὐτὸν δὲ θὰ μᾶς χαρίσει τὰ πάντα;»[87].

Καὶ γιὰ ταπεινοφροσύνη ὅταν προτρέπει ἀπὸ ἐδῶ κατασκευάζει τὴν παραίνεση, λέγοντας αὐτά· «ἂν ὑπάρχει κάποια ἐνθάρρυνση στηριγμένη στὸ Χριστό, ἂν ὑπάρχει κάποια παρηγοριὰ ἀγάπης, ἂν ὑπάρχει κάποια συμμετοχὴ στὸ Πνεῦμα, ἂν ὑπάρχει κάποια εὐσπλαχνία καὶ ἔλεος, κάνετε τὴ χαρά μου πλήρη μὲ τὸ νὰ ἔχετε τὸ ἴδιο φρόνημα, τὴν ἴδια ἀγάπη, μιὰ ψυχή, ἕνα φρόνημα, χωρὶς νὰ κάνετε τίποτε ἀπὸ φιλονεικία ἢ ματαιοδοξία, ἀλλὰ μὲ ταπεινοφροσύνη ὁ ἕνας νὰ θεωρεῖ τὸν ἄλλο ἀνώτερό του»[88]. Ἔπειτα παρουσιάζοντας τὴ συμβουλή, λέγει· «ἂς ἐπικρατεῖ μεταξύ σας τὸ ἴδιο φρόνημα, ποὺ ὑπῆρχε καὶ στὸν Ἰησοῦ Χριστό, ὁ ὁποῖος, ἂν καὶ εἶχε θεϊκὴ ὕπαρξη, δὲ θεώρησε σὰν κάτι πρὸς ἁρπαγμὸ τὸ ὅτι ἦταν ἴσος πρὸς τὸ Θεό, ἀλλὰ κένωσε τὸν ἑαυτό του, παίρνοντας μορφὴ δούλου καὶ ἔγινε ὅμοιος μὲ ἄνθρωπο καὶ βρέθηκε κατὰ τὸ σχῆμα σὰν ἄνθρωπος· ταπείνωσε τὸν ἑαυτό του καὶ ἔγινε ὑπάκουος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ»[89]. Καὶ ὅταν πάλι συμβούλευε γιὰ τὴν ἀγάπη, τὸ ἴδιο παρουσιάζει λέγοντας· «ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, ὅπως καὶ ὁ Χριστὸς μᾶς ἀγάπησε καὶ παρέδωσε τὸν ἑαυτό του γιὰ μᾶς προσφορὰ καὶ θυσία στὸ Θεό, σὰν εὐωδιαστὴ μυρωδιά»[90]. Καὶ ὅταν ἑνώνει τὶς γυναῖκες μὲ τοὺς ἄν-

90. Ἐφ. 5,2.

*νοιαν, οὕτω λέγει· «οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς».*

*Καὶ αὐτὸς δὲ δεικνὺς πῶς αὐτῷ τὸ πρᾶγμα περισπούδαστον ἦν, καὶ πῶς σφόδρα ἤρα τοῦ πάθους, τὸν πρῶτον τῶν Ἀποστόλων, τὴν κρηπῖδα τῆς Ἐκκλησίας, τὸν κορυφαῖον τοῦ χοροῦ τῶν μαθητῶν, καὶ ταῦτα ἐξ ἀγνοίας εἰπόντα, «ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο», ἄκουσον τί ἐκάλεσεν· «ὕπαγε ὀπίσω μου, σατανᾶ, σκάνδαλόν μου εἶ», τῇ ὑπερβολῇ τῆς ὕβρεώς τε καὶ τῆς ἐπιτιμήσεως τὴν πολλὴν περὶ τὸ πρᾶγμα αὐτοῦ σπουδὴν ἐνδεικνύμενος. Καὶ τὴν μὲν ἀνάστασιν λάθρα καὶ ἐν παραβύστῳ πεποίηκεν, ἐπιτρέπων αὐτῆς τὴν ἀπόδειξιν τῷ μετὰ ταῦτα χρόνῳ παντί, τὸν δὲ σταυρὸν ἐν μέσῃ τῇ πόλει, ἐν μέσῃ τῇ ἑορτῇ, ἐν μέσῳ τῷ δήμῳ τῶν Ἰουδαίων, ἑκατέρων τῶν δικαστηρίων παρόντων, Ρωμαϊκῶν τε καὶ Ἰουδαϊκῶν, τῆς ἑορτῆς πάντας συναγούσης, ἐν ἡμέρᾳ μέσῃ, ἐν κοινῷ τῆς οἰκουμένης θεάτρῳ ὑπέμεινε. Καὶ ἐπειδὴ οἱ παρόντες μόνον ἑώρων τὸ γινόμενον, ἐπέταξε τῷ ἡλίῳ κρυβέντι πανταχοῦ τῆς οἰκουμένης ἀπαγγεῖλαι τὸ τόλμημα. Καίτοι πολλς, ὅπερ ἔφθην εἰπών, σκάνδαλον τὸ πρᾶγμα ἐγίνετο· ἀλλ᾽ οὐ δεῖ τούτοις προσέχειν, ἀλλὰ τοῖς σωζομένοις, τοῖς κατωρθωκόσι.*

*Καὶ τί θαυμάζεις, εἰ ἐν τῷ παρόντι βίῳ οὕτω λαμπρὸς ὁ σταυρός, ὡς καὶ δόξαν αὐτὸν καλεῖσθαι Χριστὸν καὶ τὸν Παῦλον ἐπ᾽ αὐτῷ καυχᾶσθαι; Ἐν γὰρ ἐκείνῃ τῇ φοβερᾷ καὶ φρικώδει ἡμέρᾳ, ὅταν ἔλθῃ τὴν δόξαν ἐνδεικνύμενος τὴν ἑαυτοῦ, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, ὅταν τὸ φοβερὸν παρῇ κριτήριον, ὅταν πᾶσα ἡ τῶν ἀνθρώπων παραστήκῃ φύσις, ὅταν ποταμοὶ καχλάζοντες, ὅταν ἀγγέλων δῆμοι καὶ τῶν ἄνω δυνάμεων ἀθρόον ἐκχέωνται κάτω μετ᾽ αὐτοῦ, ὅταν βραβεῖα τὰ μυρία ἐκεῖνα, ὅταν οἱ μὲν ὡς ἥλιος λάμπωσιν, οἱ δὲ ὡς ἀστέρες,*

91. Ἐφ. 5,25.

δρες μὲ ὁμόνοια, τὰ ἑξῆς λέγει· «οἱ ἄνδρες, ἀγαπᾶτε τὶς γυναῖκες σας, ὅπως καὶ ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία καὶ παρέδωσε τὸν ἑαυτό του γι' αὐτήν»[91].

Καὶ ὁ ἴδιος ὁ Χριστὸς γιὰ νὰ δείξει πῶς τὸ πρᾶγμα αὐτὸ τοῦ ἦταν περιπόθητο καὶ πῶς ἀγαποῦσε ὑπερβολικὰ τὸ πάθος, τὸν πρῶτο τῶν Ἀποστόλων, τὸ θεμέλιο τῆς Ἐκκλησίας, τὸν κορυφαῖο τοῦ χοροῦ τῶν μαθητῶν, ὅταν ἀπὸ ἄγνοια καὶ αὐτὸς εἶπε, «ὁ Θεὸς νὰ σοῦ φανεῖ σπλαχνικός, Κύριε, ὥστε νὰ μὴ σοῦ συμβεῖ αὐτό», ἄκουσε πῶς τὸν ὀνόμασε, «πήγαινε πίσω μου, σατανᾶ, μοῦ εἶσαι σκάνδαλο»[92], ἀποδεικνύοντας μὲ τὴν ὑπερβολικὴ προσβολὴ καὶ ἐπιτίμηση τὸ μεγάλο του ἐνδιαφέρον γιὰ τὸ πρᾶγμα αὐτό. Καὶ τὴν ἀνάστασή του τὴν ἔκαμε κρυφὰ καὶ μυστικά, ἀφήνοντας τὴν ἀπόδειξή της σὲ ὅλο τὸν κατοπινὸ χρόνο, τὸ σταυρὸ ὅμως τὸν ὑπέμεινε στὴ μέση τῆς πόλης, στὴ μέση τῆς ἑορτῆς, ἀνάμεσα στὸ λαὸ τῶν Ἰουδαίων, ἐνῶ ἦταν παρόντα καὶ τὰ δύο δικαστήρια, καὶ τὸ ρωμαϊκὸ καὶ τὸ ἰουδαϊκό, καὶ ἡ ἑορτὴ τοὺς εἶχε συγκεντρώσει ὅλους, μέσα στὸ μεσημέρι, σὲ κοινὸ θέατρο τῆς οἰκουμένης. Καὶ ἐπειδὴ οἱ παρόντες μόνο ἔβλεπαν αὐτὸ ποὺ γινόταν, πρόσταξε στὸν ἥλιο, ἀφοῦ κρυφθεῖ, ν' ἀναγγείλει σὲ ὅλη τὴν οἰκουμένη τὸ τόλμημα. Ἀλλ', ὅπως εἶπα προηγουμένως, σὲ πολλοὺς τὸ πρᾶγμα γινόταν σκάνδαλο, ὅμως δὲν πρέπει νὰ προσέχουμε αὐτούς, ἀλλὰ ἐκείνους ποὺ σώζονται, ἐκείνους ποὺ διορθώνονται.

Καὶ τί θαυμάζεις ἂν στὴν παρούσα ζωὴ ὁ σταυρὸς εἶναι τόσο λαμπρός, ὥστε καὶ δόξα νὰ τὸν ὀνομάζει ὁ Χριστὸς καὶ νὰ καυχιέται γι' αὐτὸν ὁ Παῦλος; Γιατὶ κατὰ τὴ φοβερὴ καὶ φρικτὴ ἐκείνη ἡμέρα, ὅταν θὰ ἔρθει φανερώνοντας τὴ δόξα του, ὅταν θὰ ἔρθει μέσα στὴ δόξα τοῦ Πατέρα του, ὅταν θὰ παραβρίσκεται τὸ φοβερὸ δικαστήριο, ὅταν θὰ ἐμφανισθεῖ ὁλόκληρη ἡ ἀνθρώπινη φύση, ὅταν ποταμοὶ θὰ παφλάζουν, ὅταν πλήθη ἀγγέλων καὶ τῶν οὐράνιων δυνάμεων μὲ μιᾶς θὰ χύνονται κάτω μαζί του, ὅταν θὰ δίνονται τὰ ἄπειρα ἐκεῖνα βραβεῖα, ὅταν θὰ λάμπουν ἄλλοι σὰν τὸν ἥλιο καὶ ἄλλοι σὰν τὰ ἀστέρια, ὅταν θὰ

92. Ματθ. 16,22–23.

*ὅταν συμμορίαι μαρτύρων, ὅταν Ἀποστόλων χοροί, ὅταν προφητῶν τάγματα, ὅταν γενναίων ἀνδρῶν σύλλογοι πάντες εἰς μέσον ἄγωνται, τότε δή, τότε ἐν ἐκείνῃ τῇ λαμπρότητι, ἐν ἐκείνῃ τῇ περιφανείᾳ, αὐτὸν ἔρχεται φέρων λαμπρὰς ἀφιέντα τὰς ἀκτῖνας. «Τότε γάρ», φησί, «φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ καὶ ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, τὸ δὲ σημεῖον τοῦ σταυροῦ φανήσεται».*

*Ὢ πάθους λαμπρότης, ὢ σταυροῦ φαιδρότης· ἥλιος σκοτίζεται καὶ ἄστρα πίπτει ὥσπερ φύλλα, ὁ δὲ σταυρὸς πάντων ἐκείνων φανότερον διαλάμπει, ὅλον κατέχων τὸν οὐρανόν. Ὁρᾷς πῶς ἐγκαλλωπίζεται τούτῳ ὁ Δεσπότης; Πῶς δόξαν αὐτοῦ τὸ πρᾶγμα ὂν ἀποφαίνει, ὅταν ἐν ἐκείνῃ δεικνύῃ αὐτὸν τῇ ἡμέρᾳ τῇ οἰκουμένῃ πάσῃ μετὰ τοσαύτης λαμπηδόνος;*

*18. Καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τινὰς ἀπὸ τῶν συμβάντων σκανδαλιζομένους, πρῶτον μὲν ἐκεῖνο λογίζου, ὅτι οὐκ ἐντεῦθεν, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀσθενείας τὰ σκάνδαλα· καὶ δηλοῦσιν οἱ τοῦτο μὴ παθόντες. Ἔπειτα σκόπει, ὅτι πολλοὶ καὶ διέλαμψαν ἐντεῦθεν μειζόνως, τὸν Θεὸν δοξάζοντες καὶ μετὰ πάσης εὐχαριστῦντες σπουδῆς αὐτῷ καὶ ἐπὶ τούτοις. Οὐκοῦν μὴ τοὺς σαλευομένους ὅρα, ἀλλὰ καὶ τοὺς παγίως ἑστῶτας καὶ ἀκινήτους μένοντας καὶ ταύτῃ ἰσχυροτέρους γινομένους· μὴ τοὺς θορυβουμένους, ἀλλὰ καὶ τοὺς ἐξ οὐρίων πλέοντας καὶ πολλῷ πλείους ὄντας τῶν παρασυρέντων. Εἰ δὲ καὶ πλείους ἦσαν ἐκεῖνοι, κρείττων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι.*

*19. Ἐννόησον ὅσοι καὶ μαρτυρίου στέφανον ἀνεδήσαντο. Οἱ μὲν γὰρ ἐμαστιγώθησαν, οἱ δὲ εἰς δεσμωτήριον ἐνεβλήθησαν, οἱ δὲ ἁλύσεις ὡς κακοῦργοι περιέκειντο, οἱ δὲ πατρίδος ἐξέπεσον, οἱ δὲ οὐσίαν ἀπέβαλον, οἱ δὲ πρὸς τὴν ὑπερορίαν μετῳκίσθη-*

93. Ματθ. 24,30·29.

παρουσιάζονται οἱ στρατιὲς τῶν μαρτύρων, οἱ χοροὶ τῶν ἀποστόλων, τὰ τάγματα τῶν προφητῶν, οἱ ὅμιλοι τῶν γενναίων ἀνθρώπων, τότε λοιπόν, τότε μέσα σ' ἐκείνη τὴ λαμπρότητα, μέσα σ' ἐκεινη τὴ μεγαλοπρέπεια, θὰ ἔρχεται αὐτὸς φέροντας τὸ σταυρὸ ποὺ θὰ ἐκπέμπει φωτεινὲς ἀκτίνες. «Τότε λοιπὸν», λέγει, «θὰ φανεῖ στὸν οὐρανὸ τὸ σημεῖο τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ ὁ ἥλιος θὰ σκοτεινιάσει καὶ ἡ σελήνη δὲ θὰ φωτίζει, ἀλλὰ θὰ φανεῖ τὸ σημεῖο τοῦ σταυροῦ»[93].

Πὼ πὼ πάθος λαμπρό, πὼ πὼ λαμπρότητα σταυροῦ! Ὁ ἥλιος σκοτεινιάζει καὶ τὰ ἄστρα πέφτουν σὰν τὰ φύλλα, ἐνῶ ὁ σταυρὸς λάμπει πιὸ φωτεινὰ ἀπ' ὅλα αὐτά, κατέχοντας ὅλο τὸν οὐρανό. Βλέπεις πῶς θεωρεῖ καύχηση αὐτὸν ὁ Κύριος; πῶς παρουσιάζει τὸ πράγμα σὰν νὰ ἦταν δόξα του, ὅταν ἐκείνη τὴν ἡμέρα δείχνει τὸ σταυρὸ σὲ ὅλη τὴν οἰκουμένη μὲ τόσο μεγάλη λάμψη;

18. Καὶ σὺ λοιπόν, ὅταν δεῖς μερικοὺς νὰ σκανδαλίζονται ἀπ' αὐτὰ ποὺ συμβαίνουν, πρῶτα νὰ σκέπτεσαι ἐκεῖνο, ὅτι δηλαδὴ τὰ σκάνδαλα δὲν προέρχονται ἀπὸ ἐδῶ, ἀλλὰ ἀπὸ τὴ δική τους ἀδυναμία· καὶ τὸ φανερώνουν αὐτὸ ἐκεῖνοι ποὺ δὲν τὸ ἔπαθαν. Ἔπειτα πρόσεχε ὅτι πολλοὶ ἀπὸ ἐδῶ ἔλαμψαν περισσότερο, δοξάζοντας τὸ Θεὸ καὶ εὐχαριστώντας τον μὲ κάθε προθυμία καὶ γι' αὐτά. Λοιπὸν μὴ βλέπεις ἐκείνους ποὺ κλονίζονται, ἀλλὰ καὶ αὐτοὺς ποὺ στέκονται σταθερὰ καὶ ποὺ μένουν ἀκίνητοι καὶ ποὺ γίνονται ἔτσι πιὸ δυνατοί· μὴ βλέπεις ἐκείνους ποὺ ἀνησυχοῦν, ἀλλὰ καὶ αὐτοὺς ποὺ πλέουν μὲ εὐνοϊκὸ ἄνεμο καὶ ποὺ εἶναι πολὺ περισσότεροι ἀπὸ ἐκείνους ποὺ παρασύρθηκαν. Ἀλλὰ καὶ ἂν ἀκόμα ἦταν περισσότεροι ἐκεῖνοι, εἶναι προτιμότερος ἕνας ποὺ κάνει τὸ θέλημα τοῦ Κυρίου παρὰ ἄπειροι παράνομοι.

19. Σκέψου πόσοι φόρεσαν καὶ τὸ στεφάνι τοῦ μαρτυρίου. Γιατὶ ἄλλοι μαστιγώθηκαν, ἄλλοι κλείστηκαν σὲ φυλακή, ἄλλοι σὰν κακοῦργοι φόρεσαν ἁλυσίδες, ἄλλοι ἔχασαν τὴν πατρίδα τους, ἄλλοι στερήθηκαν τὴν περιουσία τους, ἄλλοι ἐξορίσθηκαν σὲ ξένη χώρα, ἄλλοι σφάχτηκαν, ἄλλοι πραγματικὰ καὶ ἄλ-

*σαν, οἱ δὲ ἐσφάγησαν, οἱ μὲν καὶ τῇ πείρᾳ, οἱ δὲ καὶ μόνῃ τῇ γνώμῃ. Καὶ γὰρ δοράτων γυμνουμένων καὶ ξιφῶν ἠκονημένων καὶ ἀπειλῶν καθ' ἑκάστην ἡμέραν γινομένων καὶ τῶν ἐν ἀρχαῖς θυμοῦ πνεόντων καὶ φόνων ἐπανατεινομένων καὶ μυρίων εἰδῶν κολάσεων καὶ τιμωριῶν, οὐκ εἶξαν, οὐδὲ ἐνέδωκαν, ἀλλ' ἔστησαν ἐπὶ τῆς πέτρας ἀκίνητοι, πάντα καὶ ποιῆσαι καὶ παθεῖν αἱρούμενοι, ὥστε μὴ κοινωνῆσαι τῇ παρανομίᾳ τῶν τὰ τοιαῦτα τετολμηκότων, οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ γυναῖκες. Καὶ γὰρ καὶ γυναῖκες πρὸς τὸν ἀγῶνα ἀπεδύσαντο τοῦτον, καὶ ἀνδρῶν πολλαχοῦ μᾶλλον ἠνδρίσαντο. Οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ νέοι καὶ μειράκια κομιδῇ.*

*Ταῦτ' οὖν, εἰπέ μοι, μικρά, τοσοῦτον δῆμον μαρτύρων κερδᾶναι τὴν Ἐκκλησίαν; Μάρτυρες γὰρ ἅπαντες οὗτοι. Οὐ γὰρ δὴ μόνον ἐκεῖνοι οἱ εἰς δικαστήριον ἑλκυσθέντες καὶ θῦσαι κελευσθέντες καὶ μὴ πεισθέντες, παθόντες ἅπερ ἔπαθον, μάρτυρες ἂν εἶεν· ἀλλὰ κἀκεῖνοι οἱ ὑπὲρ ὁτουοῦν τῶν τῷ Θεῷ δοκούντων παθεῖν τι καταδεξάμενοι· καὶ εἴ τις μετὰ ἀκριβείας ἐξετάσειεν, οὗτοι μᾶλλον, ἢ ἐκεῖνοι. Οὐ γάρ ἐστιν ἴσον ὀλέθρου τοιούτου καὶ ἀπωλείας ψυχῆς προτεινομένης καταδέξασθαι παθεῖν τι καὶ μὴ παραπολέσθαι καὶ ὑπὲρ ἐλάττονος κατορθώματος τὴν αὐτὴν ταύτην ὑπομεῖναι τιμωρίαν. Ὅτι δὲ οὐχ οἱ σφαγέντες μόνον, ἀλλὰ καὶ οἱ παρεσκευασμένοι καὶ γενόμενοι πρὸς τοῦτο ἕτοιμοι, μαρτυρίου στέφανον ἀνεδήσαντο, τοῦτό τε αὐτὸ καὶ ὃ πρότερον εἴρηκα, ὅτι ὁ ὑπὲρ ἐλαττόνων σφαγείς, μάρτυς ἐστὶν ἀπηρτισμένος, ἀπὸ τῆς Παύλου φωνῆς ἀποδεῖξαι τοῦτο πειράσομαι.*

*Ἀρξάμενος γὰρ ἀπαριθμεῖσθαι τοὺς ἐπὶ τῶν προγόνων λάμψαντας ὁ μακάριος Παῦλος, καὶ τὴν ἀρχὴν ἀπὸ τοῦ Ἄβελ ποιησάμενος, εἶτα προελθὼν εἰς τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Μωϋσέα, τὸν Ἰησοῦν, τὸν Δαβίδ, τὸν Σαμουήλ, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τὸν Ἰώβ, ἐπήγαγε λέγων·*

λοι ψυχικά. Γιατί, ἂν καὶ τὰ δόρατα γυμνώνονταν, καὶ τὰ ξίφη ἦταν ἀκονισμένα, οἱ ἀπειλὲς γίνονταν κάθε ἡμέρα καὶ οἱ ἄρχοντες ἔβραζαν ἀπὸ θυμό, φόνοι ἀπειλοῦνταν καὶ ἄπειρα εἴδη ποινῶν καὶ τιμωριῶν, δὲν ὑποχώρησαν, οὔτε παραδόθηκαν, ἀλλὰ στάθηκαν ἐπάνω στὴν πέτρα ἀκίνητοι, προτιμώντας νὰ κάμουν καὶ νὰ πάθουν τὰ πάντα, ὥστε νὰ μὴ συμμετάσχουν στὴν παρανομία μαζὶ μ' ἐκείνους ποὺ τὰ τόλμησαν αὐτά, καὶ ὄχι ἄνδρες μόνο ἀλλὰ καὶ γυναῖκες. Γιατὶ πραγματικὰ καὶ γυναῖκες ἀνέλαβαν αὐτὸν τὸν ἀγώνα, καὶ πολλὲς φορὲς ἔδειξαν μεγαλύτερη ἀνδρεία καὶ ἀπὸ τοὺς ἄνδρες. Καὶ ὄχι μόνο γυναῖκες, ἀλλὰ καὶ νέοι καὶ μικρὰ παιδιὰ ἀκόμη.

Αὐτὰ λοιπόν, πές μου, εἶναι μικρά, τὸ νὰ κερδίσει ἡ Ἐκκλησία τόσο μεγάλο πλῆθος μαρτύρων; Γιατὶ ὅλοι αὐτοὶ εἶναι μάρτυρες. Δὲν εἶναι δηλαδὴ μάρτυρες μόνο ἐκεῖνοι ποὺ σύρθηκαν σὲ δικαστήριο καὶ διατάχθηκαν νὰ θυσιάσουν, καὶ ποὺ δὲν ὑπάκουσαν καὶ ἔπαθαν αὐτὰ ποὺ ἔπαθαν, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ δέχθηκαν νὰ πάθουν κάτι γι' αὐτὰ ποὺ ἀρέσουν στὸ Θεό. Καὶ ἂν κανεὶς ἤθελε ἐξετάσει μὲ ἀκρίβεια, περισσότερο αὐτοὶ εἶναι, παρὰ ἐκεῖνοι. Γιατὶ δὲν εἶναι τὸ ἴδιο, ὅταν προβάλλεται τέτοιος ὄλεθρος καὶ ἀπώλεια τῆς ψυχῆς, τὸ νὰ δεχθεῖ κανεὶς νὰ πάθει κάτι καὶ νὰ μὴ χαθεῖ ἄδικα, καὶ τὸ νὰ ὑποστεῖ ἀκριβῶς τὴν ἴδια τιμωρία γιὰ μικρότερο κατόρθωμα. Καὶ ὅτι ὄχι μόνο αὐτοὶ ποὺ σφάχτηκαν, ἀλλὰ καὶ αὐτοὶ ποὺ προετοιμάσθηκαν καὶ βρέθηκαν πρόθυμοι γι' αὐτό, φόρεσαν στεφάνι μαρτυρίου, καὶ αὐτό, καὶ ἐκεῖνο ποὺ εἶπα προηγουμένως, ὅτι δηλαδὴ αὐτὸς ποὺ σφάχτηκε γιὰ μικρότερα εἶναι μάρτυρας τέλειος, θὰ προσπαθήσω νὰ τὸ ἀποδείξω ἀπὸ τὰ λόγια τοῦ Παύλου.

Ἀρχίζοντας δηλαδὴ ὁ μακάριος Παῦλος ν' ἀπαριθμεῖ ἐκείνους τοὺς προγόνους ποὺ ἔλαμψαν, καὶ ἀφοῦ ἔκαμε τὴν ἀρχὴ ἀπὸ τὸν Ἄβελ, ἔπειτα πέρασε στὸ Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸ Μωυσῆ, τὸν Ἰησοῦ, τὸ Δαβίδ, τὸ Σαμουήλ, τὸν Ἠλία, τὸν Ἐλισσαῖο, τὸν Ἰώβ, πρόσθεσε λέγοντας· «ἐπομένως, ἀφοῦ ἔχουμε γύρω μας ἕνα τόσο μεγάλο σύννεφο

*«τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων». Καίτοιγε οὐ πάντες ἐσφάγησαν οὗτοι, μᾶλλον δὲ οὐδὲ εἷς, πλὴν δυοῖν ἢ τριῶν, τοῦ Ἄβελ καὶ τοῦ Ἰωάννου· οἱ δὲ ἄλλοι πάντες οἰκείᾳ τελευτῇ τὸν βίον κατέλυσαν. Καὶ Ἰωάννης δὲ αὐτὸς οὐ θῦσαι κελευσθεὶς καὶ μὴ καταδεξάμενος ἐσφάγη, οὐδὲ εἰς βωμὸν ἀχθείς, οὐδὲ πρὸς εἴδωλον ἑλκυσθείς, ἀλλ' ὑπὲρ ῥήματος ἑνός. Ἐπειδὴ γὰρ εἶπε τῷ Ἡρώδῃ, «οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου» καὶ τὸ δεσμωτήριον ᾤκησε καὶ τὴν σφαγὴν ἐκείνην ὑπέμεινεν.*

*Εἰ δὲ ὁ γάμον παρανομούμενον ἐκδικήσας, τό γε εἰς αὐτὸν ἧκον (οὐδὲ γὰρ διώρθωσε τὸ κακῶς γεγενημένον, ἀλλ' εἶπε μόνον, παῦσαι δὲ οὐκ ἴσχυσεν), εἰ τοίνυν ὁ μόνον εἰπὼν καὶ μηδὲν οἴκοθεν ἢ τοῦτο εἰσενεγκών, ἐπειδὴ ἀπετμήθη, μάρτυς καὶ μαρτύρων ἐστὶ πρῶτος, οἱ τοσαύτας σφαγὰς προσδοκήσαντες καὶ οὐχὶ πρὸς Ἡρώδην, ἀλλὰ πρὸς τοὺς κρατοῦντας τῆς οἰκουμένης ἁπάσης ἀποδυσάμενοι καὶ οὐχὶ γάμῳ παρανομουμένῳ, ἀλλὰ νόμοις πατρῴοις καὶ θεσμοῖς Ἐκκλησίας ἐπηρεασθεῖσι παραστάντες καὶ διὰ τῶν ῥημάτων καὶ διὰ τῶν πραγμάτων τὴν παρρησίαν ἐπιδειξάμενοι καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντες καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες, πῶς οὐκ ἂν εἶεν δίκαιοι μυριάκις εἰς τὸν τῶν μαρτύρων καταλεγῆναι χορόν; Ἐπεὶ καὶ ὁ Ἀβραάμ, μὴ σφάξας τῇ πείρᾳ τὸν υἱόν, τῇ προθέσει ἔσφαξε καὶ φωνῆς ἤκουσεν ἄνωθεν λεγούσης, ὅτι «οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ».*

*Οὕτω πανταχοῦ καὶ ἡ γνώμη, ὅταν ἀπηρτισμένη ᾖ ἐπὶ τῆς ἀρετῆς, ὁλόκληρον λαμβάνει τὸν στέφανον. Εἰ δὲ ἐκεῖνος, υἱοῦ μὴ φεισάμενος, οὕτως ἀνεκηρύττετο, οὗτοι ἑαυτῶν μὴ φεισάμενοι, ἐννόησον πόσον λήψονται μισθόν, οὐ μίαν, οὐ δύο καὶ τρεῖς ἡμέρας, ἀλλ' ὁλόκληρον τὸν βίον ἐπὶ τῆς παρατάξεως ἱστάμενοι*

94. Ἑβρ. 12,1.
95. Ματθ. 14,4.

ἀπὸ μάρτυρες»[94]. Ἂν καὶ δὲ σφάχτηκαν ὅλοι αὐτοί, ἢ μᾶλλον κανένας, ἐκτὸς ἀπὸ δύο ἢ τρεῖς, τὸν Ἄβελ καὶ τὸν Ἰωάννη, ἐνῶ ὅλοι οἱ ἄλλοι πέθαναν μὲ φυσικὸ θάνατο. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Ἰωάννης δὲ σφάχτηκε ἐπειδὴ διατάχθηκε νὰ θυσιάσει καὶ δὲ δέχθηκε, οὔτε ἐπειδη ὁδηγήθηκε σὲ βωμό, οὔτε ἐπειδὴ σύρθηκε πρὸς τὰ εἴδωλα, ἀλλὰ σφάχτηκε γιὰ ἕνα λόγο. Ἐπειδὴ δηλαδὴ εἶπε στὸν Ἡρώδη, «δὲ σοῦ ἐπιτρέπεται νὰ ἔχεις τὴ γυναίκα τοῦ Φιλίππου τοῦ ἀδελφοῦ σου»[95], καὶ στὴ φυλακὴ κλείστηκε καὶ τὴ σφαγὴ ἐκείνη ὑπέμεινε.

Ἂν ὅμως αὐτὸς ποὺ τιμώρησε παράνομο γάμο, ὅσο βέβαια τοῦ ἦταν δυνατὸ (γιατὶ δὲ διόρθωσε τὴ κακὴ πράξη, ἀλλ' εἶπε μόνο καὶ δὲν μπόρεσε νὰ τὴ σταματήσει), ἂν λοιπὸν αὐτὸς ποὺ εἶπε μόνο καὶ δὲν πρόσφερε ἀπολύτως τίποτε ἄλλο, παρὰ τοῦτο, ἐπειδὴ ἀποκεφαλίσθηκε, εἶναι μάρτυρας, καὶ μάλιστα πρῶτος ἀπὸ τοὺς μάρτυρες, ἐκεῖνοι ποὺ περίμεναν τόσες σφαγὲς καὶ ἀναμετρήθηκαν ὄχι μὲ τὸν Ἡρώδη, ἀλλὰ μὲ τοὺς ἰσχυροὺς ὁλόκληρης τῆς οἰκουμένης καὶ ὑπερασπίσθηκαν ὄχι γάμο παράνομο, ἀλλὰ νόμους πατρικοὺς καὶ θεσμοὺς τῆς Ἐκκλησίας ποὺ ἀμφισβητήθηκαν, καὶ ποὺ φανέρωσαν τὸ θάρρος τους μὲ τὰ λόγια καὶ μὲ τὰ ἔργα, καὶ ποὺ πέθαιναν κάθε ἡμέρα, καὶ ἄνδρες καὶ γυναῖκες καὶ παιδιά, πῶς δὲ θὰ ἦταν χίλιες φορὲς δίκαιο νὰ καταταχθοῦν στὸ χορὸ τῶν μαρτύρων; Γιατὶ καὶ ὁ Ἀβραάμ, παρ' ὅλο ποὺ δὲν ἔσφαξε στὴν πραγματικότητα τὸν υἱό του, τὸν ἔσφαξε μὲ τὴν πρόθεσή του καὶ ἄκουσε φωνὴ ἀπὸ τὸν οὐρανὸ ποὺ ἔλεγε, «δὲ λυπήθηκες τὸ υἱό σου τὸν ἀγαπητὸ γιὰ μένα»[96].

Ἔτσι παντοῦ καὶ ἡ διάθεση, ὅταν εἶναι ἀφοσιωμένη τελείως στὴν ἀρετή, παίρνει ὁλόκληρο τὸ στεφάνι. Ἂν ὅμως ὁ Ἀβραάμ τόσο δοξάσθηκε, ἐπειδὴ δὲ λυπήθηκε τὸν υἱό του, σκέψου πόσο μισθὸ θὰ λάβουν αὐτοὶ ποὺ δὲ λυπήθηκαν τὸν ἑαυτό τους, ποὺ ὄχι μία, οὔτε δύο, οὔτε τρεῖς ἡμέρες, ἀλλ' ὁλόκληρη τὴ ζωή τους στέκονταν ὄρθιοι ἐπάνω στὴν παράταξη

96. Γεν. 22,12.

*ταύτης, βαλλόμενοι λοιδορίαις, ὕβρεσιν, ἐπηρείαις, συκοφαντίαις. Οὐδὲ γὰρ τοῦτο μικρόν. Διὸ καὶ ὡς μέγα Παῦλος αὐτὸ θαυμάζει, λέγων· «τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πασχόντων γενηθέντες». Τί ἂν τις εἴποι τοὺς καὶ αὐτοὺς ἀποθνήσκοντας καὶ τοὺς τὰ τοιαῦτα ἀθλοῦντας ἀλείψαντας καὶ ἄνδρας καὶ γυναῖκας; Καλῶς δὲ αὐτοὺς καὶ θαυμάζει. Καὶ γὰρ καὶ οὐσίας ἐπέδωκαν πολλοί, ὥστε τοὺς δεσμώτας καὶ τοὺς ἐξορίστους ἔχειν τινὰ παραμυθίαν τῆς τοσαύτης ταλαιπωρίας καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ἡδέως ἐδέξαντο κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον· ἕτεροι, οἱ μὲν πατρίδος, οἱ δὲ καὶ αὐτῆς ἐξεβλήθησαν τῆς ζωῆς.*

*Ὁρῶν τοίνυν τοσοῦτον πλοῦτον, τοσοῦτον κέρδος, τοσαύτην ἐμπορίαν τῇ Ἐκκλησίᾳ συνηγμένην, τοσούτους θησαυροὺς ἀποτιθεμένους, πυρὸς σφοδροτέρους γινομένους τοὺς πρότερον ἀναπεπτωκότας καὶ τοὺς θεάτροις προσηλωμένους εἰς τὰς ἐρημίας ἐξιόντας καὶ τὰς νάπας καὶ τὰ ὄρη ποιοῦντας ἐκκλησίας καὶ οὐδενὸς ἐξάγοντος τὴν ἀγέλην, εἰς τὴν τῶν ποιμένων τάξιν μεταστάντα τὰ πρόβατα καὶ τοὺς στρατιώτας εἰς τὴν τοῦ στρατηγοῦ, παρρησίας ἕνεκεν καὶ ἀνδρείας καὶ πάντας μετὰ τῆς προσηκούσης θερμότητος, σπουδῆς, ἐμμελείας, τὰς συνάξεις ἐπιτελοῦντας, οὐκ ἐκπλήττῃ καὶ θαυμάζεις, ὅσον ἐκ τούτου κατόρθωμα γέγονεν; Οὐ γὰρ δὴ μόνον οἱ ὀρθῶς βιοῦντες, ἀλλὰ πολλοὶ καὶ τῶν περὶ τὰ θέατρα μεμηνότων καὶ ἱπποδρομίαις προσεχόντων, ὑπὸ τοῦ ζήλου πυρὸς σφοδροτέρου πυρωθέντες, πᾶσαν ἐκείνην ἀπέθεντο τὴν μανίαν καὶ κατ' αὐτῶν τῶν ξιφῶν σχεδὸν ἐπήδησαν, πρὸς ἄρχοντας παρρησιαζόμενοι, βασάνων καταφρονοῦντες, ἀπειλῶν καταγελῶντες, δεικνύντες ὅσον ἐστὶν ἀρετὴ καὶ πῶς ἔνι τὸν σφόδρα ἀπολλύμενον, μετανοήσαντα καὶ μεταστάντα αὐτῆς ἅψασθαι τῶν οὐρανῶν τῆς ἀψῖδος.*

97. Ἑβρ. 10,33.
98. Βλ. Ἑβρ. 10,34.

αὐτή, δεχόμενοι λοιδορίες, ὕβρεις, κατηγορίες, συκοφαντίες. Γιατὶ δὲν εἶναι μικρὸ αὐτό. Γι' αὐτὸ καὶ ὁ Παῦλος τὸ θαυμάζει αὐτὸ σὰν μεγάλο λέγοντας· «ἄλλοτε μὲ ὀνειδισμοὺς καὶ θλίψεις γινόσαστε θέαμα στὸν κόσμο, καὶ ἄλλοτε γίνατε συμμέτοχοι ἐκείνων ποὺ πάθαιναν αὐτά»[97]. Τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς γι' αὐτοὺς ποὺ καὶ οἱ ἴδιοι πέθαιναν καὶ τοὺς ἄλλους ἀθλητὲς ἔδωσαν θάρρος, καὶ τοὺς ἄνδρες καὶ τὶς γυναῖκες; Καὶ πολὺ σωστὰ τοὺς θαυμάζει. Γιατὶ πραγματικὰ πολλοὶ καὶ τὶς περιουσίες τους μοίρασαν, ὥστε οἱ φυλακισμένοι καὶ οἱ ἐξόριστοι νὰ ἔχουν κάποια παρηγοριὰ στὴν τόση τους ταλαιπωρία, καὶ δέχθηκαν μὲ εὐχαρίστηση τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων τους, σύμφωνα μὲ τὸν ἀποστολικὸ ἐκεῖνο λόγο[98]· ἄλλοι πάλι στερήθηκαν τὴν πατρίδα τους, ἐνῶ ἄλλοι καὶ τὴν ἴδια τὴ ζωή τους.

Βλέποντας λοιπὸν τόσο μεγάλο πλοῦτο, τόσο κέρδος, τόσα ἀγαθὰ μαζεμένα ἀπὸ τὴν Ἐκκλησία, τόσους θησαυροὺς ἀποθηκευμένους, τοὺς δειλοὺς πρὶν νὰ γίνονται πιὸ ὁρμητικοὶ ἀπὸ τὴ φωτιά, τοὺς ἀφοσιωμένους στὰ θέατρα νὰ βγαίνουν στὶς ἐρήμους καὶ νὰ κάνουν ἐκκλησίες τὰ φαράγγια καὶ τὰ βουνά, καὶ χωρὶς νὰ ὁδηγεῖ κανεὶς τὴν ἀγέλη, τὰ πρόβατα νὰ γίνονται ποιμένες, καὶ τοὺς στρατιῶτες νὰ γίνονται στρατηγοί, ἐξ αἰτίας τοῦ θάρρους καὶ τῆς ἀνδρείας τους, καὶ ὅλους νὰ συγκεντρώνονται μὲ τὴν ἀνάλογη θέρμη, προθυμία καὶ κοσμιότητα, δὲν ἀπορεῖς καὶ δὲ θαυμάζεις γιὰ τὸ μεγάλο κατόρθωμα ποὺ ἔγινε ἀπ' αὐτό; Γιατὶ ὄχι μόνο αὐτοὶ ποὺ ζοῦν μὲ σωστὸ τρόπο, ἀλλὰ πολλοὶ καὶ ἀπὸ τοὺς μανιακοὺς γιὰ τὰ θέατρα καὶ ἀπὸ τοὺς φανατικοὺς στὶς ἱπποδρομίες, ὅταν φλογίσθηκαν ἀπὸ ζῆλο πιὸ δυνατὸ ἀπὸ τὴ φωτιά, ἔδιωξαν ὅλη ἐκείνη τὴ μανία καὶ πήδησαν σχεδὸν ἐπάνω στὰ ξίφη, μιλώντας μὲ θάρρος πρὸς τοὺς ἄρχοντες, περιφρονώντας τὰ βάσανα, περιγελώντας τὶς ἀπειλές, ἀποδεικνύοντας πόσο μεγάλο πρᾶγμα εἶναι ἡ ἀρετὴ καὶ πῶς εἶναι δυνατὸ νὰ φθάσει σ' αὐτὴ τὴν ἁψίδα τῶν οὐρανῶν ἐκεῖνος ποὺ εἶναι πάρα πολὺ ἁμαρτωλός, ἀφοῦ μετανοήσει καὶ ἀλλάξει ζωή.

*Τοσαῦτα οὖν βραβεῖα ὁρῶν, τοσούτους στεφάνους πλεκομένους, τοσαύτην διδασκαλίαν γινομένην, πόθεν, εἰπέ μοι, σκανδαλίζῃ; Ἀπὸ τῶν ἀπολωλότων, φησίν. Ἀλλ', ὅπερ ἔφην καὶ λέγων οὐ παύσομαι, οὗτοι ἑαυτοῖς λογιζέσθωσαν τῆς ἀπωλείας τὴν ὑπόθεσιν. Τοῦτο γὰρ δι' ὅλου ὁ λόγος ἡμῖν ἀγωνιζόμενος ἔδειξεν. Εἴπω καὶ ἕτερον κατόρθωμα. Πόσοι προσωπεῖον εὐλαβείας περικείμενοι, πόσοι πεπλασμένην πραότητα ἔχοντες, πόσοι μεγάλοι τινὲς εἶναι νομιζόμενοι καὶ οὐκ ὄντες, ἀθρόον ἐπὶ τοῦ παρόντος διηλέγχθησαν καιροῦ, καὶ τὰ τῆς ἀπάτης αὐτοῖς διερρύη καὶ ὅπερ ἦσαν, ἐφάνησαν, οὐχ ὅπερ ὑπεκρίνοντο καὶ ἠπάτων; Οὐ μικρὸν δὲ τοῦτο, ἀλλὰ καὶ σφόδρα μέγιστον εἰς ὠφέλειαν τῶν ἐθελόντων προσέχειν, τὸ διαγνῶναι τοὺς ἔχοντας τῶν προβάτων τὰς δορὰς καὶ μὴ ἀναμίγνυσθαι τοὺς λύκους τοὺς οὕτω κρυπτομένους τοῖς ὄντως προβάτοις. Καὶ γὰρ κάμινος γέγονεν ὁ καιρὸς οὗτος, τὰ χαλκὸν ἔχοντα τῶν νομισμάτων διελέγχων τὸν μόλυβδον κατατήκων, τὴν καλάμην κατακαίων, τὰς τιμίας ὕλας τιμιωτέρας ἀποφαίνων. Τοῦτο καὶ ὁ Παῦλος σημαίνων ἔλεγε· «δεῖ δὲ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν».*

*20. Μηδὲν οὖν σε τούτων σκανδαλιζέτω, μὴ ἱερεὺς νῦν φαῦλος γεγενημένος καὶ λύκου παντὸς ἀγριώτερον ἐπιπηδῶν τῇ ἀγέλῃ, μὴ τῶν ἀρχόντων, μὴ τῶν κρατούντων τις πολλὴν ὠμότητα ἐνδεικνύμενος. Ἐννόησον γοῦν ὅτι καὶ ἐπὶ τῶν Ἀποστόλων συνέβη τούτων χαλεπώτερα. Ὅ τε γὰρ κρατῶν τότε τὸ σκῆπτρον, τὸ μυστήριον τῆς ἀνομίας ἦν (οὕτω γὰρ αὐτὸν ὁ Παῦλος ἐκάλεσε), πᾶν εἶδος κακίας ἐπελθὼν καὶ πάντας ἀποκρύψας τῇ πονηρίᾳ, ἀλλ' οὐδὲν οὔτε τὴν Ἐκκλησίαν, οὔτε τοὺς γενναίους ἐκείνους ἄνδρας τοῦτο παρέβλαψεν, ἀλλὰ καὶ λαμπροτέρους ἀπέφηνεν· οἵ τε ἱερεῖς τῶν Ἰουδαίων οὕτω φαῦλοι καὶ πονηροί τινες ἦσαν, ὡς κελεύεσθαι τὸν ζῆλον αὐτῶν τοῦ*

99. Α' Κορ. 11,19.

Βλέποντας λοιπὸν τόσο πολλὰ βραβεῖα, τόσα στεφάνια νὰ πλέκονται, τόση διδασκαλία νὰ γίνεται, πές μου, ἀπὸ ποῦ σκανδαλίζεσαι; Ἀπὸ ἐκείνους ποὺ χάθηκαν, λέγει. Ἀλλά, πράγμα ποὺ εἶπα καὶ δὲ θὰ σταματήσω νὰ λέγω, αὐτοὶ ἂς λογαριάζουν στὸν ἑαυτό τους τὴν αἰτία τῆς καταστροφῆς τους. Γιατὶ αὐτὸ προσπάθησε νὰ δείξει ὅλος ὁ λόγος μου. Θὰ πῶ καὶ ἄλλο κατόρθωμα. Πόσοι ποὺ φοροῦσαν προσωπεῖο εὐλάβειας, πόσοι ποὺ εἶχαν προσποιητὴ πραότητα, πόσοι ποὺ θεωροῦσαν ὅτι εἶναι κάποιοι μεγάλοι καὶ ποὺ δὲν ἦταν, ἀποκαλύφθηκαν γιὰ μιὰ στιγμὴ ἐνῶ ζοῦσαν καὶ φανερώθηκε ἡ ἀπάτη τους καὶ φάνηκαν αὐτὸ ποὺ ἦταν καὶ ὄχι αὐτὸ ποὺ ὑποκρίνονταν καὶ ἀπατοῦσαν; Δὲν εἶναι μικρὸ αὐτό, ἀλλ' ὑπερβολικὰ μεγάλο γιὰ ὠφέλεια ἐκείνων ποὺ θέλουν νὰ προσέχουν, τὸ νὰ ξεχωρίζουν δηλαδὴ αὐτοὺς ποὺ φοροῦν τὰ δέρματα τῶν προβάτων καὶ νὰ μὴν ἀναμιγνύουν τοὺς λύκους ποὺ κρύβονται ἔτσι μὲ τὰ πραγματικὰ πρόβατα. Γιατὶ ὁ καιρὸς αὐτὸς ἔγινε καμίνι, ποὺ ἔλεγχει τὰ νομίσματα τὰ χάλκινα, ποὺ λειώνει τὸ μόλυβδο, ποὺ κατακαίει τὸ ἄχυρο, ποὺ φανερώνει πιὸ πολύτιμα τὰ πολύτιμα ὑλικά. Αὐτὸ καὶ ὁ Παῦλος γιὰ νὰ δηλώσει, ἔλεγε· «πρέπει ὅμως νὰ ὑπάρχουν καὶ αἱρέσεις γιὰ νὰ γίνουν φανεροὶ μεταξύ σας οἱ γνήσιοι»[99]

20. Τίποτε λοιπὸν ἀπ' αὐτὰ ἂς μὴ σὲ σκανδαλίζει, οὔτε ἱερέας ποὺ ἔγινε τώρα φαῦλος καὶ ὁρμάει στὸ ποίμνιο πιὸ ἄγρια ἀπὸ κάθε λύκο, οὔτε κάποιος ἀπὸ τοὺς ἄρχοντες καὶ τοὺς ἰσχυροὺς ποὺ δείχνει μεγάλη σκληρότητα. Σκέψου δηλαδὴ ὅτι καὶ στοὺς Ἀποστόλους ἔγιναν χειρότερα ἀπ' αὐτά. Γιατὶ καὶ αὐτὸς ποὺ κρατοῦσε τότε τὸ σκῆπτρο, τὸ μυστήριο τῆς ἀνομίας ἦταν (γιατὶ ἔτσι τὸν ὀνόμασε ὁ Παῦλος), ποὺ ἔκαμε κάθε εἶδος ἁμαρτίας καὶ ἐπισκίασε ὅλους μὲ τὴν πονηρία του, ἀλλὰ δὲν ἔβλαψε καθόλου αὐτὸ οὔτε τὴν Ἐκκλησία, οὔτε τοὺς γενναίους ἐκείνους ἄνδρες, ἀλλὰ καὶ πιὸ λαμπροὺς τοὺς ἀπέδειξε. Καὶ οἱ ἱερεῖς τῶν Ἰουδαίων ἦταν τόσο φαῦλοι καὶ πονηροὶ μερικοί, ὥστε νὰ δοθεῖ ἐντολὴ νὰ ἀποφεύγουν τὸ ζῆλο τοῦ βίου τους. «Γιατὶ στὴν

*βίου φεύγειν· «ἐπὶ γὰρ τῆς Μωϋσέως καθέδρας», φησίν, «ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε»· καίτοι τί γένοιτ' ἂν πονηρότερον ἱερέων, ὧν ὁ ζῆλος ἀπολλύειν ἔμελλε τοὺς μιμουμένους; Ἀλλ' ὅμως καὶ τοιούτων ὄντων τῶν τότε κρατούντων, οἱ λάμψαντες, οἱ στεφανωθέντες οὐδὲν παρεβλάβησαν, ἀλλὰ μειζόνως ἐδοξάσθησαν.*

*Οὐ τοίνυν ξενίζεσθαι χρὴ τοῖς γινομένοις. Πανταχοῦ γὰρ πειρασμοὶ τοῖς νήφουσίν εἰσι παρεζευγμένοι, ἀπὸ τῶν οἰκείων, ἀπὸ τῶν ἀλλοτρίων. Διὰ τοῦτο καὶ Παῦλος τὰς νιφάδας ὁρῶν τῶν κινδύνων τὰς ἐπαγομένας αὐτοῖς καὶ δεδοικὼς μή τινες τῶν μαθητῶν ἐντεῦθεν θορυβηθῶσι, γράφων ἔλεγεν· «ἔπεμψα ὑμῖν Τιμόθεον εἰς τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις· αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὗτος ἡμῶν ὁ βίος, αὕτη τῆς ἀποστολικῆς πολιτείας ἡ ἀκολουθία, τὸ μυρία πάσχειν κακά. «Εἰς τοῦτο γὰρ κείμεθα», φησί. Τί ἐστιν, «εἰς τοῦτο κείμεθα»; Ὥσπερ τὰ ὤνια εἰς τοῦτο παρῆκται, εἰς τὸ πωλεῖσθαι, οὕτω καὶ ὁ ἀποστολικὸς βίος εἰς τὸ λοιδορεῖσθαι καὶ εἰς τὸ πάσχειν κακῶς, εἰς τὸ μηδέποτε ἀναπνεῖν εἰς τὸ μηδεμίαν ἔχειν ἀνακωχήν. Καὶ ὅσοι νήφουσιν, οὐ μόνον οὐδὲν ἐντεῦθεν βλάπτονται, ἀλλὰ καὶ μειζόνως κερδαίνουσι. Διὸ καὶ τούτους, μετὰ τὸ μαθεῖν, ὅτι ἑστήκασι γενναίως, θαυμάζει· καὶ περὶ ἑτέρων δὲ ταῦτα λέγει, ὅτι μετὰ τὰ δεσμὰ αὐτοῦ καὶ τὰς ἁλύσεις περισσοτέρως ἐτόλμων ἀφόβως τὸν λόγον λαλεῖν.*

*Τί δαὶ ἐπὶ Μωϋσέως, εἰπέ μοι; Ἐν μέσῃ βαρβάρων χώρᾳ οὐκ ἀφῆκεν ὁ Θεὸς καὶ μάγους τὰ αὐτῶν ἐπιδείξασθαι; Οὐχὶ καὶ ταύτης μέμνηται τῆς ἱστορίας ὁ Παῦλος; «Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς», φησίν, «ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀντιστήσονται τῇ ἀληθείᾳ». Οὕτως οὐδέποτε ἐπέλιπεν*

---

100 Ματθ. 23,2–3. 101 Α' Θεσ. 3,2–3.

ἕδρα τοῦ Μωυσῆ», λέγει, «κάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Ὅλα λοιπὸν ὅσα σᾶς λέγουν νὰ κάμνετε, νὰ τὰ κάμνετε, μὴν ἐνεργεῖτε ὅμως σύμφωνα μὲ τὰ ἔργα τους»[100]· ἂν καὶ βέβαια τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ πονηρὸ ἀπὸ τοὺς ἱερεῖς, ποὺ ὁ ζῆλος τους ἐπρόκειτο νὰ καταστρέψει ἐκείνους ποὺ θὰ τοὺς μιμοῦνταν; Ἀλλ' ὅμως παρ' ὅλο ποὺ καὶ τέτοιοι ἦταν οἱ τότε ἰσχυροί, αὐτοὶ ποὺ ἔλαμψαν, αὐτοὶ ποὺ στεφανώθηκαν δὲ ζημιώθηκαν καθόλου, ἀλλὰ δοξάσθηκαν περισσότερο.

Δὲν πρέπει λοιπὸν νὰ παραξενευόμαστε γιὰ ὅσα γίνονται. Γιατὶ παντοῦ εἶναι στημένοι πειρασμοὶ δίπλα στοὺς φρόνιμους, ἀπὸ τοὺς δικούς τους, ἀπὸ τοὺς ξένους. Γι' αὐτὸ καὶ ὁ Παῦλος, ἐπειδὴ ἔβλεπε τοὺς πολλοὺς κινδύνους ποὺ ἐπέρχονταν ἐναντίον τους καὶ φοβόταν μήπως μερικοὶ μαθητὲς ἀνησυχήσουν ἀπὸ τὴν αἰτία αὐτή, γράφοντας ἔλεγε· «σᾶς ἔστειλα τὸν Τιμόθεο γιὰ νὰ μὴν κλονίζεται κανεὶς μ' αὐτὲς τὶς θλίψεις, γιατὶ ξέρετε ἐσεῖς πὼς σ' αὐτὸ εἴμαστε ταγμένοι»[101]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· αὐτὴ εἶναι ἡ ζωή μας, αὐτὸς εἶναι ὁ προορισμὸς τῆς ἀποστολικῆς μας ζωῆς, τὸ νὰ παθαίνουμε δηλαδὴ ἄπειρα κακά. «Γιατὶ σ' αὐτὸ εἴμαστε ταγμένοι», λέγει. Τί σημαίνει, «σ' αὐτὸ εἴμαστε ταγμένοι»; Ὅπως τὰ τρόφιμα γι' αὐτὸ ἔχουν παραχθεῖ, γιὰ νὰ πωλοῦνται, ἔτσι καὶ ἡ ἀποστολικὴ ζωὴ γιὰ νὰ ἐμπαίζεται καὶ νὰ ὑποφέρει, γιὰ νὰ μὴν ἀνακουφίζεται ποτέ, γιὰ νὰ μὴν ἔχει καμιὰ ἀνακωχή. Καὶ ὅσοι εἶναι νηφάλιοι, ὄχι μόνο δὲν βλάπτονται καθόλου ἀπὸ τὴν αἰτία αὐτή, ἀλλὰ καὶ κερδίζουν περισσότερο. Γι' αὐτὸ τοὺς θαυμάζει καὶ αὐτούς, ἀφοῦ ἔμαθε ὅτι στάθηκαν γενναῖα. Καὶ γιὰ ἄλλους ὅμως τὰ ἴδια λέγει, ὅτι μετὰ τὰ δεσμὰ καὶ τὶς ἁλυσίδες του τολμοῦσαν περισσότερο ἄφοβα νὰ κηρύττουν τὸ λόγο τοῦ Θεοῦ.

Καὶ στὴν ἐποχὴ τοῦ Μωυσῆ, πές μου, τί ἔγινε; δὲν ἄφησε ὁ Θεὸς καὶ μάγους μέσα στὴ χώρα τῶν βαρβάρων νὰ ἐπιδείξουν τὰ δικά τους; δὲ θυμᾶται καὶ τὴν ἱστορία αὐτὴ ὁ Παῦλος; «Ὅπως ὁ Ἰαννῆς καὶ ὁ Ἰαμβρῆς», λέγει, «ἀντιστάθηκαν στὸ Μωυσῆ, ἔτσι καὶ αὐτοὶ θ' ἀντισταθοῦν στὴν ἀλήθεια»[102]. Ἄρα

102 Β' Τιμ. 3,8.

*οὔτε τὰ σκάνδαλα, οὔτε οἱ στεφανούμενοι διὰ τούτων. Ταῦτ' οὖν ἅπαντα λογίζου καὶ μὴ ταῦτα μόνον, ἀλλὰ καὶ ὅσον κέρδος ἀπὸ τοῦ πράγματος γέγονε. Κἀκεῖνο σκόπει, ὅτι καὶ ἕτεροί τινές εἰσιν ἀπόρρητοι λόγοι τούτων· οὐ γὰρ πάντα εἰδέναι ἡμᾶς δυνατόν· καὶ ὅτι τὰ χρηστότερα ἀπαντήσεται μετὰ ταῦτα καὶ πλείων ἡ παραδοξοποιία· ὥσπερ οὖν ἐπὶ τοῦ Ἰωσὴφ ἡ μὲν ἀρχὴ δυσκολίαν εἶχε καὶ μέχρι πολλοῦ προῄει τὰ πράγματα, ἀπεναντίας εἶναι δοκοῦντα τῇ ὑποσχέσει, ὕστερον δὲ μείζονα τῶν προσδοκηθέντων ἐγένετο.*

*Καὶ ἐπὶ τοῦ σταυροῦ δὲ οὐκ εὐθέως, οὐδὲ ἐν προοιμίοις καὶ ἐν ἀρχῇ τὸ κατόρθωμα ἅπαν ἐβλάστησεν, ἀλλὰ τὸ μὲν σκάνδαλον προῄει καὶ ὀλίγα τινὰ γέγονε σημεῖα θαύματος ἕνεκεν καὶ τῆς διορθώσεως τῶν ταῦτα τολμησάντων καὶ εὐθέως ἅπαντα παρέδραμεν. Εἰ γὰρ καὶ τὸ καταπέτασμα ἐσχίσθη τοῦ ναοῦ τότε καὶ πέτραι ἐρράγησαν καὶ ἥλιος ἐσκοτίσθη, ἀλλὰ ταῦτα ἐν μιᾷ ἡμέρᾳ καὶ ἐν λήθῃ γέγονε παρὰ τοῖς πολλοῖς. Μετὰ δὲ ταῦτα εὐθέως ἐν φυγῇ οἱ Ἀπόστολοι, ἐν διώξει, ἐν πολέμοις, ἐν ἐπιβουλαῖς, λανθάνοντες, κρυπτόμενοι, δεδοικότες, καταλευόμενοι, οὕτω τὸν λόγον ἐκήρυττον· καὶ ἐν δυναστείᾳ πολλῇ τῶν Ἰουδαίων ὁ δῆμος, ἀγόντων, περιαγόντων, ἑλκόντων, σπαραττόντων τοὺς πιστεύοντας. Καὶ γὰρ τοὺς ἄρχοντας μεθ' ἑαυτῶν ἔχοντες, καθ' ἑκάστην ἦγον καὶ περιῆγον τοὺς Ἀποστόλους. Καὶ τί λέγω τῶν Ἰουδαίων τὸν δῆμον καὶ ἄρχοντας; Εἷς σκηνορράφος, περὶ δέρματα ἠσχολημένος, ὁ Παῦλος (τί δὲ σκηνορράφου εὐτελέστερον;) τοσαύτῃ ἐκέχρητο τῇ μανίᾳ, ὡς σύρειν ἄνδρας καὶ γυναῖκας καὶ παραδιδόναι εἰς φυλακήν· καὶ ὁ σταυρωθεὶς ἠνείχετο ταῦτα ὁρῶν. Ἀλλὰ ὅρα πῶς μετὰ ταῦτα οὗτός τε ὁ διώκτης πάντας ὑπερηκόντισε καὶ τὸ πρᾶγμα ὑπὲρ τὸν ἥλιον διέλαμψε καὶ πᾶσαν κατέσχε τὴν οἰκουμένην.*

ποτὲ δὲν ἔλειψαν οὔτε τὰ σκάνδαλα οὔτε αὐτοὶ ποὺ στεφανώνονται μ' αὐτά. Αὐτὰ λοιπὸν ὅλα νὰ τὰ σκέπτεσαι, καὶ ὄχι μόνο αὐτά, ἀλλὰ καὶ πόσο κέρδος προῆλθε ἀπὸ τὸ πράγμα αὐτό. Ἀκόμα καὶ ἐκεῖνο σκέψου, ὅτι ὑπάρχουν γι' αὐτὰ καὶ κάποιοι ἄλλοι λόγοι ἀπόρρητοι –γιατὶ δὲν εἶναι δυνατὸ νὰ τὰ γνωρίζουμε ἐμεῖς ὅλα–, καὶ ὅτι μετὰ θὰ ἔρθουν τὰ καλύτερα καὶ θὰ εἶναι πολὺ πιὸ παράδοξα. Ὅπως λοιπὸν στὴν περίπτωση τοῦ Ἰωσὴφ ἡ ἀρχὴ εἶχε δυσκολία, καὶ γιὰ πολὺ καιρὸ προχωροῦσαν τὰ πράγματα καὶ φαίνονταν πὼς εἶναι ἀντίθετα πρὸς τὴν ὑπόσχεση, ὕστερα ὅμως ἔγιναν μεγαλύτερα ἀπ' αὐτὰ ποὺ προσδοκοῦσε.

Καὶ στὴν περίπτωση τοῦ σταυροῦ πάλι ὅλο τὸ κατόρθωμα δὲ βλάστησε ἀμέσως καὶ στὴν ἀρχή, ἀλλὰ τὸ σκάνδαλο προχωροῦσε καὶ ἔγιναν πολὺ λίγα σημεῖα θαύματος γιὰ τὴ διόρθωση ἐκείνων ποὺ τὰ τόλμησαν αὐτά, καὶ ἀμέσως ὅλα πέρασαν καὶ ξεχάσθηκαν. Γιατί, καὶ ἂν τὸ καταπέτασμα τοῦ ναοῦ σχίσθηκε τότε, καὶ οἱ πέτρες ράγισαν, καὶ ὁ ἥλιος σκοτείνιασε, ἀλλ' αὐτὰ ἔγιναν σὲ μιὰ μέρα καὶ τὰ ξέχασαν οἱ πολλοί. Ἀμέσως ὅμως ὕστερα ἀπ' αὐτὰ οἱ Ἀπόστολοι περιῆλθαν σὲ διωγμό, σὲ καταδίωξη, σὲ πολέμους, σὲ ἐπιβουλές, καὶ ἄλλοτε ξεφεύγοντας, καὶ ἄλλοτε κρυβόμενοι, φοβούμενοι, καὶ λιθοβολούμενοι, ἔτσι κήρυτταν τὸ λόγο τοῦ Θεοῦ· ἀπὸ τὸ ἄλλο μέρος πάλι οἱ Ἰουδαῖοι μὲ πολλὴ ἐξουσία πήγαιναν παντοῦ καὶ ἔφερναν τοὺς πιστούς, σέρνοντάς τους καὶ κατασπαράσσοντάς τους. Γιατί, ἔχοντας καὶ τοὺς ἄρχοντες μαζί τους, κάθε ἡμέρα πήγαιναν παντοῦ καὶ ὁδηγοῦσαν σ' αὐτοὺς τοὺς Ἀποστόλους. Καὶ τί λέγω τοὺς Ἰουδαίους καὶ τοὺς ἄρχοντες; Ἕνας σκηνοποιὸς ποὺ ἀσχολοῦνταν μὲ τὰ δέρματα, ὁ Παῦλος (καὶ τί εἶναι πιὸ ἀσήμαντο ἀπὸ σκηνοποιό;), εἶχε τόση μανία, ὥστε νὰ σέρνει ἄνδρες καὶ γυναῖκες καὶ νὰ τοὺς παραδίνει στὴ φυλακή. Καὶ αὐτὸς ποὺ σταυρώθηκε ἀνεχόταν νὰ τὰ βλέπει αὐτά. Ἀλλὰ πρόσεχε πῶς ἀργότερα καὶ αὐτὸς ὁ διώκτης τοὺς ξεπέρασε ὅλους, καὶ τὸ πράγμα ἔλαμψε περισσότερο ἀπὸ τὸ ἥλιο καὶ κυρίεψε ὁλόκληρη τὴν οἰκουμένη.

*21. Εἰ δὲ λέγοις, καὶ τίνος ἕνεκεν καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ τοσοῦτοι κίνδυνοι, τοσοῦτοι πειρασμοί, τοσαῦται ἐπιβουλαί; Μάνθανε καὶ τὴν αἰτίαν. Τίς οὖν ἡ αἰτία; Παλαίστρα ὁ παρὼν βίος ἐστί, γυμνάσιον καὶ ἀγών, χωνευτήριον, βαφεῖον ἀρετῆς.*

*Ὥσπερ οὖν οἱ σκυτοδέψαι τὰ δέρματα λαμβάνοντες στύφουσι πρότερον, κατατείνουσι, παίουσι καὶ τοίχοις καὶ λίθοις προσαράσσοντες καὶ ἑτέραις μυρίαις θεραπείαις αὐτὰ ποιήσαντες ἐπιτήδεια πρὸς τὴν ὑποδοχὴν τῆς βαφῆς, οὕτω τὸ χρῶμα τὸ τίμιον ἐπάγουσιν· οἵ τε χρυσοχόοι τὸ χρυσίον εἰς τὸ πῦρ ἐμβάλλοντες, τῇ βασάνῳ τῆς καμίνου παραδιδόασιν, ὥστε ποιῆσαι καθαρώτατον· οἵ τε παιδοτρίβαι ἐν τῇ παλαίστρᾳ πολλοῖς πόνοις τοὺς ἀθλοῦντας γυμνάζουσι, τῶν ἀντιπάλων σφοδρότερον αὐτοῖς ἐμπίπτοντες, ἵνα ἐν τῇ γυμνασίᾳ τὸ πᾶν κατορθώσαντες ἐν τοῖς τῶν διδασκάλων σώμασιν, ἐπὶ τῶν ἀγώνων εὐτρεπεῖς ὦσι καὶ παρεσκευασμένοι πρὸς τὰς λαβὰς τῶν ἐχθρῶν καὶ ραδίως αὐτὰς διαλύσωσιν, οὕτω καὶ ὁ Θεὸς ἐν τῷ παρόντι βίῳ ποιεῖ· πρὸς ἀρετὴν ἐπιτηδείαν βουλόμενος μετασκευάσαι τὴν ψυχὴν καὶ στύφει καὶ χωνεύει καὶ βασάνῳ πειρασμῶν παραδίδωσιν, ὥστε τούς τε ἀναπεπτωκότας καὶ διαλελυμένους σφιγγῆναι, τούς τε δοκίμους δοκιμωτέρους γενέσθαι καὶ ἀχειρώτους ταῖς τῶν δαιμόνων ἐπιβουλαῖς καὶ ταῖς τοῦ διαβόλου παγίσι καὶ σφόδρα ἐπιτηδείους πρὸς τὴν τῶν μελλόντων ἀγαθῶν ὑποδοχὴν ἅπαντας. Ἀνὴρ γάρ, φησίν, ἀπείραστος, ἀδόκιμος· καὶ ὁ Παῦλος «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν».*

*Καρτερικοὺς οὖν καὶ ὑπομονητικοὺς ποιῆσαι θέλων ἀφίησι τὸ νόμισμα διακωδωνίζεσθαι παντὶ τρόπῳ. Ταύτης ἕνεκεν τῆς αἰτίας καὶ τὸν Ἰὼβ ἀφῆκε παθεῖν ἅπερ ἔπαθεν, ὥστε καὶ δοκιμώτερον φανῆναι καὶ ἐμφράξαι τοῦ διαβόλου τὸ στόμα· διὰ τοῦτο καὶ τοὺς Ἀποστόλους ἀφῆκεν, ὥστε κἀκείνους ἀνδρειοτέ-*

21. Ἐὰν ὅμως ἔλεγες, καὶ γιὰ ποιὸ λόγο καὶ στὴν Παλαιὰ καὶ στὴν Καινὴ Διαθήκη ὑπάρχουν τόσο πολλοὶ κίνδυνοι, τόσοι πειρασμοί, τόσες ἐπιβουλές; μάθε καὶ τὴν αἰτία. Ποιά λοιπὸν εἶναι ἡ αἰτία; Ἡ παροῦσα ζωὴ εἶναι παλαίστρα, γυμναστήριο καὶ ἀγώνας, χωνευτήριο, βαφεῖο ἀρετῆς.

Ὅπως λοιπὸν οἱ βυρσοδέψες παίρνοντας τὰ δέρματα πρῶτα τὰ βρέχουν σὲ στυπτικὴ διάλυση, τὰ τεντώνουν, τὰ κτυποῦν καὶ τὰ ἁπλώνουν σὲ τοίχους καὶ πέτρες, καὶ ἀφοῦ μὲ χίλιες ἄλλες κατεργασίες τὰ κάνουν κατάλληλα γιὰ νὰ δεχθοῦν τὴ βαφή, ἔτσι προσθέτουν τὸ πολύτιμο χρῶμα, καὶ ὅπως οἱ χρυσοχόοι ρίχνοντας τὸ χρυσάφι στὴ φωτιὰ τὸ παραδίνουν στὴ δοκιμασία τοῦ καμινιοῦ γιὰ νὰ τὸ κάμουν πιὸ καθαρό, καὶ ὅπως οἱ γυμναστὲς στὴν παλαίστρα γυμνάζουν μὲ πολλοὺς κόπους τοὺς ἀθλητές, ὁρμώντας ἐναντίον τους πιὸ δυνατὰ ἀπὸ τοὺς ἀντιπάλους, ὥστε, ἀφοῦ ἐξασκούμενοι κατορθώσουν τὰ πάντα στὰ σώματα τῶν διδασκάλων, νὰ εἶναι ἕτοιμοι στοὺς ἀγῶνες καὶ προετοιμασμένοι γιὰ τὶς λαβὲς τῶν ἐχθρῶν, ἐξουδετερώνοντας εὔκολα αὐτές, ἔτσι κάνει καὶ ὁ Θεὸς στὴν παροῦσα ζωή. Θέλοντας νὰ καταστήσει τὴν ψυχὴ κατάλληλη γιὰ τὴν ἀρετή, καὶ τὴ στύφει, καὶ στὸ χωνευτήριο τὴ ρίχνει, καὶ στὴ δοκιμασία τῶν πειρασμῶν τὴ παραδίνει, γιὰ νὰ τονώσει τοὺς ἀδιάφορους καὶ διαλυμένους καὶ νὰ γίνουν οἱ δοκιμασμένοι περισσότερο δόκιμοι καὶ ἀκατανίκητοι ἀπὸ τὶς ἐπιβουλές τῶν δαιμόνων καὶ τὶς παγίδες τοῦ διαβόλου, καὶ ὅλοι πάρα πολὺ ἱκανοὶ γιὰ τὴν ὑποδοχὴ των μελλοντικῶν ἀγαθῶν. «Ἄνθρωπος», λέγει, «ἀπείραστος, εἶναι ἀδόκιμος»· καὶ ὁ Παῦλος πάλι λέγει· «ἡ θλίψη φέρνει ὑπομονὴ καὶ ἡ ὑπομονὴ τὴ δοκιμή»[103].

Θέλοντας λοιπὸν νὰ κάμει τοὺς ἀνθρώπους καρτερικοὺς καὶ ὑπομονητικούς, ἀφήνει τὸ νόμισμα νὰ δοκιμάζεται μὲ κάθε τρόπο. Ἐξ αἰτίας αὐτῆς τῆς αἰτίας ἄφησε καὶ τὸν Ἰὼβ νὰ πάθει αὐτὰ ποὺ ἔπαθε, γιὰ νὰ φανεῖ περισσότερο δοκιμασμένος καὶ νὰ κλείσει τὸ στόμα τοῦ διαβόλου. Γι' αὐτὸ ἄφησε καὶ τοὺς Ἀποστόλους, γιὰ νὰ γίνουν καὶ ἐκεῖνοι πιὸ ἀνδρεῖοι καὶ νὰ φανερώ-

103 Ρωμ. 5,3·4.

ρους γενέσθαι καὶ τὴν οἰκείαν δύναμιν ταύτῃ ἐπιδείξασθαι. Καὶ γὰρ καὶ αὕτη αἰτία οὐ μικρά. Διὸ καὶ Παύλῳ ἔλεγε ζητοῦντι ἄνεσιν καὶ ἀπαλλαγὴν τῶν κατεχόντων κακῶν, «ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται».

22. Καὶ γὰρ οἱ μηδέπω τῷ λόγῳ τοῦ Χριστιανισμοῦ προσελθόντες καὶ ἐντεῦθεν μειζόνως, ἐὰν νήφωσι, κερδαίνουσι. Καὶ γὰρ ὅταν ἴδωσιν ἀδικουμένους, λοιδορουμένους δεσμωτήριον οἰκοῦντας, ἐπηρεαζομένους, ἐπιβουλευομένους, ἀποτεμνομένους, καιομένους, καταποντιζομένους καὶ μηδενὶ τῶν δεινῶν εἴκοντας, ἐννόησον ὅσον ἔχοντες θαῦμα τῶν παραδόξων τούτων ἀθλητῶν ἀπήρχοντο καὶ οἱ τότε καὶ οἱ νῦν. Ὥστε οὐ μόνον οὐκ ἐργάζεται σκάνδαλον τὰ γεγενημένα τοῖς νήφουσιν, ἀλλὰ καὶ πλείονος διδασκαλίας ὑπόθεσις γίνεται. Διὸ καὶ Παῦλος ἤκουσε ταῦτα, ὅτι «ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Τοῦτο καὶ ἐπὶ τῆς Παλαιᾶς καὶ ἐπὶ τῆς Καινῆς ἐστιν εὑρεῖν. Ἐννόησον γὰρ τί πάσχειν εἰκὸς ἦν τὸν Ναβουχοδονόσορ ὑπὸ τριῶν παίδων, δούλων, αἰχμαλώτων, δεδεμένων, πυρπολουμένων, τοσούτου στρατοπέδου παρόντος ἡττώμενον καὶ μὴ δυνάμενον τριῶν περιγενέσθαι σωμάτων δεδουλωμένων, ὑποκειμένων, πατρίδος ἐκπεπτωκότων, ἐλευθερίας, τιμῆς, δυναστείας, χρημάτων, πόρρῳ τῶν οἰκείων ἀπῳκισμένων. Εἰ δὲ μὴ συνεχωρήθη ὁ ἐμπρησμὸς ἐκεῖνος, οὐκ ἂν οὕτω λαμπρὸν τὸ βραβεῖον ἐγένετο, οὐκ ἂν οὕτω φαιδρὸς ὁ στέφανος.

Ἐννόησον τί πάσχειν εἰκὸς ἦν τὸν Ἡρώδην ὑπὸ δεσμώτου ἐλεγχόμενον καὶ ὁρῶντα οὐδὲ ἀπὸ τῆς ἁλύσεως ἐνδιδόντα τῇ παρρησίᾳ, ἀλλ᾽ αἱρούμενον σφαγῆναι μᾶλλον, ἢ προέσθαι τὴν καλλίστην ἐλευθεροστομίαν ἐκείνην. Ἐννόησον τίς ὁρῶν ταῦτα καὶ ἀκούων καὶ τῶν τότε ζώντων καὶ τῶν μετὰ ταῦτα γενομένων κἂν σφόδρα ἀναπεπτωκὼς ᾖ, νοῦν δέ τινα ἔχων βραχύν, πῶς τὰ μέγιστα κερδάνας ἄπεισι. Μὴ γάρ μοι τὰ καθάρμα-

104 Β΄ Κορ. 12,9.

σουν ἔτσι τὴ δύναμή τους. Γιατὶ πραγματικὰ καὶ αὐτὴ ἡ αἰτία δὲν εἶναι μικρή. Γι' αὐτὸ καὶ στὸν Παῦλο, ὅταν ζητοῦσε ἄνεση καὶ ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ ποὺ τὸν κατεῖχαν, ἔλεγε· «σοῦ εἶναι ἀρκετὴ ἡ χάρη μου, γιατὶ ἡ δύναμή μου φανερώνεται τέλεια στὴν ἀδυναμία»[104].

22. Γιατὶ καὶ ἐκεῖνοι ποὺ δὲν πλησίασαν ἀκόμη στὸ κήρυγμα τοῦ Χριστιανισμοῦ, ἂν εἶναι προσεκτικοὶ θὰ κερδίζουν καὶ ἀπὸ ἐδῶ πάρα πολύ. Γιατί, ὅταν δοῦν πιστοὺς νὰ ἀδικοῦνται, νὰ βρίζονται, νὰ φυλακίζονται, νὰ βλάπτονται, νὰ ἐπιβουλεύονται, νὰ ἀποκεφαλίζονται, νὰ καίονται, νὰ καταποντίζονται, καὶ νὰ μὴν ὑποχωροῦν σὲ κανένα ἀπὸ τὰ δεινά, σκέψου μὲ πόσο θαυμασμὸ γιὰ τοὺς παράδοξους αὐτοὺς ἀθλητὲς ἔφευγαν καὶ οἱ τότε καὶ οἱ σημερινοί. Ὥστε ὄχι μόνο δὲν προκαλοῦν σκάνδαλο στοὺς νηφάλιους αὐτὰ ποὺ ἔγιναν, ἀλλὰ γίνονται καὶ ἀφορμὴ γιὰ περισσότερη διδασκαλία. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἄκουσε αὐτά, ὅτι δηλαδὴ «ἡ δύναμή μου φανερώνεται τέλεια στὴν ἀδυναμία». Αὐτὸ εἶναι δυνατὸ νὰ τὸ βρεῖ κανεὶς καὶ στὴν Παλαιὰ καὶ στὴν Καινὴ Διαθήκη. Γιατὶ σκέψου τί ἦταν φυσικὸ νὰ πάσχει ὁ Ναβουχοδονόσορ ἀπὸ τρεῖς νέους, δούλους, αἰχμαλώτους, δεμένους, ριγμένους στὴ φωτιά, νὰ νικιέται μπροστὰ σὲ τόσο στραύτευμα καὶ νὰ μὴν μπορεῖ νὰ ὑπερισχύσει σὲ τρία σώματα ὑπόδουλα, νικημένα, ποὺ εἶχαν χάσει πατρίδα, ἐλευθερία, τιμή, ἐξουσία, χρήματα, ποὺ κατοικοῦσαν σὲ ξένη χώρα μακριὰ ἀπὸ τοὺς δικούς τους. Ἂν ὅμως δὲν εἶχε ἐπιτραπεῖ ὁ ἐμπρησμὸς ἐκεῖνος, δὲ θὰ γινόταν τόσο λαμπρὸ τὸ βραβεῖο, δὲ θὰ ἦταν τόσο λαμπερὸ τὸ στεφάνι.

Σκέψου τί ἦταν φυσικὸ νὰ πάσχει ὁ Ἡρώδης, ὅταν ἐλεγχόταν ἀπὸ τὸ φυλακισμένο καὶ ἔβλεπε ὅτι δὲν ἔχανε τὸ θάρρος του οὔτε ἀπὸ τὴν ἁλυσίδα, ἀλλὰ προτιμοῦσε καλύτερα νὰ σφαγιασθεῖ παρὰ νὰ ἐγκαταλείψει τὴ θαυμάσια ἐκείνη ἐλευθεροστομία. Σκέψου ποιός, βλέποντας καὶ ἀκούοντας αὐτὰ κανείς, καὶ ἀπ' αὐτοὺς ποὺ ζοῦσαν τότε καὶ ἀπ' αὐτοὺς ποὺ γεννήθηκαν μετά, καὶ ἂν ἀκόμα εἶναι ὑπερβολικὰ δειλὸς ἀλλ' ἔχει ἔστω καὶ

*τα τῶν ἀνοήτων εἴπῃς, τοὺς βλᾶκας καὶ αὐτόσαρκας ὄντας καὶ φύλλων κουφοτέρους. Οὗτοι γὰρ οὐχὶ τούτοις μόνον, ἀλλὰ καὶ παντὶ σχεδὸν γενομένῳ προσπταίουσιν· ὡς καὶ ὁ Ἰουδαίων δῆμος καὶ μάννα ἐσθίων καὶ ἄρτον, ὁμοίως δυσάρεστος ἦν καὶ ἐν Αἰγύπτῳ ὤν, καὶ ἀπαλλαγεὶς Αἰγύπτου, καὶ παρόντος Μωϋσέως, καὶ ἀπελθόντος. Ἀλλ' ἐκείνους εἰς μέσον ἄγε μοι, τοὺς νήφοντας, τοὺς ἐγρηγορότας καὶ λογίζου πόσην εἰκὸς αὐτοὺς ἐντεῦθεν καρπώσασθαι τὴν ὠφέλειαν, ὁρῶντας ψυχὴν ἀπερίτρεπτον, φρόνημα ἀδούλωτον, γλῶτταν παρρησίας γέμουσαν, ἄνθρωπον ἐρημοπολίτην βασιλέως περιγενόμενον, δεσμούμενον καὶ οὐκ ἐνδιδόντα, ἀποτεμνόμενον καὶ οὐ σιγῶντα· καὶ μηδὲ μέχρι τούτων στῇς, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα ἐξέταζε.*

*Ἀπέτεμεν ὁ Ἡρώδης, ἀπετμήθη ὁ Ἰωάννης. Τίς οὖν ἐστι· ἐν τοῖς ἁπάντων μακαρισμοῖς; τίς ζηλωτός; τίς ἀνακηρύττεται· τίς στεφανοῦται; τίς ἐγκωμιάζεται; τίς ἐπαινεῖται; τίς θαυμάζεται; τίς μέχρι σήμερον ἐλέγχει; Οὐ καθ' ἑκάστην Ἐκκλησίαν ὁ μὲν βοᾷ, «οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου», ὁ δὲ στηλιτεύεται καὶ μετὰ τελευτὴν ἐπὶ τῇ μοιχείᾳ καὶ τῇ παρανοίᾳ καὶ τῇ θρασύτητι; Σκόπει δὲ μετὰ τῶν εἰρημένων, ὅση τοῦ δεσμώτου ἡ δύναμις, καὶ τοῦ τυράννου ἡ ἀσθένεια. Ὁ μὲν γὰρ οὐκ ἴσχυσε μίαν ἐπιστομίσαι γλῶτταν, ἀλλ' ἀνελὼν αὐτήν, μυρία ἀντ' ἐκείνης καὶ μετ' ἐκείνης ἠνέῳξε στόματα, ὁ δὲ καὶ τότε αὐτὸν εὐθέως ἐφόβησε μετὰ τὴν σφαγὴν (οὕτω γὰρ αὐτοῦ τὸ συνειδὸς κατέσειεν ὁ φόβος, ὡς νομίζειν αὐτὸν τότε καὶ ἐκ νεκρῶν ἀναστάντα θαυματουργεῖν) καὶ νῦν δὲ καὶ ἐξ ἐκείνου διὰ παντὸς τοῦ χρόνου κατὰ πᾶσαν αὐτὸν ἐλέγχει τὴν οἰκουμένην καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων.*

*Ἕκαστος γὰρ τὸ εὐαγγέλιον ἀναγινώσκων τοῦτο, λέγει «οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου»*

---

106 Βλ. Λουκᾶ 17,2.

λίγο μυαλό, δὲ θὰ φύγει μὲ μεγάλα κέρδη. Μὴ μοῦ πεῖς βέβαια τοὺς χωρὶς καμιά ἀξία ἀνόητους, ποὺ εἶναι βλάκες καὶ τελείως σαρκικοὶ καὶ πιὸ ἐλαφροὶ ἀπὸ τὰ φύλλα. Γιατὶ αὐτοὶ ὄχι μόνο σ' αὐτά, ἀλλὰ καὶ σὲ κάθετι σχεδὸν ποὺ γίνεται σκοντάφτουν, ὅπως καὶ οἱ Ἰουδαῖοι ἦταν τὸ ἴδιο δυσαρεστημένοι καὶ ὅταν ἔτρωγαν τὸ μάννα καὶ τὸ ψωμί, καὶ ὅταν βρίσκονταν στὴν Αἴγυπτο, καὶ ὅταν γλύτωσαν ἀπὸ τὴν Αἴγυπτο, καὶ ὅταν ζοῦσε ὁ Μωυσῆς, καὶ ὅταν πέθανε. Ἀλλὰ φέρε μου ἐκείνους ποὺ εἶναι νηφάλιοι, ποὺ εἶναι προσεκτικοί, καὶ σκέψου πόση ὠφέλεια ἦταν φυσικὸ νὰ κερδίσουν αὐτοὶ ἀπὸ ἐδῶ, ὅταν ἔβλεπαν ψυχὴ ἀκλόνητη, φρόνημα ἀδούλωτο, γλώσσα γεμάτη παρρησία, ἄνθρωπο ἐρημοπολίτη νὰ νικάει βασιλιά, νὰ φυλακίζεται καὶ νὰ μὴν ὑποχωρεῖ, ν' ἀποκεφαλίζεται καὶ νὰ μὴν σιωπᾶ. Καὶ νὰ μὴ σταθεῖς σ' αὐτὰ μόνο, ἀλλ' ἐξέταζε καὶ τὰ ἑπόμενα.

Ἀποκεφάλισε ὁ Ἡρώδης, ἀποκεφαλίσθηκε ὁ Ἰωάννης. Ποιός λοιπὸν μακαρίζεται ἀπ' ὅλους; ποιός εἶναι ἀξιοθαύμαστος; ποιός ἀνακηρύσσεται; ποιός στεφανώνεται; ποιός ἐγκωμιάζεται; ποιός ἐπαινεῖται; ποιός θαυμάζεται; ποιός ἐλέγχει μέχρι σήμερα; Δὲ φωνάζει κάθε ἡμέρα ὁ ἕνας στὴν Ἐκκλησία, «δὲ σοῦ ἐπιτρέπεται νὰ ἔχεις τὴ γυναίκα τοῦ Φιλίππου τοῦ ἀδελφοῦ σου»[105], ἐνῶ ὁ ἄλλος δὲν κατακρίνεται καὶ μετὰ τὸ θάνατό του γιὰ τὴ μοιχεία, τὴν παραφροσύνη καὶ τὴν ἀναίδειά του; Σκέψου μαζὶ μ' αὐτὰ ποὺ εἴπαμε πόση εἶναι ἡ δύναμη τοῦ φυλακισμένου καὶ ἡ ἀδυναμία τοῦ τυράννου. Γιατὶ ὁ ἕνας δὲν μπόρεσε νὰ κλείσει μία γλώσσα, ἀλλὰ κόβοντάς την ἄνοιξε ἄπειρα στόματα στὴ θέση της καὶ μαζί της, ἐνῶ ὁ ἄλλος καὶ τότε τὸν φόβισε ἀμέσως μετὰ τὴ σφαγὴ (γιατὶ τόσο πολὺ τάραξε τὴ συνείδησή του ὁ φόβος, ὥστε νὰ νομίζει τότε ὅτι ἀναστήθηκε ἀπὸ τοὺς νεκροὺς καὶ κάμνει θαύματα), ἀλλὰ καὶ τώρα, ἀπὸ ἐκεῖνο τὸν χρόνο καὶ μετά, πάντοτε τὸν ἐλέγχει σὲ ὅλη τὴν οἰκουμένη, καὶ αὐτὸς ὁ ἴδιος του καὶ μὲ τοὺς ἄλλους.

Γιατὶ ὁ καθένας ποὺ διαβάζει τὸ εὐαγγέλιο αὐτὸ λέγει, «δὲ σοῦ ἐπιτρέπεται νὰ ἔχεις τὴ γυναίκα τοῦ Φιλίππου τοῦ

*καὶ τοῦ εὐαγγελίου χωρὶς ἐν συλλόγοις καὶ συνουσίαις ταῖς οἴκοι, ταῖς ἐν ἀγορᾷ, ταῖς ἀπανταχοῦ κἂν εἰς τὴν Περσῶν χώραν ἀπέλθῃς κἂν εἰς τὴν Ἰνδῶν κἂν εἰς τὴν Μαύρων κἂν ὅσην ἥλιος ἐφορᾷ γῆν καὶ πρὸς αὐτὰς τὰς ἐσχατιάς, ταύτης ἀκούσῃ τῆς φωνῆς καὶ ὄψει τὸν δίκαιον ἐκεῖνον ἔτι καὶ νῦν βοῶντα, ἐνηχοῦντα καὶ τὴν κακίαν ἐλέγχοντα τοῦ τυράννου καὶ οὐδέποτε σιγῶντα, οὐδὲ τῷ πλήθει τοῦ χρόνου τὸν ἔλεγχον μαραινόμενον. Τί τοίνυν ἀπὸ τῆς τελευτῆς παρεβλάβη ὁ δίκαιος ἐκεῖνος; Τί δὲ ἀπὸ τοῦ βιαίου θανάτου; Τί δὲ ἀπὸ τῆς ἁλύσεως; Τί δὲ ἀπὸ τοῦ δεσμωτηρίου; Τίνας δὲ οὐ ὤρθωσε τῶν νοῦν ἐχόντων, ἀφ' ὧν ἔπαθεν, ἀφ' ὧν ἔτι καὶ νῦν κηρύττει τὰ αὐτά, ἃ καὶ τότε ζῶν; Μὴ τοίνυν λέγε, διὰ τί συνεχωρήθη ἀποθανεῖν; Οὐ γὰρ θάνατος ἦν, ἀλλὰ στέφανος τὸ γεγενημένον· οὐ τελευτή, ἀλλὰ μείζονος ζωῆς προοίμια. Μάθε φιλοσοφεῖν καὶ οὐ μόνον οὐδὲν ἐκ τῶν τοιούτων βλαβήσῃ, ἀλλὰ καὶ τὰ μέγιστα κερδανεῖς.*

*Τί δὲ ἡ Αἰγυπτία γυνή; Οὐ κατηγόρησεν; οὐκ ἐσυκοφάντησεν; οὐκ ἔδησε τὸν δίκαιον; οὐκ εἰς δεσμωτήριον ἐνέβαλεν; οὐ τὸν περὶ τῶν ἐσχάτων ἐπεκρέμασεν αὐτῷ κίνδυνον; οὐκ ἀνεῖλε, τό γε εἰς αὐτὴν ἧκον; οὐ πονηρὰν περιέθηκε δόξαν; Τί οὖν αὐτὸν παρέβλαψεν ἢ τότε ἢ νῦν; Καθάπερ γὰρ πυρὸς ἄνθρακες ὑπὸ ἀχύρων καλυφθέντες, παρὰ μὲν τὴν ἀρχὴν σκιάζεσθαι δοκοῦσιν, ἀθρόον δὲ διαφαγόντες τὰ ἐπικείμενα, δι' αὐτῶν ἐκείνων τῶν ἀχύρων ὑψηλοτέραν ἀνάπτουσι τὴν φλόγα, οὕτω δὴ καὶ ἡ ἀρετή, κἂν ἐπηρεάζεσθαι δοκῇ, ὕστερον δὴ δι' αὐτῶν τῶν κωλυμάτων μειζόνως ἀνθεῖ, καὶ εἰς αὐτὸν φθάνει τὸν οὐρανόν. Τί γὰρ μακαριώτερον γένοιτ' ἂν τοῦ νεανίσκου ἐκείνου διὰ τὴν συκοφαντίαν, διὰ τὴν ἐπιβουλήν, οὐ διὰ τὸν θρόνον τὸν ἐν Αἰγύπτῳ, οὐδὲ διὰ τὴν ἐκεῖ βασιλείαν; Πανταχοῦ γὰρ τοῖς πάθεσιν αἱ δόξαι καὶ αἱ εὐδοκιμήσεις, καὶ οἱ στέφανοί εἰσι συγκεκληρωμένοι. Οὐχὶ καὶ τοῦτον πάντες πανταχοῦ τῆς οἰκουμένης ᾄδουσι; Καὶ χρόνου τοσούτου πλῆθος οὐκ ἐμάρανεν αὐτοῦ*

ἀδελφοῦ σου»· καὶ ἐκτὸς ἀπὸ τὸ εὐαγγέλιο καὶ σὲ συνάξεις καὶ συντροφιὲς ποὺ γίνονται στὸ σπίτι, στὴν ἀγορά, καὶ παντοῦ, καὶ εἴτε πᾶς στὴ χώρα τῶν Περσῶν, εἴτε στὴ χώρα τῶν Ἰνδῶν, εἴτε στὴ χώρα τῶν Μαύρων, εἴτε σὲ ὅση γῆ ἐπιβλέπει ὁ ἥλιος καὶ σ' αὐτὲς ἀκόμη τὶς ἄκρες τοῦ κόσμου, θ' ἀκούσεις αὐτὴ τὴ φωνὴ καὶ θὰ δεῖς ἐκεῖνον τὸ δίκαιο ἀκόμη καὶ τώρα νὰ φωνάζει, νὰ διδάσκει, καὶ νὰ ἐλέγχει τὴν κακία τοῦ τυράννου, καὶ ποτὲ νὰ μὴ σιωπᾶ οὔτε νὰ ἐξασθενίζει ὁ ἔλεγχος μὲ τὸν πολὺ καιρό. Τί λοιπὸν ζημιώθηκε ἀπὸ τὸ τέλος του ὁ δίκαιος ἐκεῖνος; τί ἀπὸ τὸ βίαιο θάνατο; τί ἀπὸ τὴν ἁλυσίδα; τί ἀπὸ τὴ φυλακή; καὶ ποιούς ἀπὸ τοὺς συνετοὺς δὲ στήριξε μ' αὐτὰ ποὺ εἶπε, μ' αὐτὰ ποὺ ἔπαθε, μ' αὐτὰ τὰ ἴδια ποὺ ἀκόμη καὶ τώρα κηρύσσει, τὰ ὁποῖα κήρυττε καὶ τότε ὅταν ζοῦσε; Νὰ μὴ λές λοιπόν, γιατί ἐπέτρεψε νὰ πεθάνει; Γιατὶ δὲν ἦταν θάνατος αὐτὸ ποὺ ἔγινε, ἀλλὰ στεφάνι· δὲν ἦταν τέλος, ἀλλὰ πρόλογος μεγαλύτερης ζωῆς. Μάθε νὰ φιλοσοφεῖς, καὶ ὄχι μόνο δὲ θὰ ζημιωθεῖς καθόλου ἀπ' αὐτά, ἀλλὰ καὶ θὰ ἐπιτύχεις τὰ πιὸ μεγάλα κέρδη.

Τί πάλι ἡ Αἰγύπτια γυναίκα; Δὲν κατηγόρησε; δὲ συκοφάντησε; δὲν ἔδεσε τὸν δίκαιο; δὲν τὸν ἔκλεισε στὴ φυλακή; δὲν τὸν ἀπείλησε μὲ τὸν κίνδυνο τῆς ζωῆς του; δὲ τὸν σκότωσε, ὅσο βέβαια ἦταν στὸ χέρι της; δὲν τοῦ περιέβαλε μὲ κακὴ φήμη; Τί λοιπὸν τὸν ἔβλαψε ἢ τότε ἢ τώρα; Γιατί, ὅπως ἀκριβῶς τὰ ἀναμμένα κάρβουνα, ὅταν σκεπαστοῦν ἀπὸ ἄχυρα, στὴν ἀρχὴ φαίνονται πὼς εἶναι στὴ σκιά, ὅταν ὅμως διὰ μιᾶς καταφάγουν τὰ ἄχυρα ποὺ βρίσκονται πάνω τους, ἀνάβουν μ' αὐτὰ τὰ ἴδια τὰ ἄχυρα πιὸ ψηλὴ τὴ φλόγα, ἔτσι λοιπὸν καὶ ἡ ἀρετή, καὶ ἂν ἀκόμη φανεῖ πὼς προσβάλλεται, ὕστερα μ' αὐτὰ τὰ ἴδια τὰ ἐμπόδια ἀκμάζει πιὸ πολὺ καὶ φθάνει στὸν ἴδιο τὸν οὐρανό. Γιατὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ μακάριο ἀπὸ τὸ νέο ἐκεῖνον ἐξ αἰτίας τῆς συκοφαντίας, ἐξ αἰτίας τῆς ἐπιβουλῆς, ὄχι ἐξ αἰτίας τοῦ θρόνου στὴν Αἴγυπτο, οὔτε ἐξ αἰτίας τῆς ἐκεῖ βασιλείας; Γιατὶ παντοῦ μαζὶ μὲ τὰ πάθη εἶναι κληρωμένα οἱ δόξες καὶ οἱ ἐπιτυχίες καὶ τὰ στεφάνια. Καὶ τόσο πολὺς χρόνος δὲν

*τὴν μνήμην, ἀλλὰ τῶν βασιλικῶν εἰκόνων λαμπρότερόν τε καὶ διαρκέστερον αἱ τῆς ἀρετῆς καὶ τῆς σωφροσύνης αὐτοῦ πανταχοῦ τῆς οἰκουμένης ἀνάκεινται εἰκόνες, ἐν τῇ τῶν Ρωμαίων, ἐν τῇ βαρβάρων χώρᾳ, ἐν τῳ ἑκάστου συνειδότι, ἐν τῇ ἑκάστου γλώττῃ.*

*Καὶ ὁρῶμεν αὐτὸν ἅπαντες κατεχόμενον, ἀγχόμενον, συμβουλεύοντα τῇ ἀθλίᾳ καὶ ταλαιπώρῳ πόρνῃ τὰ δέοντα, καὶ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέροντα εἰς τὴν ἐκείνης σωτηρίαν, ἐντρέποντα αὐτῆς τὴν ἀναισχυντίαν, σβεννύντα τὴν κάμινον, χειμῶνος ἐξαρπάσαι ἐπιχειροῦντα χαλεποῦ, καὶ εἰς τὴν γαλήνην ὁρμίζοντα· εἶτα, ἐπειδὴ τὸ κλυδωνίον ὑπερέσχε καὶ ὑπέραντλον τὸ πλοῖον γέγονε, ναυαγούσης ἐκείνης, φεύγοντα τὰ κύματα καὶ ἐπὶ τὴν στερεὰν τῆς σωφροσύνης πέτραν τρέχοντα καὶ τὰ ἱμάτια ἐν ταῖς ἐκείνης καταλιμπάνοντα χερσί, καὶ τῶν τὰς πορφυρίδας περιβεβλημένων λαμπρότερον ἐν τῇ γυμνότητι φαινόμενον καὶ καθάπερ ἀριστέα τινὰ καὶ τροπαιοῦχον φαιδρόν, τὸ τρόπαιον ἱστῶντα τῆς σωφροσύνης. Καὶ οὐδὲ ἐν τούτοις καταλύομεν τὴν μνήμην, ἀλλὰ περαιτέρω προϊόντες, ὁρῶμεν αὐτὸν πάλιν εἰς δεσμωτήριον ἀπαγόμενον, δεδεμένον, αὐχμῶντα, πολὺν ἐκεῖ τηκόμενον χρόνον. Καὶ διὰ ταῦτα μάλιστα θαυμάζομεν πάλιν αὐτόν, μακαρίζομεν, ἐκπληττόμεθα, ἐπαινοῦμεν. Κἂν σώφρων τις ᾖ, ἐννοῶν αὐτὸν σωφρονέστερος γίνεται· κἂν ἀκόλαστος, τάχιον τῷ διηγήματι πρὸς σωφροσύνην μεθίσταται καὶ ὑπὸ τῆς ἱστορίας ἀμείνων καθίσταται.*

*Ταῦτα τοίνυν ἅπαντα ἀναλέγοντες, μηδὲν θορυβεῖσθε, ἀλλὰ καὶ κερδαίνετε ἐκ τῶν γινομένων· καὶ ἡ τῶν ἀθλούντων ὑπομονὴ γινέσθω καρτερίας ὑμῖν διδάσκαλος, καὶ πάντα τὸν βίον τῶν γενναίων καὶ ὑψηλῶν ἀνδρῶν ὁρῶντες διὰ τοιούτων ὑφαινόμενον, μὴ συγχεῖσθε, μηδὲ ταράτεσθε, μήτε τοῖς ἰδίοις, μήτε τοῖς κοινοῖς πειρασμοῖς· καὶ γὰρ καὶ ἡ Ἐκκλησία ἐξ ἀρχῆς οὕτως ἐτράφη, οὕτως ηὐξήθη. Μηδὲν οὖν ξενίζεσθε· οὐδὲν γὰρ*

ἔσβησε τὴ μνήμη του, ἀλλὰ πιὸ λαμπρὰ καὶ πιὸ μόνιμα ἀπὸ τὶς βασιλικὲς εἰκόνες κρέμονται οἱ εἰκόνες τῆς ἀρετῆς καὶ τῆς σωφροσύνης του παντοῦ στὴν οἰκουμένη, στὴ χώρα τῶν Ρωμαίων, στὴ χώρα τῶν βαρβάρων, στὴ συνείδηση τοῦ καθενός, στὴ γλώσσα τοῦ καθενός.

Καὶ τὸν βλέπουμε ὅλοι νὰ πιέζεται, νὰ στενοχωριέται, νὰ συμβουλεύει τὴν ἄθλια καὶ ταλαίπωρη πόρνη αὐτὰ ποὺ πρέπει καὶ νὰ προσφέρει ὅλα τὰ δικά του γιὰ τὴ σωτηρία της, νὰ ἐλέγχει τὴν ἀδιαντροπιά της, νὰ σβήνει τὸ καμίνι, νὰ προσπαθεῖ νὰ τὴ σώσει ἀπὸ φοβερὴ τρικυμία καὶ νὰ τὴν ὁδηγεῖ σὲ γαλήνιο λιμάνι. Ἔπειτα, ἐπειδὴ ὑπερίσχυσε ἡ θαλασσοταραχὴ καὶ τὸ πλοῖο γέμισε νερά, ἐνῶ ἐκείνη ναυαγοῦσε, τὸν βλέπουμε νὰ ξεφεύγει τὰ κύματα, καὶ νὰ τρέχει στὴ στερεὰ πέτρα τῆς σωφροσύνης, καὶ νὰ ἐγκαταλείπει τὰ ροῦχα του στὰ δικά της χέρια, καὶ γυμνὸς νὰ φαίνεται πιὸ λαμπρὸς ἀπὸ ἐκείνους ποὺ φοροῦν τὶς βασιλικὲς προρφύρες, καὶ σὰν κάποιος νικητὴς καὶ τροπαιοῦχος λαμπρὸς νὰ στήνει τὸ τρόπαιο τῆς σωφροσύνης. Καὶ οὔτε σ' αὐτὰ σταματοῦμε τὴ μνήμη μας, ἀλλὰ προχωρώντας πιὸ πέρα, τὸν βλέπουμε πάλι νὰ ὁδηγεῖται στὴ φυλακή, νὰ εἶναι δεμένος, νὰ εἶναι ρυπαρός, νὰ λειώνει ἐκεῖ πολὺ καιρό. Καὶ γι' αὐτὰ κυρίως τὸν θαυμάζουμε πάλι, τὸν μακαρίζουμε, νιώθουμε ἔκπληξη, τὸν ἐπαινοῦμε. Καὶ ἂν κανεὶς εἶναι συνετός, ἔχοντας στὸ νοῦ του αὐτὸν γίνεται πιὸ συνετός, καὶ ἂν εἶναι ἀκόλαστος, μὲ τὴ διήγηση αὐτὴ πιὸ γρήγορα ἀλλάζει πρὸς τὴ σωφροσύνη καὶ ἀπὸ τὴν ἱστορία γίνεται καλύτερος.

Ἀναφέροντας λοιπὸν ὅλα αὐτά, νὰ μὴν ἀνησυχεῖτε καθόλου, ἀλλὰ καὶ νὰ κερδίζετε ἀπ' αὐτὰ ποὺ γίνονατι. Καὶ ἡ ὑπομονὴ ἐκείνων ποὺ ἀγωνίζονται ἂς γίνει σὲ σᾶς διδάσκαλος καρτερίας καὶ βλέποντας ὅλη τὴ ζωὴ τῶν γενναίων καὶ μεγάλων ἀνδρῶν νὰ ὑφαίνεται ἀπὸ τέτοια παθήματα, νὰ μὴ συγχίζεστε, οὔτε νὰ ταράζεστε, οὔτε ἀπὸ τοὺς δικούς σας οὔτε ἀπὸ τοὺς κοινοὺς πειρασμούς· γιατὶ καὶ ἡ Ἐκκλησία ἀπὸ τὴν ἀρχὴ ἔτσι τράφηκε, ἔτσι μεγάλωσε. Μὴν παραξενεύεστε λοιπὸν καθόλου,

*ἀπεικὸς γέγονεν. Ἀλλ' ὥσπερ ἐπὶ τῶν βιωτικῶν, οὐκ ἔνθα ἄχυρα καὶ χόρτος, οὐδὲ ἔνθα ἄμμος, ἀλλ' ἔνθα χρυσίον καὶ μαργαρῖται, ἐκεῖ πειραταὶ καὶ καταποντισταὶ καὶ λῃσταὶ καὶ τοιχωρύχοι συνεχῶς ἐνοχλοῦσι καὶ ἐπιβουλεύουσιν, οὕτω καὶ ὁ διάβολος ἔνθα ἂν ἴδῃ πλοῦτον συναγόμενον τὸν κατὰ ψυχὴν καὶ εὐπορίαν εὐσεβείας ἐπιτεινομένην, ἐκεῖ τὰ μηχανήματα ἵστησι καὶ προσάγει. Ἀλλ' ἐὰν οἱ ἐπιβουλευόμενοι νήφωσιν, οὐ μόνον οὐδὲν ἐλαττοῦνται ἐντεῦθεν, ἀλλὰ καὶ μείζονα τὸν πλοῦτον τῆς ἀρετῆς συνάγουσιν· ὃ δὴ καὶ νῦν γέγονε.*

*23. Καὶ μέγιστον ἄν τις τοῦτο σημεῖον καὶ τοῦ πλούτου τῶν κατορθωμάτων καὶ τῆς ἀνδρείας τῆς Ἐκκλησίας ποιήσειεν. Ὅτε γὰρ εἶδεν αὐτὴν ὁ πονηρὸς δαίμων ἐκεῖνος ἀνθοῦσαν, εὐδοκιμοῦσαν, ἐν βραχείᾳ καιροῦ ῥοπῇ πρὸς ὕψος ἀνενεχθεῖσαν, πολλὴν σπουδὴν ἐν αὐτῇ γινομένην καὶ τὴν μὲν τῶν εὐδοκιμούντων ἐπὶ τὸ βέλτιον ἐπίδοσιν, τῶν ἐν ἁμαρτίαις ζώντων εἰς μετάνοιαν μετάστασιν, πᾶσαν τὴν οἰκουμένην ἀπὸ τῆς πόλεως ταύτης κατηχουμένην· πάντα ἐκίνησεν αὐτοῦ τὰ μηχανήματα καὶ ἐμφυλίους ἀνῆψε πολέμους. Καὶ καθάπερ ἐπὶ τοῦ Ἰώβ, νῦν μὲν τὴν ἀποβολὴν τῶν χρημάτων, νῦν δὲ τὴν ἀπαιδίαν, νῦν δὲ τὴν ἀρρωστίαν τοῦ σώματος, νῦν δὲ τῆς γυναικὸς τὴν γλῶτταν, νῦν δὲ τῶν φίλων τὰ ὀνείδη καὶ τὰ σκώμματα καὶ τὰς λοιδορίας ἐκίνει κατὰ τοῦ δικαίου καὶ πᾶν εἶδος μηχανημάτων προσῆγεν· οὕτω καὶ ἐπὶ τῆς Ἐκκλησίας, διὰ φίλων, δι' ἐχθρῶν, διὰ τῶν εἰς κλῆρον τελούντων, διὰ τῶν εἰς στρατείαν καταλεγομένων, διὰ τῶν ἐπισκοπῇ τετιμημένων, διὰ πολλῶν καὶ παντοδαπῶν προσώπων τὰ παρ' ἑαυτοῦ ἐκίνησεν.*

*Ἀλλ' ὅμως καὶ τοσαῦτα μηχανησάμενος, οὐ μόνον αὐτὴν οὐκ ἐσάλευσεν, ἀλλὰ καὶ λαμπροτέραν ἐποίησεν. Οὐ γὰρ οὕτω τότε μὴ ἐνοχλουμένη πάντας ἐπαίδευσεν, ὡς νῦν τὴν οἰκουμένην διδάσκει καρτερεῖν, ἐγκρατεύεσθαι, φέρειν πειρασμούς, ὑπομονὴν ἐπιδείκνυσθαι, καταφρονεῖν τῶν βιωτικῶν, μηδὲν ἡγεῖσθαι*

γιατὶ τίποτε τὸ ἀφύσικο δὲν ἔγινε. Ἀλλ' ὅπως ἀκριβῶς στὰ βιοτικά, ὄχι ὅπου ὑπάρχουν ἄχυρα καὶ χορτάρι, οὔτε ὅπου ὑπάρχει ἄμμος, ἀλλ' ὅπου ὑπάρχει χρυσάφι καὶ μαργαριτάρια, ἐκεῖ ἐνοχλοῦν καὶ μελετοῦν τὸ κακὸ πειρατὲς καὶ καταποντιστὲς καὶ ληστὲς καὶ διαρρῆκτες, ἔτσι καὶ ὁ διάβολος ὅπου θὰ δεῖ ἀφθονία τῆς εὐσέβειας ἐκεῖ στήνει καὶ ὁδηγεῖ τὶς μηχανές του. Ὅμως, ἂν αὐτοὶ ποὺ ἐπιβουλεύονται εἶναι νηφάλιοι, ὄχι μόνο δὲ ζημιώνονται καθόλου ἀπὸ ἐδῶ, ἀλλὰ καὶ μεγαλύτερο τὸν πλοῦτο τῆς ἀρετῆς μαζεύουν, πράγμα ἀκριβῶς ποὺ ἔγινε καὶ τώρα.

23. Καὶ θὰ μποροῦσε κανεὶς νὰ θεωρήσει αὐτὸ μέγιστη ἀπόδειξη καὶ τοῦ πλήθους τῶν κατορθωμάτων καὶ τῆς ἀνδρείας τῆς Ἐκκλησίας. Γιατί, ὅταν τὴν εἶδε ὁ πονηρὸς ἐκεῖνος δαίμονας νὰ ἀκμάζει, νὰ εὐδοκιμεῖ, μέσα σὲ σύντομο χρονικὸ διάστημα νὰ ἔχει ἀνεβεῖ στὰ ὕψη, νὰ γεννιέται σ' αὐτὴ μεγάλο ἐνδιαφέρον, καὶ ὅταν εἶδε τὴν προκοπὴ πρὸς τὸ καλύτερο αὐτῶν ποὺ εὐδοκιμοῦν, τὴν προσχώρηση στὴ μετάνοια ἐκείνων ποὺ ζοῦν στὶς ἁμαρτίες, ὅλη τὴν οἰκουμένη νὰ διδάσκεται ἀπὸ τὴν πόλη αὐτή, κίνησε ὅλες τὶς μηχανές του καὶ ἄναψε ἐμφύλιους πολέμους. Καὶ ὅπως στὴν περίπτωση τοῦ Ἰώβ, ἄλλοτε τὴ στέρηση τῶν χρημάτων, ἄλλοτε τὴν ἀπώλεια τῶν παιδιῶν, ἄλλοτε τὴν ἀρρώστια τοῦ σώματος, ἄλλοτε τὴ γλώσσα τῆς γυναίκας, ἄλλοτε τὶς προσβολὲς καὶ τὰ πειράγματα καὶ τὶς κατηγορίες κινοῦσε ἐναντίον τοῦ δικαίου καὶ ὁδηγοῦσε ἐναντίον του κάθε εἴδους μηχανές, ἔτσι καὶ στὴν Ἐκκλησία κίνησε τὰ δικά του μὲ φίλους, μὲ ἐχθρούς, μ' αὐτοὺς ποὺ ὑπηρετοῦν στὸν κλῆρο, μ' αὐτοὺς ποὺ ἀνήκουν στὸ στρατό, μ' αὐτοὺς ποὺ ἔχουν τιμηθεῖ μὲ ἐπισκοπή, καὶ μὲ πολλὰ καὶ ποικίλα ἄλλα πρόσωπα.

Ἀλλ' ὅμως, ἂν καὶ ἐπινόησε τόσα πολλά, ὄχι μόνο δὲν τὴν κλόνισε, ἀλλὰ καὶ τὴν ἔκαμε πιὸ λαμπρή. Γιατὶ δὲν τοὺς δίδαξε ὅλους τόσο τότε ποὺ δὲν ἐνοχλοῦνταν, ὅσο τώρα διδάσκει τὴν οἰκουμένη νὰ ἔχει καρτερία, νὰ ἔχει ἐγκράτεια, νὰ ὑπομένει τοὺς πειρασμούς, νὰ δείχνει ὑπομονή, νὰ περιφρονεῖ τὰ βιοτικά,

*πλοῦτον, καταγελᾶν τιμῆς, ὑπερορᾶν θανάτου, καταφρονεῖν ζωῆς, πατρίδα παρορᾶν, οἰκείους, φίλους, συγγενεῖς, πρὸς σφαγὰς ἀποδύεσθαι παντοδαπάς, κατὰ ξιφῶν κυβιστᾶν, τὰ λαμπρὰ ἅπαντα τοῦ παρόντος βίου, τιμὰς λέγω καὶ δόξας, καὶ δυναστείαν, καὶ τρυφήν, τῶν ἠρινῶν ἀνθῶν εὐτελέστερα εἶναι νομίζειν. Καὶ ταῦτα οὐχ εἷς παιδεύει μόνον, οὐδὲ δύο καὶ τρεῖς, ἀλλὰ πᾶς ὁ λαός, καὶ οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων, δι' ὧν πάσχουσι, δι' ὧν νικῶσι, δι' ὧν περιγίνονται τῶν ἐπιβουλευόντων, δι' ὧν ἀδάμαντος στερρότερον καὶ πέτρας ἰσχυρότερον ἅπαντα στέγουσιν, οὐχ ὅπλα κινοῦντες, οὐ πόλεμον ἀναρριπίζοντες, οὐ τόξον, οὐ βέλη ἀφιέντες, ἀλλ' ὑπομονῆς τεῖχος ἕκαστος περιβεβλημένος, ἐμμελείας, πρᾳότητος, ἀνδρείας, τῷ πάσχειν κακῶς τοὺς ποιοῦντας ἐκ πολλοῦ τοῦ περιόντος καταισχύνοντες.*

*24. Νῦν γοῦν οὗτοι μὲν φαιδρῷ τῷ προσώπῳ, ἐλευθέροις τοῖς ὀφθαλμοῖς, παρρησίᾳ ἀφάτῳ κεχρημένοι, εἰς ἀγορὰν ἐμβάλλουσιν, ἐν οἰκίαις στρέφονται, πρὸς τὴν σύναξιν αὐτομολοῦσιν· οἱ δὲ ταῦτα ἐργασάμενοι, καθ' ἕκαστον τῶν μηχανημάτων, ὧν προσάγουσιν, ἐγκαλυπτόμενοι, καὶ πονηρὸν ἔνδον ἔχοντες συνειδός, τρέμοντες, δεδοικότες, οὕτω περιίασι. Καὶ καθάπερ τὰ δυσθάνατα τῶν θηρίων μετὰ προτέραν καὶ δευτέραν πληγὴν σφοδροτέρως ἐπιπίπτοντα ταῖς αἰχμαῖς τῶν δοράτων, χαλεπωτέραν καθ' ἑαυτῶν ὠθεῖ τὴν πληγήν, τὰ τραύματα εἰς αὐτὰ τὰ σπλάγχνα δεχόμενα· καὶ τὰ κύματα ταῖς πέτραις ῥηγνύμενα, τῇ σφοδροτέρᾳ ῥύμῃ ἑαυτὰ ἀφανίζει καὶ διαλύει· οὕτω δὴ καὶ οὗτοι δι' ὧν ἐπιβουλεύουσιν, ἑαυτοῖς μᾶλλον ἢ ἑτέροις τὰ βάραθρα ἀνορύττουσιν.*

*Οἱ μὲν γὰρ ἐπιβουλευόμενοι τὴν οἰκουμένην ἐραστὰς ἔχουσιν, ἐπαινέτας, θαυμαστάς, ἀνακηρύττοντας, στεφανοῦντας, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας, τοὺς ἀπὸ τῶν πραγμάτων, τοὺς ἀπὸ τῆς φήμης τὰ ἐκείνων μανθάνοντας, τοὺς συναλγοῦντας μυ-*

νὰ μὴ λογαριάζει καθόλου τὸν πλοῦτο, νὰ περιγελᾶ τὶς τιμές, νὰ περιφρονεῖ τὸ θάνατο, νὰ καταφρονεῖ τὴ ζωή, νὰ ἀδιαφορεῖ γιὰ πατρίδα, οἰκείους, φίλους, συγγενεῖς, νὰ προτιμᾶ κάθε εἴδους σφαγές, νὰ πέφτει μὲ τὸ κεφάλι πάνω στὰ ξίφη, ὅλα τὰ λαμπρὰ τῆς παρούσας ζωῆς, δηλαδὴ τιμὲς καὶ δόξες καὶ ἐξουσία καὶ ἀπολαύσεις, νὰ τὰ θεωρεῖ πὼς εἶναι πιὸ ἀσήμαντα ἀπὸ τὰ ἀνοιξιάτικα ἄνθη. Καὶ αὐτὰ δὲν τὰ διδάσκει ἕνας μόνο, οὔτε δύο καὶ τρεῖς, ἀλλ' ὅλος ὁ λαός, καὶ ὄχι μόνο μὲ λόγια ἀλλὰ καὶ μὲ ἔργα, μ' αὐτὰ ποὺ παθαίνουν, μ' αὐτὰ ποὺ νικοῦν, μ' αὐτὰ ποὺ ὑπερισχύουν ὅσους τοὺς ἐπιβουλεύονται, μ' ὅλα αὐτὰ ποὺ ὑπομένουν πιὸ στερρεὰ ἀπὸ τὸ διαμάντι καὶ πιὸ δυνατὰ ἀπὸ τὴν πέτρα, χωρὶς νὰ παίρνουν ὅπλα, χωρὶς νὰ προκαλοῦν πόλεμο, χωρὶς νὰ ρίχνουν τόξο καὶ βέλη, ἀλλ' ἔχοντας ὁ καθένας γύρω του τεῖχος ὑπομονῆς, κοσμιότητας, πραότητας, ἀνδρείας, καὶ καταντροπιάζοντας ὑπερβολικὰ αὐτοὺς ποὺ κάνουν τὸ κακὸ μὲ τὸ νὰ ὑποφέρουν τὸ κακό.

24. Τώρα λοιπὸν αὐτοὶ μὲ χαρούμενο τὸ πρόσωπο, μὲ ἀθῶα τὰ μάτια, ἔχοντας παρρησία ἀπερίγραπτη, πηγαίνουν στὴ ἀγορά, κυκλοφοροῦν στὰ σπίτια, ἔρχονται στὴ σύναξη, ἐνῶ ἐκεῖνοι ποὺ τὰ ἔπραξαν αὐτά, κρύβοντας τὰ αἰσθήματά τους μὲ τὴν κάθε μηχανὴ ποὺ παρουσιάζουν καὶ ἔχοντας μέσα τους πονηρὴ συνείδηση, μὲ τρόμο, μὲ φόβο, ἔτσι περιφέρονται. Καὶ ὅπως τὰ θηρία ποὺ πεθαίνουν δύσκολα μετὰ τὸ πρῶτο καὶ τὸ δεύτερο κτύπημα ὁρμοῦν σφοδρότερα στὶς αἰχμὲς τῶν δοράτων καὶ κάνουν πιὸ φοβερὸ τὸ κτύπημα ἐναντίον τοῦ ἑαυτοῦ τους, ἀφοῦ δέχονται τὰ τραύματα στὰ ἴδια τὰ σπλάχνα τους, καὶ ὅπως τὰ κύματα ποὺ θραύονται στὶς πέτρες, μὲ τὴ δυνατὴ ὁρμὴ ποὺ πέφτουν τὰ ἴδια ἐξαφανίζονται καὶ διαλύονται, ἔτσι ἀκριβῶς καὶ αὐτοὶ μὲ ὅσα ἐπιβουλεύονται στὸν ἑαυτό τους μᾶλλον παρὰ στοὺς ἄλλους σκάβουν τὰ βάραθρα.

Γιατὶ ἐκεῖνοι ποὺ βλάπτονται ἔχουν ὅλη τὴν οἰκουμένη νὰ τοὺς ἀγαπάει, νὰ τοὺς ἐπαινεῖ, νὰ τοὺς θαυμάζει, νὰ τοὺς ἐγκωμιάζει, νὰ τοὺς στεφανώνει, ἔχουν αὐτοὺς ποὺ τοὺς ξέρουν, αὐ-

*ρίους, τοὺς συναγωνιζομένους, τοὺς τὰ χρηστὰ συνευχομένους αὐτοῖς πάντας· οἱ δὲ ἐπιβουλεύοντες τοὺς μισοῦντας τοσούτους καὶ πολλῷ πλείους, τοὺς κατηγόρους, τοὺς διαβάλλοντας, τοὺς ἐλέγχοντας, τοὺς καταισχύνοντας, τοὺς ἐπαρωμένους μυρία, τοὺς ἐπιθυμοῦντας αὐτοὺς ἰδεῖν ἐν κολάσει καὶ τιμωρίᾳ. Καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ ποῖος παραστήσει λόγος; Εἰ γὰρ ἕνα τις σκανδαλίσας τοσαύτῃ κολάσει κατακρίνεται, ὡς συμφέρειν μύλον κρεμασθῆναι ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, ἐννόησον πόσας δώσουσιν οὗτοι δίκας ἐν τῷ φοβερῷ δικαστηρίῳ τότε ἐκείνῳ, πόσας ὑποστήσονται τιμωρίας, τό γε εἰς αὐτοὺς ἧκον, τὴν οἰκουμένην ταράξαντες ἅπασαν, τοσαύτας ἀνατρέψαντες ἐκκλησίας, τοσαύτῃ πολεμήσαντες εἰρήνῃ, μυρία πανταχοῦ σκάνδαλα θέντες;*

*Οἱ δὲ παρ' ἐκείνων παθόντες, ἅπερ ἔπαθον, μετὰ τῶν μαρτύρων, μετὰ τῶν Ἀποστόλων, μετὰ τῶν γενναίων καὶ ὑψηλῶν ἀνδρῶν στήσονται, λάμποντες ἀπὸ τῶν κατορθωμάτων, ἀπὸ τῶν παθῶν, ἀπὸ τῶν στεφάνων, ἀπὸ τῶν βραβείων, ἀπὸ τῆς πολλῆς παρρησίας. Καὶ ὄψονται μὲν αὐτοὺς κολαζομένους, ἐξαρπάσαι δέ, κἂν μυριάκις βουληθῶσι, τῆς κολάσεως οὐ δυνήσονται· ἀλλὰ θήσουσι μὲν ἱκετηρίαν οὗτοι, οὐδὲν δὲ ὀνήσουσιν. Εἰ γὰρ ὁ πένητα ἕνα παραδραμὼν τὸν Λάζαρον τοσαύτην ὑπέμεινε δίκην, καὶ οὐδεμιᾶς ἔτυχε παραμυθίας, τί πείσονται οὗτοι, τοσούτους διώξαντες καὶ σκανδαλίσαντες;*

*Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, καὶ ὅσα τούτοις ἐοικότα ἀπὸ τῶν θείων συλλέγοντες Γραφῶν, ἑαυτοῖς μὲν τεῖχος ἀσφαλές, τοῖς δὲ ἀσθενεστέροις ἔτι φάρμακα ταῦτα κατασκευάζοντες*

τοὺς ποὺ δὲν τοὺς ξέρουν, αὐτοὺς ποὺ ἔμαθαν τὰ δικά τους ἀπὸ τὰ πράγματα ἢ ἀπὸ τὴ φήμη τους, ἔχουν ἄπειρους αὐτοὺς ποὺ τοὺς συμπονοῦν, αὐτοὺς ποὺ ἀγωνίζονται μαζί τους, ὅλους ἐκείνους ποὺ εὔχονται μαζί τους τὰ χρηστά. Αὐτοὶ ὅμως ποὺ βλάπτουν ἔχουν τόσους πολλοὺς καὶ πολὺ περισσότερο ἐκείνους ποὺ τοὺς μισοῦν, τοὺς κατηγοροῦν, τοὺς κακολογοῦν, τοὺς ἐλέγχουν, τοὺς καταντροπιάζουν, τοὺς δίνουν ἄπειρες κατάρες, ποὺ ἐπιθυμοῦν νὰ τοὺς δοῦν σὲ ποινὲς καὶ τιμωρίες. Καὶ αὐτὰ βέβαια συμβαίνουν ἐδῶ· τὰ ἐκεῖ ὅμως ποιός λόγος θὰ τὰ παραστήσει; Γιατί, ἂν κάποιος ποὺ σκανδάλισε ἕναν καταδικάζεται σὲ τόσο μεγάλη τιμωρία, ὥστε νὰ τοῦ συμφέρει νὰ κρεμασθεῖ μυλόπετρα στὸ λαιμὸ καὶ νὰ καταποντισθεῖ στὴ θάλασσα[106], σκέψου πόσα θὰ πάθουν αὐτοὶ στὸ φοβερὸ ἐκεῖνο δικαστήριο τότε, πόσες τιμωρίες θὰ ὑποστοῦν, ἐπειδὴ τάραξαν, ὅσο βέβαια ἦταν στὸ χέρι τους, ὁλόκληρη τὴν οἰκουμένη, ἐπειδὴ ἀνέτρεψαν τόσες ἐκκλησίες, ἐπειδὴ πολέμησαν τόσο μεγάλη εἰρήνη, ἐπειδὴ ἔβαλαν παντοῦ ἄπειρα σκάνδαλα;


Ἐκείνοι ὅμως ποὺ ἀπ' αὐτοὺς ἔπαθαν αὐτὰ ποὺ ἔπαθαν, θὰ σταθοῦν μαζὶ μὲ τοὺς μάρτυρες, μαζὶ μὲ τοὺς Ἀποστόλους, μαζὶ μὲ τοὺς γενναίους καὶ μεγάλους ἄνδρες, λάμποντας ἀπὸ τὰ κατορθώματα, ἀπὸ τὰ πάθη, ἀπὸ τὰ στεφάνια, ἀπὸ τὰ βραβεῖα, ἀπὸ τὸ πολὺ θάρρος. Καὶ θὰ τοὺς δοῦν αὐτοὺς νὰ τιμωροῦνται, ἀλλὰ νὰ τοὺς σώσουν ἀπὸ τὴν τιμωρία δὲ θὰ μπορέσουν, ἔστω καὶ ἂν ἄπειρες φορὲς τὸ θελήσουν· θὰ παρακαλέσουν ὅμως αὐτοί, ἀλλὰ δὲ θὰ ὠφελήσουν καθόλου. Γιατί, ἂν ἐκεῖνος ποὺ παρέβλεψε ἕναν φτωχό, τὸ Λάζαρο, τιμωρήθηκε τόσο πολὺ καὶ δὲ βρῆκε καμιὰ παρηγοριά, τί θὰ πάθουν αὐτοὶ ποὺ τόσους πολλοὺς δίωξαν καὶ σκανδάλισαν;

Σκεπτόμενοι λοιπὸν ὅλα αὐτὰ καὶ συνάγοντας ἀπὸ τὶς θεῖες Γραφὲς ὅσα εἶναι ὅμοια μ' αὐτά, καὶ καθιστώντας τὶς διηγήσεις αὐτὲς γιὰ τὸν ἑαυτό σας βέβαια τεῖχος ἀσφαλές, ἐνῶ γιὰ ἐκείνους ποὺ εἶναι ἀκόμα ἀσθενέστεροι κατασκευάζοντας φάρ-

---

105 Ματθ. 14,4.

*τὰ διηγήματα, στήκετε ἑδραῖοι καὶ ἀμετακίνητοι, τὰ ἀποκείμενα ὑμῖν ἀγαθὰ ἀναμένοντες. Πάντως γάρ, πάντως κείσεται ὑμῖν ἀμοιβή, οὐ τῶν πόνων ἴση, ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος ἄφατος. Τοιοῦτος γὰρ ὁ φιλάνθρωπος Θεός· μετὰ πολλῆς τῆς φιλοτιμίας τοὺς ἀγαθόν τι ποιεῖν ἢ λέγειν προαιρουμένους ταῖς ἀντιδόσεσι καὶ ταῖς ἀμοιβαῖς νικᾶν ἐσπούδακεν· ὧν ἐπιτύχοιμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*



μακα, νὰ στέκεστε ἀσάλευτοι καὶ ἀμετακίνητοι, περιμένοντας τὰ ἀγαθὰ ποὺ φυλάσσονται γιὰ σᾶς. Γιατὶ ὁπωσδήποτε, ὁπωσδήποτε θὰ ὑπάρξει γιὰ σᾶς ἀμοιβή, ὄχι ἴση μὲ τοὺς κόπους, ἀλλὰ σὲ πάρα πολὺ μεγάλο βαθμὸ ἀπερίγραπτη. Γιατὶ τέτοιος εἶναι ὁ φιλάνθρωπος Θεός· αὐτοὺς ποὺ μὲ τὴ θέλησή τους ἀποφασίζουν νὰ κάνουν ἢ νὰ λέγουν κάτι καλὸ προσπαθεῖ μὲ πολλὴ γενναιοδωρία νὰ τοὺς ξεπερνᾶ μὲ τὶς ἀνταποδόσεις καὶ τὶς ἀμοιβές, τὶς ὁποῖες εἴθε νὰ ἐπιτύχουμε μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.





# ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ μὲν χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα ἁπλῶς ποὺ βρίσκονται.

## 1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

## Μᾶρκος



## Λουκᾶς



## Ἰωάννης

## 2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Β



Γ



Δ



Ε

Ζ



Η



Θ



Ι

## Κ



## Λ



## Μ

N



O



Π

Ρ



Σ



Τ

# ΠΕΡΙΕΧΟΜΕΝΑ

# ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

## Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

| | | |
|---|---|---|
| Τόμος | 1ος | Ἐπιστολές |
| » | 2ος | Ἐπιστολές |
| » | 3ος | Ἐπιστολές |
| » | 4ος | Ὁμιλίες στήν Ἑξαήμερο |
| » | 5ος | Ὁμιλίες σέ Ψαλμούς |
| » | 6ος | Ὁμιλίες ἠθικές καί πρακτικές |
| » | 7ος | Ὁμιλ. δογματικές, περιστατικές, ἐγκωμιαστικές, παιδ/κές |
| » | 8ος | Ἀσκητικά (Ὅροι κατά πλάτος) |
| » | 9ος | Ἀσκητικά (Ὅροι κατ' ἐπιτομήν) |
| » | 10ος | Δογματικά ἔργα |

## Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

| | | |
|---|---|---|
| Τόμος | 1ος | Ἀπολογητικά (Κατά εἰδώλων, Περί ἐνανθρωπήσεως) |
| » | 2ος | Δογματικά Α΄ (Λόγοι κατά Ἀρειανῶν Α-Β) |
| » | 3ος | Δογματικά Β΄ (Λόγοι κατά Ἀρειανῶν Γ-Δ) |
| » | 4ος | Δογματικά Γ΄ |
| » | 5ος | Ἑρμηνευτικά Α΄ |
| » | 6ος | Ἑρμηνευτικά Β΄ (Ἐξήγησις στούς Ψαλμούς) |
| » | 7ος | Ἑρμηνευτικά Γ΄ (Ἐξήγησις στούς Ψαλμούς) |
| » | 8ος | Ἱστορικοδογματικά Α΄ |
| » | 9ος | Ἱστορικοδογματικά Β΄, ἐπανεκδίδεται |
| » | 10ος | Ἱστορικοδογματικά Γ΄ » |
| » | 11ος | Ἀσκητικά |
| » | 12ος | Διάφορα ἀμφιβαλλόμενα ἔργα |

## Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

| | | |
|---|---|---|
| Τόμος | 1ος | Προσωπικές Σχέσεις καί Ἐκκλ/κή Διακονία Α΄ |
| » | 2ος | Προσωπικές Σχέσεις καί Ἐκκλ/κή Διακονία Β΄ |
| » | 3ος | Ἀπολογητικά ἔργα |
| » | 4ος | Δογματικά ἔργα |
| » | 5ος | Ὁμιλίες |
| » | 6ος | Ἐγκωμιαστικοί καί Ἐπιτάφιοι Λόγοι |
| » | 8ος | Ὁ Χριστός Πάσχων, καί Ἔπη δογματικά |
| » | 9ος | Ἔπη Ἠθικά |

Τόμοι 7ος καί 10ος ὑπό ἔκδοση.

## Δ΄ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστική Ἱστορία (Βιβλία Α΄-Γ΄)
» 2ος Ἐκκλησιαστική Ἱστορία (Βιβλία Δ΄-ΣΤ΄)
» 3ος Ἐκκλησιαστική Ἱστορία (Βιβλία Ζ΄-Ι΄)
» 4ος Στό Μ. Κων/νο Τρακονταετηρικός, Στό Βίο Μ. Κων/νου, Λόγος Μ. Κων/νου στό σύλλογο τῶν ἁγίων

## Ε΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικά Α΄ (Ἔκδοσις ἀκριβής τῆς Ὀρθοδόξου πίστεως)

## ΣΤ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 1ος Διάλογος Παλλαδίου - Περί τῆς ἀσαφείας τῶν προφητειῶν - Σύνοψις Παλαιᾶς Διαθήκης
» 2ος Ὁμιλίες στή Γένεσι (Α΄–ΚΓ΄)
» 3ος Ὁμιλίες στή Γένεσι (ΚΔ΄–ΜΑ΄)
» 4ος Ὁμιλίες στή Γένεσι (ΜΒ΄–ΞΔ΄)
» 5ος Ὁμιλίες στή Γένεσι (Γ΄–ΙΒ΄), στούς Ψαλμούς (ΜΑ΄–ΜΓ΄)
» 6ος Ὁμιλίες στούς Ψαλμούς (ΜΔ΄–ΡΚΓ΄)
» 7ος Ὁμιλίες στούς Ψαλμούς (ΡΚΔ΄–ΡΝ΄) καί Ὁμιλίες στόν Δαυίδ καί τόν Σαούλ
» 8ος Ὁμιλίες στή Γένεσι Α΄–Θ΄, Ὑπόμνημα στόν Ἠσαΐα καί Ὑπόμνημα στόν Δανιήλ (Κεφ. Ι΄–ΙΓ΄)
» 9ος Ὑπόμνημα στό κατά Ματθαῖον Εὐαγγέλιο (Ὁμιλ. Α΄–Κ΄)
» 10ος Ὑπόμνημα στό κατά Ματθαῖον Εὐαγγέλιο (Ὁμιλ. ΚΑ΄–ΜΗ΄)
» 11ος Ὑπόμνημα στό κατά Ματθαῖον Εὐαγγέλιο (Ὁμιλ. ΜΘ΄–ΟΕ΄)
» 12ος α) Ὑπόμνημα στό κατά Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΟΣΤ΄–ϞΑ΄) β) Ὑπόμνημα στό κατά Ἰωάννην Εὐαγγ. (Ὁμιλ. Α΄–ΙΘ΄)
» 13ος Ὑπόμνημα στό κατά Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. Κ΄–ΝΔ΄)
» 14ος Ὑπόμνημα στό κατά Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. ΝΕ΄–ΠΗ΄)
» 15ος Ὑπόμνημα στίς Πράξεις (Ὁμιλ. Α΄–ΚΓ΄)
» 16α΄ Ὑπόμνημα στίς Πράξεις (Ὁμιλ. ΚΔ΄–ΜΔ΄)
» 16β΄ Ὑπόμνημα στίς Πράξεις (Ὁμιλ. ΜΕ΄–Ν΄), στήν Πρός Ρωμαίους (Ὁμιλ. Α΄–Ι΄)
» 17ος Ὑπόμνημα στήν Πρός Ρωμαίους (Ὁμιλ. ΙΑ΄–ΛΓ΄)
» 18ος Ὑπόμνημα στήν Α΄ Πρός Κορινθίους (Ὁμιλ. Α΄–ΚΑ΄)
» 18α΄ Ὑπόμνημα στήν Α΄ Πρός Κορινθίους (Ὁμιλ. ΚΒ΄–ΜΔ΄)
» 20ος Ὑπόμνημα στήν Β΄ Πρός Κορινθίους (Ὁμιλ. ΚΕ΄–Λ΄)καί στήν Πρός Ἐφεσίους (Ὁμιλ. Α΄–ΙΑ)
» 21ος Ὑπόμνημα στήν Πρός Ἐφεσίους (Ὁμιλ. ΙΒ΄–ΚΔ΄) καί στήν Πρός Φιλιππησίους (Ὁμιλ. Α΄–ΙΒ΄)
» 22ος Ὑπόμνημα στήν Πρός Φιλιππησίους (Ὁμιλ. ΙΓ΄–ΙΕ΄), στήν Πρός Κολοσσαεῖς καί στήν Πρός Θεσσαλονικεῖς Α΄
» 28ος Ποιμαντικά καί Ἀσκητικά Α΄

»  29ος  Ἀσκητικά Β΄
»  31ος  Ὁμιλ. κατηχητικές καί ἠθικές Β΄ - Ὁμιλ. Περιστατικές Α΄
»  32ος  Ὁμιλίες Περιστατικές Β΄
»  35ος  Ὁμιλίες δογματικές
»  36ος  Ὁμιλίες ἑορταστικές - ἐγκωμιαστικές

## Ζ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος  Δογματικά Α΄ (Πῶς τρία πρόσωπα λέγοντες - Κατά εἱμαρμένης - Διάλογος περί ψυχῆς καί ἀναστάσεως, καί Λόγος Κατηχητικός Μέγας)

## Η΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

Βίος Γρηγορίου Παλαμᾶ ὑπό Φιλοθέου Κοκκίνου
Τόμος 1ος  Λόγοι ἀποδεικτικοί δύο Περί ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος - Ἐπιστολές πρός Ἀκίνδυνον Α΄, Β΄, Γ΄, - Ἐπιστολές πρός Βαρλαάμ Α΄, Β΄
»  2ος  Ὑπέρ τῶν ἱερῶς ἡσυχαζόντων Λόγοι Α΄- Γ΄
»  3ος  Πραγματεῖες δογματικές καί ὁμολογιακές
»  4ος  Ἐπιστολές
»  9ος  Ὁμιλίες Α΄–Κ΄
»  10ος  Ὁμιλίες ΚΑ΄–ΜΒ΄

## Θ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος  Ἀποφθέγματα Γερόντων.
»  7ος  Μακαρίου τοῦ Αἰγυπτίου, 50 Πνευματικές Ὁμιλίες
»  12ος  Ἀββᾶ Ἡσαΐα, Λόγοι Ἀσκητικοί - ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα - ἀββᾶ Δωροθέου, Πραγματεῖες καί Ἐπιστολές.
»  14ος  Μάξιμος ὁ Ὁμολογητής, Μυσταγωγία – Τά 400 Κεφάλαια Περί Ἀγάπης – Λόγος Ἀσκητικός – Τά 200 Κεφάλαια Περί Θεολογίας.
»  19Α΄  Συμεών ὁ Νέος Θεολόγος, Βίος Συμεών ὑπό Νικήτα Στηθάτου, Κεφάλαια - Εὐχαριστίες - Διάλογος μετά Σχολαστικοῦ.
»  22ος  Νικολάου Καβάσιλα, Ἑρμηνεία στή Θεία Λειτουργία - Περί τῆς ἐν Χριστῷ Ζωῆς.

## Ι΄ ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

## ΙΑ΄ ΑΠΟΛΟΓΗΤΑΙ

Τόμος 1ος  Ἰουστῖνος, Ἀπολογίες Α΄ καί Β΄ – Λόγος Περί Ἀναστάσεως – Διάλογος Πρός Τρύφωνα.

*Φωτοστοιχιοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ»* ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
*'Αρμενοπούλου 30 – Τηλ. 200 621 – ΘΕΣΣΑΛΟΝΙΚΗ 546 35.*

*Έκτύπωση Όφσετ: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ»* ΦΩΤΗ ΠΑΛΑΙΟΧΩΡΙΝΟΥ
*Τσαμαδοῦ 8 – Τηλ. 928 592 – ΘΕΣΣΑΛΟΝΙΚΗ*

*Βιβλιοδεσία:* ΑΦΟΙ ΒΑΡΟΥΣΙΑΔΗ
*Λαχανᾶ 17 – Τηλ. 839 414 – ΘΕΣΣΑΛΟΝΙΚΗ*

*Κεντρική Πώληση: ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ «ΒΥΖΑΝΤΙΟΝ» ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ*
*'Αρμενοπούλου 30 – Τηλ. 200 621 – ΘΕΣΣΑΛΟΝΙΚΗ 546 35*